



BIBLIORUM GRAECORUM LATINORUM'QUE

Pars secunda, continens Regum libros quatuor, & Paralipomenon duos, tum Esdram et Neemiam, Esther & Iob, Dauidis Psalterium, Solomonis Prouerbia, Ecclesiasten & Canticum canticorum.





BASILEAE

per Nicolaum Brylingerum,

Anno M. D. L.

REGVM LIBER PRIMVS.



Καὶ ἐγένετο ἄνθρωπος ἐξ ἀρμαθαὶμ σιφὰ, ἐξ ὄρους ἐφραὶμ, καὶ ὄνομα αὐτῷ ἐλκανᾶ, υἱὸς ἱερεμεὴλ, υἱοῦ ἠλὶ, υἱοῦ θοκὴλ ἐν νασὶβ, ἐξ ἀρμαθαὶμ, ἐξ ὄρους ἐφραίμ. καὶ τούτῳ δύο γυναῖκες, ὄνομα τῇ μιᾷ ἄννα, καὶ ὄνομα τῇ δευτέρᾳ φεννάνα. καὶ ἦν τῇ φεννάνᾳ παιδία, καὶ τῇ ἄννᾳ οὐκ ἦν παιδίον. καὶ ἀνέβαινον ὁ ἄνθρωπος ἐξ ἡμερῶν εἰς ἡμέρας, ἐκ πόλεως αὐτοῦ, ἐξ ἀρμαθαὶμ, προσκυνεῖν καὶ θύειν κυρίῳ τῷ θεῷ σαβαὼθ, ἐν σηλώ. καὶ ἐκεῖ ἠλὶ, καὶ δύο υἱοὶ αὐτοῦ, ὀφνεὶ καὶ φινεὲς, ἱερεῖς κυρίου. καὶ ἐγενήθη ἡμέρα, καὶ ἔθυσεν ἐλκανᾶ. καὶ ἔδωκε τῇ φεννάνᾳ γυναικὶ αὐτοῦ, καὶ τοῖς υἱοῖς αὐτοῦ, καὶ ταῖς θυγατράσιν αὐτῆς, μερίδας, καὶ τῇ ἄννᾳ ἔδωκε μερίδα μίαν, ὅτι οὐκ ἦν αὐτῇ παιδίον. πλὴν ὅτι τὴν ἄνναν ἠγάπα ἐλκανᾶ ὑπὲρ τὴν φεννάναν, καὶ κύριος ἀπέκλεισε τὰ περὶ τὴν μήτραν αὐτῆς. ὅτι οὐκ ἔδωκεν αὐτῇ κύριος παιδίον, κατὰ τὴν θλῖψιν αὐτῆς, καὶ κατὰ τὴν ἀθυμίαν τῆς θλίψεως αὐτῆς. καὶ ἠθύμει διὰ τοῦτο, ὅτι συνέκλεισε κύριος τὰ περὶ τὴν μήτραν αὐτῆς, τοῦ μὴ δοῦναι αὐτῇ παιδίον. οὕτως ἐποίει ἐνιαυτὸν κατ' ἐνιαυτὸν

ἀν



ET fuit homo unus de Armathaim, Sopha, de mõte Ephraim, & nomen ei Elcana, filius Hieremeel, filii Heli, filii Thocel Enasib, ex Armathaim, de monte Ephraim. Et huic duæ uxores, nomen uni Anna, & nomen secundæ Phennana. Et fuerunt Phennanæ filii, at Annæ non erat filius. Et ascēdebat homo ille ex diebus in dies, de ciuitate sua, de Armathaim, ad adorandum & sacrificandum domino deo Sabaoth, in Selo. Et ibi erat Heli, et duo filii eius, Ophni & Phinees, sacerdotes dei. Et facta est dies, & immolauit Elcana. Et dedit Phennanæ uxori suæ, & cunctis filiis eius & filiabus eius partes, & Annæ dedit partem unam, quia non erat ei filius. Verũ quia diligebat Elcana Annã supra Phennanam, & dñs conclusit uuluam eius. Quoniam non dedit dñs puerum, in afflictione eius, et in mœrore afflictionis eius. Et mœrebat ob hoc, quod conclusit dñs uuluã eius, ut non daret ei puerũ. Sic faciebat singulis annis, Capit. I

cum ascẽderet ipsa ad domum domini, & tristabatur, & flebat, & non edebat. Et dixit ei Elcana uir eius, Anna. Et dixit, Ecce, ego Domine. Et dixit ei, Quid est tibi qd' fles? Et quare nõ edis? Et quare uerberat te cor tuũ? Nõ bonus ego tibi præ decẽ liberis? Et surrexit Anna postquàm ederunt ipsi in Selo, & constitit corã domino. Et Heli sacerdos sedebat super sellam, in liminibus templi domini. Et ipsa afflicta animo, & orauit ad dominum, & flens

Iudic. 13 fleuit. Et uouit uotũ Dño, dicens, Domine Dñe Deus Sabaoth, si respiciens respexeris in humilitatem famulæ tuæ, & recordatus fueris mei, & da seruæ tuæ semen uiri, & dabo tibi eum coram te datum, usq; ad diem mortis eius. Et uinum & siceram non bibet, & ferrum non ascendet super caput eius. Et factum est, quãdo multiplicabat orans corã domino, et Heli sacerdos obseruabat os eius, & ipsa loquebatur in corde suo, & labia eius mouebantur, & uox eius non audiebatur. Et exaudiuit eam Dñs, et habuit eam Heli pro temulẽta. Et dixit ei puellus Heli, Vsquequò ebria eris? Aufer uinum tuum, &

ἐν τῷ ἀναβαίνειν αὐτὴν εἰς οἶκον κυρίου, καὶ ἠθύμει, καὶ ἔκλαιε, καὶ οὐκ ἤσθιε. καὶ εἶπεν αὐτῇ ἐλκανὰ ὁ ἀνὴρ αὐτῆς, ἄννα. καὶ εἶπεν, ἰδοὺ, ἐγὼ κύριε. καὶ εἶπεν αὐτῇ, τί ἐστί σοι, ὅτι κλαίεις; καὶ ἵνα τί οὐκ ἐσθίεις; καὶ ἵνα τί τύπτει σε ἡ καρδία σου; οὐκ ἀγαθὸς ἐγώ σοι ὑπὲρ δέκα τέκνα; καὶ ἀνέστη ἄννα μετὰ τὸ φαγεῖν αὐτοὺς ἐν σηλὼ, καὶ κατέστη ἐνώπιον κυρίου. καὶ ἠλὶ ὁ ἱερεὺς ἐκάθητο ἐπὶ τοῦ δίφρου, ἐπὶ τῶν φλιῶν πυλῶν ναοῦ κυρίου. καὶ αὐτὴ κατώδυνος ψυχῇ, καὶ προσηύξατο πρὸς κύριον, καὶ κλαίουσα ἔκλαυσε. καὶ ηὔξατο εὐχὴν κυρίῳ, λέγουσα, Ἀδωναῒ κύριε ἐλωὶ σαβαὼθ, ἐὰν ἐπιβλέπων ἐπιβλέψῃς ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης σου, καὶ μνησθῇς μου, καὶ δῷς τῇ δούλῃ σου σπέρμα ἀνδρὸς, καὶ δώσω σοι αὐτὸν ἐνώπιόν σου δοτὸν, ἕως ἡμέρας θανάτου αὐτοῦ. καὶ οἶνον καὶ μέθυσμα οὐ πίεται, καὶ σίδηρος οὐκ ἀναβήσεται ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. καὶ ἐγενήθη, ὅτι ἐπλήθυνε προσευχομένη ἐνώπιον κυρίου, καὶ ἠλὶ ὁ ἱερεὺς ἐφύλαξε τὸ στόμα αὐτῆς, καὶ αὐτὴ ἐλάλει ἐν τῇ καρδίᾳ αὐτῆς, καὶ τὰ χείλη αὐτῆς ἐκινεῖτο, καὶ ἡ φωνὴ αὐτῆς οὐκ ἠκούετο. καὶ εἰσήκουσεν αὐτῆς κύριος, καὶ ἐλογίσατο αὐτὴν ἠλὶ εἰς μεθύουσαν. καὶ εἶπεν αὐτῇ τὸ παιδάριον ἠλὶ, ἕως πότε μεθυσθήσῃ; περίελε τὸν οἶνόν σου, καὶ

καὶ πορεύου ἐκ τοῦ τόπου κυρίου.
καὶ ἀπεκρίθη ἄννα, καὶ εἶπεν, οὐχί
κύριε, γυνὴ ἐν σκληρᾷ ἡμέρᾳ ἐγώ
εἰμι, καὶ οἶνον καὶ μέθυσμα οὐ πέ-
πωκα. μὴ δῷς τὴν δούλην σου εἰς θυ-
γατέρα λοίμην, ὅτι ἐκ πλήθους ἀδο-
λεσχίας μου καὶ ἐκ πλήθους ἀθυμί-
ας μου ἐκτέτακα ἕως τοῦ νῦν. καὶ ἀ-
πεκρίθη ἠλὶ, καὶ εἶπε πρὸς αὐτὴν,
πορεύου εἰς εἰρήνην, ὁ θεὸς ἰσραὴλ
δῴη σοι πᾶν αἴτημά σου, ὃ ᾐτήσω
παρ' αὐτοῦ. καὶ εἶπεν ἄννα, εὗρεν ἡ
δούλη σου χάριν ἐν ὀφθαλμοῖς σου.
καὶ ἐπορεύθη ἡ γυνὴ εἰς τὴν ὁδὸν
αὐτῆς, καὶ εἰσῆλθεν εἰς τὸ κατάλυ-
μα αὐτῆς. καὶ ἔφαγε μετὰ τοῦ ἀν-
δρὸς αὐτῆς, καὶ ἔπιε, καὶ τὸ πρόσωπον
αὐτῆς οὐ συνέπεσεν ἔτι. καὶ ὀρθρίζου-
σι τὸ πρωῒ, καὶ προσκυνοῦσι τῷ κυ-
ρίῳ, καὶ πορεύονται τὴν ὁδὸν αὐ-
τῶν. καὶ εἰσῆλθεν ἐλκανὰ εἰς τὸν
οἶκον αὐτοῦ, εἰς ἀρμαθαὶμ, καὶ ἔγνω
ἐλκανὰ τὴν γυναῖκα αὐτοῦ ἄνναν,
καὶ ἐμνήσθη αὐτῆς κύριος, καὶ συ-
νέλαβε. καὶ ἐγενήθη τῷ καιρῷ τῶν ἡμε-
ρῶν, καὶ ἔτεκεν υἱὸν, καὶ ἐκάλεσε τὸ ὄνο-
μα αὐτοῦ σαμουὴλ, λέγουσα, ὅτι πα-
ρὰ κυρίου θεοῦ σαβαὼθ ᾐτησάμην
αὐτόν. καὶ ἀνέβη ὁ ἄνθρωπος ἐλκα-
νᾶ, καὶ πᾶς ὁ οἶκος αὐτοῦ, ἐν ση-
λὼ, θῦσαι τὴν θυσίαν τῶν ἡμερῶν,
καὶ τὰς εὐχὰς αὐτοῦ, καὶ πάσας
τὰς δεκάτας τῆς γῆς αὐτοῦ. καὶ
ἄννα οὐκ ἀνέβη μετ' αὐτοῦ, ὅτι εἶπε
τῷ

& abi è loco domini. Et
respondit Anna, & dixit,
Non domine. Mulier in
dura die ego sum, & uinū
& quod inebriare potest,
nō bibi. Ne des ancillam
tuam in filiam pestilētem,
quia ex multitudine me-
ditationis meę, & ex mul
titudine tristitiæ meæ, ex-
tabui usq; nunc. Et respō
dit Heli, & dixit ad eam,
Vade in pace, deus Israel
det tibi omnem petitionē
tuam, quam petisti ab eo.
Et dixit Anna, Inuenit
ancilla tua gratiam in o-
culis tuis. Et abiit mulier
uiam suam, & ingressa est
in diuersorium eius. Et e-
dit cum uiro suo, & bibit,
& uultus eius non conci-
dit amplius. Et surgūt ma
ne summo, & adorauerūt
dominum, & abierunt ui-
am suam. Et ingressus est
Elcana in domum suam
in Armathaim, & cogno
uit Annam uxorem su-
am, & recordatus est eius
dominus, & concepit. Et
factum est in tempore die
rum, & peperit filium, &
uocauit nomen eius Samu
el, dicens, Quod à domi-
no Deo Sabaoth postula
ui eum. Et ascendit ho-
mo Elcana, & omnis do-
mus eius in Selo, ad immo
landum hostiam dierum
& uota sua, & omnes de-
cimas terrę eius. Et Anna
nō ascēdit cū eo, qa dixit

uiro suo, Donec ascendat puer cum ablactabo eum, & apparebit faciei domini, & sedebit usq; in seculum ibi. Et dixit ei Elcana uir suus, Fac bonum in oculis tuis. Sede, donec ablactes cũ, uerum statuat dominus omne egressum ex ore tuo. Et sedit mulier, & lactauit filiũ suum, donec ablactauit ipsa eũ. Et ascẽdit cũ eo in Selo, in uitulo trimo, & panib[9] & oephi siliginis, & amphora uini. Et igressi sunt in domũ domini, in Selo, & puer cum ipsis, & adduxerunt coram domino. Et mactauit pater eius uictimam, quam faciebat de diebus in dies domino. Et adduxit puellum, & mactauit uitulum. Et adduxit Anna mater pueri ad Heli, et dixit, In me domine, uiuit anima tua, ego sum mulier, consistens corã te tecum, cũ orarem ad dñm. Pro puero isto adoraui, & dedit mihi dominus petitionem meam, quam petiui ab eo. Et ego commodo eum domino cunctis diebus, quas uixerit ipse, usum domino.

Cap. II Et adorauit ibi dñm, et uouit Anna. Et dixit, Fir-

τῷ ἀνδρὶ αὐτῆς, ἕως τοῦ ἀναβῆναι τὸ παιδάριον, ἐὰν ἀπογαλακτίσω αὐτὸ, καὶ ὀφθήσεται τῷ προσώπῳ κυρίου, καὶ καθήσεται ἕως αἰῶνος ἐκεῖ. καὶ εἶπεν αὐτῇ ἐλκανὰ ὁ ἀνὴρ αὐτῆς, ποίει τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς σου. κάθου, ἕως ἂν ἀπογαλακτίσῃς αὐτὸ, ἀλλὰ στῆσαι κύριος τὸ ἐξελθὸν ἐκ τοῦ στόματός σου. καὶ ἐκάθισεν ἡ γυνὴ, καὶ ἐθήλαζε τὸν υἱὸν αὐτῆς, ἕως τοῦ ἀπογαλακτίσαι αὐτὴν αὐτόν. καὶ ἀνέβη μετ' αὐτοῦ ἐν σηλὼ, ἐν μόσχῳ τριετίζοντι, καὶ ἄρτοις, καὶ οἰφὶ σεμιδάλεως, καὶ νέβελ οἴνου. καὶ εἰσῆλθον εἰς τὸν οἶκον κυρίου, ἐν σηλὼ, καὶ τὸ παιδάριον μετ' αὐτῶν, καὶ προσήγαγον ἐνώπιον κυρίου. καὶ ἔσφαξεν ὁ πατὴρ αὐτοῦ τὴν θυσίαν, ἣν ἐποίει ἐξ ἡμερῶν εἰς ἡμέρας τῷ κυρίῳ. καὶ προσήγαγε τὸ παιδάριον, καὶ ἔσφαξε τὸν μόσχον. καὶ προσήγαγεν ἄννα ἡ μήτηρ τοῦ παιδαρίου πρὸς ἠλὶ, καὶ εἶπεν, ἐν ἐμοὶ κύριε, ζῇ ἡ ψυχή σου, ἐγώ εἰμι ἡ γυνὴ ἡ καταστᾶσα ἐνώπιόν σου μετὰ σοῦ, ἐν τῷ προσεύξασθαι πρὸς κύριον. ὑπὲρ τοῦ παιδαρίου τούτου προσηυχόμην, καὶ ἔδωκέ μοι κύριος τὸ αἴτημά μου, ὃ ᾐτησάμην παρ' αὐτοῦ. κἀγὼ κιχρῶ αὐτὸν τῷ κυρίῳ πάσας τὰς ἡμέρας, ἃς ζῇ αὐτὸς, χρῆσιν τῷ κυρίῳ.

Καὶ προσεκύνησαν ἐκεῖ τῷ κυρίῳ, καὶ ηὔξατο ἄννα, καὶ εἶπεν,

ἐστερεώθη ἡ καρδία μου ἐν κυρίῳ, ὑ-
ψώθη κέρας μου θεῷ μου. ἐπλατύνθη
ἐπ᾽ ἐχθρούς μου τὸ στόμα μου, εὐφράν-
θην ἐν σωτηρίῳ σου. ὅτι οὐκ ἔστιν ἅ-
γιος ὡς ὁ κύριος, καὶ οὐκ ἔστι δίκαι-
ος ὡς ὁ θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἅγιος
πλὴν σοῦ. μὴ καυχᾶσθε, καὶ μὴ λαλεῖ-
τε ὑψηλὰ εἰς ὑπεροχήν, καὶ μὴ ἐξελ-
θέτω μεγαλορρημοσύνη ἐκ τοῦ στόμα-
τος ὑμῶν. ὅτι θεός, γνώσεων κύρι-
ος, καὶ θεὸς ἑτοιμάζων ἐπιτηδεύ-
ματα αὐτοῦ. τόξον δυνατῶν ἠσθέ-
νησε, καὶ οἱ ἀσθενοῦντες περιεζώ-
σαντο δύναμιν. πλήρεις ἄρτων ἠ-
λαττώθησαν, καὶ οἱ πεινῶντες πα-
ρῆκαν γῆν, ὅτι στεῖρα ἔτεκεν ἑπτά,
καὶ ἡ πολλὴ ἐν τέκνοις ἠσθένησε.
κύριος θανατοῖ, καὶ ζωογονεῖ, κα-
τάγει εἰς ᾅδου, καὶ ἀνάγει. κύριος
πτωχίζει, καὶ πλουτίζει, ταπεινοῖ,
καὶ ἀνυψοῖ. ἀνιστᾷ ἀπὸ γῆς πένη-
τα, καὶ ἀπὸ κοπρίας ἐγείρει πτωχόν,
τοῦ καθίσαι αὐτὸν μετὰ δυναστῶν λαοῦ,
καὶ θρόνον δόξης κατακληρονομῶν
αὐτοῖς, διδοὺς εὐχὴν τῷ εὐχομένῳ.
καὶ εὐλόγησεν ἔτη δικαίων, ὅτι οὐκ ἐν
ἰσχύϊ δυνατὸς ἀνήρ. κύριος ἀσθενῆ
ποιήσει τὸν ἀντίδικον αὐτοῦ, κύριος
ἅγιος. μὴ καυχάσθω ὁ φρόνιμος
ἐν τῇ φρονήσει αὐτοῦ. καὶ μὴ καυχάσθω
ὁ δυνατὸς ἐν τῇ δυνάμει αὐτοῦ.
καὶ μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ
πλούτῳ αὐτοῦ. ἀλλ᾽ ἐν τούτῳ καυ-
χάσθω ὁ καυχώμενος, ἐν τῷ συνιεῖν
καὶ

Firmatum eſt cor meum
in domino, exaltatum eſt
cornu meum in deo meo.
Dilatatum eſt cõtra inimi
cos meos os meum, lętata
ſum in ſalutari tuo. Quia
non eſt ſanctus ut dñs, &
non eſt iuſtus ut deus no-
ſter, & nõ eſt ſanctus præ
ter te. Nõ gloriemini, &
nõ loquamini ſublimia in
exceſſum, & non egredia
tur magniloquentia ex o-
re ueſtro. Quia deus, cog-
nitionum dominus, & de-
us parans inuentiones ſu-
as. Arcus potentium infir
mauit, & infirmi accincti
ſunt robore. Pleni pani-
bus diminuti ſunt, & fame
lici reliquerunt terrã, quia
ſterilis peperit ſeptem, &
multa in filiis infirmata ẽ.
Dominus occidit, & uiui
ficat, deducit infernum,
& reducit. Dominus men
dicum facit, et ditat, humi
liat, & ſubleuat. Erigit à Deut. 32
terra pauperem, & de ſter Thob. 13
core excitat mẽdicum, ut Inf. 16
collocet eum cum poten-
tibus populi, & ſoliũ glo-
riæ in hæreditatem præ-
bens ipſis, dans uotum
uouenti. Et benedixit an
nis iuſti, quia non in forti
tudine potẽs uir. Dñs infir
mũ faciet aduerſariũ ſuũ,
dñs ſanctus. Nõ glorietur
ſapiẽs in ſapiẽtia ei⁹. Et nõ
glorieť potẽs ĩ potẽtia ei⁹.
Et nõ glorieť diues in di-
uitiis ei⁹. Sed in hoc glori
etur gloriãs, in intelligẽdo

& cognoscendo dominũ,
& faciendo iudicium, &
iustitiam in medio terræ.
Dominus ascendit in cœ-
los, & tonuit, ipse iudica-
bit extrema terræ iustus
existens. Et dat robur re-
gibus nostris, & sublima-
bit cornu Christi sui. Et
reliquerũt ipsum ibi corã
dño, & abiit in Armatha
im, et puer erat ministrans
faciei dñi, corã Heli sacer
dote. Et filii Heli sacerdotis
filii pestilẽtes, non sciẽtes
dominum. Et iustificatio
sacerdotis ab omni popu
lo sacrificanti. Et uenie-
bat puer sacerdotis, dum
coqueretur caro, & fusci-
nula tridens in manu sua,
& demittebat eã in lebe-
tẽ magnũ, uel in caldariũ,
uel in ollã, & omne quod
ascendebat in fuscinula,
accipiebat sibi ipsi sacer-
dos. Secundum hæc facie
bant uniuerso Israel, ueni-
entibus ad immolandum
domino in Selo. Et ante-
quam adoleretur adeps,
ueniebat puer sacerdotis,
& dicebat uiro immolan
ti, Da carnem, ut assem sa-
cerdoti, & non accipiam
à te carnem coctam ex le-
bete. Et dicebat uir immo
lãs, Accẽdatur prius ut de
cet, adeps, & tũc accipies
tibiipsi ex oĩb. quę deside
rat aĩa tua. Et dicebat, Nõ
ga nũc dabis, si aũt nõ, ac
cipiã ui. Et erat peccatum
corã dño puerorũ magnũ
ualde

καὶ γινώσκειν τὸν κύριον, καὶ ποιεῖν
κρῖμα καὶ δικαιοσύνην ἐν μέσῳ τῆς
γῆς. κύριος ἀνέβη εἰς οὐρανοὺς, καὶ
ἐβρόντησεν, αὐτὸς κρινεῖ ἄκρα γῆς,
δίκαιος ὤν. καὶ δίδωσιν ἰσχὺν
τοῖς βασιλεῦσιν ἡμῶν, καὶ ὑψώσει
κέρας χριστοῦ αὐτοῦ. Καὶ κατέλιπον
αὐτὸν ἐκεῖ ἐνώπιον κυρίου, καὶ ἀπῆλθον
εἰς ἀρμαθαὶμ, καὶ τὸ παιδάριον ἦν
λειτουργῶν τῷ προσώπῳ κυρίου, ἐνώ-
πιον ἡλὶ τοῦ ἱερέως. καὶ οἱ υἱοὶ ἡλὶ
τοῦ ἱερέως υἱοὶ λοιμοὶ, οὐκ εἰδότες τὸν
κύριον. καὶ τὸ δικαίωμα τοῦ ἱερέως πα-
ρὰ τοῦ λαοῦ παντὸς τοῦ θύοντος. καὶ ἤρχε-
το τὸ παιδάριον τοῦ ἱερέως, ὡς ἂν ἡ-
ψήθη τὸ κρέας, καὶ κρεάγρα τριόδους ἐν
τῇ χειρὶ αὐτοῦ, καὶ καθῆκεν αὐτὴν εἰς
τὸν λέβητα τὸν μέγαν, ἢ εἰς τὸ χαλκεῖ-
ον, ἢ εἰς τὴν χύτραν, καὶ πᾶν ὃ ἐὰν ἀ-
νέβη ἐν τῇ κρεάγρᾳ, ἐλάμβανεν ἑαυ-
τῷ ὁ ἱερεύς. κατὰ τάδε ἐποίουν παν-
τὶ ἰσραὴλ, τοῖς ἐρχομένοις θῦσαι τῷ
κυρίῳ ἐν σηλώ. καὶ πρὶν θυμιαθῆναι
τὸ στέαρ, ἤρχετο τὸ παιδάριον τοῦ ἱερέ-
ως, καὶ ἔλεγε τῷ ἀνδρὶ τῷ θύοντι, δὸς
κρέας ὀπτῆσαι τῷ ἱερεῖ, καὶ οὐ μὴ λά-
βω παρὰ σοῦ κρέας ἑφθὸν ἐκ τοῦ λέβη-
τος. καὶ ἔλεγεν ὁ ἀνὴρ ὁ θύων, θυμια-
θήτω δὴ πρῶτον, ὡς καθήκει, τὸ στέ-
αρ, καὶ τότε λαβὲ σεαυτῷ ἐκ πάντων
ὧν ἂν ἐπιθυμῇ ἡ ψυχή σου. καὶ εἶπον, οὐ-
χὶ, ὅτι νῦν δώσεις, καὶ εἰ μὴ, λήψο-
μαι κραταιῶς. καὶ ἦν ἡ ἁμαρτία ἐνώ-
πιον κυρίου τῶν παιδαρίων μεγάλη
σφόδρα,

σφόδρα, ὅτι ἠθέτουν τὴν θυσίαν κυρίου. καὶ σαμουὴλ ἦν λειτουργῶν ἐνώπιον κυρίου, παιδάριον περιεζωσμένον ἐφὼδ βάρ. καὶ διπλοΐδα μικρὰν ἐποίησεν αὐτῷ ἡ μήτηρ αὐτοῦ, καὶ ἀνέφερεν αὐτῷ ἐξ ἡμερῶν εἰς ἡμέρας, ἐν τῷ ἀναβαίνειν αὐτὴν μετὰ τοῦ ἀνδρὸς αὐτῆς θῦσαι τὴν θυσίαν τῶν ἡμερῶν. καὶ εὐλόγησεν ἡλὶ τὸν ἐλκανὰ καὶ τὴν γυναῖκα αὐτοῦ, λέγων, ἀποτίσαι σοι κύριος σπέρμα ἐκ τῆς γυναικὸς ταύτης, ἀντὶ τοῦ χρέους, οὗ ἔχρησας τῷ κυρίῳ. καὶ ἀπῆλθεν ὁ ἄνθρωπος εἰς τὸν τόπον αὐτοῦ, καὶ ἐπεσκέψατο κύριος τὴν ἄνναν, καὶ ἔτεκεν ἔτι τρεῖς υἱοὺς, καὶ δύο θυγατέρας. καὶ ἐμεγαλύνθη τὸ παιδάριον σαμουὴλ ἐνώπιον κυρίου. καὶ ἡλὶ πρεσβύτης σφόδρα, καὶ ἤκουσεν, ἃ ἐποίουν οἱ υἱοὶ αὐτοῦ τοῖς υἱοῖς ἰσραήλ. καὶ εἶπεν αὐτοῖς, ἵνα τί ποιεῖτε κατὰ τὸ ῥῆμα τοῦτο, ὃ ἐγὼ ἀκούω ἐκ στόματος παντὸς τοῦ λαοῦ κυρίου; μὴ τέκνα, μὴ, ὅτι οὐκ ἀγαθὴ ἡ ἀκοὴ, ἣν ἐγὼ ἀκούω περὶ ὑμῶν. μὴ ποιεῖτε οὕτως, ὅτι οὐκ ἀγαθαὶ αἱ ἀκοαὶ, ἃς ἐγὼ ἀκούω, τοῦ μὴ δουλεύειν λαὸν θεῷ. ἐὰν ἁμαρτάνων ἁμάρτῃ ἀνὴρ εἰς ἄνδρα, καὶ προσεύξονται περὶ αὐτοῦ πρὸς κύριον. καὶ ἐὰν τῷ κυρίῳ ἁμάρτῃ, τίς προσεύξεται περὶ αὐτοῦ; καὶ οὐκ ἤκουον τῆς φωνῆς τοῦ πατρὸς αὐτῶν, ὅτι βουλόμενος ἐβούλετο κύριος διαφθεῖραι αὐτούς. καὶ τὸ παιδάριον σαμουὴλ ἐπορεύετο

μεγα-

ualde, quia dehonestabāt sacrificium domini. Et Samuel erat ministrans corā domino, puer accinctus ephudbar. Et tunicā paruam fecit ei mater sua, & afferebat ipsi ex diebus in dies, cum ascenderet ipsa cum uiro suo, ut immolaret hostiam dierum. Et benedixit Heli Elcana & uxori eius, dicens, Remuneret dominus semen aliud ex muliere hac pro fœnore, quod commodasti domino. Et abiit homo in locum suū, & uisit dominus Annam, et peperit adhuc tres filios & duas filias. Et magnificatus est puer Samuel coram domino. Et Heli senex ualde, et audiuit, quæ faciebant filii sui filiis Israel. Et dixit ipsis, Quare facitis secundum uerbum hoc, quod ego audio ex ore totius populi dñi? Non filii, nō, quia nō bona fama, quam ego audio de uobis. Non facite sic, quia non bonæ auditiones, quas ego audio, ut non seruiat populus Domino. Si peccans peccauerit uir in uirū, & orabunt pro ipso ad dominum. Si autē domino peccauerit uir, quis orabit pro eo? Et non audierunt uocem patris sui, quia uolēs uoluit dñs occidere eos. Et puer Samuel īcedebat

magnificatus, & erat bo-
nus cum deo & cũ homi-
nibus. Et uenit homo dei
ad Heli, & dixit, Hæc di-
cit dominus, retectus sum
ad domum patris tui, cum
essent ipsi in terra Aegy-
pti serui domui Pharao-
nis. Et elegi domũ patris
tui ex omnibus domibus
Israel, ut mihi fungeretur
sacerdotio, ut ascẽderet ad
altare meum, & adoleret
incensum, & portaret e-
phud. Et dedi domui pa-
tris tui omnia ignis filio-
rum Israel, in cibum. Et
quare inspexisti in incen-
sum meum, et in sacrificiũ
meum impudenti oculo?
Et honorasti filios tuos
præ me, ut benediceretur
primitia omnis sacrificii
Israel ante me. Propter
hoc hæc dicit dominus
deus Israel, Dixi, domus
tua, & domus patris tui
transibit coram me usque
in sempiternum. Et nunc
dicit dominus, Nequa-
quam mihi, quoniã nõ ni
si glorificantes me glorifi
cabo. Et nihili faciens me
dehonestabitur. Ecce ue-
niunt dies, & disperdam
semen tuum, & semen do-
mus patris tui. Et nõ erit
tibi senex in domo tua, o-
mnibus diebus. Et uirum
non disperdã tibi ab alta-
ri meo, omnib. diebus, sed
deficere oculos eius faciã, et
defluere animã ipsius. Et
oĩs supstes domus tuę cadẽt
in

μεγαλυνόμενον, καὶ ἦν ἀγαθὸν μετὰ
κυρίου καὶ μετὰ ἀνθρώπων. καὶ ἦλθεν ὁ
ἄνθρωπος τοῦ θεοῦ πρὸς ἠλὶ, καὶ εἶπε,
τάδε λέγει κύριος, ἀποκαλυφθεὶς
ἀπεκαλύφθην πρὸς τὸν οἶκον τοῦ πα-
τρός σου, ὄντων αὐτῶν ἐν γῇ αἰγύπτῳ
δούλων τῷ οἴκῳ φαραώ. καὶ ἐξελεξά-
μην τὸν οἶκον τοῦ πατρός σου ἐκ πάν-
των τῶν οἴκων ἰσραὴλ, ἐμοὶ ἱερατεύ-
ειν, τοῦ ἀναβαίνειν ἐπὶ τὸ θυσιαστήρι-
όν μου, καὶ θυμιᾷν θυμίαμα, καὶ αἴρειν
ἐφούδ. καὶ ἔδωκα τῷ οἴκῳ τοῦ πατρός σου
τὰ πάντα τοῦ πυρὸς τῶν υἱῶν ἰσραὴλ,
εἰς βρῶσιν. καὶ ἵνα τί ἐπέβλεψας ἐπὶ
τὸ θυμίαμά μου, καὶ εἰς τὴν θυσίαν
μου ἀναιδεῖ ὀφθαλμῷ; καὶ ἐδόξασας
τοὺς υἱούς σου ὑπὲρ ἐμὲ, εὐλογεῖσθαι
ἀπαρχὴν πάσης θυσίας τοῦ ἰσραὴλ ἔμ-
προσθέν μου. διὰ τοῦτο τάδε λέγει κύρι-
ος ὁ θεὸς ἰσραὴλ, εἶπα, ὁ οἶκός σου, καὶ ὁ
οἶκος τοῦ πατρός σου διελεύσονται ἐνώπι-
όν μου ἕως αἰῶνος. καὶ νῦν φησὶ κύριος,
μηδαμῶς ἐμοὶ, ὅτι ἀλλ' ἢ τοὺς δο-
ξάζοντάς με δοξάσω. καὶ ὁ ἐξουθενῶν
με ἀτιμωθήσονται. ἰδοὺ, ἔρχονται ἡμέ-
ραι, καὶ ἐξολοθρεύσω τὸ σπέρμα σου καὶ
τὸ σπέρμα οἴκου πατρός σου. καὶ οὐκ ἔ-
σται σοι πρεσβύτης ἐν οἴκῳ σου πά-
σας τὰς ἡμέρας. καὶ ἄνδρα οὐκ ἐξο-
λοθρεύσω σοι ἀπὸ τοῦ θυσιαστηρίου μου
πάσας τὰς ἡμέρας, ἀλλ' ὥστε ἐκ-
λείπειν τοὺς ὀφθαλμοὺς αὐτοῦ ποιή-
σω, καὶ καταρρεῖν τὴν ψυχὴν αὐτοῦ. καὶ
πᾶς περισσεύων οἴκου, πεσοῦνται
ἐν

ἐν ῥομφαίᾳ ἀνδρῶν. καὶ τοῦτό σοι τὸ σημεῖον, ὃ ἥξει ἐπὶ τοὺς δύο υἱούς σου τούτους. ὀφνεὶ καὶ φινεὲς, ἐν μιᾷ ἡμέρᾳ ἀποθανοῦνται ἀμφότεροι. καὶ ἀναστήσω ἐμαυτῷ ἱερέα πιστὸν, ὃς πάντα, τὰ ἐν τῇ καρδίᾳ μου, καὶ τὰ ἐν τῇ ψυχῇ μου, ποιήσει. καὶ οἰκοδομήσω ἐν αὐτῷ οἶκον πιστὸν, καὶ διελεύσεται ἐνώπιον χριστοῦ μου πάσας τὰς ἡμέρας. καὶ ἔσται, ὁ ὑπολελειμμένος ἐν τῷ οἴκῳ σου ἥξει προσκυνεῖν αὐτῷ ὀβολοῦ ἀργυρίου, λέγων, παράῤῥιψόν με ἐπὶ μίαν τῶν ἱερατειῶν σου, φαγεῖν ἄρτον.

Καὶ τὸ παιδάριον σαμουὴλ ἦν λειτουργῶν τῷ κυρίῳ, ἐνώπιον ἠλὶ τοῦ ἱερέως. καὶ ῥῆμα κυρίου ἦν τίμιον ἐν ταῖς ἡμέραις ἐκείναις, οὐκ ἦν ὅρασις διαστέλλουσα. Καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἠλὶ ἐκάθευδεν ἐν τῷ τόπῳ αὐτοῦ, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἤρξαντο βαρύνεσθαι, καὶ οὐκ ἠδύναντο βλέπειν. καὶ ὁ λύχνος τοῦ θεοῦ πρὶν ἢ ἐπισκευασθῆναι, καὶ σαμουὴλ ἐκάθευδεν ἐν τῷ ναῷ κυρίου, οὗ ἡ κιβωτὸς τοῦ θεοῦ. καὶ κατέστη, καὶ ἐκάλεσε κύριος, σαμουὴλ σαμουήλ. καὶ εἶπεν, ἰδοὺ ἐγώ. καὶ ἔδραμε πρὸς ἠλὶ, καὶ εἶπεν, ἰδοὺ ἐγὼ, ὅτι κέκληκάς με. καὶ εἶπεν ἠλὶ, οὐ κέκληκά σε, ἀνάστρεφε, κάθευδε. καὶ ἀνέστρεψε, καὶ ἐκάθευδε. καὶ προσέθετο ἔτι κύριος καλέσαι τὸν σαμουὴλ, καὶ ἐκάλεσε, σαμουὴλ σαμουήλ.

καὶ

in gladio uirorum. Et hoc tibi signum, quod eueniet in duos filios tuos istos, Ophni & Phinees, in die uno morientur ambo. Inf.4 Et suscitabo mihiipsi sacerdotem fidelem, qui omnia quę in corde meo, & quæ in anima mea, faciet. Inf.10 Et ædificabo in eo domum fidelem, & transibit coram Christo meo cũctis diebus. Esa.38 Et erit, relict⁹ in domo tua ueniet ad adorandum eum obolo argẽti, dicẽs, Abiice me ad unum sacerdotiorum tuorum, ut edam panem.

Cap.III. Et puer Samuel erat ministrans dño, corã Heli sacerdote. Et sermo dñi erat preciosus in diebus illis, nõ erat uisio discernẽs. Et factũ est in die illa, & Heli dormiebat in loco suo, & oculi eius inceperunt grauari, & non poterat uidere. Et lucerna dei antequam appararetur, et Samuel dormiebat in templo domini, ubi erat arca dei. Et constitit, & locutus est dominus, Samuel Samuel. Et dixit, Ecce ego. Et cucurrit ad Heli, et dixit, Ecce ego, quoniã uocasti me. Ille aũt dixit, Non uocaui te, reuertere, dormi. Et reuersus est, & dormiuit. Et adiecit dñs rursum uocare Samuel, & uocauit, Samuel Samuel.

Et

Et abiit ad Heli secundo, & dixit, Ecce ego, quia uocasti me. Et dixit, Nō uocaui te, fili, reuertere, et dormi. Et Samuel anteq̄ cognosceret Deū, & anteq̄ reuelatū esset ei uerbum dñi, et addidit dñs uocare Samuel in tertio. Et surrexit Samuel, & abiit ad Heli, et dixit, Ecce ego, quia uocasti me. Et intellexit Heli, quod dñs uocauit puerum. Et dixit, Reuertere, & dormi fili. Et erit, si uocauerit te uocās, & dices, Loquere domine, quia audit seruus tuus. Et abiit Samuel, et dormiuit in loco suo. Et uenit dominus, et cōstitit, et uocauit eum sicut semel & semel. Et dixit Samuel, Loquere domine, quia audit seruus tuus. Et dixit dominus ad Samuel, Ecce, ego facio uerba in Israel, ut quicunq; audierit ea, tinnient ambæ aures eius. In die illa suscitabo aduersum Heli omnia, quæcunque locutus sum cōtra domum eius. Incipiā, et perficiam. Et enunciaui ei, quod ulciscar ego domū eius usq; in æternū, in nequitiis filiorum eius, quas nouerat, quod maledicentes deo filii eius, et non admonebat eos. Et propter hoc iuraui domui Heli, si placabitur iniquitas domus Heli, in incēso, & in uictimis eiꝰ, usq; i ęternū.

Et

καὶ ἐπορεύθη πρὸς ἠλὶ τὸ δεύτερον, καὶ εἶπεν, ἰδοὺ ἐγώ, ὅτι κέκληκάς με. καὶ εἶπεν, οὐ κέκληκά σε, τέκνον, ἀνάστρεφε, καὶ κάθευδε. καὶ σαμουὴλ πρὶν ἢ γνῶναι θεόν, καὶ πρὶν ἢ ἀποκαλυφθῆναι αὐτῷ ῥῆμα κυρίου, καὶ προσέθετο κύριος τοῦ καλέσαι τὸν σαμουὴλ ἐν τρίτῳ. καὶ ἀνέστη, καὶ ἐπορεύθη πρὸς ἠλί, καὶ εἶπεν, ἰδοὺ ἐγώ, ὅτι κέκληκάς με. καὶ ἐσοφίσατο ἠλί, ὅτι κύριος κέκληκε τὸ παιδάριον. καὶ εἶπον, ἀνάστρεφε, καὶ κάθευδε τέκνον. καὶ ἔσται, ἐὰν καλέσῃ σε ὁ καλῶν, καὶ ἐρεῖς, λάλει κύριε, ὅτι ἀκούει ὁ δοῦλός σου. καὶ ἐπορεύθη σαμουὴλ, καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ αὐτοῦ. καὶ ἦλθε κύριος, καὶ κατέστη, καὶ ἐκάλεσεν αὐτὸν ὡς ἅπαξ καὶ ἅπαξ. καὶ εἶπε σαμουὴλ, λάλει, ὅτι ἀκούει ὁ δοῦλός σου. καὶ εἶπε κύριος πρὸς σαμουὴλ, ἰδού, ἐγὼ ποιῶ τὰ ῥήματά μου ἐν ἰσραήλ, ὥστε παντὸς ἀκούοντος αὐτά, ἠχήσει ἀμφότερα τὰ ὦτα αὐτοῦ. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπεγερῶ ἐπὶ ἠλὶ πάντα, ὅσα ἐλάλησα εἰς τὸν οἶκον αὐτοῦ. ἄρξομαι, καὶ ἐπιτελέσω. καὶ ἀπήγγελκα αὐτῷ, ὅτι ἐκδικῶ ἐγὼ ἐπὶ τὸν οἶκον αὐτοῦ ἕως αἰῶνος, ἐν ἀδικίαις υἱῶν αὐτοῦ, ἃς ἔγνω ὅτι κακολογοῦντες θεὸν οἱ υἱοὶ αὐτοῦ, καὶ οὐκ ἐνουθέτει αὐτούς. καὶ διὰ τοῦτο ὤμοσα τῷ οἴκῳ ἠλί, εἰ ἐξιλασθήσεται ἀδικία οἴκου ἠλί, ἐν θυμιάματι καὶ ἐν θυσίαις αὐτοῦ ἕως αἰῶνος.

καὶ

ἐν κοιμᾶτο σαμουὴλ ἕως πρωί, καὶ ὤρθρισε τὸ πρωΐ, καὶ ἤνοιξε τὰς θύρας οἴκου κυρίου. καὶ σαμουὴλ ἐφοβήθη ἀπαγγεῖλαι τὴν ὅρασιν τῷ ἠλί. καὶ εἶπεν ἠλὶ πρὸς σαμουὴλ, σαμουὴλ τέκνον. καὶ εἶπεν, ἰδοὺ ἐγώ. καὶ εἶπε, τί τὸ ῥῆμα τὸ λαληθὲν πρός σε; μὴ δὴ κρύψῃς ἀπ' ἐμοῦ ῥῆμα ἐκ πάντων τῶν λόγων τῶν λαληθέντων πρός σε ἐν τοῖς ὠσί μου. καὶ ἀπήγγειλε σαμουὴλ τῷ ἠλὶ πάντας τοὺς λόγους, καὶ οὐκ ἔκρυψεν ἀπ' αὐτοῦ. καὶ εἶπεν ἠλί, κύριος αὐτός, τὸ ἀγαθὸν ἐνώπιον αὐτοῦ ποιήσει. καὶ ἐμεγαλύνθη σαμουὴλ, καὶ ἦν κύριος μετ' αὐτοῦ, καὶ οὐκ ἔπεσεν ἀπὸ πάντων τῶν λόγων αὐτοῦ ἐπὶ τὴν γῆν. καὶ ἔγνωσαν πᾶς ἰσραὴλ ἀπὸ δὰν καὶ ἕως βηρσαβεὲ, ὅτι πιστὸς σαμουὴλ εἰς προφήτην γενέσθαι τῷ κυρίῳ. καὶ προσέθετο κύριος δηλωθῆναι ἐν σηλὼ, ὅτι ἀπεκαλύφθη κύριος πρὸς σαμουήλ. καὶ ἐπιστεύθη σαμουὴλ τοῦ γενέσθαι εἰς προφήτην τοῦ κυρίου, εἰς πάντα ἰσραὴλ, ἀπ' ἄκρων τῆς γῆς ἕως ἄκρων. καὶ ἠλὶ πρεσβύτης σφόδρα, καὶ οἱ υἱοὶ αὐτοῦ πορευόμενοι ἐπορεύοντο, καὶ πονηρὰ ἡ ὁδὸς αὐτῶν ἐνώπιον κυρίου.

Καὶ ἐγενήθη ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ συναθροίζονται ἀλλόφυλοι ἐπὶ ἰσραὴλ εἰς πόλεμον. καὶ ἐξῆλθον ἰσραὴλ εἰς ἀπάντησιν αὐτοῖς εἰς πόλεμον, καὶ παρεμβάλλουσιν ἐπὶ ἀβεν-

Et dormit Samuel usque mane, et surrexit mane, et aperuit fores domus dñi. Et Samuel timuit enunciare uisionẽ Heli. Et dixit Heli ad Samuel, Samuel fili. Et dixit, Ecce ego. Et dixit, Quod uerbũ dictum ad te: Ne iam celaueris à me uerbum ex omnibus sermonibus dictis ad te, in auribus meis. Et enũciauit Samuel Heli oẽs sermones, et nõ celauit ab eo. Et dixit Heli, Dñs ipse, bonum coram eo faciet. Et magnificatus est Samuel, et erat dominus cum eo, et non cecidit ex omnibus uerbis ei⁹ in terram. Et cognouerunt uniuersus Israel à Dan et usq; Bersabee, quod fidelis Samuel in prophetã fieri Domino. Et addidit dñs, patefieri in Selo, quia retect⁹ est dominus ad Samuel. Et creditus est Samuel fieri in Prophetã Domini, per omnem Israel, ab extremis terrę usq; extrema. Et Heli senex ualde, et filii eius incedentes incedebant, et mala uia eorum coram Domino.

Cap. IIII

Et factum est in diebus illis, et colligebantur alienigenæ contra Israel in bellum. Et egressus est Israel obuiam eis in bellum, et castrametantur in Aben-

Abenezer. Et castrametantur alienigenæ in Aphec. Et instruxerunt aciem alienigenæ in prælium, contra Israel. Et declinauit bellũ, & offenditur Israel coram alienigenis. Et pcussi sunt in acie, in agro quatuor millia uirorum. Et uenit populus ad castra. Et dixerunt seniores Israel, Quare percussit nos dominus hodie coram alienigenis? Accipiamus arcam dei nostri è Selo, & egrediatur è medio nostri, & saluabit nos de manu inimicorum nostrorum. Et misit populus in Selo, & ferunt inde arcam dñi, sedentis in Cherubim. Et ambo filii Heli cum arca fœderis dei, Ophni & Phinees. Et factum est, ut uenit arca dñi in castra, & uociferatus est omnis Israel uoce magna, & sonuit terra. Et audierũt alienigenæ clamorem. Et dixerunt alienigenæ, Quis clamor magnus hic in castris Hebræorum? Et cognouerunt, qđ arca domini uenit in castra, & timuerunt alienigenæ. Et dixerunt, isti dii uenerunt ad eos, in castra, uæ nobis. Eripe nos domine hodie, quia non factum est sic heri et nudius tertius. Væ nobis. Quis eripiet nos de manu deorũ solidiorum istorũ? Hi sunt dii,

ἀβενέζερ. καὶ οἱ ἀλλόφυλοι παρεμβάλλουσιν ἐν ἀφέκ. καὶ παρατάσσονται ἀλλόφυλοι εἰς πόλεμον ἐπὶ ἰσραήλ. καὶ ἔκλινον ὁ πόλεμος, καὶ ἔπταισεν ἀνὴρ ἰσραὴλ ἐνώπιον ἀλλοφύλων. καὶ ἐπλήγησαν ἐν τῇ παρατάξει, ἐν ἀγρῷ τέσσαρες χιλιάδες ἀνδρῶν. καὶ ἦλθεν ὁ λαὸς εἰς τὴν παρεμβολήν. καὶ εἶπαν οἱ πρεσβύτεροι ἰσραήλ, κατὰ τί ἔπταισεν ἡμᾶς κύριος σήμερον ἐνώπιον ἀλλοφύλων; λάβωμεν τὴν κιβωτὸν τοῦ θεοῦ ἡμῶν ἐκ σηλώ, καὶ ἐξελθέτω ἐκ μέσου ἡμῶν, καὶ σώσει ἡμᾶς ἐκ χειρὸς ἐχθρῶν ἡμῶν. καὶ ἀπέστειλεν ὁ λαὸς εἰς σηλώ, καὶ αἴρουσιν ἐκεῖθεν τὴν κιβωτὸν κυρίου, καθημένου ἐπὶ χερουβείμ. καὶ ἀμφότεροι οἱ υἱοὶ ἠλὶ μετὰ τῆς κιβωτοῦ, ὀφνεὶ καὶ φινεές. καὶ ἐγενήθη, ὡς ἦλθεν ἡ κιβωτὸς κυρίου εἰς τὴν παρεμβολήν, καὶ ἀνέκραξε πᾶς ἰσραὴλ φωνῇ μεγάλῃ, καὶ ἤχησεν ἡ γῆ. καὶ ἤκουσαν οἱ ἀλλόφυλοι τῆς κραυγῆς. καὶ εἶπον οἱ ἀλλόφυλοι, τίς ἡ κραυγὴ ἡ μεγάλη αὕτη ἐν τῇ παρεμβολῇ τῶν ἑβραίων; καὶ ἔγνωσαν, ὅτι ἡ κιβωτὸς τοῦ κυρίου ἥκει εἰς τὴν παρεμβολήν, καὶ ἐφοβήθησαν οἱ ἀλλόφυλοι. καὶ εἶπον, οὗτοι οἱ θεοὶ ἥκασι πρὸς αὐτούς, εἰς τὴν παρεμβολήν, οὐαὶ ἡμῖν. ἐξελοῦ ἡμᾶς κύριε σήμερον, ὅτι οὐ γέγονε τοιαύτη ἐχθὲς καὶ τρίτην. οὐαὶ ἡμῖν. τίς ἐξελεῖται ἡμᾶς ἐκ χειρὸς τῶν θεῶν τῶν στερεῶν τούτων; οὗτοί εἰσιν

θεοὶ, οἱ πατάξαντες τὴν αἴγυ-
πτον ἐν πάσῃ πληγῇ, καὶ ἐν τῇ ἐ-
ρήμῳ. κραταιοῦσθε, καὶ γίνεσθε εἰς
ἄνδρας ἀλλόφυλοι, ὅπως μὴ δουλεύ-
σητε τοῖς ἑβραίοις, καθὼς ἐδούλευ-
σαν ἡμῖν. καὶ ἔσεσθε εἰς ἄνδρας,
καὶ πολεμήσατε αὐτούς. καὶ ἐπολέ-
μησαν αὐτούς, καὶ πταίει ἀνὴρ ἰσ-
ραὴλ ἐνώπιον ἀλλοφύλων. καὶ ἔ-
φυγον ἕκαστος εἰς τὸ σκήνωμα αὐ-
τοῦ, καὶ ἐγένετο πληγὴ μεγάλη σφό-
δρα. καὶ ἔπεσον ἐξ ἰσραὴλ τριάκον-
τα χιλιάδες ταγμάτων. καὶ ἡ κι-
βωτὸς τοῦ θεοῦ ἐλήφθη. καὶ ἀμφότε-
ροι υἱοὶ ἠλὶ ἀπέθανον, ὀφνὶ καὶ φι-
νεές. καὶ ἔδραμεν ἀνὴρ ἰεμιναῖος
ἐκ τῆς παρατάξεως, καὶ ἦλθεν εἰς ση-
λὼ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ τὰ ἱμά-
τια αὐτοῦ διεῤῥωγότα, καὶ γῆ ἐπὶ
τῆς κεφαλῆς αὐτοῦ. καὶ ἦλθε, καὶ ἰδοὺ,
ἠλὶ ἐκάθητο ἐπὶ τοῦ δίφρου αὐτοῦ,
παρὰ τὴν θύραν τῆς πόλεως, σκοπεύ-
ων τὴν ὁδὸν, ὅτι ἦν ἡ καρδία αὐτοῦ
ἐξεστηκυῖα περὶ τῆς κιβωτοῦ τοῦ θεοῦ.
καὶ ὁ ἄνθρωπος εἰσῆλθεν εἰς τὴν
πόλιν ἀπαγγεῖλαι, καὶ ἀνεβόησεν ὅλη
ἡ πόλις φωνὴν μεγάλην. καὶ ἤκουσεν
ἠλὶ τὴν φωνὴν τῆς βοῆς, καὶ εἶπε, τίς ἡ
φωνὴ τῆς βοῆς ταύτης; καὶ ὁ ἄνθρωπος
σπεύσας εἰσῆλθε, καὶ ἀπήγγειλε τῷ ἠ-
λί. καὶ ἠλὶ υἱὸς ἐνενήκοντα ἐτῶν, καὶ οἱ
ὀφθαλμοὶ αὐτοῦ ἐπανέστησαν, καὶ οὐκ ἐ-
πέβλεψε. καὶ εἶπεν ἠλὶ τοῖς ἀνδράσι
παρεστηκόσιν αὐτῷ, τίς ἡ φωνὴ τοῦ ἤχου
τούτου;

dii, qui percusserunt Ae-
gyptum in omni plaga, &
in deserto. Roboremini,
et estote in uiros alienige
næ, ut non seruiatis Hebræ
is, sicut seruierunt nobis.
Et estote in uiros, & bel-
lo inuadite eos. Et bello
inuaserunt eos, et offendit
uir Israel coram alienige-
nis. Et fugit unusquisque in
tabernaculum suum, & fa
cta est plaga magna ual
de. Et ceciderunt de Isra-
el triginta millia ordinũ.
Et arca dei capta est. Et
ambo filii Heli mortui
sunt, Ophni & Phinees.
Et cucurrit uir Ieminæus 2.Reg.1
ex acie, & uenit in Selo
in die illa, & uestes eius
discissæ, & terra super ca
put eius. Et uenit, & ecce
Heli sedebat in sella sua,
ad portam urbis, speculãs
uiam, quia erat cor eius
exterritum pro arca dei.
Et homo ingressus est in
ciuitatem, ad renuncian-
dum, & exclamauit tota
urbs uoce magna. Et au-
diuit Heli uocem clamo-
ris, & dixit, Quæ uox cla
moris huius? Et homo fe-
stinãs ingressus est, & re-
nunciauit Heli. Et Heli fi
lius nonaginta annorum,
& oculi eius excesserant,
& non inspiciebat. Et di
xit Heli uiris assistenti-
bus ei, Quæ uox, soni
huius?

huius? Et uir festinans accessit ad Heli, & dixit, Ego sum, qui ueni de castris. Et ego fugi ex acie belli hodie. Et dixit Heli, Quod factũ est uerbũ, fili. Et respondit puer, & dixit, Fugit uir Israel à facie alienigenarum. Et plaga magna facta est in populo. Et ambo filii tui mortui sunt. Et arca dei capta est. Et factum est, ut meminit arcæ dei, & cecidit à sella retro, hærẽs portæ. Et confractum est tergum eius, & mortuus est, quoniam senex homo & grauis. Et ipse iudicauit Israel quadraginta annos. Et nurus eius, uxor Phinees, quæ concepit, ut pareret, & audiuit nuncium, quod capta esset arca dei, & quod mortuus esset socer suus & uir suus, & fleuit, & peperit, quoniam conuersi fuerunt in eam dolores eius, & in tẽpore suo moritur. Et dixerũt ei mulieres assistentes ei, Ne timeas, quoniã filiũ peperisti. Et nõ respõdit, & non animaduertit cor suũ. Et uocauerũt puerũ, Væbarybarchaboth, pro arca dei & pro socerò suo, & pro uiro suo. Et dixerũt, Abiũcta est gloria Israel in eo, quod capta est arca dei.

Et

τούτου; καὶ ὁ ἀνὴρ σπεύσας προσῆλθε πρὸς ἡλὶ, καὶ εἶπον αὐτῷ, ἐγώ εἰμι ὁ ἥκων ἐκ τῆς παρεμβολῆς. κἀγὼ πέφευγα ἐκ τῆς παρατάξεως τοῦ πολέμου σήμερον. καὶ εἶπον ἡλὶ, τί τὸ γεγονὸς ῥῆμα, τέκνον. καὶ ἀπεκρίθη τὸ παιδάριον, καὶ εἶπε, πέφευγεν ἀνὴρ ἰσραὴλ ἐκ προσώπου ἀλλοφύλων. καὶ ἐγένετο πληγὴ μεγάλη ἐν τῷ λαῷ. καὶ ἀμφότεροι οἱ υἱοί σου τεθνήκασι. καὶ ἡ κιβωτὸς τοῦ θεοῦ ἐλήφθη. καὶ ἐγένετο, ὡς ἐμνήσθη τῆς κιβωτοῦ τοῦ θεοῦ, καὶ ἔπεσεν ἀπὸ τοῦ δίφρου ὀπισθίως, ἐχόμενος τῆς πύλης. καὶ συνετρίβη ὁ νῶτος αὐτοῦ, καὶ ἀπέθανεν, ὅτι πρεσβύτης ὁ ἄνθρωπος, καὶ βαρύς. καὶ αὐτὸς ἔκρινε τὸν ἰσραὴλ τεσσαράκοντα ἔτη. καὶ νύμφη αὐτοῦ, γυνὴ φινεὲς, συνειληφυῖα τοῦ τεκεῖν, καὶ ἤκουσε τὴν ἀγγελίαν, ὅτι ἐλήφθη ἡ κιβωτὸς τοῦ θεοῦ, καὶ ὅτι τέθνηκεν ὁ πενθερὸς αὐτῆς, καὶ ὁ ἀνὴρ αὐτῆς, καὶ ἔκλαυσε, καὶ ἔτεκεν, ὅτι ἐπεστράφησαν ἐπ' αὐτὴν ὠδῖνες αὐτῆς, καὶ ἐν τῷ καιρῷ αὐτῆς ἀποθνήσκει. καὶ εἶπαν αὐτῇ αἱ γυναῖκες παρεστηκυῖαι αὐτῇ, μὴ φοβοῦ, ὅτι υἱὸν τέτοκας. καὶ οὐκ ἀπεκρίθη, καὶ οὐκ ἐνόησεν ἡ καρδία αὐτῆς. καὶ ἐκάλεσαν τὸ παιδάριον οὐαιβαρυβαρχαβώθ, ὑπὲρ τῆς κιβωτοῦ τοῦ θεοῦ, καὶ ὑπὲρ τοῦ πενθεροῦ αὐτῆς, καὶ ὑπὲρ τοῦ ἀνδρὸς αὐτῆς. καὶ εἶπαν, ἀπῴκισται δόξα ἰσραὴλ, ἐν τῷ ληφθῆναι τὴν κιβωτὸν τοῦ θεοῦ.

Καὶ

Καὶ ἔλαβον οἱ ἀλλόφυλοι τὴν κι-
βωτὸν τοῦ θεοῦ, καὶ εἰσήνεγκαν αὐτὴν
ἐξ ἀβενέζερ εἰς ἄζωτον. καὶ ἔλαβον
οἱ ἀλλόφυλοι τὴν κιβωτὸν κυρίου, καὶ
εἰσήνεγκαν αὐτὴν εἰς οἶκον δαγὼν,
καὶ κατέστησαν αὐτὴν παρὰ δαγών.
καὶ ὤρθρισαν οἱ ἀζώτιοι τῇ ἐπαύριον,
καὶ εἰσῆλθον εἰς οἶκον δαγὼν, καὶ
εἶδον. καὶ ἰδοὺ, δαγὼν πεπτωκὼς
ἐπὶ πρόσωπον αὐτοῦ, ἐνώπιον τῆς
κιβωτοῦ θεοῦ. καὶ ἤγειραν τὸν δαγὼν,
καὶ κατέστησαν αὐτὸν εἰς τὸν τόπον
αὐτοῦ. καὶ ἐβαρύνθη ἡ χεὶρ κυρίου ἐπὶ
τοὺς ἀζωτίους, καὶ ἐβασάνισεν αὐ-
τοὺς, καὶ ἐπάταξεν αὐτοὺς εἰς τὰς
ἕδρας αὐτῶν, τὴν ἄζωτον καὶ τὰ ὅ-
ρια αὐτῆς. καὶ ἐγένετο, ὅτε ὤρθρισαν
τὸ πρωὶ, καὶ ἰδοὺ δαγὼν πεπτω-
κὼς ἐπὶ πρόσωπον αὐτοῦ, ἐπὶ τὴν
γῆν, ἐνώπιον τῆς κιβωτοῦ διαθήκης
κυρίου. καὶ ἡ κεφαλὴ δαγὼν, καὶ ἀμ-
φότερα τὰ ἴχνη τῶν ποδῶν αὐτοῦ ἀ-
φῃρημένα, ἐπὶ τὰ ἐμπρόσθια τῶν στα-
θμῶν, ἀφεθὲν ἕκαστον, καὶ ἀμφότε-
ροι οἱ καρποὶ τῶν χειρῶν αὐτοῦ πεπτω-
κότες ἐπὶ τὸ πρόθυρον. πλὴν ἡ ῥά-
χις δαγὼν ὑπελείφθη. διὰ τοῦτο οὐκ
ἐπιβαίνουσιν οἱ ἱερεῖς δαγὼν, καὶ πᾶς
ὁ εἰσπορευόμενος εἰς οἶκον δαγὼν,
ἐπὶ βαθμὸν οἴκου δαγὼν ἐν ἀζώτῳ,
ἕως τῆς ἡμέρας ταύτης, ὅτι ὑπερβαί-
νοντες ὑπερβαίνουσι. καὶ ἐβαρύν-
θη ἡ χεὶρ κυρίου ἐπὶ ἄζωτον, καὶ ἐπή-
γαγεν αὐτοῖς, καὶ ἐξέζεσεν αὐτοῖς
εἰς

Cap.V
Et tulerunt alienigenæ arcam dei, & asportauerunt eam ex Abenezer in Azotum. Et tulerunt alienigenæ arcam domini, & intulerunt eam in domum Dagon, & constituerunt eam iuxta Dagon. Et surrexerūt mane Azotij crastino die, & ingressi sunt in domum Dagon, & uiderunt. Et ecce, Dagon cadens in faciem suam, ante arcam dei. Et leuauerunt Dagon, & restituerunt eum in locum suum. Et grauata est manus domini in Azotios, & torsit Azotios, & percussit eos in natibus eorum, Azotū & terminos eius. Et factum est, ut surrexerūt mane diluculo, & ecce, Dagon procidens in faciem suam, in terram, coram arca fœderis domini. Et caput Dagon, & ambo uestigia pedum eius abscisa, super anteriora liminum, abiunctum quodlibet, & ambæ iuncturæ manuum eius iacentes super limen. Verū scapula Dagon relicta est. Propter hoc non ascendunt sacerdotes Dagon, & omnis qui ingreditur in domum Dagon, super limen domus Dagō in Azoto, usque in diem hunc, quia transilientes transiliunt. Et grauata est manus dñi in Azotū, et induxit eis, & efferbuit eis

in naues. Et medium regionis eorum, exorti sunt mures. Et erat commixtio mortis magna in urbe. Et uiderunt uiri Azoti, quod sic, & dicunt, Quod non sedebit arca dei Israel nobiscum. Quoniam dura manus eius super nos, & super Dagon deum nostrum. Et emittunt, & congregant satrapas alienigenarum ad seipsos. Et dicunt, Quid faciemus arcæ dei Israel? Et dicunt Getthæi, Transeat arca dei Israel ad nos, in Geth. Et transijt arca dei Israel in Geth. Et factum est, postquam transierat ea, & fit manus domini in ciuitate, turba magna ualde. Et percussit uiros ciuitatis, à paruo usq; ad magnum, & percussit eos in nates eorum. Et fecerunt Getthæi sibijpsis nates, & ablegant arcam dei in Ascalona. Et factū est, ut intrauit arca dei in Ascalona, & exclamauerunt Ascalonitę, dicentes, Quid auertistis arcam dei Israel ad nos, ut interficiat nos et populum nostrum? Et emittunt, & congregant omnes satrapas alienigenarum. Et dixerunt, Ablegate arcā dei Israel, & restituatur in locū suū,

&

εἰς τὰς ναῦς. καὶ μέσον τῆς χώρας αὐτῶν ἀνεφύησαν μύες. καὶ ἐγένετο σύγχυσις θανάτου μεγάλη ἐν τῇ πόλει. καὶ εἶδον οἱ ἄνδρες ἀζώτου, ὅτι οὕτως, καὶ λέγουσιν, ὅτι οὐ καθήσεται ἡ κιβωτὸς τοῦ θεοῦ ἰσραὴλ μεθ' ἡμῶν. ὅτι σκληρὰ χεὶρ αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐπὶ δαγὼν τὸν θεὸν ἡμῶν. καὶ ἀποστέλλουσι, καὶ συνάγουσι τοὺς σατράπας τῶν ἀλλοφύλων πρὸς αὐτούς. καὶ λέγουσι, τί ποιήσομεν τῇ κιβωτῷ θεοῦ ἰσραήλ; καὶ εἶπαν οἱ γεθθαῖοι, μετελθέτω κιβωτὸς τοῦ θεοῦ ἰσραὴλ πρὸς ἡμᾶς, εἰς γέθ. καὶ μετῆλθεν ἡ κιβωτὸς τοῦ θεοῦ ἰσραὴλ εἰς γέθ. καὶ ἐγενήθη μετὰ τὸ μετελθεῖν αὐτήν, καὶ γίνεται χεὶρ κυρίου ἐν τῇ πόλει, τάραχος μέγας σφόδρα. καὶ ἐπάταξε τοὺς ἄνδρας τῆς πόλεως, ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ ἐπάταξεν αὐτοὺς εἰς τὰς ἕδρας αὐτῶν. καὶ ἐποίησαν οἱ γεθθαῖοι ἑαυτοῖς ἕδρας, καὶ ἐξαποστέλλουσι τὴν κιβωτὸν τοῦ θεοῦ εἰς ἀσκάλωνα. καὶ ἐγενήθη, ὡς εἰσῆλθεν ἡ κιβωτὸς τοῦ θεοῦ ἰσραὴλ εἰς ἀσκάλωνα, καὶ ἀνεβόησαν οἱ ἀσκαλωνῖται, λέγοντες, τί ἀπεστρέψατε τὴν κιβωτὸν τοῦ θεοῦ ἰσραὴλ πρὸς ἡμᾶς, θανατῶσαι ἡμᾶς καὶ τὸν λαὸν ἡμῶν; καὶ ἀποστέλλουσι, καὶ συνάγουσι πάντας τοὺς σατράπας τῶν ἀλλοφύλων. καὶ εἶπαν, ἐξαποστείλατε τὴν κιβωτὸν τοῦ θεοῦ ἰσραήλ. καὶ ἀποκατασταθήτω εἰς τὸν τόπον αὐτῆς,

καὶ

καὶ οὐ μὴ θανατώσῃ ἡμᾶς καὶ τὸν λαὸν ἡμῶν. ὅτι ἐγενήθη σύγχυσις θανάτου ἐν ὅλῃ τῇ πόλει βαρεῖα σφόδρα, ὡς εἰσῆλθεν ἡ κιβωτὸς θεοῦ ἰσραὴλ ἐκεῖ, καὶ οἱ ζῶντες καὶ οὐκ ἀποθανόντες ἐπλήγησαν εἰς τὰς ἕδρας, καὶ ἀνέβη ἡ κραυγὴ τῆς πόλεως εἰς τὸν οὐρανόν.

Καὶ ἦν ἡ κιβωτὸς κυρίου ἐν ἀγρῷ τῶν ἀλλοφύλων ἑπτὰ μῆνας, καὶ ἐξέζεσεν ἡ γῆ αὐτῶν μύας. Καὶ καλοῦσιν οἱ ἀλλόφυλοι τοὺς ἱερεῖς καὶ τοὺς μάντεις καὶ τοὺς ἐπαοιδοὺς αὐτῶν, λέγοντες, τί ποιήσωμεν τῇ κιβωτῷ τοῦ κυρίου; γνωρίσατε ἡμῖν, καὶ ἐν τίνι ἀποστελοῦμεν αὐτὴν εἰς τὸν τόπον αὐτῆς; καὶ εἶπαν, εἰ ἐξαποστέλλετε ὑμεῖς τὴν κιβωτὸν διαθήκης κυρίου θεοῦ ἰσραήλ, μὴ δὴ ἐξαποστείλητε αὐτὴν κενήν. ἀλλὰ ἀποδιδόντες ἀποδότε αὐτῇ τὸ τῆς βασάνου, καὶ τότε ἰαθήσεσθε, καὶ ἐξιλασθήσεται ὑμῖν, μὴ οὐκ ἀποστῇ χεὶρ αὐτοῦ ἀφ᾽ ὑμῶν. καὶ λέγουσι, τί τὸ τῆς βασάνου ἀποδώσομεν αὐτῇ; καὶ εἶπαν, κατὰ ἀριθμὸν τῶν σατραπειῶν τῶν ἀλλοφύλων πέντε ἕδρας χρυσᾶς, ὅτι πταῖσμα ἐν ὑμῖν καὶ τοῖς ἄρχουσιν ὑμῶν καὶ τῷ λαῷ, καὶ μύας χρυσοῦς, ὁμοίωμα τῶν ἑδρῶν ὑμῶν καὶ ὁμοίωμα τῶν μυῶν ὑμῶν τῶν διαφθειρόντων τὴν γῆν· καὶ δώσετε τῷ κυρίῳ δόξαν, ὅπως κουφίσητε τὴν χεῖρα αὐτοῦ ἀφ᾽ ὑμῶν, καὶ ἀπὸ

τῶν

& non interficiat nos & populum nostrum. Quoniam facta est commixtio mortis in tota urbe grauis ualde, ut ingressa est arca dei Israel illuc. Et uiui & non mortui percussi fuerunt in nates, & ascendit ululatus ciuitatis usque in coelum.

Cap. VI. Et fuit arca domini in agro alienigenarum septem menses, & efferbuit terra eorum mures. Et uocant alienigenæ sacerdotes & uates & incantatores suos, dicentes, Quid faciemus arcæ domini? Indicate nobis, in quo ablegemus eam in locum suũ? Et dixerunt, Si remittitis uos arcam fœderis domini dei Israel, non iam ablegetis eam uacuã. Sed reddentes reddite ei pro tormento, & tunc curabimini, et placabitur uobis, ne non desistat manus eius à uobis. Et dicunt, Quid pro tormento reddemus ei? Et dixerunt, Iuxta numerum prouinciarum alienigenarum quinque nates aureas, quoniam error in uobis & principibus uestris & populo, & mures aureas, similitudinem natium uestrarum & similitudinem murium uestrorum corrumpentium terram. Et dabitis domino gloriam, ut leuetis manum eius à uobis & à

b 2 dijs

dijs uestris, & à terra uestra. Et quare grauatis corda uestra, ut grauauit Ægyptus & Pharao corda eorum. Non'ne quando illuserunt eis, emiserunt eos, & abierunt? Et accipite nunc, & facite plaustrũ nouum unum, et duas uaccas primo enixas sine foetibus, & iungite uaccas in plaustro, & foetum earum ducite à tergo earũ, in domum. Et accipietis arcam, & ponetis eam in plaustrum. Et opera aurea reddetis ei pro tormẽto, & ponetis in uase Bersecathan, ex parte eius, & ablegabitis eam. Et abibit, & uidebitis, an in uia termini eius incedet uersus Bæthasamys, ipse fecit nobis malitiã mgnã hãc. Et si non, & cognoscemus, quod non manus eius tetigit nos, sed casus hic fuit nobis. Et fecerũt alienigenæ sic. Et acceperunt duas uaccas primo enixas, & iunxerunt eas in plaustro, & foetus earũ secluserunt in domum. Et posuerunt arcam domini in plaustrum, & themaergaz & mures aureos, & similitudines natium eorum. Et rectà incesserunt uaccæ in uia, in uiam Bæthsamys in semita, in qua ibãt, & laborabãt, &

non

τοῦ θεῶν ὑμῶν, καὶ ἀπὸ τῆς γῆς ὑμῶν. καὶ ἵνα τί βαρύνετε τὰς καρδίας ὑμῶν, ὡς ἐβάρυνεν Αἴγυπτος καὶ φαραὼ τὰς καρδίας αὐτοῦ. οὐχὶ ὅτε ἐνέπαιξαν αὐτοῖς, ἐξαπέστειλαν αὐτοὺς, καὶ ἀπῆλθον; καὶ λάβετε νῦν, καὶ ποιήσατε ἅμαξαν καινὴν μίαν, καὶ δύο βόας πρωτοτοκούσας, ἄνευ τῶν τέκνων, καὶ ζεύξατε τὰς βόας ἐν τῇ ἁμάξῃ, καὶ ἀπαγάγετε τὰ τέκνα αὐτῶν ἀπὸ ὄπισθεν αὐτοῦ, εἰς οἶκον. καὶ λήψεσθε τὴν κιβωτὸν, καὶ θήσετε αὐτὴν ἐπὶ τὴν ἅμαξαν. καὶ τὰ σκεύη τὰ χρυσᾶ ἀποδώσετε αὐτῇ τῆς βασάνου, καὶ θήσετε ἐν θέματι βορσεικαθὰμ, ἐκ μέρους αὐτῆς, καὶ ἐξαποστελεῖτε αὐτήν. καὶ ἀπελεύσεται, καὶ ὄψεσθε, εἰ ἐν ὁδῷ ὁρίου αὐτῆς πορεύσεται κατὰ βαιθσαμῦς, αὐτὸς πεποίηκεν ἡμῖν τὴν κακίαν τὴν μεγάλην ταύτην. καὶ ἐὰν μὴ, καὶ γνωσόμεθα, ὅτι οὐχ ἡ χεὶρ αὐτοῦ ἧπται ἡμῶν, ἀλλὰ σύμπτωμα τοῦτο γέγονεν ἡμῖν. καὶ ἐποίησαν οἱ ἀλλόφυλοι οὕτω. καὶ ἔλαβον δύο βόας πρωτοτοκούσας, καὶ ἔζευξαν αὐτὰς ἐν τῇ ἁμάξῃ, καὶ τὰ τέκνα αὐτῶν ἀπέκλεισαν εἰς οἶκον. καὶ ἔθεντο τὴν κιβωτὸν κυρίου ἐπὶ τὴν ἅμαξαν. καὶ τὸ θέμα ἐργὰζ, καὶ τοὺς μῦς χρυσοῦς. καὶ τὰ ὁμοιώματα τῶν ἑδρῶν αὐτῶν. καὶ κατεύθυναν αἱ βόες ἐν τῇ ὁδῷ, εἰς ὁδὸν βαιθσαμῦς, ἐν τρίβῳ, ἐν ᾗ ἐπορεύοντο, καὶ ἐκοπίων, καὶ

οὐ

ο μεθίστατο ἐπὶ δεξιὰ οὐδὲ ἀριστερά. καὶ οἱ σατράπαι τῶν ἀλλοφύλων ἐπορεύοντο ὀπίσω αὐτῆς, ἕως ὁρίων Βαιθσαμῦς. καὶ οἱ ἐν Βαιθσαμῦς ἐθέριζον θερισμὸν πυρῶν ἐν τῇ κοιλάδι, καὶ ἦραν τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ εἶδον τὴν κιβωτὸν κυρίου, καὶ ηὐφράνθησαν εἰς ἀπάντησιν αὐτῆς. καὶ ἡ ἅμαξα εἰσῆλθεν εἰς ἀγρὸν Ὠσηὲ τὸν ἐν Βαιθσαμῦς, καὶ ἔστησαν ἐκεῖ παρ' αὐτῇ λίθον μέγαν. καὶ σχίζουσι τὰ ξύλα τῆς ἁμάξης, καὶ τὰς βόας ἀνήνεγκαν εἰς ὁλοκαύτωσιν τῷ κυρίῳ. καὶ οἱ λευῖται ἀνήνεγκαν τὴν κιβωτὸν κυρίου καὶ τὸ θεμαργὰζ μετ' αὐτῆς, καὶ τὰ ἐπ' αὐτῆς σκεύη τὰ χρυσᾶ, καὶ ἔθεντο ἐπὶ τοῦ λίθου τοῦ μεγάλου. καὶ οἱ ἄνδρες Βαιθσαμῦς ἀνήνεγκαν ὁλοκαυτώσεις, καὶ ἔθυσαν θυσίας ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τῷ κυρίῳ. καὶ οἱ πέντε σατράπαι τῶν ἀλλοφύλων ἑώρων, καὶ ἀνέστρεψαν εἰς Ἀκκαρὼν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ αὗται αἱ ἕδραι αἱ χρυσαῖ, ἃς ἀπέδωκαν οἱ ἀλλόφυλοι τῆς βασάνου τῷ κυρίῳ, τῆς Ἀζώτου μίαν, τῆς Γάζης μίαν, τῆς Ἀσκάλωνος μίαν, τῆς Γὲθ μίαν, τῆς Ἀκκαρὼν μίαν. καὶ μῦς οἱ χρυσοῖ, κατ' ἀριθμὸν πασῶν τῶν πόλεων τῶν ἀλλοφύλων, τῶν πέντε σατραπειῶν, ἐκ πόλεως ἐστερεωμένης, καὶ ἕως κώμης τοῦ Φερεζαίου, καὶ ἕως λίθου τοῦ μεγάλου, οὗ ἐπέθηκαν ἐπ' αὐτοῦ τὴν κιβωτὸν

διαθή

non declinarunt ad dextram neque sinistram. Et satrapæ alienigenarum incedebant post ipsam usque ad terminos Bæthsamys. Et qui in Bethsamys metebant messem triticorum in ualle, & leuauerunt oculos suos, & uiderunt arcam domini, et gauisi sunt in obuiationem eius. Et plaustrum intrauit in agrũ Osee, qui in Bæthsamys, & statuerunt ibi apud eam lapidem magnum. Et sciderunt ligna plaustri, & uaccas obtulerunt in holocaustũ domino. Et Leuitę obtulerunt arcam domini, & themaergaz cum ea, & quæ in ea uasa aurea, & posuerunt in lapide magno. Et uiri Bethsamys obtulerũt holocausta, & mactarunt uictimã in die illa domino. Et quinque satrapæ alienigenarum uiderunt, & reuersi sunt in Accaron in die illa. Et hæ nates aureæ, quas reddiderunt alienigenæ pro tormento domino, Azoti unam, Gazes unam, Ascalonis unam, Geth unam, Accaron unam. Et mures aurei secundum numerũ omnium urbium quinque prouinciarum, ab urbe firmata, & usque ad uillam Pherezæi, & usque ad lapidem magnum, ubi imposuerunt in ipsam arcam

fœderis domini, usque ad diem hunc, in agro Osee Bæthsamysitę. Et non gauisi sunt filij Iechoniæ in uiris Bethsamys, quia uiderunt arcam domini. Et percussit in eis septuaginta uiros, & quinquaginta milia uirorū ex populo. Et luxit populus, quia percussit dñs in populo plaga magna ualde. Et dixerunt uiri ex Bæthsamys, Quis poterit transire in conspectu Domini dei sancti huius? Et ad quem ascendet arca fœderis domini à nobis? Et mittunt nuncios ad inhabitantes Cariathiarim, dicentes, Reduxerunt alienigenæ arcam domini, descendite, & reducite eam ad uosipsos.

Cap. VII Et ueniunt uiri Cariathiarim, & reducunt arcam fœderis domini. Et induxerunt eam in domū Aminadab quæ in colle, & Eleazar filiū eius sanctificauerunt, ut custodiret arcā fœderis domini. Et factum est, ex qua die fuit arca in Cariathiarim, multiplicati sunt dies, & fuerunt uiginti anni. Et inspexerūt omnis domus Israel post dominum. Et dixit Samuel ad uniuersam domum Israel, dicens,

Iosue 24 Si in toto corde uestro uos reuertimini ad dominū, auferte deos alienos è medio

διαθήκης κυρίου, ἕως τῆς ἡμέρας ταύτης, ἐν ἀγρῷ ὡσηὲ τοῦ βαιθσαμυσίτου. καὶ οὐκ ἠσμένισαν οἱ υἱοὶ ἰεχονίου ἐν τοῖς ἀνδράσι βαιθσαμύς, ὅτι εἶδον τὴν κιβωτὸν κυρίου. καὶ ἐπάταξεν ἐν αὐτοῖς ἑβδομήκοντα ἄνδρας καὶ πεντήκοντα χιλιάδας ἀνδρῶν. καὶ ἐπένθησεν ὁ λαὸς, ὅτι ἐπάταξε κύριος ἐν τῷ λαῷ πληγὴν μεγάλην σφόδρα. καὶ εἶπαν οἱ ἄνδρες οἱ ἐκ βαιθσαμύς, τίς δυνήσεται διελθεῖν ἐνώπιον κυρίου τοῦ θεοῦ τοῦ ἁγίου τούτου; καὶ πρὸς τίνα ἀναβήσεται ἡ κιβωτὸς διαθήκης κυρίου ἀφ' ἡμῶν; καὶ ἀποστέλλουσιν ἀγγέλους πρὸς τοὺς κατοικοῦντας καριαθιαρίμ, λέγοντες, ἀπεστρέφασιν οἱ ἀλλόφυλοι τὴν κιβωτὸν κυρίου, κατάβητε, καὶ ἀναγάγετε αὐτὴν πρὸς ἑαυτούς.

Καὶ ἔρχονται οἱ ἄνδρες καριαθιαρίμ, καὶ ἀνάγουσι τὴν κιβωτὸν διαθήκης κυρίου. καὶ εἰσάγουσιν αὐτὴν εἰς οἶκον ἀμιναδὰβ τὸν ἐν τῷ βουνῷ, καὶ τὸν ἐλεάζαρ τὸν υἱὸν αὐτοῦ ἡγίασαν φυλάσσειν τὴν κιβωτὸν διαθήκης κυρίου. καὶ ἐγενήθη ἀφ' ἧς ἡμέρας ἦν ἡ κιβωτὸς ἐν καριαθιαρίμ, ἐπληθύνθησαν αἱ ἡμέραι, καὶ ἐγένετο εἴκοσι ἔτη. καὶ ἐπέβλεψε πᾶς οἶκος ἰσραὴλ ὀπίσω κυρίου. καὶ εἶπε σαμουὴλ πρὸς πάντα οἶκον ἰσραὴλ, λέγων, εἰ ἐν ὅλῃ καρδίᾳ ὑμῶν ὑμεῖς ἐπιστρέφετε πρὸς κύριον, περιέλετε τοὺς θεοὺς τοὺς ἀλλοτρίους ἐκ μέσου

μέσου ὑμῶν, καὶ τὰ ἄλση. καὶ ἑτοιμάσατε τὰς καρδίας ὑμῶν πρὸς κύριον, καὶ δουλεύσατε αὐτῷ μόνῳ, καὶ ἐξελεῖται ὑμᾶς ἐκ χειρὸς ἀλλοφύλων. καὶ περιεῖλον οἱ υἱοὶ ἰσραὴλ τὰς βααλείμ, καὶ τὰ ἄλση ἀσταρὼθ, καὶ ἐδούλευσαν τῷ κυρίῳ μόνῳ. καὶ εἶπε σαμουήλ, ἀθροίσατε πρός με τὸν πάντα ἰσραὴλ εἰς μασσηφὰ, καὶ προσεύξομαι περὶ ὑμῶν πρὸς κύριον. καὶ συνήχθη ὁ λαὸς εἰς μασσηφὰ, καὶ ὑδρεύσαντο ὕδωρ, καὶ ἐξέχεαν ἐνώπιον κυρίου ἐπὶ τὴν γῆν, καὶ ἐνήστευσαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ εἶπαν, ἡμαρτήκαμεν ἐνώπιον κυρίου. καὶ ἐδίκαζε σαμουὴλ τοὺς υἱοὺς ἰσραὴλ εἰς μασσηφά. καὶ ἤκουσαν οἱ ἀλλόφυλοι, ὅτι συνηθροίσθησαν πάντες οἱ υἱοὶ ἰσραὴλ εἰς μασσηφὰ, καὶ ἀνέβησαν σατράπαι τῶν ἀλλοφύλων ἐπὶ ἰσραήλ. καὶ ἀκούουσιν οἱ υἱοὶ ἰσραὴλ, καὶ ἐφοβήθησαν ἀπὸ προσώπου ἀλλοφύλων. καὶ εἶπαν οἱ υἱοὶ ἰσραὴλ πρὸς σαμουήλ, μὴ παρασιωπήσῃς ἀφ᾽ ἡμῶν, τοῦ μὴ βοᾶν σαμουὴλ πρὸς κύριον θεόν σου, καὶ σώσει ἡμᾶς ἐκ χειρὸς ἀλλοφύλων. καὶ εἶπε σαμουήλ, μή μοι γένοιτο ἀποστῆναι ἀπὸ κυρίου θεοῦ μου, τοῦ μὴ βοᾶν περὶ ὑμῶν προσευχόμενον. καὶ ἔλαβε σαμουὴλ ἄρνα γαλαθηνὸν ἕνα, καὶ ἀνήνεγκεν αὐτὸν ὁλοκαύτωσιν σὺν παντὶ τῷ λαῷ, τῷ κυρίῳ. καὶ ἐβόησε σαμουὴλ

medio uestri, & lucos. Et parate corda uestra ad dominum, & seruite ei soli, & eruet uos de manu alienigenarum. Et abstulerunt filij Israel Baalim & lucos Astaroth, & seruierunt domino soli. Et dixit Samuel, Congregate uniuersum Israel in Massepha, & orabo pro uobis ad dominum. Et collectus est populus in Massepha & hauserunt aquam, & effuderunt in conspectu domini super terram. Et ieiunauerunt in die illa, & dixerunt, Peccauimus domino. Et iudicauit Samuel filios Israel in Massepha. Et audierunt alienigenæ, quod congregati erant omnes filii Israel in Massepha, & ascenderūt satrapę alienigenarum ad Israel. Et audiunt filij Israel, & timuerunt à facie alienigenarum. Et dixerūt filij Israel ad Samuel, Ne conticescas à nobis, ut non clames ad dominum deum tuū, & saluabit nos de manu alienigenarum. Et dixit Samuel, Non mihi sit, ut desistam à domino deo meo, ut non clamem pro uobis adorans. Et cepit Samuel agnum lactantem unum, & obrulit eum holocaustum cum uniuerso populo, domino. Et clamauit Samuel

ad dominum pro Iſrael, & exaudiuit eum domi-nus. Et erat Samuel offe-rens holocauſtum, & alie-nigenæ profecti ſunt in bellum contra Iſrael. Et intonuit dominus in uoce magna, in die illa, in alie-nigenas, & confuſi ſunt, et offenderunt in conſpectu Iſrael. Et egreſſi ſunt uiri Iſrael ex Maſſepha, & pſequuti ſunt alienigenas, & percuſſerunt eos uſque ad infra Bæthchor. Et ce-pit Samuel lapidem unũ, & ſtatuit eum inter Maſ-ſepha & inter antiquam, & uocauit nomen eius, Abenezer, quod ſignificat, lapis adiutoris. Et di-xit, Hucuſque auxiliatus eſt nobis dominus. Et hu-miliauit dñs alienigenas, et nõ appoſuerũt ultra in-uadere in terminum Iſra-el. Et fuit manus domini in alienigenas omnibus diebus Samuel. Et reddi-tæ ſunt urbes, quas abſtu-lerant alienigenæ à filiis Iſrael. Et reddiderunt eas Iſrael ab Accaron uſque Geth. Et terminum Iſrael abſtulerunt è manu alie-nigenarum. Et erat pax in ter Iſrael & inter Amor-rhęũ. Et iudicauit Samuel Iſrael cunctis diebus uitæ ſuę. Et ꝓficiſcebat̃ ꝑ ſingu los annos, et circuibat Bæ thel

πρὸς κύριον περὶ ἰσραὴλ, καὶ ἐπή-κουσεν αὐτοῦ κύριος. καὶ ἦν σαμουὴλ ἀναφέρων τὴν ὁλοκαύτωσιν, καὶ ἀλ-λόφυλοι προσῆγαγον εἰς πόλεμον ἐπὶ ἰσραήλ. καὶ ἐβρόντησε κύριος ἐν φωνῇ μεγάλῃ, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐπὶ τοὺς ἀλλοφύλους, καὶ συνεχύθησαν, καὶ ἔπταισαν ἐνώπιον ἰσραήλ. καὶ ἐξῆλθον ἄνδρες ἰσραὴλ ἐκ μασση-φὰ, καὶ κατεδίωξαν τοὺς ἀλλοφύλους, καὶ ἐπάταξαν αὐτοὺς ἕως ὑποκάτω τοῦ βαιθχώρ. καὶ ἔλαβε σαμουὴλ λί-θον ἕνα, καὶ ἔστησεν αὐτὸν ἀνὰ μέ-σον μασσηφὰ, καὶ ἀνὰ μέσον τῆς πα-λαιᾶς, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ, ἀβενέζερ, ὃ σημαίνει λίθος τοῦ βοη-θοῦ. καὶ εἶπον, ἕως ἐνταῦθα ἐβοή-θησεν ἡμῖν κύριος. καὶ ἐταπεί-νωσε κύριος τοὺς ἀλλοφύλους, καὶ οὐ προσέθεντο ἔτι ἐπελθεῖν εἰς ὅ-ριον ἰσραήλ. καὶ ἐγενήθη χεὶρ κυ-ρίου ἐπὶ τοὺς ἀλλοφύλους πάσας τὰς ἡμέρας τοῦ σαμουήλ. καὶ ἀ-πεδόθησαν αἱ πόλεις, ἃς ἔλαβον οἱ ἀλλόφυλοι παρὰ τῶν υἱῶν ἰσρα-ήλ. καὶ ἀπέδωκαν αὐτὰς τῷ ἰ-σραὴλ ἀπὸ ἀκκαρὼν ἕως γέθ. καὶ τὸ ὅριον ἰσραὴλ ἀφείλοντο ἐκ χει-ρὸς ἀλλοφύλων. καὶ ἦν εἰρήνη ἀνὰ μέσον τοῦ ἰσραὴλ, καὶ ἀνὰ μέσον τοῦ ἀμορραίου. καὶ ἐδίκαζε σαμου-ὴλ τὸν ἰσραὴλ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ. καὶ ἐπορεύετο κατ' ἐνιαυτὸν ἐνιαυτοῦ, καὶ ἐκύκλου βαι θὴλ

θὴλ, καὶ τὴν γαλγαλὰ, καὶ τὴν μασσηφά. καὶ ἐδίκαζε τὸν ἰσραὴλ ἐν πᾶσι τοῖς ἡγιασμένοις τούτοις. ἡ δὲ ἀποστροφὴ αὐτοῦ εἰς ἀρμαθαὶμ, ὅτι ἐκεῖ ἦν ὁ οἶκος αὐτοῦ. καὶ ἐδίκαζεν ἐκεῖ τὸν ἰσραὴλ, καὶ ᾠκοδόμησεν ἐκεῖ θυσιαστήριον τῷ κυρίῳ.

Καὶ ἐγένετο, ὡς ἐγήρασε σαμουὴλ, καὶ κατέστησε τοὺς υἱοὺς αὐτοῦ δικαστὰς τοῦ ἰσραήλ. καὶ ταῦτα τὰ ὀνόματα τῶν υἱῶν αὐτοῦ. πρωτότοκος ἰωὴλ, καὶ ὄνομα τοῦ δευτέρου ἀβιὰ, δικασταὶ ἐν βηρσαβεὲ. καὶ οὐκ ἐπορεύθησαν οἱ υἱοὶ αὐτοῦ ἐν ὁδῷ αὐτοῦ, καὶ ἐξέκλιναν ὀπίσω τῆς συντελείας. καὶ ἐλάμβανον δῶρα, καὶ ἐξέκλινον δικαιώματα. καὶ συναθροίζονται ἄνδρες ἰσραὴλ, καὶ παραγίνονται εἰς ἀρμαθαὶμ πρὸς σαμουήλ. καὶ εἶπαν αὐτῷ, ἰδοὺ, σὺ γεγήρακας, καὶ οἱ υἱοί σου οὐ πορεύονται ἐν τῇ ὁδῷ σου. καὶ νῦν κατάστησον ἐφ᾽ ἡμᾶς βασιλέα, δικάζειν ἡμᾶς καθὰ καὶ τὰ λοιπὰ ἔθνη. καὶ ἦν πονηρὸν τὸ ῥῆμα ἐν ὀφθαλμοῖς σαμουὴλ, ὡς εἶπαν, δὸς ἡμῖν βασιλέα, δικάζειν ἡμᾶς. καὶ προσηύξατο σαμουὴλ πρὸς κύριον. καὶ εἶπε κύριος πρὸς σαμουὴλ, ἄκουε τῆς φωνῆς τοῦ λαοῦ, καθὰ ἂν λαλῶσι πρός σε. ὅτι οὐ σὲ ἐξουθενήκασιν, ἀλλ᾽ ἢ ἐμὲ ἐξουθενήκασι, τοῦ μὴ βασιλεύειν ἐπ᾽ αὐτῶν, κατὰ πάντα τὰ ποιήματα, ἃ

ἐποίη-

thel, & Galgala, & Maſſepha. Et iudicabat Iſrael in omnibus ſanctificatis iſtis. At reuerſio eius in Armathaim, quoniam ibi erat domus eius. Et iudicabat ibi Iſrael, & ædificauit ibi altare domino.

Cap. VIII

Et factum eſt, ut ſenuit Samuel, et conſtituit filios ſuos iudices Iſrael. Et hæc nomina filiorum eius. Primogenitus Ioel, & nomen ſecundi Abia, iudices in Berſabee. Et non ambulauerunt filii eius in uia eius, & declinauerunt poſt emolumentum. Et acceperunt munera, & peruerterunt iudicia. Et congregantur uiri Iſrael, & ueniunt in Armathaim ad Samuel. Et dicunt ei, Ecce tu ſenuiſti, & filij tui non ambulant in uia tua. Et nunc conſtitue ſuper nos regem, ut iudicet nos, ſicut & reliquæ gentes. Et fuit malus ſermo in oculis Samuel, ut dixerunt, Da nobis regẽ, ut iudicet nos. Et orauit Samuel ad dominum. Et dixit dominus ad Samuel, Audi uocem populi, quomodo loquantur ad te. Quoniam non te nihili fecerunt, ſed me nihili fecerunt, ne regnem ſuper eos. Secundum omnia opera, quæ

fece-

fecerunt mihi, à qua die reduxi eos ex Ægypto, & usque in diem hanc, & dereliquerunt me, & seruierunt dijs alienis, sic ipsi faciunt et tibi. Et nũc audi uocem eorum, uerũtamen testificans testificaris eis, & nunciabis eis ius regis, qui regnabit super eos. Et dixit Samuel omne uerbum domini ad populum, petentes ab eo regem. Et dixit, Hoc erit ius regis, qui regnabit super uos. Filios uestros accipiet, & ponet eos in curribus suis, & in equitibus suis, & præcursores curruum suorum, & ponet eos sibijpsi centuriones & tribunos, & metere messem suam, & uindemiare uindemiam suam, & facere arma bellica eius & arma curruum suorum. Et filias uestras accipiet in unguentarias, & coquas, & in panificas. Et agros uestros & uineas uestras, & oliua uestra bona tollet, & dabit seruis suis. Et semen uestrum et uineas uestras addecimabit, & dabit eunuchis suis, & seruis suis. Et seruos uestros & ancil-

ἐποίησάν μοι, ἀφ᾽ ἧς ἡμέρας ἀνήγαγον αὐτοὺς ἐξ αἰγύπτου, ἕως τῆς ἡμέρας ταύτης, καὶ ἐγκατέλιπόν με, καὶ ἐδούλευσαν θεοῖς ἑτέροις, οὕτως αὐτοὶ ποιοῦσι καί σοι. καὶ νῦν ἄκουε τῆς φωνῆς αὐτῶν, πλὴν ὅτι διαμαρτυρόμενος διαμαρτύρῃ αὐτοῖς, καὶ ἀπαγγελεῖς αὐτοῖς τὸ δικαίωμα τοῦ βασιλέως, ὃς βασιλεύσει ἐπ᾽ αὐτούς. καὶ εἶπε σαμουὴλ πᾶν τὸ ῥῆμα κυρίου πρὸς τὸν λαὸν, τοὺς αἰτοῦντας παρ᾽ αὐτοῦ βασιλέα. καὶ εἶπε, τοῦτο ἔσται τὸ δικαίωμα τοῦ βασιλέως, ὃς βασιλεύσει ἐφ᾽ ὑμᾶς. τοὺς υἱοὺς ὑμῶν λήψεται, καὶ θήσεται αὐτοὺς ἐν ἅρμασιν αὐτοῦ, καὶ ἐν ἱππεῦσιν αὐτοῦ, καὶ προτρέχοντας τῶν ἁρμάτων αὐτοῦ, καὶ θήσεται αὐτοὺς ἑαυτῷ ἑκατοντάρχους, καὶ χιλιάρχους, καὶ θερίζειν θερισμὸν αὐτοῦ, καὶ τρυγᾶν τρυγητὸν αὐτοῦ, καὶ ποιεῖν σκεύη πολεμικὰ αὐτοῦ, καὶ σκεύη ἁρμάτων αὐτοῦ. καὶ τὰς θυγατέρας ὑμῶν λήψεται εἰς μυρεψοὺς, καὶ εἰς μαγειρίσσας, καὶ εἰς πεσσούσας. καὶ τοὺς ἀγροὺς ὑμῶν, καὶ τοὺς ἀμπελῶνας ὑμῶν, καὶ τοὺς ἐλαιῶνας ὑμῶν τοὺς ἀγαθοὺς λήψεται, καὶ δώσει τοῖς δούλοις ἑαυτοῦ. καὶ τὸ σπέρμα ὑμῶν, καὶ τοὺς ἀμπελῶνας ὑμῶν ἀποδεκατώσει, καὶ δώσει τοῖς εὐνούχοις αὐτοῦ, καὶ τοῖς δούλοις αὐτοῦ, καὶ τοὺς δούλους ὑμῶν καὶ τὰς

τὰς δούλας ὑμῶν, καὶ τὰ βουκόλια ὑμῶν τὰ ἀγαθὰ, καὶ τοὺς ὄνους ὑμῶν λήψεται, καὶ ἀποδεκατώσει εἰς τὰ ἔργα αὐτοῦ. καὶ τὰ ποίμνια ὑμῶν ἀποδεκατώσει, καὶ ὑμεῖς ἔσεσθε αὐτῷ δοῦλοι. καὶ βοήσεσθε ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐκ προσώπου τοῦ βασιλέως ὑμῶν, οὗ ἐξελέξασθε ἑαυτοῖς, καὶ οὐκ ἐπακούσεται κύριος ὑμῶν ἐν ταῖς ἡμέραις ἐκείναις, ὅτι ὑμεῖς ἐξελέξασθε ἑαυτοῖς βασιλέα. καὶ οὐκ ἐβούλετο ὁ λαὸς τοῦ ἀκοῦσαι τοῦ σαμουὴλ, καὶ εἶπαν αὐτῷ, οὐχί, ἀλλ' ἢ ὅτι βασιλεὺς ἔσται ἐφ' ἡμᾶς, καὶ ἐσόμεθα καὶ ἡμεῖς κατὰ πάντα τὰ ἔθνη. καὶ δικάσει ἡμᾶς ὁ βασιλεὺς ἡμῶν, καὶ ἐξελεύσεται ἔμπροσθεν ἡμῶν, καὶ πολεμήσει τὸν πόλεμον ἡμῶν. καὶ ἤκουσε σαμουὴλ πάντας τοὺς λόγους τοῦ λαοῦ, καὶ ἐλάλησεν αὐτοὺς εἰς τὰ ὦτα κυρίου. καὶ εἶπε κύριος πρὸς σαμουὴλ, ἄκουσον τῆς φωνῆς αὐτῶν, καὶ βασίλευσον αὐτοῖς βασιλέα. καὶ εἶπε σαμουὴλ πρὸς ἄνδρας ἰσραὴλ, ἀποτρεχέτω ἕκαστος εἰς τὴν πόλιν αὐτοῦ.

Καὶ ἦν ἀνὴρ ἐξ υἱῶν βενιαμίν, καὶ ὄνομα αὐτῷ κεῖς, υἱὸς ἀβιήλ, υἱοῦ ἰαρέδ, υἱοῦ βαχείρ, υἱοῦ ἀφέκ, υἱοῦ ἀνδρὸς ἰεμιναίου, ἀνὴρ δυνατὸς ἐν ἰσχύϊ. καὶ τούτῳ υἱὸς, καὶ ὄνομα αὐτῷ σαοὺλ, εὐμεγέθης ἀνὴρ, ἀγαθὸς, καὶ οὐκ ἦν ἐν υἱοῖς ἰσραὴλ ἀνὴρ ἀγαθὸς

ὑπὲρ

ancillas ueſtras, & armenta boum ueſtra bona, & aſinos ueſtros accipiet, & addecimabit ad opa ſua. Et greges ueſtros addecimabit, & uos eritis ei ſerui. Et clamabitis in die illa, à facie regis ueſtri, quẽ elegiſtis uobiſipſis, & nõ exaudiet dominus uos in diebus illis, quoniam uos elegiſtis uobiſipſis regẽ. Et non uoluit populus audire uocẽ Samuel, et dixerunt ei, Nõ, ſed quod rex erit ſuper nos, & erimus & nos iuxta omnes gentes. Et iudicabit nos rex noſter, & egredietur ante nos, & adminiſtrabit bellum noſtrum. Et audiuit Samuel omnes ſermones populi, & loquutus eſt eos in aures domini. Et dixit dominus ad Samuel, Audi uocem eorum, & fac regnare eis regem. Et dixit Samuel ad uiros Iſrael, Recurrite unuſquiſque in ciuitatem ſuam.

Et erat uir ex filijs Ben- Cap. IX
iamin, & nomen ei Cis, fi- 1. Para. 8
lius Ebiel, filij Iared, filij Infra 10
Bachir, filij Aphec, filij uiri Iemini, uir potens in robore. Et huic filius, & nomen ipſi Saul bene magnus uir, bonus, & non erat in filijs Iſrael bonus

præ

præ eo, ſuper humeros la-
tos habentem & ultra al-
tus, ſuper omnem terram.
Et perierant aſinę Cis pa
tris Saul, & dixit Cis ad
Saul filiũ ſuũ, Accipe tecũ
unum puerorum, & ſurgi
te, & proficiſcimini, &
quærite aſinas. Et tranſi-
erunt per montem Ephra
im, & tranſierunt per ter-
ram Selca, & non inuene
runt. Et tranſierũt per ter
ram Segalim, et non erãt.
Et tranſierunt per terram
Iamin, & non inuenerũt.
Ipſis autem uenientibus
in Siph, & Saul dixit pue
ro ſuo qui cum eo, Veni,
& reuertamur, ne dimit-
tens pater meus quæ cir-
ca aſinas, curet de nobis.
Et dixit ei puer, Ecce,
iam homo dei in ciuitate
hac, & homo glorioſus,
omne quod locutus fuerit
euenturum, aderit. Et
nunc eamus certè illuc,
ut indicet nobis uiam no-
ſtram, per quam uadamus
per eam. Et dixit Saul pu
ero qui cum eo, Et ecce,
ibimus, & quid afferemus
homini dei? Quia panes
defecerũt de uaſis noſtris,
et plus non eſt nobiſcum,
ut afferamus homini dei.
Quid supereſt nobis? Et
appoſuit puer reſponde-
re Saul, & dixit, Ecce,
inuenta

ὑπὲρ αὐτόν, ὑπὲρ ὠμίαν καὶ ἐπά-
νω ὑψηλὸς, ὑπὲρ πᾶσαν τὴν γῆν.
καὶ ἀπώλοντο αἱ ὄνοι τοῦ κεῖς τοῦ
πατρὸς σαοὺλ, καὶ εἶπε κεῖς πρὸς
σαοὺλ τὸν ὑὸν αὐτοῦ, λαβὲ μετὰ
σεαυτοῦ ἓν τῶν παιδαρίων, καὶ ἀ-
νάστητε, καὶ πορεύθητε, καὶ ζη-
τήσατε τὰς ὄνους. καὶ διῆλθον δι'
ὄρους ἐφραὶμ, καὶ διῆλθον διὰ τῆς
γῆς σελχὰ, καὶ οὐχ εὗρον. καὶ δι-
ῆλθον διὰ τῆς γῆς σεγαλεὶμ, καὶ
οὐκ ἦν. καὶ διῆλθον διὰ τῆς γῆς
ἰαμεὶν, καὶ οὐχ εὗρον. αὐτῶν δὲ
ἐλθόντων εἰς τὴν σὶφ, καὶ σαοὺλ εἶ-
πε τὸ παιδαρίῳ αὐτοῦ τῷ μετ' αὐ-
τοῦ, δεῦρο, καὶ ἀποστρέψωμεν, μὴ
ἀνεὶς ὁ πατήρ μου τὰ περὶ τὰς ὄ-
νους, φροντίζῃ τὰ περὶ ἡμῶν. καὶ
εἶπεν αὐτῷ τὸ παιδάριον, ἰδοὺ, δὴ
ὁ ἄνθρωπος τοῦ θεοῦ ἐν τῇ πόλει
ταύτῃ, καὶ ὁ ἄνθρωπος ἔνδοξος, πᾶν
ὃ ἐὰν λαλήσῃ παραγινόμενον,
παρέσται. καὶ νῦν πορευθῶμεν δὴ ἐ-
κεῖ, ὅπως ἀπαγγείλῃ ἡμῖν τὴν ὁδὸν
ἡμῶν, ἐφ' ἣν ἐπορεύθημεν ἐπ' αὐ-
τήν. καὶ εἶπε σαοὺλ τῷ παιδαρίῳ αὐ-
τοῦ τῷ μετ' αὐτοῦ, καὶ ἰδοὺ, πορευσό-
μεθα, καὶ τί εἰσοίσομεν τῷ ἀνθρώπῳ
τοῦ θεοῦ; ὅτι ἄρτοι ἐκλελοίπασιν ἐκ
τῶν ἀγγείων ἡμῶν, καὶ πλεῖον οὐκ
ἔστι μεθ' ἡμῶν τοῦ εἰσενεγκεῖν τῷ
ἀνθρώπῳ τοῦ θεοῦ. τί τὸ ὑπάρχον ὑ-
μῖν; καὶ προσέθετο τὸ παιδάριον ἀπο-
κριθῆναι τῷ σαοὺλ, καὶ εἶπεν, ἰδού,
εὕρητ

εὕρηται ἐν τῇ χειρί μου τέταρτον σίκλου ἀργυρίου, καὶ δώσεις τῷ ἀνθρώπῳ τοῦ θεοῦ, καὶ ἀπαγγελεῖ ἡμῖν τὴν ὁδὸν ἡμῶν. καὶ ἔμπροσθεν ἐν ἰσραὴλ τάδε ἔλεγεν ἕκαστος, ἐν τῷ πορεύεσθαι ἐπερωτᾷν τὸν θεόν, δεῦρο, καὶ πορευθῶμεν πρὸς τὸν βλέποντα. ὅτι τὸν προφήτην ἐκάλει ὁ λαὸς ἔμπροσθεν ὁ βλέπων. καὶ εἶπε σαοὺλ πρὸς τὸ παιδάριον αὐτοῦ, ἀγαθὸν ῥῆμα, δεῦρο, καὶ πορευθῶμεν. καὶ ἐπορεύθησαν εἰς τὴν πόλιν, οὗ ἦν ἐκεῖ ὁ ἄνθρωπος τοῦ θεοῦ. αὐτῶν δὲ ἀναβαινόντων τὴν ἀνάβασιν τῆς πόλεως, καὶ αὐτοὶ εὑρίσκουσι τὰ κοράσια ἐξεληλυθότα ὑδρεύσασθαι ὕδωρ, καὶ λέγουσιν αὐταῖς, εἰ ἔστιν ἐνταῦθα ὁ βλέπων; καὶ ἀπεκρίθησαν τὰ κοράσια αὐτοῖς, καὶ λέγουσιν αὐτοῖς, ἔστιν, ἰδοὺ κατὰ πρόσωπον ὑμῶν, ταχύνατε. νῦν διὰ τὴν ἡμέραν ἥκει εἰς τὴν πόλιν, ὅτι θυσία σήμερον τῷ λαῷ ἐν βαμᾷ. ὡς ἂν εἰσέλθητε εἰς τὴν πόλιν, οὕτως εὑρήσετε αὐτὸν ἐν τῇ πόλει, πρὶν ἀναβῆναι αὐτὸν εἰς βαμᾶ τοῦ φαγεῖν. ὅτι οὐ μὴ φάγῃ ὁ λαὸς, ἕως τοῦ εἰσελθεῖν αὐτόν. ὅτι οὗτος εὐλογεῖ τὴν θυσίαν, καὶ μετὰ ταῦτα ἐσθίουσιν οἱ ξένοι. καὶ νῦν ἀνάβητε, ὅτι διὰ τὴν ἡμέραν εὑρήσετε αὐτόν. καὶ ἀναβαίνουσιν εἰς τὴν πόλιν. αὐτῶν εἰσπορευομένων εἰς μέσον τῆς πόλεως, καὶ ἰδοὺ, σαμουὴλ ἐξῆλθεν

inuenta eſt in manu mea quarta pars ſicli argenti, & dabis homini dei, & indicabit nobis uiam noſtrã. Et antè in Iſrael hæc loquebantur unuſquiſq;, cum iret ad interrogandum deum, Veni, & eamus ad Videntem. Quia prophetam uocabat populus olim, Videns. Et dixit Saul ad puerum ſuum, Bonum uerbum, ueni, & eamus. Et ierunt in ciuitatẽ, ubi erat ibi homo dei. 2.Reg.2 & 18 Ipſis autem aſcendẽtibus in aſcenſum ciuitatis, & ipſi inueniunt puellas egredientes ad hauriendum aquam, & dicunt eis, Num eſt hic Videns? Et reſponderunt eis puellæ, & dixerunt, Eſt, ecce ante faciem ueſtram, feſtinate. Nunc per diem uenit in ciuitatem, quia ſacrificium hodie populo in Bama. Vt ingreſsi fueritis in ciuitatem, ſic inuenietis eum in ciuitate, antequã aſcendat ipſe in Bama ad ueſcendum. Quia non edet populus, donec ingrediatur ipſe. Quoniam ille benedicit heſtiæ, & poſt hæc edunt peregrini. Et nunc aſcendite, quia per diem inuenietis eum. Et aſcendunt in ciuitatem. Illis ingredientibus in medium urbis, & ecce Samuel egreſſus

egressus est in occursum eorum, ut ascenderet in Bama. Et dominus retexit auriculam Samuel die una, antequam ingrederetur ad eum Saul, dicens, Vt tempus hoc, cras mittam ad te uirum ex tribu Beniamin, & unges eum in principem super populum meum Israel, & saluabit populum meum de manu alienigenarum. Quia inspexi in humilitatem populi mei, quia uenit clamor eorum ad me. Et Samuel uidit Saul, & dominus respondit ei, Ecce, homo quem dixi tibi, iste imperabit in populo meo. Et accessit Saul ad Samuel in medio ciuitatis, et dixit, Indica iam mihi, quæ domus Videntis? Et respōdit Samuel Saul, & dixit, Ego sum ipse. Ascende ante me in Bama, & ede mecum hodie, & emittam te mane, & omnia quæ in corde tuo, indicabo tibi. Et de asinis perditis tuis hodie triduanis ne ponas cor tuum in eis, quoniã inuentæ sunt. Et cui pulchra Israel, non ne tibi, & omni domui patris tui? Et respondit Saul, & dixit, Non'ne uiri filius Ieminæi ego sum, minoris sceptri tribus Israel, & tribus minimæ

ex

ἐξῆλθεν εἰς τὴν ἀπάντησιν αὐτῶν, τοῦ ἀναβῆναι εἰς βαμᾶ. καὶ κύριος ἀπεκάλυψε τὸ ὠτίον σαμουὴλ ἡμέρᾳ μιᾷ, ἔμπροσθεν τοῦ εἰσελθεῖν πρὸς αὐτὸν σαοὺλ, λέγων, ὡς ὁ καιρὸς οὗτος, αὔριον ἀποστελῶ πρός σε ἄνδρα ἐκ φυλῆς βονιαμὴν, καὶ χρίσεις αὐτὸν εἰς ἄρχοντα ἐπὶ τὸν λαόν μου ἰσραὴλ, καὶ σώσει τὸν λαόν μου ἐκ χειρὸς ἀλλοφύλων. ὅτι ἐπέβλεψα ἐπὶ τὴν ταπείνωσιν τοῦ λαοῦ μου, ὅτι ἦλθε βοὴ αὐτῶν πρός με. καὶ σαμουὴλ εἶδε τὸν σαοὺλ, καὶ κύριος ἀπεκρίθη αὐτῷ, ἰδοὺ, ὁ ἄνθρωπος, ὃν εἶπά σοι, οὗτος ἄρξει ἐν τῷ λαῷ μου. καὶ προσήγαγε σαοὺλ πρὸς σαμουὴλ, εἰς μέσον τῆς πόλεως, καὶ εἶπεν, ἀπάγγειλον δή μοι, ποῖος ὁ οἶκος τοῦ βλέποντος; καὶ ἀπεκρίθη σαμουὴλ τῷ σαοὺλ, καὶ εἶπεν, ἐγώ εἰμι αὐτός. ἀνάβηθι ἔμπροσθέν μου εἰς βαμᾶ, καὶ φάγε μετ' ἐμοῦ σήμερον, καὶ ἐξαποστελῶ σε πρωῒ, καὶ πάντα τὰ ἐν τῇ καρδίᾳ σου ἀπαγγελῶ σοι. Καὶ περὶ τῶν ὄνων τῶν ἀπολωλυιῶν σου σήμερον τριταίων, μὴ θῇς τὴν καρδίαν σου ἐν αὐταῖς, ὅτι εὕρηνται. καὶ τίνι τὰ ὡραῖα τοῦ ἰσραὴλ, οὐχὶ σοὶ, καὶ παντὶ τῷ οἴκῳ τοῦ πατρός σου; καὶ ἀπεκρίθη σαοὺλ, καὶ εἶπεν, οὐχὶ ἀνδρὸς υἱὸς ἰεμιναίου ἐγώ εἰμι, τοῦ μικροτέρου σκήπτρου φυλῆς ἰσραὴλ, καὶ τῆς φυλῆς τῆς ἐλαχίστης

ἐξ

ἐξ ὅλου σκήπτρου βενιαμείν. καὶ ἡ πατριά μου ἐλαχίστη παρὰ πάσας τὰς πατριὰς βενιαμείν. καὶ ἵνα τί ἐλάλησας πρός με κατὰ τὸ ῥῆμα τοῦτο; καὶ ἔλαβε σαμουὴλ τὸν σαοὺλ καὶ τὸ παιδάριον αὐτοῦ, καὶ εἰσήγαγεν αὐτοὺς εἰς τὸ κατάλυμα, καὶ ἔθετο αὐτοῖς τόπον ἐν πρώτοις τῶν κεκλημένων ὡσεὶ ἑβδομήκοντα ἀνδρῶν. καὶ εἶπε σαμουὴλ τῷ μαγείρῳ, δός μοι τὴν μερίδα, ἣν ἔδωκά σοι, ἣν εἶπά σοι θεῖναι αὐτὴν παρά σοι. καὶ ἦρεν ὁ μάγειρος τὴν κωλέαν, καὶ τὸ ἐπ' αὐτῆς, καὶ παρέθηκεν αὐτὴν ἐνώπιον σαούλ. καὶ εἶπε σαμουὴλ τῷ σαούλ, ἰδοὺ τὸ ὑπόλειμμα, παράθες αὐτὸ ἐνώπιόν σου, καὶ φάγε, ὅτι εἰς μαρτύριον τέθειταί σοι παρὰ τοῦ λαοῦ, ἀπόκνιζε. καὶ ἔφαγε σαοὺλ μετὰ σαμουὴλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ κατέβη ἐκ τῆς βαμᾶ εἰς τὴν πόλιν, καὶ διέστρωσαν τῷ σαοὺλ ἐπὶ τῷ δώματι, καὶ ἐκοιμήθη. καὶ ἐγένετο, ὡς ἀνέβαινον ὁ ὄρθρος, καὶ ἐκάλεσε σαμουὴλ τὸν σαοὺλ ἐπὶ τῷ δώματι, καὶ εἶπον, ἀνάστηθι, καὶ ἐξαποστελῶ σε. καὶ ἀνέστη σαούλ, καὶ ἐξῆλθον αὐτὸς καὶ σαμουὴλ ἕως ἔξω, αὐτῶν καταβαινόντων εἰς μέρος τῆς πόλεως. καὶ σαμουὴλ εἶπε τῷ σαοὺλ, εἶπον τῷ παιδαρίῳ, καὶ διελθέτω ἔμπροσθεν ἡμῶν, καὶ σὺ στῆθι ἕως σήμερον, καὶ ἀκουστόν σοι ῥῆμα κυρίου.

ex toto sceptro Beniamin? Et patria mea minima, præter omnes patrias Beniamin. Et quare locutus es ad me secundũ uerbum hoc? Et assumpsit Samuel Saul & puerũ eius, et introduxit eos in diuersorium, & posuit eis locum in primis uocatorum circiter septuaginta uirorum. Et dixit Samuel coquo, Da mihi partem, quam dedi tibi, quam dixi tibi ponere eum apud te. Et leuauit coqnus armum, & quod in eo, et apposuit eum coram Saul. Et dixit Samuel, Ecce quod relictum, appone ipsum ante te, & ede, quoniam in testimonium positum est tibi à populo, auelle. Et edit Saul cum Samuel in die illa, & descendit ex Bama in ciuitatem, & strauerunt Sauli in solario, & dormiuit. Et factũ est, ut ascendit crepusculum, & loquutus est Samuel Saul in solario, dicens, Surge, & dimittam te. Et surrexit Saul, et egressus est ipse & Samuel usq; extra, ipsis descendentibus in extremam partem ciuitatis. Et Samuel dixit Saul, Dic puero, et transeat ante nos, tu autem sta usque hodie, et auditum tibi uerbum domini.

egressus est in occursum eorum, ut ascenderet in Bama. Et dominus retexit auriculam Samuel die una, antequam ingrederetur ad eum Saul, dicens, Vt tempus hoc, cras mittam ad te uirum ex tribu Beniamin, & unges eum in principem super populum meum Israel, & saluabit populum meum de manu alienigenarum. Quia inspexi in humiliatem populi mei, quia uenit clamor eorum ad me. Et Samuel uidit Saul, & dominus respondit ei, Ecce, homo quem dixi tibi, iste imperabit in populo meo. Et accessit Saul ad Samuel in medio ciuitatis, et dixit, Indica iam mihi, quæ domus Videntis? Et respõdit Samuel Saul, & dixit, Ego sum ipse. Ascende ante me in Bama, & ede mecum hodie, & emittam te mane, & omnia quæ in corde tuo, indicabo tibi. Et de asinis perditis tuis hodie triduanis ne ponas cor tuum in eis, quoniã inuentæ sunt. Et cui pulchra Israel, nonne tibi, & omni domui patris tui? Et respondit Saul, & dixit, Non'ne uiri filius Ieminæi ego sum, minoris sceptri tribus Israel, & tribus minimæ ex

ἐξῆλθεν εἰς τὴν ἀπάντησιν αὐτῶν, τοῦ ἀναβῆναι εἰς βαμᾶ. καὶ κύριος ἀπεκάλυψε τὸ ὠτίον σαμουὴλ ἡμέρᾳ μιᾷ, ἔμπροσθεν τοῦ εἰσελθεῖν πρὸς αὐτὸν σαοὺλ, λέγων, ὡς ὁ καιρὸς οὗτος, αὔριον ἀποστελῶ πρός σε ἄνδρα ἐκ φυλῆς βενιαμὶν, καὶ χρίσεις αὐτὸν εἰς ἄρχοντα ἐπὶ τὸν λαόν μου ἰσραὴλ, καὶ σώσει τὸν λαόν μου ἐκ χειρὸς ἀλλοφύλων. ὅτι ἐπέβλεψα ἐπὶ τὴν ταπείνωσιν τοῦ λαοῦ μου, ὅτι ἦλθε βοὴ αὐτῶν πρός με. καὶ σαμουὴλ εἶδε τὸν σαοὺλ, καὶ κύριος ἀπεκρίθη αὐτῷ, ἰδοὺ, ὁ ἄνθρωπος, ὃν εἶπά σοι, οὗτος ἄρξει ἐν τῷ λαῷ μου. καὶ προσήγαγε σαοὺλ πρὸς σαμουὴλ, εἰς μέσον τῆς πόλεως, καὶ εἶπεν, ἀπάγγειλον δή μοι, ποῖος ὁ οἶκος τοῦ βλέποντος; καὶ ἀπεκρίθη σαμουὴλ τῷ σαοὺλ, καὶ εἶπεν, ἐγώ εἰμι αὐτός. ἀνάβηθι ἔμπροσθέν μου εἰς βαμᾶ, καὶ φάγε μετ' ἐμοῦ σήμερον, καὶ ἐξαποστελῶ σε πρωῒ, καὶ πάντα τὰ ἐν τῇ καρδίᾳ σου ἀπαγγελῶ σοι. Καὶ περὶ τῶν ὄνων τῶν ἀπολωλυιῶν σου σήμερον τριταίων, μὴ θῇς τὴν καρδίαν σου ἐν αὐταῖς, ὅτι εὕρηνται. καὶ τίνι τὰ ὡραῖα τοῦ ἰσραὴλ, οὐχί σοι, καὶ παντὶ τῷ οἴκῳ τοῦ πατρός σου; καὶ ἀπεκρίθη σαοὺλ, καὶ εἶπεν, οὐχὶ ἀνδρὸς υἱὸς ἰεμιναίου ἐγώ εἰμι, τοῦ μικροτέρου σκήπτρου φυλῆς ἰσραὴλ, καὶ τῆς φυλῆς τῆς ἐλαχίστης ἐξ

ἐξ ὅλου σκήπτρου βενιαμίν. καὶ ἡ πατριά μου ἐλαχίστη παρὰ πάσας τὰς πατριὰς βενιαμίν. καὶ ἵνα τί ἐλάλησας πρός με κατὰ τὸ ῥῆμα τοῦτο; καὶ ἔλαβε σαμουὴλ τὸν σαοὺλ καὶ τὸ παιδάριον αὐτοῦ, καὶ εἰσήγαγεν αὐτοὺς εἰς τὸ κατάλυμα, καὶ ἔθετο αὐτοῖς τόπον ἐν πρώτοις τῶν κεκλημένων ὡσεὶ ἑβδομήκοντα ἀνδρῶν. καὶ εἶπε σαμουὴλ τῷ μαγείρῳ, δός μοι τὴν μερίδα, ἣν ἔδωκά σοι, ἣν εἶπά σοι θεῖναι αὐτὴν παρὰ σοί. καὶ ἦρεν ὁ μάγειρος τὴν κωλέαν, καὶ τὸ ἐπ' αὐτῆς, καὶ παρέθηκεν αὐτὴν ἐνώπιον σαούλ. καὶ εἶπε σαμουὴλ τῷ σαούλ, ἰδοὺ τὸ ὑπόλειμμα, παράθες αὐτὸ ἐνώπιόν σου, καὶ φάγε, ὅτι εἰς μαρτύριον τέθειταί σοι παρὰ τοῦ λαοῦ, ἀπόκνιζε. καὶ ἔφαγε σαοὺλ μετὰ σαμουὴλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ κατέβη ἐκ τῆς βαμᾶ εἰς τὴν πόλιν, καὶ διέστρωσαν τῷ σαοὺλ ἐπὶ τῷ δώματι, καὶ ἐκοιμήθη. καὶ ἐγένετο, ὡς ἀνέβαινεν ὁ ὄρθρος, καὶ ἐκάλεσε σαμουὴλ τὸν σαοὺλ ἐπὶ τῷ δώματι, καὶ εἶπεν, ἀνάστηθι, καὶ ἐξαποστελῶ σε. καὶ ἀνέστη σαοὺλ, καὶ ἐξῆλθον αὐτὸς καὶ σαμουὴλ ἕως ἔξω, αὐτῶν καταβαινόντων εἰς μέρος τῆς πόλεως. καὶ σαμουὴλ εἶπε τῷ σαοὺλ, εἰπὸν τῷ παιδαρίῳ, καὶ διελθέτω ἔμπροσθεν ἡμῶν, καὶ σὺ στῆθι ὡς σήμερον, καὶ ἄκουσόν σοι ῥῆμα κυρίου.

Καὶ

ex toto ſceptro Beniamin? Et patria mea minima, præter omnes patrias Beniamin. Et quare locutus es ad me ſecundũ uerbum hoc? Et aſſumpſit Samuel Saul & puerũ eius, et introduxit eos in diuerſorium, & poſuit eis locum in primis uocatorum circiter ſeptuaginta uirorum. Et dixit Samuel coquo, Da mihi partem, quam dedi tibi, quam dixi tibi ponere eum apud te. Et leuauit coquus armum, & quod in eo, et appoſuit eum coram Saul. Et dixit Samuel, Ecce quod relictum, appone ipſum ante te, & ede, quoniam in teſtimonium poſitum eſt tibi à populo, auelle. Et edit Saul cum Samuel in die illa, & deſcendit ex Bama in ciuitatem, & ſtrauerunt Sauli in ſolario, & dormiuit. Et factũ eſt, ut aſcendit crepuſculum, & loquutus eſt Samuel Saul in ſolario, dicens, Surge, & dimittam te. Et ſurrexit Saul, et egreſſus eſt ipſe & Samuel uſq; extra, ipſis deſcendentibus in extremam partem ciuitatis. Et Samuel dixit Saul, Dic puero, et tranſeat ante nos, tu autem ſta uſque hodie, et auditum tibi uerbum domini.

Et

Cap. X

Et tulit Samuel lenticulam olei, & effudit super caput eius. Et osculatus est eum, et dixit ei, Quod unxit te dominus in principem super populum eius, super Israel. Et tu imperabis in populo domini, & seruabis eum è manu hostiũ eius, per circuitum. Et hoc tibi signum, quod unxit te dominus ad hæreditatem eius, in principem, ut abieris hodie à me, & inuenies duos uiros iuxta sepulchra Rachel, in monte Beniamin, in Selo, in Bacalath, saltãtes magnopere, & dicent tibi, Inuentæ sunt asinæ, quas ieratis quærere. Et ecce pater tuus excussit uerbum asinarum, & solicitus fuit pro uobis, dicens, Quid faciam de filio meo? Et abibis inde, & ulterius uenies usque ad quercũ Thabor, & inuenies ibi tres uiros, ascendentes ad deum, in Bæthel, unum tollentem tres hœdos, & unum tollentem tria uasa panum, et unum tollentem utrem uini. Et interrogabunt te quæ in pace, & dabunt tibi duas primitias panum, & accipies de manu eorum. Et post hæc ingrederis in collem dei, ubi est ibi monumentum alienigenarum, ibi Nasib alienigena. Et erit, ut ingressus fuerit ibi in ciuitatẽ, et

obuiabis

Καὶ ἔλαβε σαμουὴλ τὸν φακὸν τοῦ ἐλαίου, καὶ ἐπέχεεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. καὶ ἐφίλησεν αὐτόν, καὶ εἶπεν αὐτῷ, ὅτι κέχρικέ σε κύριος εἰς ἄρχοντα ἐπὶ τὸν λαὸν αὐτοῦ, ἐπὶ τὸν ἰσραήλ. καὶ σὺ ἄρξεις ἐν τῷ λαῷ κυρίου, καὶ σώσεις αὐτὸν ἐκ χειρὸς ἐχθρῶν αὐτοῦ κυκλόθεν. καὶ τοῦτό σοι τὸ σημεῖον, ὅτι ἔχρισέ σε κύριος ἐπὶ κληρονομίαν αὐτοῦ εἰς ἄρχοντα, ὡς ἂν ἀπέλθῃς σήμερον ἀπ᾽ ἐμοῦ, καὶ εὑρήσεις δύο ἄνδρας πρὸς τοῖς τάφοις ῥαχήλ, ἐν τῷ ὄρει βενιαμείν, ἐν σηλώ, ἐν βακαλάθ, ἁλλομένους μεγάλα, καὶ ἐροῦσί σοι, εὕρηνται αἱ ὄνοι, ἃς ἐπορεύθητε ζητεῖν. καὶ ἰδοὺ ὁ πατήρ σου ἀποτετίνακται τὸ ῥῆμα τῶν ὄνων, καὶ ἐδαψιλεύσατο δι᾽ ὑμᾶς, λέγων, τί ποιήσω ὑπὲρ τοῦ υἱοῦ μου; καὶ ἀπελεύσῃ ἐκεῖθεν, καὶ ἐπέκεινα ἥξεις ἕως τῆς δρυὸς θαβώρ, καὶ εὑρήσεις ἐκεῖ τρεῖς ἄνδρας, ἀναβαίνοντας πρὸς τὸν θεόν, εἰς βαιθήλ, ἕνα αἴροντα τρία αἰγίδια, καὶ ἕνα αἴροντα τρία ἀγγεῖα ἄρτων, καὶ ἕνα αἴροντα ἀσκὸν οἴνου. καὶ ἐρωτήσουσί σε τὰ εἰς εἰρήνην, καὶ δώσουσί σοι δύο ἀπαρχὰς ἄρτων, καὶ λήψῃ ἐκ τῆς χειρὸς αὐτῶν. καὶ μετὰ ταῦτα εἰσελεύσῃ εἰς τὸν βουνὸν τοῦ θεοῦ, οὗ ἐστιν ἐκεῖ τὸ ἀνάστημα τῶν ἀλλοφύλων, ἐκεῖ νασὶβ ὁ ἀλλόφυλος. καὶ ἔσται, ὡς ἂν εἰσέλθῃς ἐκεῖ εἰς τὴν πόλιν, καὶ

ἀπαντήσονται

ἀπαντήσεις χορῷ προφητῶν καταβαι-
νόντων ἐκ τῆς βαμᾶ, καὶ ἔμπροσθεν
αὐτῶν νάβλαι καὶ τύμπανα, καὶ αὐλὸς
καὶ κινύρα, καὶ αὐτοὶ προφητεύοντες,
καὶ ἐφαλεῖται ἐπὶ σὲ πνεῦμα κυρίου, καὶ
προφητεύσεις μετ' αὐτῶν, καὶ στραφήσῃ
εἰς ἄνδρα ἄλλον. καὶ ἔσται, ὅταν ἥξῃ
τὰ σημεῖα ταῦτα ἐπὶ σέ, ποίει πάν-
τα, ὅσα ἐὰν εὕρῃ ἡ χείρ σου, ὅτι ὁ θεὸς
μετά σου. καὶ καταβήσῃ ἔμπροσθεν τῆς
γαλγάλ, καὶ ἰδού, ἐγὼ καταβαίνω πρὸς
σὲ ἀνενέγκειν ὁλοκαύτωσιν, καὶ θῦ-
σαι θυσίας εἰρηνικάς. ἑπτὰ ἡμέρας
διαλείψεις ἕως τοῦ ἐλθεῖν με πρός
σέ, καὶ γνωρίσω σοι, ἃ ποιήσεις. καὶ
ἐγενήθη ὥς τε ἐπιστραφῆναι τῷ ὤμῳ
αὐτοῦ ἀπελθεῖν ἀπὸ σαμουήλ, καὶ
μετέστρεψεν αὐτῷ ὁ θεὸς καρδίαν
ἄλλην. καὶ ἦλθε πάντα τὰ σημεῖα
ταῦτα ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ ἔρ-
χεται ἐκεῖθεν εἰς τὸν βουνόν, καὶ
ἰδοὺ χορὸς προφητῶν ἐξεναντίας
αὐτοῦ, καὶ ἥλατο ἐπ' αὐτὸν πνεῦ-
μα θεοῦ, καὶ προεφήτευσεν ἐν μέσῳ
αὐτῶν. καὶ ἐγενήθησαν ἅπαντες
οἱ ἰδόντες αὐτὸν ἐχθὲς καὶ τρί-
της, καὶ εἶδον. καὶ ἰδοὺ αὐτὸς ἐν μέ-
σῳ τῶν προφητῶν προφητεύων.
καὶ εἶπεν ὁ λαός, ἕκαστος πρὸς τὸν
πλησίον αὐτοῦ, τί τοῦτο τὸ γεγονὸς
τῷ υἱῷ κεῖς; ἢ καὶ σαοὺλ ἐν προφή-
ταις; καὶ ἀπεκρίθη τις αὐτῶν, καὶ
εἶπε, καὶ τίς ὁ πατὴρ αὐτοῦ, οὐ κεῖς;
καὶ διὰ τοῦτο ἐγενήθη εἰς παρα-
βολήν,

obuiabis choro propheta-
rum descendentium de Ba-
ma, & ante ipsos naula et
tympana & tibia et cytha-
ra, et ipsi prophetantes, et
insiliet in te spiritus do-
mini, & prophetabis cum
eis, & mutaberis in uirum
alium. Et erit, quando e-
uenerint signa haec in te,
fac omnia quaecunque inue-
nerit manus tua, quia de-
us tecum. Et descendes an-
te Galgal, & ecce, ego de- Inf. 13
scendo ad te, ut offeram ho-
locaustum, & immolem ui-
ctimas pacificas. Septem
dies consumes, donec ue-
niam ego ad te, & osten-
dam tibi, quae facies. Et
factum est, ut auertisset hu-
meros suos, ut abiret a Sa-
muel, & commutauit ei
deus cor aliud. Et uenerunt
omnia signa haec in die il-
la. Et uenit inde ad collem,
& ecce chorus propheta-
rum ex aduerso eius, et in-
siluit in eum spiritus dei, Inf. 19
& prophetauit in medio
eorum. Et fuerunt omnes
uidentes eum heri & ter-
tia die, & uiderunt, & ec-
ce ipse erat in medio pro-
phetarum prophetans. Et
dixit populus, unusquisque
ad proximum suum, Quid
hoc, quod factum est filio
Cis? Num & Saul inter
prophetas? Et respondit
quidam ex eis, & dixit,
Et quis pater eius, non Cis?
Et propter hoc fuit in puer-
c biuum,

bium, Num & Saul inter
prophetas: Et perfecit
prophetans, & uenit inde
in collē. Et dixit familiaris
eius ad eum & puerum e-
ius, Quò profecti estis: Et
Inf.19 dixerunt, Querere asinas,
& uidimus, quod non e-
rant, & ingressi sumus ad
Samuel. Et dixit familia-
ris eius ad Saul, Indica iā
mihi, quid dixit tibi Sa-
muel. Et dixit Saul ad fa-
miliarē eius, Indicauit in-
dicans mihi, quia inuentę
essent asinæ, uerbum uerò
regni nō indicauit ei, qđ
dixit Samuel. Et annūcia
uit Samuel uniuerso popu
lo ad dominum, in Masse
pha. Et dixit Samuel ad fi
lios Israel, Hæc ait domi-
nus Israel, dicens, Ego re
duxi patres uestros, filios
Israel ex Aegypto, & eri
pui uos de manu Pharao-
nis regis Aegypti, & ex
omnibus regnis affligenti
bus uos. Et uos hodie ni-
hili fecistis deum, qui ip-
se est uester saluator de u-
niuersis malis uestris, &
tribulationibus uestris, et
dixistis, non, sed quod re-
gem constitues super nos.
Et nunc consistite coram
domino, per sceptra ue-
stra, & per tribus uestras.
Et adduxit Samuel oēs
tribus Israel, & & sortito
capit sceptrum Benia-
min. Et adducit sce-
ptrū Beniamin in tribus,
&

βολῶ, ἦ καὶ σαοὺλ ἐν προφήταις; καὶ
συνετέλεσε προφητεύων, καὶ ἔρχεται
ἐκεῖθεν εἰς τὸν βουνόν. καὶ εἶπεν ὁ
οἰκεῖος αὐτοῦ πρὸς αὐτὸν καὶ πρὸς
τὸ παιδάριον αὐτοῦ, ποῦ ἐπορεύθη-
τε; καὶ εἶπον, ζητεῖν τὰς ὄνους, καὶ εἴ-
δομεν, ὅτι οὐκ εἰσί, καὶ εἰσήλθομεν
πρὸς σαμουήλ. καὶ εἶπεν ὁ οἰκεῖος αὐ-
τοῦ πρὸς σαοὺλ, ἀπάγγειλον δή μοι,
τί εἶπέ σοι σαμουήλ. καὶ εἶπε σαοὺλ πρὸς
τὸν οἰκεῖον αὐτοῦ, ἀπήγγειλεν ἀπαγ-
γέλλων μοί, ὅτι εὕρηνται αἱ ὄνοι, τὸ
δὲ ῥῆμα τῆς βασιλείας οὐκ ἀπήγγει-
λεν αὐτῷ, ὃ εἶπε σαμουήλ. καὶ παρήγ-
γειλε σαμουὴλ παντὶ τῷ λαῷ πρὸς
κύριον, εἰς μασσηφᾶ. καὶ εἶπε σαμου-
ὴλ πρὸς τοὺς υἱοὺς ἰσραὴλ, τάδε εἶπε
κύριος ὁ θεὸς ἰσραὴλ, λέγων, ἐγὼ
ἀνήγαγον τοὺς πατέρας ὑμῶν, τοὺς
υἱοὺς ἰσραὴλ ἐξ αἰγύπτου, καὶ ἐξειλά-
μην ὑμᾶς ἐκ χειρὸς φαραὼ βασιλέ-
ως αἰγύπτου, καὶ ἐκ πασῶν τῶν βα-
σιλειῶν τῶν θλιβουσῶν ὑμᾶς. καὶ
ὑμᾶς σήμερον ἐξουδενώκατε τὸν
θεόν, ὃς αὐτός ἐστιν ὑμῶν σωτὴρ ἐκ
πάντων τῶν κακῶν ὑμῶν, καὶ θλίψε-
ων ὑμῶν, καὶ εἴπατε, οὐχί, ἀλλ' ἢ ὅτι
βασιλέα καταστήσεις ἐφ' ὑμῶν. καὶ
νῦν κατάστητε ἐνώπιον κυρίου, κατὰ
τὰ σκῆπτρα ὑμῶν, καὶ κατὰ τὰς φυ-
λὰς ὑμῶν. καὶ προσήγαγε σαμουὴλ
πάσας τὰς φυλὰς ἰσραὴλ, καὶ κατα-
κληροῦται σκῆπτρον βενιαμείν. καὶ προ-
σάγει σκῆπτρον βενιαμεὶν εἰς φυλὰς,
καὶ

καὶ κατακληροῦται φυλὴ ματταρί. καὶ προσάγουσι τὴν φυλὴν ματταρὶ εἰς ἄνδρας, καὶ κατακληροῦται σαοὺλ υἱὸς κεῖς. καὶ ἐζήτει αὐτόν, καὶ οὐχ εὑρίσκετο. καὶ ἐπηρώτησε σαμουὴλ ἔτι ἐν κυρίῳ, λέγων, εἰ ἔρχεται ὁ ἀνὴρ ἐνταῦθα ἔτι; καὶ εἶπε κύριος, ἰδοὺ, αὐτὸς κέκρυπται ἐν τοῖς σκεύεσι. καὶ ἔδραμε σαμουήλ, καὶ λαμβάνει αὐτὸν ἐκεῖθεν, καὶ κατέστησεν αὐτὸν ἐν μέσῳ τοῦ λαοῦ, καὶ ὑψώθη ὑπὲρ πάντα τὸν λαόν, ὑπὲρ ὠμίαν καὶ ἐπάνω. καὶ εἶπε σαμουὴλ πρὸς πάντα τὸν λαόν, ἑοράκατε, ὃν ἐκλέλεκται αὐτῷ ὁ κύριος, ὅτι οὐκ ἔστιν ὅμοιος αὐτῷ ἐν πᾶσιν ὑμῖν. καὶ ἔγνωσαν πᾶς ὁ λαός, καὶ εἶπαν, ζήτω ὁ βασιλεύς. καὶ εἶπε σαμουὴλ πρὸς τὸν λαὸν τὸ δικαίωμα τοῦ βασιλέως, καὶ ἔγραψεν ἐν βιβλίῳ, καὶ ἔθηκεν ἐνώπιον κυρίου. καὶ ἐξαπέστειλε σαμουὴλ ἅπαντα τὸν λαόν, καὶ ἀπῆλθον ἕκαστος εἰς τὸν τόπον αὐτοῦ. καὶ σαοὺλ ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ, εἰς γαβαά. καὶ ἐπορεύθησαν υἱοὶ δυνάμεων, ὧν ἥψατο κύριος καρδίας αὐτῶν, μετὰ σαούλ. καὶ υἱοὶ λοιμοὶ εἶπαν, τί σώσει ἡμᾶς οὗτος; καὶ ἠτίμασαν αὐτόν, καὶ οὐκ ἤνεγκαν αὐτῷ δῶρα.

Καὶ ἐγενήθη ὡς μετὰ μῆνα, καὶ ἀνέβη νάας ὁ ἀμμανίτης, καὶ παρεμβάλλει ἐπὶ ἰαβεὶς γαλαάδ. καὶ εἶπαν πάντες οἱ ἄνδρες ἰαβεὶς πρὸς νάας τὸν ἀμμανίτην, διάθου ἡμῖν διαθήκην, καὶ δουλεύσομέν σοι.

καὶ

& sorte capit tribus Mattari. Et adducunt tribum Mattari in uiros, & sorte capit Saul filius Cis. Et quærebat eum, & non inueniebatur. Et interrogauit Samuel adhuc in domino, dicens, Venit uir huc adhuc. Et dixit dominus, Ecce, ipse absconditus est in uasis. Et cucurrit, & accepit eum inde, & constituit eum in medio populi, & exaltatus est super omnem populũ super latos humeros habẽtem, & ultra. Et dixit Samuel ad omnẽ populum, Vidistis, quem elegit sibi ipsi dominus, quia non est similis ipsi in omnibus uobis. Et cognouerunt omnis populus, & dixerunt, Viuat rex. Et dixit Samuel ad populũ ius regni, & scripsit in libro, & posuit coram dño. Et dimisit Samuel oẽm populũ, et abiit qlibet in locũ suũ. Et Samuel abiit in domũ suã, in Gabaa. Et abierũt filii exercituũ, quorũ tetigit dñs corda eorũ, cũ Saul. Et filii pestilẽtes dixerũt, quid saluabit nos iste? Et dehonestarunt eum, & non attulerunt ei munera.

Cap. XI

Et factũ ẽ circiter post mẽsem, & ascẽdit Naas Ammanites, & castra fixit cõtra Iabes Galaad. Et dixerũt oẽs uiri Iabes ad Naas Ammanitẽ, Age nobiscũ pactionẽ, & seruiem' tibi.

Et dixit ad eos Naas Am
manites, In hac pactione
agam uobiscum, ut eruam
uestrum omnem oculum
dextrum, & ponam con-
tumeliam in Israel. Et di-
cunt ei uiri Iabes Galaad,
Remitte nobis septē dies,
et mittemus nuncios in o-
mnem terminum Israel, et
si non fuerit saluans nos,
egrediemur ad uos. Et ue
niunt nūcii in Gabaa ad
Saul, & loquuti sermones
hos in aures populi. Et le
uauerunt omnis populus
uocem suam, & fleuerūt.
Et ecce, Saul ueniebat
Sup.10 post mane ex agro, & di
xit Saul, Quid est, quod
plorat populus? Et enarra
uerunt ei uerba ista uiro-
rum Iabes. Et insiluit spi
ritus domini in Saul, ut au
diuit uerba hæc, & iratus
est contra eos furore suo
ualde. Et accepit duas
uaccas, & in membra cō
cidit eas, & misit in om-
nem terminum Israel, in
manu nunciorum, dicens,
Qui non est egrediēs post
Saul, & post Samuel, se-
cundum hæc facient bo-
bus eius. Et inuasit hor-
ror domini in populum If
rael, & clamauerūt quasi
uir unus. Et recenset eos
in Abiezec, in Bama, om
nem uirum Israel, trecen-
ta millia, & uiros Iuda, se
ptuaginta millia. Et di-
xit nunciis uenientibus,
Hæc

καὶ εἶπε πρὸς αὐτοὺς νάας ὁ ἀμμα-
νίτης, ἐν ταύτῃ τῇ διαθήκῃ διαθή-
σομαι ὑμῖν, ἐν τῷ ἐξορύξαι ὑμῶν
πάντα ὀφθαλμὸν δεξιόν, καὶ θήσο-
μαι ὄνειδος ἐπὶ ἰσραήλ. καὶ λέγου-
σιν αὐτῷ οἱ ἄνδρες ἰάβεις γαλα-
άδ, ἄνες ἡμῖν ἑπτὰ ἡμέρας, καὶ ἀ-
ποστελοῦμεν ἀγγέλους εἰς πᾶν ὅρι-
ον ἰσραήλ, καὶ ἐὰν μὴ ᾖ ὁ σώζων ὑ-
μᾶς, ἐξελευσόμεθα πρὸς ὑμᾶς. καὶ
ἔρχονται οἱ ἄγγελοι εἰς γαβαὰ πρὸς
σαοὺλ, καὶ λαλοῦσι τοὺς λόγους τούτους
εἰς τὰ ὦτα τοῦ λαοῦ. καὶ ἦραν πᾶς ὁ
λαὸς τὴν φωνὴν αὐτῶν, καὶ ἔκλαυ-
σαν. καὶ ἰδοὺ, σαοὺλ ἤρχετο μετὰ τὸ
πρωῒ ἐξ ἀγροῦ, καὶ εἶπε σαοὺλ, τί ὅτι
κλαίει ὁ λαός; καὶ διηγοῦνται αὐ-
τῷ ῥήματα ταῦτα τῶν ἀνδρῶν ἰά-
βεις. καὶ ἐφήλατο τὸ πνεῦμα κυ-
ρίου ἐπὶ σαοὺλ, ὡς ἤκουσε ταῦτα, καὶ
ἐθυμώθη ἐπ᾽ αὐτοὺς ὀργὴ αὐτοῦ σφό-
δρα. καὶ ἔλαβε δύο βόας, καὶ ἐμέ-
λισεν αὐτὰς, καὶ ἀπέστειλεν εἰς πᾶν
ὅριον ἰσραὴλ, ἐν χειρὶ ἀγγέλων, λέ-
γων, ὃς οὐκ ἔστιν ἐκπορευόμενος ὀ-
πίσω σαοὺλ, καὶ ὀπίσω σαμουήλ, κα-
τὰ τάδε ποιήσουσι τοῖς βουσὶν αὐτοῦ.
καὶ ἐπῆλθεν ἔκστασις κυρίου ἐπὶ τὸν
λαὸν ἰσραὴλ, καὶ ἐβόησαν ὡς ἀνὴρ
εἷς. καὶ ἐπισκέπτεται αὐτοὺς ἐν ἀβιέ-
ζεκ ἐν βαμᾶ, πάντα ἄνδρα ἰσραὴλ,
ἑξακοσίας χιλιάδας, καὶ ἄνδρας ἰού-
δα, ἑβδομήκοντα χιλιάδας. καὶ εἶ-
πε τοῖς ἀγγέλοις τοῖς ἐρχομένοις,
τάδε

τάδε ἐρεῖτε τοῖς ἀνδράσιν ἰάβεις γαλαάδ, αὔριον ἔσται ὑμῖν ἡ σωτηρία, διαθερμαίνοντος τοῦ ἡλίου. καὶ ἦλθον οἱ ἄγγελοι εἰς τὴν πόλιν, καὶ ἀπαγγέλλουσι ἀνδράσιν ἰάβεις, καὶ εὐφράνθησαν. καὶ εἶπον οἱ ἄνδρες ἰάβεις πρὸς νάας τὸν ἀμμανίτην, αὔριον ἐξελευσόμεθα πρὸς ὑμᾶς, καὶ ποιήσετε ἡμῖν τὸ ἀγαθὸν ἐνώπιον ὑμῶν. καὶ ἐγενήθη μετὰ τὴν αὔριον, καὶ διέθετο σαοὺλ τὸν λαὸν εἰς τρεῖς ἀρχὰς, καὶ εἰσπορεύονται εἰς μέσον τῆς παρεμβολῆς, ἐν φυλακῇ τῇ πρωϊνῇ, καὶ ἔτυπτον τοὺς υἱοὺς ἀμμών, ἕως διεθερμάνθη ἡ ἡμέρα. καὶ ἐγενήθη, καὶ οἱ ὑπολελειμμένοι διεσπάρησαν, καὶ οὐχ ὑπελείφθησαν ἐν αὐτοῖς δύο κατὰ τὸ αὐτό. καὶ εἶπεν ὁ λαὸς πρὸς σαμουήλ, τίς γὰρ ὁ εἴπας, ὅτι σαοὺλ οὐ βασιλεύσει ἡμῶν; παράδος τοὺς ἄνδρας, καὶ θανατώσομεν αὐτούς. καὶ εἶπε σαοὺλ, οὐκ ἀποθανεῖται οὐδεὶς ἐν τῇ ἡμέρᾳ ταύτῃ, ὅτι σήμερον ἐποίησε κύριος σωτηρίαν ἐν ἰσραήλ. καὶ εἶπε σαμουὴλ πρὸς τὸν λαόν, λέγων, πορευθῶμεν εἰς γάλγαλα, καὶ ἐγκαινίσωμεν ἐκεῖ τὴν βασιλείαν. καὶ ἐπορεύθη πᾶς ὁ λαὸς εἰς γάλγαλα, καὶ ἔχρισε σαμουὴλ ἐκεῖ εἰς βασιλέα τὸν σαοὺλ, ἐνώπιον κυρίου, ἐν γαλγάλοις, καὶ ἔθυσαν ἐκεῖ θυσίας εἰρηνικὰς ἐνώπιον κυρίου. καὶ εὐφράνθη ἐκεῖ σαμουὴλ καὶ πάντες οἱ ἄνδρες ἰσραὴλ ὥστε λίαν.

Hæc dicetis uiris Iabes Galaad, cras uobis erit salus, incalescente sole. Et uenerunt nuncii in ciuitatem, & renunciauerũt uiris Iabes, & lætati sunt. Et dixerũt uiri Iabes ad Naas Ammanitem, Cras exibimus ad uos, & facietis nobis bonum coram uobis. Et factũ est post cras, & disposuit Saul populũ in tres ordines, & ingrediuntur in medium castrorũ, in custodia matutina, & percusserunt filios Ammon, donec incaluit dies. Et factum est, & relicti dispersi sunt, & non relicti sunt in eis duo semel. Et dixit populus ad Samuel, Quis enim qui dixit, qđ Saul non rex erit noster? Trade uiros, & interficiemꝰ eos. Et dixit Saul, Nõ morietur quisquam in die ista, quia hodie fecit dominus salutem in Israel. Et dixit Samuel ad populum, dicens, Eamus in Galgala, & innouemus ibi regnum. Et profectus est omnis populus in Galgala, & unxit Samuel ibi in regem Saul, coram domino, in Galgalis, & immolauerunt ibi uictimas pacificas coram dño. Et lætatus est ibi Saul & omnes uiri Israel quàm ualde. Inf.

Cap. XII Et dixit Samuel ad omnem uirum Israel, ecce audiui uocem uestram, per omnia quæcunque loquuti estis mihi, & regnare feci super uos regem. Et nunc ecce, rex transibit coram uobis, & ego senui, & sedebo, et filii mei ecce in uobis sunt. Et ego ecce transiui coram uobis ab adolescentia mea & usque ad diē hanc. Ecce ego, respondete contra me coram domino, & corā Christo eius, uitulū cuius accepi, aut quē oppressi ui uestrum, aut quem obrui, aut ex manu cuius accepi placationem & calceamentum? Respōdete de me, & reddam uobis. Et dixerunt ad Samuel, Non iniuria affecisti nos, & non ui oppressisti nos, neque obruisti, & non afflixisti nos, & non accepisti è manu nostra quippiam. Et dixit Samuel ad

Eccl.16 populum, Testis dn̄s in uobis, et testis Christus eius hodie, in hac die, quia non inuenistis in manu mea quicquā. Et dixerūt, Testis. Et dixit Samuel ad populū, Testis dominus, qui fecit Moysen & Aaron, et qui reduxit patres nostros ex Aegypto. Et nunc consistite, & iudicabo uos coram domino. Et renunciabo uobis omnē iustitiam domini, quæ fecit in uobis & in patribus uestris.

Καὶ εἶπε σαμουὴλ πρὸς πάντα ἄνδρα ἰσραὴλ, ἰδοὺ, ἤκουσα τῆς φωνῆς ὑμῶν εἰς πάντα, ὅσα εἴπατέ μοι, καὶ ἐβασίλευσα ἐφ' ὑμᾶς βασιλέα. καὶ νῦν ἰδοὺ, ὁ βασιλεὺς διαπορεύεται ἐνώπιον ὑμῶν, καὶ ἐγὼ γεγήρακα, καὶ καθήσομαι, καὶ οἱ υἱοί μου ἰδοὺ ἐν ὑμῖν. κἀγὼ, ἰδοὺ, διελήλυθα ἐνώπιον ὑμῶν ἐκ νεότητός μου καὶ ἕως τῆς ἡμέρας ταύτης. ἰδοὺ ἐγὼ, ἀποκρίθητέ κατ' ἐμοῦ, ἐνώπιον κυρίου, καὶ ἐνώπιον χριστοῦ αὐτοῦ, μόσχον τίνος εἴληφα, ἢ ὄνον, ἢ τίνα κατεδυνάστευσα ὑμῶν, ἢ τίνα ἐξεπίεσα, ἢ ἐκ χειρὸς τίνος εἴληφα ἐξίλασμα, καὶ ὑπόδημα; ἀποκρίθητε κατ' ἐμοῦ, καὶ ἀποδώσω ὑμῖν. καὶ εἶπαν πρὸς σαμουὴλ, οὐκ ἠδίκησας ἡμᾶς, καὶ οὐ κατεδυνάστευσας ἡμᾶς, οὐδὲ ἐκπεπίεκας, καὶ οὐκ ἔθλασας ἡμᾶς, καὶ οὐκ εἴληφας ἐκ χειρὸς οὐδενὸς οὐδέν. καὶ εἶπε σαμουὴλ πρὸς τὸν λαὸν, μάρτυς κύριος ἐν ὑμῖν, καὶ μάρτυς χριστὸς αὐτοῦ σήμερον, ἐν ταύτῃ τῇ ἡμέρᾳ, ὅτι οὐχ εὑρήκατε ἐν τῇ χειρί μου οὐδέν. καὶ εἶπαν, μάρτυς. καὶ εἶπε σαμουὴλ πρὸς τὸν λαὸν, μάρτυς κύριος, ὁ ποιήσας τὸν μωυσῆν καὶ τὸν ἀαρὼν, καὶ ὁ ἀναγαγὼν τοὺς πατέρας ἡμῶν ἐξ αἰγύπτου. καὶ νῦν κατάστητε, καὶ δικάσω ὑμᾶς ἐνώπιον κυρίου. καὶ ἀπαγγελῶ ὑμῖν τὴν πᾶσαν δικαιοσύνην κυρίου, ἃ ἐποίησεν ἐν ὑμῖν καὶ ἐν τοῖς πατράσιν ὑμῶν,

ὑμῶν, ὡς εἰσῆλθεν ἰακὼβ καὶ οἱ υἱοὶ
αὐτοῦ εἰς αἴγυπτον, καὶ ἐταπείνωσεν
αὐτοὺς αἴγυπτος. καὶ ἐβόησαν οἱ πα-
τέρες ὑμῶν πρὸς κύριον, καὶ ἀπέστει-
λε κύριος τὸν μωϋσῆν καὶ τὸν ἀαρών, καὶ
ἐξήγαγε τοὺς πατέρας ὑμῶν ἐξ αἰ-
γύπτου, καὶ κατῴκισεν αὐτοὺς ἐν τῷ τό-
πῳ τούτῳ. καὶ ἐπελάθοντο κυρίου τοῦ θεοῦ
αὐτῶν, καὶ ἀπέδοτο αὐτοὺς εἰς χεῖ-
ρας σισάρα ἀρχιστρατήγου ἰαβὶς βα-
σιλέως ἀσὼρ, καὶ εἰς χεῖρας ἀλλοφύ-
λων, καὶ εἰς χεῖρας βασιλέως μω-
ὰβ, καὶ ἐπολέμησαν ἐν αὐτοῖς. καὶ ἐβόη-
σαν πρὸς κύριον, καὶ ἔλεγον, ἡμάρτο-
μεν, ὅτι ἐγκατελίπομεν τὸν κύριον,
καὶ ἐδουλεύσαμεν τοῖς βααλὶμ καὶ
τοῖς ἄλσεσιν. καὶ νῦν ἐξελοῦ ἡμᾶς
ἐκ χειρὸς ἐχθρῶν ἡμῶν, καὶ δουλεύ-
σομέν σοι. καὶ ἀπέστειλε κύριος τὸν
ἱεροβάαλ, καὶ τὸν βαρὰκ, καὶ τὸν
ἰεφθάε, καὶ τὸν σαμουὴλ, καὶ ἐξείλετο
ὑμᾶς ἐκ χειρὸς ἐχθρῶν ὑμῶν τῶν κυ-
κλόθεν, καὶ κατῳκεῖτε πεποιθότες.
καὶ ἴδετε, ὅτι νάας βασιλεὺς υἱῶν ἀμ-
μὼν ἦλθεν ἐφ' ὑμᾶς, καὶ εἴπατε, οὐ-
χὶ ἀλλ' ἢ βασιλεὺς βασιλεύσει
ἐφ' ἡμῶν. καὶ κύριος ὁ θεὸς ὑμῶν βα-
σιλεὺς ὑμῶν. καὶ νῦν ἰδοὺ, ὁ βασι-
λεὺς, ὃν ἐξελέξασθε, καὶ ὃν ᾐτήσασθε.
καὶ ἰδοὺ, δέδωκε κύριος ἐφ' ὑμᾶς βα-
σιλέα. ἐὰν φοβηθῆτε τὸν κύριον, καὶ
δουλεύσητε αὐτῷ, καὶ ἀκούσητε τῆς
φωνῆς αὐτοῦ, καὶ μὴ ἐρίσητε τῷ
στόματι κυρίου, καὶ ἦτε καὶ ὑμεῖς
καὶ

uestris, ut ingressus est Ia-
cob & filii eius in Aegy-
ptum, & humiliauit eos
Aegyptus. Et clamauerũt Genes.46
patres uestri ad dominũ, Exod.2
& misit dominus Moy-
sem & Aaron, & eduxit
patres uestros ex Aegy-
pto, & transtulit eos in lo
co hoc. Et obliti sunt dñi Iudic.4
dei eorum, & tradidit eos
in manus Sisara summi du
cis exercitus Iabis regis
Asor, & in manus alieni-
genarum, & in manum re
gis Moab, & bellum ges-
serunt in eis. Et clama-
uerunt ad dominum, & di
xerunt, Peccauimus, quia
dereliquimus dominũ, &
seruiuimus Baalim, & lu-
cis. Et nunc erue nos de
manu inimicorum nostro
rum, & seruiemus tibi. Et
ablegauit dñs Hierobaal Iudic.6
& Barac, & Iephthae &
Samuel, & eripuit uos de
manu inimicorum uestro
rum, per circuitum, & ha
bitastis confidentes. Et ui Sup.8.& 10
distis, quod Naas rex fili
orum Ammon uenit ad-
uersum uos, et dixistis, nõ
nisi rex regnabit in no-
bis. Et dominus deus no-
ster rex uester. Et nũc, ec
ce rex, quem elegistis, &
quem petiistis. Et ecce, de
dit dominus super uos re
gem. Si timeatis dominũ,
& seruiatis ei, & audiatis
uocem eius, & non con-
tendatis cum ore do-
mini, & sitis & uos

& rex & regnans super
nos post dñm eũtes, nõ e-
rit manus Dñi sup uos. Si
aũt nõ audieritis uocẽ dñi
et contende is cũ ore eius,
& erit manus domini su-
per uos & super regẽ ue-
strum. Et nunc consistite,
& uidete uerbũ magnum
hoc, quod dominus faciet
in oculis uestris. Nũquid
messis triticorum hodie?
Inuocabo dominũ, & da-
bit uoces, & pluuiam. Et
cognoscite, & uidete, q̃a
malicia uẽa magna, quã
fec stis in conspectu dñi,
petẽtes uobisipsis regem.
Et inuocauit Samuel do-
minum, & dedit dominus
uoces & pluuiam in die il
la. Et timuerunt omnis po
pulus ualde dominum, &
Samuel. Et dixit omnis
populus ad Samuel, Ora
pro seruis tuis ad dominũ
deum tuum, ut non moria
mur, quia addidimus ad
omnia peccata nostrã ma
liciam, petentes nobisipsis
regem. Et dixit Samuel
ad populum, Non timete.
Vos fecistis omnem mali
ciam hanc, uerum ne de-
clinetis à tergo domini.
Et seruite domino in toto
corde uestro, & non præ
uaricemini post nihil exi-
stentia, quæ non perficiẽt
quicquam, & non eripi-
ent, quia nihil sunt. Quo-
niam non expellet dñs po
pulũ suũ, propter nomen
suũ magnũ. Quia decẽter
Domi-

καὶ ὁ βασιλεὺς καὶ ὁ βασιλεύων ἐφ' ὑ-
μῶν ὀπίσω κυρίου πορευόμενοι, οὐκ
ἔσται χεὶρ κυρίου ἐφ' ὑμᾶς. ἐὰν δὲ μὴ
εἰσακούσητε τῆς φωνῆς κυρίου, καὶ ἐρίση-
τε τῷ στόματι κυρίου, καὶ ἔσται χεὶρ κυ-
ρίου ἐφ' ὑμᾶς, καὶ ἐπὶ τὸν βασιλέα ὑ-
μῶν. καὶ νῦν κατάστητε, καὶ ἴδετε τὸ ῥῆ-
μα τὸ μέγα τοῦτο, ὃ ὁ κύριος ποιήσει
ἐν ὀφθαλμοῖς ὑμῶν. οὐχὶ θερισμὸς
πυρῶν σήμερον; ἐπικαλέσομαι τὸν
κύριον, καὶ δώσει φωνὰς καὶ ὑετόν. καὶ
γνῶτε, καὶ ἴδετε, ὅτι ἡ κακία ὑμῶν
μεγάλη, ἣν ἐποιήσατε ἐνώπιον κυ-
ρίου, αἰτήσαντες ἑαυτοῖς βασιλέα. καὶ
ἐπεκαλέσατο σαμουὴλ τὸν κύριον,
καὶ ἔδωκε κύριος φωνὰς καὶ ὑετὸν ἐν
τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ ἐφοβήθησαν
πᾶς ὁ λαὸς σφόδρα τὸν κύριον καὶ
τὸν σαμουήλ. καὶ εἶπε πᾶς ὁ λαὸς πρὸς
τὸν σαμουήλ, πρόσευξαι ὑπὲρ τῶν δού-
λων σου πρὸς κύριον τὸν θεόν σου, καὶ
μὴ ἀποθάνωμεν, ὅτι προστεθείκαμεν
πρὸς πάσας τὰς ἁμαρτίας ἡμῶν
κακίαν, αἰτήσαντες ἑαυτοῖς βασι-
λέα. καὶ εἶπε σαμουὴλ πρὸς τὸν λαόν,
μὴ φοβεῖσθε. ὑμεῖς πεποιήκατε τὴν
πᾶσαν κακίαν ταύτην, πλὴν μὴ
ἐκκλίνητε ἀπὸ ὄπισθεν κυρίου. καὶ δου-
λεύσατε τῷ κυρίῳ ἐν ὅλῃ καρδίᾳ ὑ-
μῶν, καὶ μὴ παραβῆτε ὀπίσω τῶν μη-
δὲν ὄντων, ἃ οὐ περανοῦσιν οὐδὲν, καὶ οὐκ
ἐξελοῦνται, ὅτι οὐδέν εἰσιν. ὅτι οὐκ ἀπώ-
σεται κύριος τὸν λαὸν ἑαυτοῦ, διὰ τὸ
ὄνομα αὐτοῦ τὸ μέγα. ὅτι ἐπιεικῶς
κύριος

κύριος προσελάβετο ὑμᾶς ἑαυτῷ εἰς λαόν. καὶ ἐμοὶ μηδαμῶς τὸ ἁμαρτεῖν ἐνώπιον κυρίου, ἀνιέναι τὸ προσεύχεσθαι ἐνώπιον κυρίου περὶ ὑμῶν. καὶ δουλεύσω τῷ κυρίῳ, καὶ δείξω ὑμῖν τὴν ὁδὸν τὴν ἀγαθὴν καὶ τὴν εὐθεῖαν. πλὴν φοβεῖσθε τὸν κύριον, καὶ δουλεύσατε αὐτῷ ἐν ἀληθείᾳ, καὶ ἐν ὅλῃ καρδίᾳ ὑμῶν, ὅτι ἴδετε, ὅτι ἐμεγάλυνε ποιῆσαι μεθ᾽ ὑμῶν. καὶ ἐὰν κακίᾳ κακοποιήσητε, καὶ ὑμεῖς καὶ ὁ βασιλεὺς ὑμῶν προστεθήσεσθε.

Καὶ ἐκλέγεται ἑαυτῷ σαοὺλ τρεῖς χιλιάδας ἀνδρῶν ἐκ τῶν ἀνδρῶν ἰσραήλ. καὶ ἦσαν μετὰ σαοὺλ δισχίλιοι οἱ ἐν μαχμὰς, καὶ ἐν τῷ ὄρει βαιθήλ. καὶ χίλιοι ἦσαν μετὰ ἰωνάθαν ἐν γαβαὰ τοῦ βενιαμίν, καὶ ἐπὶ τὸ κατάλοιπον τοῦ λαοῦ ἐξαπέστειλεν ἕκαστον εἰς τὸ σκήνωμα αὐτοῦ. καὶ ἐπάταξεν ἰωνάθαν τὸν νασὶβ τὸν ἀλλόφυλον τὸν ἐν τῷ βουνῷ, καὶ ἀκούουσιν οἱ ἀλλόφυλοι, καὶ σαοὺλ σάλπιγγι σαλπίζει εἰς πᾶσαν τὴν γῆν, λέγων, ἠθετήκασιν οἱ δοῦλοι. καὶ πᾶς ἰσραὴλ ἤκουσαν λεγόντων, ὅτι πέπαικε σαοὺλ τὸν νασὶβ τὸν ἀλλόφυλον, καὶ ἰσχύνθησαν ἰσραὴλ ἐν τοῖς ἀλλοφύλοις. καὶ ἀνεβόησεν ὁ λαὸς ὀπίσω σαοὺλ ἐν γαλγάλοις, καὶ οἱ ἀλλόφυλοι συνάγονται εἰς πόλεμον ἐπὶ ἰσραήλ. καὶ ἀναβαίνουσιν ἐπὶ ἰσραὴλ εἰς πόλεμον τριάκοντα χιλιάδες ἁρμάτων, καὶ

ἕξ

Dominus accepit nos ſibi ipſi in populum. Et mihi nequaquam peccare coram domino, ut remittam adorare coram dño pro uobis. Et ſeruiã domino, & oſtendam uobis uiam bonam et rectam. Verum timete dominum, & ſeruite ei in ueritate, & in toto corde ueſtro, quia uidiſtis, quod magnificauit facere uobiſcum. Et ſi malitia m lefeceritis, & uos & rex ueſter interficiemini.

Cap. XIII

Et eligit ſibiipſi Saul tria millia uirorum de filiis Iſrael. Et erant cum Saul duo millia, quæ in Machmas, et in mõte Bethel. Et mille erant cũ Ionathan in Gabaa Beniamin, & per reliquum populi remiſit unumquenq; in tabernaculum ſuum. Et percuſſit Ionathan Naſib alienigenam qui in colle, & audiunt alienigenæ, & Saul cecinit tuba in omnem terram, dicens, contumelioſi fuerunt ſerui. Et omnis Iſrael audiuerũt, dicẽtes, quod percuſſit Saul Naſib alienigenam, & roborati ſunt Iſrael in alienigenis. Et exclamauit populus poſt Saul in Galgalis, et alienigenæ cõgregantur in bellum, contra Iſrael. Et aſcendunt contra Iſrael in bellum triginta millia curruum, &

sex millia equitum, & po
pulus ut arena quæ est iu-
xta labium maris multitu-
dine. Et ascendunt, & ca
strametãtur in Machmas,
è regione Bethoron, ad se
ptentrionem. Et uir Israel
uidit, quod arctè ipsi non
adducere eum, & abscon
ditus est populus in spelũ
cis et in foueis, in petris et
Sup. 10 in fossis & in lacubus. Et
transeuntes trãsierunt Ior
danem, in terrã Gad et in
Galaad. Et Saul adhuc e-
rat in Galgalis, & uniuer
sus populus exterritus est
post eum. Et distulit se-
ptem dies testimonio, ut
dixit Samuel, & non ad-
uenit Samuel in Galgala.
Et dispersus est populus
eius ab eo, & dixit Saul,
ut faciam holocaustum, et
pacifica. Et obtulit holo-
caustum & factum est, ut
perfecit offerens holocau
stum, & Samuel aduenit,
& egressus est Saul in oc-
cursum ei, ut benediceret
ei. Et dixit Samuel. Quid
fecisti? Et dixit Saul,
Quia uidi, ut dispersus est
populus à me, & tu non
adueniebas, ut constitue-
ras in testimonio dierum,
& alienigenæ congrega-
ti fuerant in Machmas, et
dixi, nunc descendent alie
nigenæ ad me in Galga-
la, & faciem domini
non deprecatus sum, &
cor-

ἓξ χιλιάδες ἱππέων, καὶ λαὸς ὡς ἡ
ἄμμος ἡ παρὰ τὸ χεῖλος τῆς θαλάσ-
σης τῷ πλήθει. καὶ ἀναβαίνουσι, καὶ
παρεμβάλλουσιν εἰς πόλεμον, ἐν μα-
χμὰς, ἐξ ἐναντίας βαιθωρῶν, κατὰ
νότου. καὶ ἀνὴρ ἰσραὴλ εἶδεν, ὅτι στε-
νῶς αὐτῷ μὴ προσάγειν αὐτὸν, καὶ
ἐκρύβη ὁ λαὸς ἐν τοῖς σπηλαίοις,
καὶ ἐν ταῖς μάνδραις, ἐν ταῖς πέ-
τραις, καὶ ἐν τοῖς βόθροις καὶ ἐν
τοῖς λάκκοις. καὶ οἱ διαβαίνοντες
διέβησαν τὸν ἰορδάνην, εἰς γῆν
γὰδ καὶ εἰς τὴν γαλαάδ. καὶ σαοὺλ
ἔτι ἦν ἐν γαλγάλοις, καὶ πᾶς ὁ λαὸς
ἐξέστη ὀπίσω αὐτοῦ. καὶ διέλιπεν
ἑπτὰ ἡμέρας τῷ μαρτυρίῳ, ὡς εἶπε
σαμουὴλ, καὶ οὐ παρεγένετο σαμουὴλ
εἰς γάλγαλα. καὶ διεσπάρη ὁ λαὸς
αὐτοῦ ἀπ᾽ αὐτοῦ, καὶ εἶπε σαοὺλ, προσ-
αγάγετε, ὅπως ποιήσω ὁλοκαύτωσιν
καὶ εἰρηνικάς. καὶ ἀνήνεγκε
τὴν ὁλοκαύτωσιν, καὶ ἐγένετο, ὡς
συνετέλεσε ἀναφέρων τὴν ὁλοκαύ-
τωσιν, καὶ σαμουὴλ παραγίνεται,
καὶ ἐξῆλθε σαοὺλ εἰς ἀπάντησιν αὐ-
τῷ εὐλογῆσαι αὐτόν. καὶ εἶπε σαμου-
ὴλ, τί πεποίηκας; καὶ εἶπε σαοὺλ, ὅτι
εἶδον, ὡς διεσπάρη ὁ λαὸς ἀπ᾽ ἐμοῦ,
καὶ σὺ οὐ παρεγένου, ὡς διετάξω ἐν
τῷ μαρτυρίῳ τῶν ἡμερῶν, καὶ οἱ
ἀλλόφυλοι συνήχθησαν εἰς μαχμὰς,
καὶ εἶπα, νῦν καταβήσονται οἱ ἀλλό-
φυλοι πρός με εἰς γάλγαλα, καὶ τοῦ προ-
σώπου τοῦ κυρίου οὐκ ἐδεήθην, καὶ
ἐν-

ἐνεκρατευσάμην, καὶ ἀνήνεγκα τὴν ὁλοκαύτωσιν. καὶ εἶπε σαμουὴλ πρὸς σαοὺλ, μεματαίωταί σοι, ὅτι οὐκ ἐφύλαξας τὴν ἐντολήν μου, ἣν ἐνετείλατό σοι κύριος, ὡς νῦν ἡτοίμασε κύριος τὴν βασιλείαν σου ἐπὶ ἰσραὴλ, ἕως αἰῶνος. καὶ νῦν ἡ βασιλεία σου οὐ στήσεταί σοι, καὶ ζητήσει κύριος ἑαυτῷ ἄνθρωπον κατὰ τὴν καρδίαν αὐτοῦ, καὶ ἐντελεῖται κύριος αὐτῷ εἰς ἄρχοντα ἐπὶ τὸν λαὸν αὐτοῦ, ὅτι οὐκ ἐφύλαξας, ὅσα ἐνετείλατό σοι κύριος. καὶ ἀνέστη σαμουὴλ, καὶ ἀπῆλθεν ἐκ γαλγάλων, εἰς ὁδὸν αὐτοῦ. καὶ τὸ κατάλειμμα τοῦ λαοῦ ἀνέβη ὀπίσω σαοὺλ, εἰς ἀπάντησιν ὀπίσω τοῦ λαοῦ τοῦ πολεμιστοῦ, αὐτῶν παραγινομένων ἐκ γαλγάλων εἰς γαβαὰ βενιαμείν. καὶ ἐπεσκέψατο σαοὺλ τὸν λαὸν τὸν εὑρεθέντα μετ' αὐτοῦ, ὡς ἑξακοσίους ἄνδρας. καὶ σαοὺλ καὶ ἰωνάθαν υἱὸς αὐτοῦ, καὶ ὁ λαὸς οἱ εὑρεθέντες μετ' αὐτῶν, ἐκάθισαν ἐν γαβαὰ βενιαμείν, καὶ ἔκλαιον. καὶ οἱ ἀλλόφυλοι παρεμβεβλήκασαν ἐν μαχμάς. καὶ ἐξῆλθε διαφθείρων ἐξ ἀγροῦ ἀλλοφύλων, τρισὶν ἀρχαῖς. ἡ ἀρχὴ ἡ μία ἐπιβλέπουσα ὁδὸν γοφορὰ, ἐπὶ τὴν γῆν σωβάλ. καὶ ἡ ἀρχὴ ἡ μία ἐπιβλέπουσα ὁδὸν βαιθωρῶν. καὶ ἡ ἀρχὴ ἡ μία ἐπιβλέπουσα ὁδὸν γαβεὲ, τὴν ἐκκύπτουσαν ἐπὶ γαὶ τὴν σαβὶμ τὴν ἔρημον. καὶ τέκτων σιδήρου οὐχ εὑρίσκετο ἐν πάσῃ γῇ ἰσραὴλ, ὅτι εἶπον

corroboratus sum, & obtuli holocaustum. Et dixit Samuel ad Saul, Frustra 1.Par.10
actum est tibi, quia nõ custodisti mãdatum meum, quod præcepit tibi dominus, ut nunc præparauit dominus regnum tuum super Israel, usq; in seculũ. Et nunc regnum tuũ non stabit tibi, & quæret dominus sibiipsi hominẽ iuxta cor suũ, & præcipiet ei dominus in ducẽ super populum suum, quia non seruasti, quæ præcepit tibi dominus. Et surrexit Samuel, & abiit è Galgalis, in uiam suam. Et reliquiæ populi ascenderunt post Saul, in occursum post populũ bellatorem, ipsis aduenientibus è Galgalis in Gabaa Beniamin. Et recensuit Saul populum inuentum cum eo, circiter sexcentos uiros. Et Saul & Ionathan filius eius, & populus, inuenti cũ eis sederunt in Gabaa Beniamin, & fleuerunt. Et alienigenæ castra fixerũt in Machmas. Et egressus est deuastans ex agro alienigenarũ tribus aciebus. Acies una inspiciens uiã Gophera, ad terram Sobal. Et acies una inspiciens uiam Bæthoron. Et acies una inspiciens uiam Gabee, deuergentem in Gai Sabim desertum. Et faber ferri nõ inueniebatur in omni terra Israel, quia dixe-

dixerunt alienigenæ, ne faciant Hebræi gladium & hastam. Et descēdebat omnis Israel in terrā alienigenarum, ut fabricaret unusquisq; falcem suam, & instrumentum suum, et cuilibet securim suam & falcem suam. Et erat uindemia parata ad metendum, instrumenta autem, erant tres sicli in dentem, & securi & falci, substantia erat eadem. Et factum est in diebus belli Machmas, & non est inuentus ensis & lancea in manu totius populi, qui erat cū Saul & cū Ionathan, et inuentus est Saul & Ionathā filio eius, & egressus est è conspectu alienigenarum in regionē trās Machmas.

Cap. XIIII Et fuit dies, & dixit Ionathan filius Sauli puero, ferenti arma eius, Veni, et ascendamus in Messab alienigenarum, quod in regione trans locū illum, et patri suo nō renūciauit. Et Saul sedebat in colle, in uertice collis, sub malogranato quæ in Magdō, & erāt cū eo circiter sexcenti uiri, & Achia filius Achitob fratris Ioabed, filii Phinees, filii Heli, sacerdos dñi in Selo, gestās ephud. Et populus nō sciuit, qđ abiit Ionathan. Et in medio trāsitus, ubi quęrebat Ionathā trāsire i cōspectū alienigenarū, et dēs petręq; erat è regiōe hu⁹, et

dens

εἶπον οἱ ἀλλόφυλοι, μὴ ποιήσωσιν οἱ ἑβραῖοι ῥομφαίαν καὶ δόρυ. καὶ κατέβαινον πᾶς ἰσραὴλ εἰς γῆν ἀλλοφύλων χαλκεύειν ἕκαστος τὸ θέριστρον αὐτοῦ, καὶ τὸ σκεῦος αὐτοῦ, καὶ ἕκαστος τὴν ἀξίνην αὐτοῦ, καὶ τὸ δρέπανον αὐτοῦ. καὶ ἦν ὁ τρυγητὸς ἕτοιμος τοῦ θερίζειν. τὰ δὲ σκεύη ἦν τρεῖς σίκλοι εἰς τὸν ὀδόντα, καὶ τῇ ἀξίνῃ καὶ τῷ δρεπάνῳ ὑπόστασις ἦν ἡ αὐτή. καὶ ἐγενήθη ἐν ταῖς ἡμέραις τοῦ πολέμου μαχμὰς, καὶ οὐχ εὑρέθη ῥομφαία καὶ δόρυ ἐν χειρὶ παντὸς τοῦ λαοῦ, τοῦ μετὰ σαοὺλ καὶ μετὰ ἰωνάθαν, καὶ εὑρέθη τῷ σαοὺλ καὶ τῷ ἰωνάθαν υἱῷ αὐτοῦ, καὶ ἐξῆλθον ἐξ ὑποστάσεως τῶν ἀλλοφύλων εἰς τὸ πέραν μαχμάς.

Καὶ ἐγενήθη ἡ ἡμέρα, καὶ εἶπεν ἰωνάθαν υἱὸς σαοὺλ τῷ παιδαρίῳ, τῷ αἴροντι τὰ σκεύη αὐτοῦ, δεῦρο, καὶ διαβῶμεν εἰς μεσσὰβ τῶν ἀλλοφύλων, τὴν ἐν τῷ πέραν ἐκείνῳ, καὶ τῷ πατρὶ αὐτοῦ οὐκ ἀπήγγειλε. καὶ σαοὺλ ἐκάθητο ἐν τῷ βουνῷ, ἐπ' ἄκρον τοῦ βουνοῦ, ὑπὸ τὴν ῥοὰν τὴν ἐν μαγδὼμ, καὶ ἦσαν μετ' αὐτοῦ ὡς ἑξακόσιοι ἄνδρες, καὶ ἀχιὰ υἱὸς ἀχιτὼβ ἀδελφοῦ ἰωαβὴδ, υἱοῦ φινεὲς, υἱοῦ ἡλεὶ, ἱερεὺς τοῦ θεοῦ ἐν σηλὼ, αἴρων ἐφούδ. καὶ ὁ λαὸς οὐκ ᾔδει, ὅτι πεπόρευται ἰωνάθαν. καὶ ἀνὰ μέσον τῶν διαβάσεων, οὗ ἐζήτει ἰωνάθαν διαβῆναι εἰς τὴν ὑπόστασιν τῶν ἀλλοφύλων, καὶ ὀδοὺς πέτρας ἦν ἐκ τοῦ πέραν τούτου, καὶ

ὀδοὺς

ὀδοὺς δὲ πέτρας ἐκ τοῦ πέραν τούτου, ὄνομα τῷ ἑνὶ μωσὴς, καὶ ὄνομα τῷ ἄλλῳ σενά. ἡ ὀδοὺς ἡ μία ἀπὸ βορρᾶ ἐρχομένῳ μαχμὰς, καὶ ἡ ὀδοὺς ἡ ἄλλη ἀπὸ νότου ἐρχομένῳ γαβεέ. καὶ εἶπεν ἰωνάθαν πρὸς τὸ παιδάριον, τὸ αἴρον τὰ σκεύη αὐτοῦ, δεῦρο, καὶ διαβῶμεν εἰς μεσσὰβ τῶν ἀπεριτμήτων τούτων, εἴ τι ποιήσει κύριος ἡμῖν, ὅτι οὐκ ἔστι τῷ κυρίῳ συνεχόμενον σώζειν ἐν πολλοῖς ἢ ἐν ὀλίγοις. καὶ εἶπεν αὐτῷ ὁ αἴρων τὰ σκεύη αὐτοῦ, ποίει πᾶν ὃ ἐὰν ἡ καρδία σου ἐκκλίνῃ. ἰδοὺ, ἐγὼ μετά σου εἰμί, ὡς ἡ καρδία σου, καρδία μου. καὶ εἶπεν ἰωνάθαν, ἰδοὺ, ἡμεῖς διαβαίνομεν πρὸς τοὺς ἄνδρας, καὶ κατακυλισθησόμεθα πρὸς αὐτοὺς, καὶ ἐὰν τάδε εἴπωσι πρὸς ἡμᾶς, ἀπόστητε ἐκεῖ, ἕως ἂν ἀγγείλωμεν ὑμῖν, καὶ στησόμεθα ἐφ' ἑαυτοὺς, καὶ οὐ μὴ ἀναβῶμεν ἐπ' αὐτούς. καὶ ἐὰν τάδε εἴπωσι πρὸς ἡμᾶς, ἀνάβητε πρὸς ἡμᾶς, καὶ ἀναβησόμεθα, ὅτι παραδέδωκεν αὐτοὺς κύριος εἰς χεῖρας ἡμῶν. τοῦτο ἡμῖν τὸ σημεῖον. καὶ εἰσῆλθον ἀμφότεροι εἰς μεσσὰβ τῶν ἀλλοφύλων. καὶ λέγουσιν οἱ ἀλλόφυλοι, ἰδοὺ, ἑβραῖοι ἐκπορεύονται ἐκ τῶν τρωγλῶν αὐτῶν, οὗ ἐκρύβησαν ἐκεῖ. καὶ ἀπεκρίθησαν οἱ ἄνδρες μεσσὰβ πρὸς τὸν ἰωνάθαν καὶ πρὸς τὸν αἴροντα τὰ σκεύη αὐτοῦ, καὶ λέγουσιν, ἀνάβητε πρὸς ἡμᾶς, καὶ γνωριοῦμεν ὑμῖν ῥῆμα.

dens petræ è regione huius, nomẽ uni Moses, & nomẽ alteri Sena. Via una à septentrione eunti Machmas, & uia alia ab Austro uenienti Gabee. Et dixit Ionathan ad puerum gestãtem arma eius, Veni, & transeamus in Messab incircumcisorum horũ, si aliquid faciet dominus nobis, quia non est dño continens saluare uel in multis uel in paucis. Et dixit ei gestãs arma eius, Fac omne quod cor tuum declinet. Ecce, ego tecũ sum, sicut cor tuũ, cor meum. Et dixit Ionathan, Ecce, nos transimus ad uiros, & deuoluemur ad eos, & si hæc dixerint ad nos, Absistite ibi, donec annunciemus uobis, et stabimus in nobis ipsis, et nõ ascendamus ad eos. Et si hęc dixerint ad nos, Ascẽdite ad nos, et ascẽdamus, quia tradidit eos dominus in manibus nostris. Hoc nobis signum. Et ingressi sunt ambo in Messab alienigenarum. Et dixerunt alienigenæ, Ecce egrediuntur Hebræi de cauernis, ubi absconditi fuerãt ibi. Et responderunt uiri Messab ad Ionathan, & ad gestantem arma eius, & dicunt, Ascendite ad nos, & ostendemus uobis uerbum.

uerbum. Et dixit Ionathan ad gestantem arma eius, Ascende post me, quia tradidit eos in manus Israel. Et ascendit Ionathan per manus suas, et per pedes suos, & gestans arma eius post eum. Et aspexerunt contra faciem Ionathan, & percussit eos, & gerens arma eius porrigebat post eum. Et fuit plaga prima, qua percussit Ionathan, & gerens arma eius, circiter uiginti uiros in iaculis & in lapidũ iaculationib. & in silicibus campi. Et fuit stupor in castris & in agro. Et omnis populus qui in Messab, & deuastantes exhorruerunt & ipsi, & non uoluerunt laborare. Et obstupuit terra, & factus est horror à domino. Et uiderunt speculatores Saul in Gabaa Beniamin, & ecce, castra turbata hinc & hinc. Et dixit Saul populo qui cum eo, perquirite iam, & uidete, quis abijt ex nobis. Et perquisiuerunt, & ecce, non inuentus fuit Ionathan & gerens arma eius. Et dixit Saul Achia, Applica ephud, quoniam erat arca dei in die illa coram Israel. Et factum est, ut loquitur Saul ad sacerdotem, & tumultus in castris alieni.

ῥῆμα. καὶ εἶπεν ἰωνάθαν πρὸς τὸν αἴροντα τὰ σκεύη αὐτοῦ, ἀνάβηθι ὀπίσω μου, ὅτι παραδέδωκεν αὐτοὺς κύριος εἰς χεῖρας ἰσραήλ. καὶ ἀνέβη ἰωνάθαν ἐπὶ τὰς χεῖρας αὐτοῦ, καὶ ἐπὶ τοὺς πόδας αὐτοῦ, καὶ ὁ αἴρων τὰ σκεύη αὐτοῦ, ὀπίσω αὐτοῦ. καὶ ἐπέβλεψαν κατὰ πρόσωπον ἰωνάθαν, καὶ ἐπάταξεν αὐτοὺς, καὶ ὁ αἴρων τὰ σκεύη αὐτοῦ ἐπεδίδου ὀπίσω αὐτοῦ. καὶ ἐγενήθη ἡ πληγὴ ἡ πρώτη, ἣν ἐπάταξεν ἰωνάθαν καὶ ὁ αἴρων τὰ σκεύη αὐτοῦ, ὡσεὶ εἴκοσιν ἄνδρες, ἐν βολίσι καὶ ἐν πετροβόλοις καὶ ἐν κόχλαξι τοῦ πεδίου. καὶ ἐγενήθη ἔκστασις ἐν τῇ παρεμβολῇ καὶ ἐν ἀγρῷ. καὶ πᾶς ὁ λαὸς ὁ ἐν μεσσὰβ, καὶ οἱ διαφθείροντες, ἐξέστησαν καὶ αὐτοὶ, καὶ οὐκ ἤθελον * πονεῖν. καὶ ἐθάμβησεν ἡ γῆ, καὶ ἐγενήθη ἔκστασις παρὰ κυρίου. καὶ εἶδον οἱ σκοποὶ τοῦ σαοὺλ ἐν γαβαὰ βενιαμὶν, καὶ ἰδοὺ, ἡ παρεμβολὴ τεταραγμένη ἔνθεν καὶ ἔνθεν. καὶ εἶπε σαοὺλ τῷ λαῷ τῷ μετ' αὐτοῦ, ἐπισκέψασθε δὴ, καὶ ἴδετε, τίς πεπόρευται ἐξ ὑμῶν. καὶ ἐπεσκέψαντο, καὶ ἰδοὺ, οὐχ εὑρίσκετο ἰωνάθαν καὶ ὁ αἴρων τὰ σκεύη αὐτοῦ. καὶ εἶπε σαοὺλ τῷ ἀχιᾷ, προσάγαγε τὸ ἐφοὺδ, ὅτι ἦν ἡ κιβωτὸς τοῦ θεοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐνώπιον ἰσραήλ. καὶ ἐγενήθη, ὡς ἐλάλει σαοὺλ πρὸς τὸν ἱερέα, καὶ ὁ ἦχος ἐν τῇ παρεμβολῇ τῶν

* πολεμεῖν

ἀλλο-

ἀλλοφύλων ἐπορεύετο πορευόμενος, καὶ ἐπλήθυνε. καὶ εἶπε σαοὺλ πρὸς τὸν ἱερέα, συνάγαγε τὰς χεῖράς σου. καὶ ἀνέβη σαοὺλ καὶ πᾶς ὁ λαὸς ὁ μετ᾽ αὐτοῦ, καὶ ἔρχονται ἕως τοῦ πολέμου. καὶ ἰδοὺ, ἐγένετο ῥομφαία ἀνδρὸς ἐπὶ τὸν πλησίον αὐτοῦ, σύγχυσις μεγάλη σφόδρα. καὶ οἱ δοῦλοι οἱ ὄντες ἐχθὲς καὶ τρίτην ἡμέραν μετὰ τῶν ἀλλοφύλων, οἱ ἀναβαίνοντες εἰς τὴν παρεμβολὴν, ἐπεστράφησαν καὶ αὐτοὶ εἶναι μετὰ ἰσραὴλ, μετὰ σαοὺλ καὶ ἰωνάθαν. καὶ πᾶς ἀνὴρ ἰσραὴλ, οἱ κρυπτόμενοι ἐν τῷ ὄρει ἐφραὶμ ἤκουσαν, ὅτι πεφεύγασιν οἱ ἀλλόφυλοι, καὶ συνάπτουσι καὶ αὐτοὶ ὀπίσω αὐτῶν εἰς πόλεμον. καὶ ἔσωσε κύριος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τὸν ἰσραήλ. καὶ ὁ πόλεμος διῆλθε τὴν βαμώθ. καὶ πᾶς ὁ λαὸς ἦν μετὰ σαοὺλ, ὡς δέκα χιλιάδες ἀνδρῶν. καὶ ἦν ὁ πόλεμος διεσπαρμένος εἰς ὅλην τὴν πόλιν, ἐν τῷ ὄρει ἐφραίμ. καὶ σαοὺλ ἠγνόησεν ἄγνοιαν μεγάλην ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἀρᾶται τῷ λαῷ, λέγων, ἐπικατάρατος ὁ ἄνθρωπος, ὃς φάγηται ἄρτον ἕως ἑσπέρας, καὶ ἐκδικήσω τὸν ἐχθρόν μου. καὶ οὐκ ἐγεύσατο πᾶς ὁ λαὸς ἄρτου, καὶ πᾶσα ἡ γῆ ἠρίστα. καὶ ἰδοὺ δρυμὸς ἦν μελισσῶνος κατὰ πρόσωπον τοῦ ἀγροῦ, καὶ εἰσῆλθεν ὁ λαὸς εἰς τὸν μελισσῶνα. καὶ ἰδοὺ ἐπορεύετο λαλῶν, καὶ οὐκ ἦν ἐπιστρέφων τὴν χεῖρα αὐτοῦ εἰς τὸ στόμα αὐτοῦ.

alienigenarum ibat iens & multiplicabatur. Et dixit Saul ad sacerdotem, Contrahe manus tuas. Et ascendit Saul & omnis populus qui cum eo, & uenerunt usque ad bellum. Et ecce, fuerat gladius uiri ad proximum suum, & confusio magna ualde. Et serui existentes heri & nudiustertius cum alienigenis, ascendentes in castra, reuersi sunt & ipsi, ut essent cum Israel, cũ Saul & Ionathã. Et omnis uir Israel, abscõditi in monte Ephraim audierunt, quod fugerunt alienigenæ, & cohęrent & ipsi post eos in bellum. Et saluauit dominus Israel in die illa. Et bellum transiuit Bamoth. Et omnis populus erat cũ Saul, circiter decem millia uirorum. Et fuit bellum dispersum in totam ciuitatem, in monte Ephraim. Et Saul ignorauit ignorantiam magnam in die illa, et execratur populum, dicens, Execratus homo qui ederit panem usque ad uesperam, & ulciscar hostem meum. Et non gustauit uniuersus populus panem, & omnis terra prandebat. Et saltus erat apiarij super faciem agri, & ingressus est populus in apiarium. Et ecce, proficiscebatur loquẽs, & nõ fuit conuertẽs manũ in os suum,

suum, quia timuit popul⁹ iusiurandum domini. Et Ionathan non audierat, cũ adiuraret pater eius populum. Et extendit summitatẽ sceptri sui, quod in manu eius, et tinxit ipsum in fauum mellis, et conuertit manum suam in os suum, et respexerunt oculi eius. Et respondit unus de populo, & dixit, Adiurauit pater tuus populũ, dicens, Execratus homo qui edet panem hodie, et exolutus est populus, Et cognouit Ionathan, et dixit, Abalienauit pater meus terram. Vide, quia uiderunt oculi mei, quod gustaui paululũ qd mellis huius. Quod si edisset edẽs hodie è spoliis hostium eorum, quæ inuenit, quòd nunc maior erat plaga alienigenis. Et percussit in die illa ex alienigenis plures ꝙ in Machmas. Et laborauit populus ualde. Et impetu ruit populus in spolia. Et accepit populus ouilia & armenta boum & fœtus boum, et mactauerunt super terram, et edit populus cũ sanguine. Et renunciatum est Saul, dicẽtes, Quod populus peccauit dño, edens cũ sanguine. Et dixit Saul, Ex Geththẽ uoluite mihi lapidẽ huc magnũ. Et dixit Saul, Dispergamini in populo, & dicite eis, Adducere huc uitulum suum quem

Sup. cod.

αὐτοῦ, ὅτι ἐφοβήθη ὁ λαὸς τὸν ὅρκον κυρίου. καὶ ἰωνάθαν οὐκ ἀκηκόει ἐν τῷ ὁρκίζειν τὸν πατέρα αὐτοῦ τὸν λαόν. καὶ ἐξέτεινε τὸ ἄκρον τοῦ σκήπτρου αὐτοῦ τοῦ ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἔβαψεν αὐτὸ εἰς τὸ κηρίον τοῦ μέλιτος, καὶ ἐπέστρεψε τὴν χεῖρα αὐτοῦ εἰς τὸ στόμα αὐτοῦ, καὶ ἀνέβλεψαν οἱ ὀφθαλμοὶ αὐτοῦ. καὶ ἀπεκρίθη εἷς ἐκ τοῦ λαοῦ, καὶ εἶπεν, ὁρκίσας ὥρκισε τὸν λαὸν ὁ πατήρ σου, λέγων, ἐπικατάρατος ὁ ἄνθρωπος, ὃς φάγεται ἄρτον σήμερον, καὶ ἐξελύθη ὁ λαός. καὶ ἔγνω ἰωνάθαν, καὶ εἶπεν, ἀπήλλαχεν ὁ πατήρ μου τὴν γῆν. ἴδε, διότι εἶδον οἱ ὀφθαλμοί μου, ὅτι ἐγευσάμην βραχύ τι τοῦ μέλιτος τούτου. ἀλλ' ὅτι ἔφαγεν ἔσθων σήμερον ὁ λαὸς τῶν σκύλων τῶν ἐχθρῶν αὐτοῦ, ὧν εὗρεν, ὅτι νῦν ἂν μείζων ἦν ἡ πληγὴ τοῖς ἀλλοφύλοις. καὶ ἐπάταξεν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ τῶν ἀλλοφύλων πλεῖστ ἢ ἐν μαχμάς. καὶ ἐκόπασεν ὁ λαὸς σφόδρα. καὶ ὥρμησεν ὁ λαὸς εἰς τὰ σκῦλα. καὶ ἔλαβεν ὁ λαὸς ποίμνια καὶ βουκόλια, καὶ τέκνα βοῶν, καὶ ἔσφαξαν ἐπὶ τὴν γῆν, καὶ ἤσθιεν ὁ λαὸς σὺν τῷ αἵματι. καὶ ἀπηγγέλη τῷ σαοὺλ, λέγοντες, ὅτι λαὸς ἡμάρτηκε τῷ κυρίῳ, φαγὼν σὺν τῷ αἵματι. καὶ εἶπε σαοὺλ, ἐκ γεθθὲμ κυλίσατέ μοι λίθον ἐνταῦθα μέγαν. καὶ εἶπε σαοὺλ, διασπάρητε ἐν τῷ λαῷ, καὶ εἴπατε αὐτοῖς προσαγαγεῖν ἐνταῦθα τὸν μόσχον αὐτοῦ

ἕκαστος

ἕκαστος ὑμῶν, καὶ ἕκαστος τὸ πρό-
βατον αὐτοῦ, καὶ σφαξάτω ἐπὶ τούτου
τοῦ λίθου, καὶ φάγετε αὐτά, καὶ οὐ μὴ ἁ-
μάρτητε τῷ κυρίῳ τοῦ ἐσθίειν σὺν τῷ
αἵματι. καὶ προσῆγεν πᾶς ὁ λαὸς, ἕ-
καστος τὸ ἐν τῇ χειρὶ αὐτοῦ τὴν νύκτα,
καὶ ἔσφαζον ἐκεῖ. καὶ ᾠκοδόμησεν
ἐκεῖ σαοὺλ θυσιαστήριον τῷ κυρίῳ,
τοῦτο ἤρξατο σαοὺλ οἰκοδομῆσαι θυ-
σιαστήριον τῷ κυρίῳ. καὶ εἶπε σαοὺλ,
καταβῶμεν ὀπίσω τῶν ἀλλοφύλων
τὴν νύκτα, καὶ διαρπάσωμεν ἐν αὐ-
τοῖς, ἕως διαφαύσῃ ἡ ἡμέρα, καὶ
μὴ ὑπολείπωμεν ἐν αὐτοῖς ἄνδρα.
καὶ εἶπον, πᾶν τὸ ἀγαθὸν ἐνώπιόν
σου ποίει. καὶ εἶπεν ὁ ἱερεὺς, προσέλ-
θωμεν ἐνταῦθα πρὸς τὸν θεόν. καὶ ἐπη-
ρώτησε σαοὺλ τὸν θεόν, εἰ καταβῶ ὀπί-
σω τῶν ἀλλοφύλων, εἰ παραδώσεις
αὐτοὺς εἰς χεῖρας ἰσραήλ; καὶ οὐκ ἀ-
πεκρίθη αὐτῷ κύριος ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ. καὶ εἶπε σαοὺλ, προσαγάγετε
ἐνταῦθα πάσας τὰς γωνίας τοῦ ἰ-
σραὴλ, καὶ γνῶτε, καὶ ἴδετε, ἐν τίνι γέ-
γονεν ἡ ἁμαρτία αὕτη σήμερον. ὅ-
τι ζῇ κύριος, ὁ σώσας τὸν ἰσραὴλ, ὅτι
ἐὰν ἀποκριθῇ κατὰ ἰωνάθαν τοῦ υἱοῦ
μου, θανάτῳ ἀποθανεῖται. καὶ οὐκ ἦν ὁ
ἀποκρινόμενος ἐκ παντὸς τοῦ λαοῦ. καὶ
εἶπε παντὶ ἀνδρὶ ἰσραὴλ, ὑμεῖς ἔσε-
σθε εἰς δουλείαν, καὶ ἐγὼ καὶ ἰωνάθαν ὁ
υἱός μου ἐσόμεθα εἰς δούλους. καὶ εἶπον
ὁ λαὸς πρὸς σαοὺλ, τὸ ἀγαθὸν ἐνώ-
πιόν σου ποίει. καὶ εἶπε σαοὺλ, κύ-
ριος

quemlibet uestrum, & quemlibet ouem suam. & mactet in hoc lapide, & edite ea, & non peccetis domino, edendo cum sanguine. Et adduxit omnis populus, unusquisque quod in manu sua nocte, & mactabant ibi. Et ædificauit ibi Saul domino altare, hoc incepit Saul ędificare altare domino. Et dixit Saul, Descendamus post alienigenas nocte, & diripiamus in eis usque dum illucescat dies, & non relinquamus in eis uirum. Et dixerũt, Omne bonum in conspectu tuo fac. Et dixit sacerdos, Accedamus huc ad deum. Et interrogauit Saul deum, An descendam post alienigenas, an trades eos in manus Israel? Et non respondit ei dominus in die illa. Et dixit Saul, Adducite huc omnes angulos Israel. & cognoscite, & uidete, in quo factum est peccatum istud hodie. Quia uiuit dominus, qui saluauit Israel, quia si responderit contra Ionathan filium meum, morte morietur. Et non fuit respondens ex omni populo. Et dixit omni uiro Israel, Vos eritis in seruitutem, & ego & Ionathã filius meus erimus in seruos. Et dixit populus ad Saul, Bonũ corã te fac. Et dixit Saul, Do-

d mine

mine deus Israel, quid, quod non respondisti seruo tuo hodie? Si in me aut in Ionathan filio meo iniuria, Domine deus Israel da manifestos. Et si hæc dicas, da iam populo tuo Israel, da iam sanctimoniam. Et sortiuntur Ionathan & Saul, & populus exiuit. Et dixit Saul, Iacite sortem inter me & inter Ionathan filium meum, & quem sortito ceperit dominus, moriatur. Et dixit populus ad Saul, Non est uerbum hoc. Et deuicit Saul populum. Et iaciunt sortes inter eum & inter Ionathan, & sortito capiunt Ionathan. Et dixit Saul ad Ionathan, Indica mihi, quid fecisti? Et indicauit ei Ionathā, et dixit, Gustās gustaui in summo sceptro, quod in manu mea, paruum mel, et ecce, ego morior? Et dixit ei Saul, Hæc faciat mihi deus, & hęc addat, quia morte morieris hodie. Et dixit populus ad Saul, An hodie morietur morte, qui fecit salutem magnā in Israel? Propitius uiuit dominus, si cadet de capite eius capillus in terram, qui misericordiam dei fecit in die hac. Et adorauit populus pro Ionathan in die illa, & non est mortuus. Et ascendit Saul à ter-

ριος ὁ θεὸς ἰσραὴλ, τί ὅτι οὐκ ἀπεκρίθης τῷ δούλῳ σου σήμερον; εἰ ἐν ἐμοὶ ἢ ἐν ἰωνάθαν τῷ υἱῷ μου ἡ ἀδικία, κύριε ὁ θεὸς ἰσραὴλ, δὸς δήλους. καὶ ἐὰν τάδε εἴπῃς, δὸς δὴ τῷ λαῷ σου ἰσραὴλ, δὸς δὴ ὁσιότητα. καὶ κατακληροῦνται ἰωνάθαν καὶ σαοὺλ, καὶ ὁ λαὸς ἐξῆλθε. καὶ εἶπε σαοὺλ, βάλλετε κλῆρον ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον ἰωνάθαν τοῦ υἱοῦ μου, ὃν κατακληρώσηται κύριος, ἀποθανέτω. καὶ εἶπεν ὁ λαὸς πρὸς σαοὺλ, οὐκ ἔσται τὸ ῥῆμα τοῦτο. καὶ κατεκράτησε σαοὺλ τοῦ λαοῦ, καὶ βάλλουσι κλήρους ἀνὰ μέσον αὐτοῦ, καὶ ἀνὰ μέσον ἰωνάθαν τοῦ υἱοῦ αὐτοῦ, καὶ κατακληροῦνται ἰωνάθαν. καὶ εἶπε σαοὺλ πρὸς ἰωνάθαν, ἀπάγγειλόν μοι, τί πεποίηκας; καὶ ἀπήγγειλεν αὐτῷ ἰωνάθαν, καὶ εἶπε, γευσάμενος ἐγευσάμην ἐν ἄκρῳ τῷ σκήπτρῳ τῷ ἐν τῇ χειρί μου βραχὺ μέλι, καὶ ἰδοὺ ἐγὼ ἀποθνήσκω; καὶ εἶπεν αὐτῷ σαοὺλ, τάδε ποιήσαι μοι ὁ θεὸς, καὶ τάδε προσθείη, ὅτι θανάτῳ ἀποθανῇ σήμερον. καὶ εἶπεν ὁ λαὸς πρὸς σαοὺλ, ἦ σήμερον ἀποθανεῖται θανάτῳ ὁ ποιήσας τὴν σωτηρίαν τὴν μεγάλην ταύτην ἐν ἰσραήλ; ἵλεως ζῇ κύριος, εἰ πεσεῖται ἀπὸ τῆς κεφαλῆς αὐτοῦ θρὶξ ἐπὶ τὴν γῆν, ὅτι ἔλεος τοῦ θεοῦ ἐποίησεν ἐν τῇ ἡμέρᾳ ταύτῃ. καὶ προσηύξατο ὁ λαὸς περὶ ἰωνάθαν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ οὐκ ἀπέθανε. καὶ ἀνέβη σαοὺλ ἀπὸ

ἀπὸ ὄπισθεν τῶν ἀλλοφύλων, καὶ οἱ ἀλλόφυλοι ἀπῆλθον εἰς τὸν τόπον αὐτῶν. καὶ σαοὺλ ἔλαχε τοῦ βασιλεύειν ἐπὶ ἰσραήλ. καὶ ἐπολέμει κυκλόθεν πάντας τοὺς ἐχθροὺς αὐτοῦ, εἰς τὸν μωὰβ καὶ τοὺς υἱοὺς ἀμμὼν, καὶ εἰς τοὺς υἱοὺς ἐδὼμ, καὶ εἰς τὸν βαιθὼρ, καὶ εἰς βασιλέα σουβὰ, καὶ εἰς τοὺς ἀλλοφύλους. οὗ ἂν ἐστράφη, ἐσώζετο. καὶ ἐποίησε δύναμιν, καὶ ἐπάταξε τὸν ἀμαλήκ. καὶ ἐξείλετο τὸν ἰσραὴλ ἐκ χειρὸς τῶν καταπατούντων αὐτόν. καὶ ἦσαν οἱ υἱοὶ σαοὺλ, ἰωνάθαν καὶ ἰησσὶ καὶ μελχισουέ. καὶ ὀνόματα τῶν δύο θυγατέρων αὐτοῦ, ὄνομα τῇ πρωτοτόκῳ αὐτοῦ, μερὸβ, καὶ ὄνομα τῇ δευτέρᾳ, μελχόλ. καὶ ὄνομα τῇ γυναικὶ αὐτοῦ, ἀχινοὸμ, θυγάτηρ ἀχιμάας. καὶ ὄνομα τῷ ἀρχιστρατήγῳ αὐτοῦ ἀβεννὴρ, υἱὸς νὴρ, υἱοῦ οἰκείου σαοὺλ. καὶ κὶς πατὴρ σαοὺλ. καὶ νὴρ πατὴρ ἀβεννὴρ, υἱὸς ἰαμὶν, υἱοῦ ἀβιήλ. καὶ ἦν ὁ πόλεμος κραταιὸς ἐπὶ τοὺς ἀλλοφύλους, πάσας τὰς ἡμέρας σαοὺλ. καὶ ἰδὼν σαοὺλ πάντα ἄνδρα δυνατὸν, καὶ πάντα ἄνδρα υἱὸν δυνάμεως, καὶ συνήγαγεν αὐτοὺς πρὸς αὐτόν.

Καὶ εἶπε σαμουὴλ πρὸς σαοὺλ, ἐμὲ ἀπέστειλε κύριος χρῖσαί σε εἰς βασιλέα ἐπὶ τὸν λαὸν αὐτοῦ ἐπὶ ἰσραὴλ, καὶ νῦν ἄκουσον τῆς φωνῆς τῶν λόγων κυρίου. τάδε εἶπε κύριος σαβαὼθ, νῦν ἐκδικήσω, ὃ ἐποίησεν ἀμαλὴκ τῷ ἰσραὴλ, ὡς ἀπήντησεν

αὐτῷ

à tergo alienigenarum, & alienigenæ abierunt in locum suum. Et Saul sortitus est, ut regnaret super Israel. Et oppugnabat in circuitu omnes hostes eius, in Moab et filios Ammon, & in filios Edom, & in Bæthor, & in regẽ Suba, & in alienigenas. Quocunque uersus est, saluabatur. Et fecit exercitum, & percussit Amalec. Et eripuit Israel è manu conculcantium ipsum. Et fuerunt filii Saul, Ionathan & Iesui & Melchisue. Et nomina duarum filiarum suarum, nomen primogenitæ eius, Merob, & nomen secundæ, Melchol. Et nomen uxori eius Achinoom, filia Achimaas. Et nomen principi militiæ eius, Abenner, filius Ner, filij domestici Saul. Et Cis pater Saul. Et Ner pater Abenner, filius Iamin, filij Abiel. Et erat bellum forte aduersus alienigenas, omnibus diebus Saul. Et uidens Saul omnẽ uirum potentẽ, et omnẽ uirũ filiũ uirtutis, & cõgregauit eos ad seipsũ.

Cap. XV

Et dixit Samuel ad Saul, Me ablegauit dñs, ut ungerẽ te in regem super populũ eius, super Israel, & nunc audi uocẽ sermonũ dñi. Hæc dixit dñs Sabaoth, Nunc ego ulciscar, quæ fecit Amalec Israel, ut aduersatus est

ei

ei in uia, ascendēte eo ex Ægypto. Et nunc uade, & percuties Amalec, & Iarim & omnia eius. Et non reliquū facies ex eo, & perdes eum, & deuouebis eū & omnia eius, et nō parces ab eo. Et interficies à uiro & usq; ad mulierem, & à paruulo usq; ad lactantem, & à uitulo usq; ad ouem, & à camelo usq; ad asinum. Et annunciauit Saul populo, et recenset eos in Galgalis, ducenta millia ordinum, & Iudam, triginta milia ordinum. Et uenit Saul usq; ad ciuitatē Amalec. & tetendit insidias in torrente. Et dixit Saul ad Cinæum, Abi, & declina de medio Amalecitæ, ne adiungam te cum eo. Et tu fecisti misericordiā cum fil.js Israel, cū ascenderēt ipsi de Ægypto. Et declinauit Cinæus è medio Amalec. Et percussit Saul Amalec ab Euilat usq; ad Sur, in conspectu Ægypti. Et comprehendit Agag regem Amalec uiuentem, & omnem populum eius perdidit, & Iarim occidit in ore gladij. Et superstitem reliquit Saul & omnis populus Agag uiuentem, & bona armētorum & gregum, & ciborum &

αὐτῷ ἐν τῇ ὁδῷ, ἀναβαίνοντος αὐτοῦ ἐξ αἰγύπτου. καὶ νῦν πορεύου, καὶ πατάξεις τὸν ἀμαλὴκ καὶ ἰαρὶμ, καὶ πάντα τὰ αὐτοῦ. καὶ οὐ περιποιήσῃ ἐξ αὐτοῦ, καὶ ἐξολοθρεύσεις αὐτὸν, καὶ ἀναθεματιεῖς αὐτοῦ, καὶ πάντα τὰ αὐτοῦ, καὶ οὐ φείσῃ ἀπ' αὐτοῦ. καὶ ἀποκτενεῖς ἀπὸ ἀνδρὸς καὶ ἕως γυναικὸς, καὶ ἀπὸ νηπίου ἕως θηλάζοντος, καὶ ἀπὸ μόσχου ἕως προβάτου, καὶ ἀπὸ καμήλου ἕως ὄνου. καὶ παρήγγειλε σαοὺλ τῷ λαῷ, καὶ ἐπισκέπτεται αὐτοὺς ἐν γαλγάλοις, διακοσίας χιλιάδας ταγμάτων, καὶ τὸν ἰούδαν, τριάκοντα χιλιάδας ταγμάτων. καὶ ἦλθε σαοὺλ ἕως τῶν πόλεων ἀμαλὴκ, καὶ ἐνήδρευσεν ἐν τῷ χειμάῤῥῳ. καὶ εἶπε σαοὺλ πρὸς τὸν κιναῖον, ἄπελθε, καὶ ἔκκλινον ἐκ μέσου τοῦ ἀμαληκίτου, μὴ προσθῶ σε μετ' αὐτοῦ. καὶ σὺ ἐποίησας ἔλεος μετὰ πάντων τῶν υἱῶν ἰσραὴλ, ἐν τῷ ἀναβαίνειν αὐτοὺς ἐξ αἰγύπτου. καὶ ἐξέκλινεν ὁ κιναῖος ἐκ μέσου ἀμαλήκ. καὶ ἐπάταξε σαοὺλ τὸν ἀμαλὴκ, ἀπὸ εὐιλὰτ ἕως σοὺρ, ἐπὶ προσώπου αἰγύπτου. καὶ συνέλαβε τὸν ἄγαγ βασιλέα ἀμαλὴκ ζῶντα, καὶ πάντα τὸν λαὸν αὐτοῦ ἐξωλόθρευσε, καὶ ἰαρὶμ ἀπέκτεινεν ἐν στόματι ῥομφαίας. καὶ περιεποιήσατο σαοὺλ καὶ πᾶς ὁ λαὸς τὸν ἄγαγ ζῶντα, καὶ τὰ ἀγαθὰ τῶν βουκολίων καὶ τῶν ποιμνίων, καὶ τῶν ἐδεσμάτων

καὶ

καὶ τῶν ἀμπελώνων, καὶ πάντων τῶν ἀγαθῶν, καὶ οὐκ ἐβούλοντο ἐξολοθρεῦσαι αὐτά. καὶ πᾶν ἔργον ἠτιμωμένον ἐξωλόθρευσε. καὶ ἐγενήθη ῥῆμα κυρίου πρὸς σαμουὴλ, λέγων, μεταμέλομαι, ὅτι ἔχρισα τὸν σαοὺλ εἰς βασιλέα, ὅτι ἀπέστρεψεν ἀπὸ ὄπισθέ μου, καὶ τοὺς λόγους μου οὐκ ἐτήρησε. καὶ ἠθύμησε σαμουὴλ, καὶ ἐβόησε πρὸς κύριον ὅλην τὴν νύκτα. καὶ ὤρθρισε σαμουὴλ, καὶ ἐπορεύθη εἰς ἀπάντησιν τὸ πρωΐ. καὶ ἀπηγγέλη τῷ σαμουὴλ, λέγοντες, ἥκει σαοὺλ εἰς κάρμηλον, καὶ ἰδοὺ, ἀνέστακεν αὐτῷ χεῖρα, καὶ ἐπέστρεψε τὸ ἅρμα, καὶ κατέβη εἰς γάλγαλα. καὶ ἦλθε σαμουὴλ πρὸς σαοὺλ, καὶ ἰδοὺ, αὐτὸς ἀνέφερεν ὁλοκαύτωσιν τῷ κυρίῳ, τὰ πρῶτα τῶν σκύλων, ὧν ἐξήνεγκεν ἐξ ἀμαλήκ. καὶ παρεγένετο σαμουὴλ πρὸς σαοὺλ, καὶ εἶπεν αὐτῷ σαοὺλ, εὐλογητὸς σὺ τῷ κυρίῳ. ἔστησα πάντα, ὅσα ἐλάλησε κύριος. καὶ εἶπε σαμουὴλ, καὶ τίς ἡ φωνὴ τοῦ ποιμνίου τούτου ἐν τοῖς ὠσί μου, καὶ ἡ φωνὴ τῶν βοῶν, ὧν ἐγὼ ἀκούω; καὶ εἶπε σαοὺλ, ἐξ ἀμαλὴκ ἤνεγκα αὐτὰ, ἃ περιεποιήσατο ὁ λαὸς, τὰ κράτιστα τοῦ ποιμνίου καὶ τῶν βοῶν, ὅπως θυθῇ κυρίῳ τῷ θεῷ σου, καὶ τὰ λοιπὰ ἐξωλόθρευσα. καὶ εἶπε σαμουὴλ πρὸς σαοὺλ, ἄνες, καὶ ἀπαγγελῶ σοι, ἃ ἐλάλησε κύριος πρός με τὴν νύκτα. καὶ εἶπεν αὐτῷ.

& uinearum & omnium bonorum, & non uoluerunt ea disperdere. Et omne opus inhonoratum disperdidit. Et factum est uerbum domini ad Samuelem, dicens, Pœnitet me, quod unxi Saul in regem, quia auersus est à tergo meo, & sermones meos non seruauit. Et contristatus est Samuel, & clamauit ad dominum totam noctem. Et surrexit mane Samuel, & abijt in occursum Israel mane. Et nunciatum est Samuel, dicentes, Venit Saul in Carmelum, & ecce, erexit sibi manum, & conuertit currum, & descendit in Galgala. Et uenit Samuel ad Saul, & ecce, ipse obtulit holocaustum domino, prima spoliorum, quæ abstulit ex Amalec. Et accedebat Samuel ad Saul, & dixit ei Saul, Benedictus tu domino, statui om̄ia, quæ loquutus est dominus. Et dixit Samuel, Et quę uox hæc gregis huius in auribus meis, & uox boum, quos ego audio? Et dixit Saul, Ex Amalec tuli ea quę reliqua fecit populus, optima gregis, & boum, ut sacrificentur domino deo tuo, & reliqua destruxi. Et dixit Samuel ad Saul, Remitte, & enunciabo tibi, quę locutus est dn̄s ad me hac nocte. Et dixit

ei, Loquere. Et dixit Samuel ad Saul, Non'ne paruus tu es corã teipso, dux sceptri tribus Israel? Et unxit te dominus in regem super Israel. Et ablegauit te dominus in uia, & dixit tibi, Abi, & destrue Amalec. Et interficies peccantes in me, & debellabis eos, donec conficias eos. Et quare non audisti uocem domini, per omnia, quæcunque locutus est tibi, sed festinasti reponere in spolia, et fecisti malum coram domino? Et dixit ad Samuel, Quia audiui ego uocem populi, & ambulaui in uia, in qua misit me dominus, & adduxi Agag regem Amalec, & Amalec deuastaui. Et accepit populus de spoliis greges et armenta, prima deuastationis, ut immolet coram domino deo nostro, in Galgalis. Et dixit Samuel, An uoluntas est domino, holocausta et uictimas, ut audire uocem domini? Ecce auditio super uictimam bonam. Et obedientia super adipem arietum. Quoniam peccatum ariolatio est. Dolor & labor theraphin inducunt. Quia nihili fecisti uerbum domini, & nihili faciet te dominus, ut non sis rex in Israel. Et dixit Saul ad Samuel, Peccaui, quia præuaricatus sum sermonem

αὐτῷ, λάλησον. καὶ εἶπε σαμουὴλ πρὸς σαοὺλ, οὐχὶ μικρὸς εἶ σὺ ἐνώπιον σαυτοῦ, ἡγούμενος σκήπτρου φυλῆς ἰσραήλ; καὶ ἔχρισέ σε κύριος εἰς βασιλέα ἐπὶ ἰσραήλ. καὶ ἀπέστειλέ σε κύριος ἐν ὁδῷ, καὶ εἶπέ σοι, πορεύθητι, καὶ ἐξολόθρευσον τὸν ἀμαλήκ. καὶ ἀνελεῖς τοὺς ἁμαρτάνοντας εἰς ἐμὲ, καὶ πολεμήσεις αὐτοὺς, ἕως συντελέσῃς αὐτούς. καὶ ἵνα τί οὐκ ἤκουσας φωνῆς κυρίου, κατὰ πάντα, ὅσα ἐλάλησέ σοι, ἀλλὰ ὥρμησας τοῦ θέσθαι ἐπὶ τὰ σκῦλα, καὶ ἐποίησας τὸ πονηρὸν ἐνώπιον κυρίου; καὶ εἶπε πρὸς σαμουὴλ, διὰ τὸ ἀκοῦσαί με τῆς φωνῆς τοῦ λαοῦ, καὶ ἐπορεύθην ἐν τῇ ὁδῷ, ἐν ᾗ ἀπέστειλέ με κύριος, καὶ ἤγαγον τὸν ἀγαγ βασιλέα ἀμαλὴκ, καὶ τὸν ἀμαλὴκ ἐξωλόθρευσα. καὶ ἔλαβον ὁ λαὸς τῶν σκύλων ποίμνια καὶ βουκόλια, τὰ πρῶτα τοῦ ἐξολοθρεύματος, θῦσαι ἐνώπιον κυρίου θεοῦ ἡμῶν, ἐν γαλγάλοις. καὶ εἶπε σαμουὴλ, εἰ θελητὸν τῷ κυρίῳ, ὁλοκαυτώματα καὶ θυσίας, ὡς τὸ ἀκοῦσαι φωνῆς κυρίου; ἰδοὺ, ἀκοὴ ὑπὲρ θυσίαν ἀγαθὴν. καὶ ἡ ἐπακρόασις ὑπὲρ στέαρ κριῶν. ὅτι ἁμαρτία οἰώνισμά ἐστιν. ὀδύνην καὶ πόνον θεραφὶν ἐπάγουσιν. ὅτι ἐξουδένωσας τὸ ῥῆμα κυρίου, καὶ ἐξουδενώσει σε κύριος τοῦ μὴ εἶναι βασιλέα ἐπὶ ἰσραήλ. καὶ εἶπε σαοὺλ πρὸς σαμουὴλ, ἡμάρτηκα, ὅτι παρέβην τὸν λόγον

γον κυρίου, καὶ τὸ ῥῆμά σου, ὅτι ἐφοβήθην τὸν λαὸν, καὶ ἤκουσα τῆς φωνῆς αὐτῶν. καὶ νῦν ἆρον δὴ τὸ ἁμάρτημά μου, καὶ ἀνάστρεψον μετ' ἐμοῦ, καὶ προσκυνήσω κυρίῳ τῷ θεῷ σου. καὶ εἶπε σαμουὴλ πρὸς σαοὺλ, οὐκ ἀναστρέψω μετὰ σοῦ, ὅτι ἐξουδένωσας τὸ ῥῆμα κυρίου, καὶ ἐξουδενώσει σε κύριος τοῦ μὴ εἶναι εἰς βασιλέα ἐπὶ ἰσραήλ. καὶ ἐπέστρεψε σαμουὴλ τὸ πρόσωπον αὐτοῦ, τοῦ ἀπελθεῖν, καὶ ἐκράτησε σαοὺλ τοῦ πτερυγίου τῆς διπλοΐδος αὐτοῦ, καὶ διέρρηξεν αὐτό. καὶ εἶπε πρὸς αὐτὸν σαμουὴλ, διέρρηξε κύριος τὴν βασιλείαν σου ἀπὸ ἰσραὴλ, ἐκ χειρός σου σήμερον, καὶ δώσει αὐτὴν τῷ πλησίον σου τῷ ἀγαθῷ ὑπὲρ σέ. καὶ διαιρεθήσεται ἰσραὴλ εἰς δύο. καὶ οὐκ ἀποστρέψει, οὐδὲ μετανοήσει, ὅτι οὐχ ὡς ἄνθρωπός ἐστι τοῦ μετανοῆσαι. αὐτὸς ἀπειλήσει, καὶ οὐκ ἐμμενεῖ; καὶ εἶπε σαοὺλ, ἡμάρτηκα, ἀλλὰ δόξασόν με δὴ ἐνώπιον τῶν πρεσβυτέρων ἰσραὴλ, καὶ ἐνώπιον λαοῦ μου, καὶ ἀνάστρεψον μετ' ἐμοῦ, καὶ προσκυνήσω κυρίῳ τῷ θεῷ σου. καὶ ἀνέστρεψε σαμουὴλ ὀπίσω μετὰ σαοὺλ, καὶ προσεκύνησε τῷ κυρίῳ. καὶ εἶπε σαμουὴλ, προσαγάγετέ μοι τὸν ἀγὰγ βασιλέα ἀμαλήκ. καὶ προσῆλθε πρὸς αὐτὸν ἀγὰγ τρέμων. καὶ εἶπον ἀγὰγ, εἰ οὕτω πικρὸς ὁ θάνατος. καὶ εἶπε σαμουὴλ πρὸς αὐτὸν, ἀγὰγ, καθότι ἠτέκνωσε γυναῖκας ἡ ῥομφαία σου, οὕ-

mone domini & uerbum tuum, quia timui populũ, & audiui uocem eorũ. Et nunc tolle iam peccatum meum, & reuertere mecum, & adorabo dominũ deum tuum. Et ait Samuel ad Saul, Non reuertar tecum, quia nihili feciſti uerbum domini, & nihili faciet te dominus, ne ſis rex in Iſrael. Et conuertit Samuel faciem ſuam, ut abiret, & tenuit Saul alam diploidis eius, & diſſcidit illud. Et dixit ad eum Samuel, Diſſcidit dominus regnum tuum ab Iſrael, de manu tua hodie, & dabit illud propinquo tuo, bono ſuper te & diuidetur Iſrael in duo. Et non reuertetur, neque pœnitentiam aget, quia non ut homo eſt pœnitendo. Ipſe minabitur, & non perſeuerabit? Et dixit Saul, Peccaui, ſed honora me iam coram ſenioribus Iſrael, & coram populo meo, & reuertere mecum, & adorabo dominum deum tuum. Et reuerſus eſt Samuel retro cum Saul, & adorauit dominum. Et dixit Samuel, Adducite mihi Agag regem Amalec. Et acceſsit ad eum Agag tremens. Et dixit Agag, Num ſic amara mors. Et dixit Samuel ad eum, Agag, ſicut priuauit liberis mulieres gladius

tuus,

tuus, ita liberis priuabitur è mulieribus mater tua. Et mactauit Samuel Agag coram domino, in Galgalis. Et abijt Samuel in Armathaim. Et Saul ascendit in domum suam in Gabaa. Et non addidit ultra Samuel uidere Saul, usq; in diem mortis suę, q̃a lugebat Samuel ob Saul.

Cap. XVI Et dominum pœnituit, quod regem fecit Saul super Israel. Et dixit dominus ad Samuel, Vsquequo tu luges ob Saul? Et ego nihili feci eum, ut non rex sit in Israel. Imple cornu tuum oleo, et ueni, ablegabo te ad Iessæ, usque in Bethleem, quoniam uidi in filijs eius mihi regem. Et dixit Samuel, Quomodo uadam? Et audiet Saul, et interficiet me. Et dixit dominus, Accipe in manum tuam iuuencam boum, et dices, Ad immolandum domino uenio. Et uocabis Iessæ et filios eius ad uictimã, et ostendam tibi, quæ facies, et unges, quem dixero ad te. Et fecit Samuel omnia, quæ loquutus est dominus. Et uenit in Bethleem, et exhorruerunt seniores ciuitatis occursu eius, et dixerunt, Pax ingressus tuus, Videns? Et dixit, Pax. Ad immolandũ dño uenio. Sãctificemini, et gaudete mecum hodie. Et sanctificauit Iessę et filios

σου, οὕτως ἀτεκνωθήσεται ἐκ γυναικῶν ἡ μήτηρ σου. καὶ ἔσφαξε σαμουὴλ τὸν ἄγαγ ἐνώπιον κυρίου, ἐν γαλγάλοις. καὶ ἀπῆλθε σαμουὴλ εἰς ἀρμαθαΐμ. καὶ σαοὺλ ἀνέβη εἰς τὸν οἶκον αὐτοῦ, εἰς γαβαά. καὶ οὐ προσέθετο ἔτι σαμουὴλ ἰδεῖν τὸν σαοὺλ, ἕως ἡμέρας θανάτου αὐτοῦ, ὅτι ἐπένθει σαμουὴλ ἐπὶ σαοὺλ.

Καὶ κύριος μετεμελήθη, ὅτι ἐβασίλευσε τὸν σαοὺλ ἐπὶ τὸν ἰσραήλ. καὶ εἶπε κύριος πρὸς σαμουὴλ, ἕως πότε σὺ πενθεῖς ἐπὶ σαοὺλ; καὶ ἐγὼ ἐξουδένωκα αὐτὸν μὴ βασιλεύειν ἐπὶ ἰσραήλ. πλῆσον τὸ κέρας σου ἐλαίου, καὶ δεῦρο, ἀποστελῶ σε πρὸς ἰεσσαὶ, ἕως εἰς βηθλεὲμ, ὅτι ἑώρακα ἐν τοῖς υἱοῖς αὐτοῦ ἐμοὶ βασιλέα. καὶ εἶπε σαμουὴλ, πῶς πορευθῶ; καὶ ἀκούσεται σαοὺλ, καὶ ἀποκτενεῖ με. καὶ εἶπε κύριος, λαβὲ εἰς τὴν χεῖρά σου δάμαλιν βοῶν, καὶ ἐρεῖς, θῦσαι τῷ κυρίῳ ἥκω. καὶ καλέσεις τὸν ἰεσσαὶ καὶ τοὺς υἱοὺς αὐτοῦ εἰς τὴν θυσίαν, καὶ ἐγὼ γνωριῶ σοι, ἃ ποιήσεις, καὶ χρίσεις, ὃν ἂν εἴπω πρός σε. καὶ ἐποίησε σαμουὴλ πάντα, ὅσα ἐλάλησεν αὐτῷ κύριος. καὶ ἦλθον εἰς βηθλεὲμ, καὶ ἐξανέστησαν οἱ πρεσβύτεροι τῆς πόλεως τῇ ἀπαντήσει αὐτοῦ, καὶ εἶπαν, εἰρήνη ἡ εἴσοδός σου, ὁ βλέπων; καὶ εἶπεν, εἰρήνη. θῦσαι τῷ κυρίῳ ἥκω. ἁγιάσθητε, καὶ εὐφράνθητε μετ' ἐμοῦ σήμερον. καὶ ἡγίασε τὸν ἰεσσαὶ καὶ τοὺς

τοὺς υἱοὺς αὐτοῦ, καὶ ἐκάλεσεν αὐτοὺς εἰς τὴν θυσίαν. καὶ ἐγενήθη ἐν τῷ εἰσιέναι αὐτοὺς, καὶ εἶδε τὸν ἐλιὰβ, καὶ εἶπεν, ἀλλὰ καὶ ἐνώπιον κυρίου ὁ χριστὸς αὐτοῦ. καὶ εἶπε κύριος πρὸς σαμουὴλ, μὴ ἐπιστρέψῃς ἐπὶ τὴν ὄψιν αὐτοῦ, μηδὲ εἰς τὴν ἕξιν μεγέθους αὐτοῦ, ὅτι ἐξουδένωκα αὐτόν. ὅτι οὐχ ὡς ἐμβλέψεται ἄνθρωπος, ὄψεται ὁ θεός. ὅτι ἄνθρωπος ὄψεται εἰς πρόσωπον, ὁ δὲ θεὸς ὄψεται εἰς καρδίαν. καὶ ἐκάλεσεν ἰεσσαὶ τὸν ἀμιναδὰβ, καὶ παρῆλθε κατὰ πρόσωπον σαμουὴλ, καὶ εἶπεν, οὐδὲ τοῦτον ἐξελέξατο κύριος. καὶ παρήγαγεν ἰεσσαὶ τὸν σαμμὰ, καὶ εἶπε, καὶ ἐν τούτῳ οὐκ ἐξελέξατο κύριος. καὶ παρήγαγεν ἰεσσαὶ τοὺς ἑπτὰ υἱοὺς αὐτοῦ ἐνώπιον σαμουὴλ, καὶ εἶπε σαμουὴλ πρὸς ἰεσσαὶ, οὐκ ἐξελέξατο κύριος ἐν τούτοις. καὶ εἶπε σαμουὴλ πρὸς ἰεσσαὶ, ἐκλελοίπασι τὰ παιδάρια; καὶ εἶπεν ἰεσσαὶ, ἔτι ὁ μικρὸς, ἰδοὺ, ποιμαίνει ἐν τῷ ποιμνίῳ. καὶ εἶπε σαμουὴλ πρὸς ἰεσσαὶ, ἀπόστειλον, καὶ λαβὲ αὐτὸν, ὅτι οὐ μὴ κατακλιθῶμεν, ἕως τοῦ ἐλθεῖν αὐτὸν ἐνταῦθα. καὶ ἀπέστειλε, καὶ εἰσήγαγεν αὐτόν. καὶ αὐτὸς πυῤῥάκης μετὰ κάλλους ὀφθαλμῶν, καὶ ἀγαθὸς ὁράσει κυρίῳ. καὶ εἶπε κύριος πρὸς σαμουὴλ, ἀνάστα, καὶ χρίσον τὸν δαβὶδ, ὅτι οὗτος ἐστὶν ἀγαθός. καὶ ἔλαβε σαμουὴλ τὸ κέρας τοῦ ἐλαίου, καὶ ἔχρισεν αὐτὸν ἐν μέ-

filios eius, et uocauit eos in sacrificium. Et factum est cum ingrederentur ipsi, et uidit Eliab, et dixit, Vtique corā domino christus eius. Et dixit dominus ad Samuel, Ne aduertas in uultum eius, neque in habitum magnitudinis eius, quoniam nihili feci eum. Quoniam non sicut inspexerit homo, uidebit deus. Quoniam homo uidebit in faciē, deus autem uidebit in cor. Et uocauit Iessæ Aminadab, et præteriit in conspectu Samuel, et dixit, Neque hunc elegit dominus. Et adduxit Iessæ Samma, et dixit, Neque in hoc elegit dominus. Et adduxit Iessæ septem filios suos coram Samuel, et dixit Samuel ad Iessæ, Non elegit dominus in istis. Et dixit Samuel ad Iessæ, Deficiunt filij? Et dixit Iessæ, Adhuc est paruus, ecce, pascit oues in grege. Et dixit Samuel ad Iessæ, Ablega, et accipe eum, quoniam non accubuerimus, donec ueniat ipse huc. Et misit, et introduxit eum. Et ipse rufus cum pulchritudine oculorum, et bonus aspectu domino. Et dixit dñs ad Samuel, Surge, et unge Dauid, quoniam ipse est bonus. Et accepit Samuel cornu olei, & unxit eum in me-

dio fratrũ eius. Et insiluit spiritus domini in Dauid à die illa & deinceps. Et surrexit Samuel, & abijt in Armathaim. Et spiritus domini destitit à Saul, & suffocabat eum spiritus malus à domino. Et dixerunt serui Saul ad eum, Ecce, iam spiritus malus à domino suffocat te, dicant iam serui tui coram te, & quærant domino nostro uirum scientem canere in cithara. Et erit, cum sit spiritus malus in te, & canat in cithara sua, & bonum tibi erit, & quietum reddet te. Et dixit Saul ad seruos suos, Circumspicite iam mihi uirum rectè canentem, & introducite eum ad me. Et respondit unus de pueris eius, & dixit, Ecce, uidi filium Iessę Bethleemiten, et ipsum peritum canendi, et uir cõsultus & bellator & sapiens in sermone, & uir bonus forma, & dominus cum eo. Et misit Saul nuncios ad Iessæ, dicens, Mitte Dauid filium tuum ad me, qui est apud gregem. Et accepit Iessæ gomor panum & utrem uini, & hœdum caprarum unum, & ablegauit in manu Dauid filij sui ad Saul. Et ingressus est Dauid ad Saul, & astitit coram eo, & amauit cũ Saul ualde, et fu-
it ei

σῳ τῶν ἀδελφῶν αὐτοῦ. καὶ ἐφήλατο πνεῦμα κυρίου ἐπὶ δαβὶδ ἀπὸ τῆς ἡμέρας ἐκείνης καὶ ἐπάνω. καὶ ἀνέστη σαμουὴλ, καὶ ἀπῆλθεν εἰς ἀρμαθαίμ. καὶ πνεῦμα κυρίου ἀπέστη ἀπὸ σαοὺλ, καὶ ἔπνιγεν αὐτὸν πνεῦμα πονηρὸν παρὰ κυρίου. καὶ εἶπαν οἱ παῖδες σαοὺλ πρὸς αὐτὸν, ἰδοὺ, δὴ πνεῦμα πονηρὸν παρὰ κυρίου πνίγει σε, εἰπάτωσαν δὴ οἱ δοῦλοί σου ἐνώπιόν σου, καὶ ζητησάτωσαν τῷ κυρίῳ ἡμῶν ἄνδρα εἰδότα ψάλλειν ἐν κινύρᾳ. καὶ ἔσται ἐν τῷ εἶναι τὸ πνεῦμα πονηρὸν ἐπί σοι, καὶ ψαλῇ ἐν τῇ κινύρᾳ αὐτοῦ, καὶ ἀγαθόν σοι ἔσται, καὶ ἀναπαύσει σε. καὶ εἶπε σαοὺλ πρὸς τοὺς παῖδας αὐτοῦ, ἴδετε δή μοι ἄνδρα ὀρθῶς ψάλλοντα, καὶ εἰσαγάγετε αὐτὸν πρός με. καὶ ἀπεκρίθη εἷς τῶν παιδαρίων αὐτοῦ, καὶ εἶπεν, ἰδοὺ, ἑώρακα υἱὸν τῷ ἰεσσαὶ βηθλεεμίτην, καὶ αὐτὸν εἰδότα ψάλλειν, καὶ ὁ ἀνὴρ συνετὸς, καὶ πολεμιστὴς, καὶ σοφὸς ἐν λόγῳ, καὶ ὁ ἀνὴρ ἀγαθὸς τῷ εἴδει, καὶ κύριος μετ' αὐτοῦ. καὶ ἀπέστειλε σαοὺλ ἀγγέλους πρὸς ἰεσσαὶ, λέγων, ἐξαπόστειλον δαβὶδ τὸν υἱόν σου πρός με, τὸν ἐν τῷ ποιμνίῳ σου. καὶ ἔλαβεν ἰεσσαὶ γόμορ ἄρτων, καὶ ἀσκὸν οἴνου, καὶ ἔριφον αἰγῶν ἕνα, καὶ ἐξαπέστειλεν ἐν χειρὶ δαβὶδ τοῦ υἱοῦ αὐτοῦ πρὸς σαοὺλ. καὶ εἰσῆλθε δαβὶδ πρὸς σαοὺλ, καὶ παρειστήκει ἐνώπιον αὐτοῦ, καὶ ἠγάπησεν αὐτὸν σφόδρα, καὶ ἐγέ-
νήθη

νήθη αὐτῷ αἴρων σκεύη αὐτοῦ. καὶ ἀπέστειλε σαοὺλ πρὸς ἰεσσαὶ, λέγων, παριστάσθω δὴ δαβὶδ ἐνώπιον ἐμοῦ, ὅτι εὗρε χάριν ἐν ὀφθαλμοῖς μου. καὶ ἐγενήθη ἐν τῷ εἶναι πνεῦμα πονηρὸν ἐπὶ σαοὺλ, καὶ ἐλάμβανε δαβὶδ τὴν κινύραν, καὶ ἔψαλλεν ἐν χειρὶ αὐτοῦ, καὶ ἀνέψυχε σαοὺλ, καὶ ἀγαθὸν ἦν αὐτῷ, καὶ ἀφίστατο ἀπ᾽ αὐτοῦ τὸ πνεῦμα τὸ πονηρόν.

Καὶ συνάγουσιν οἱ ἀλλόφυλοι τὰς παρεμβολὰς αὐτῶν εἰς πόλεμον, καὶ συνάγονται εἰς σοκχὼθ τῆς ἰουδαίας, καὶ παρεμβάλλουσιν ἀνὰ μέσον σοκχὼθ καὶ ἀνὰ μέσον ἀζηκὰ, ἐν ἀφεσδομμίν. καὶ σαοὺλ καὶ οἱ ἄνδρες ἰσραὴλ συνάγονται, καὶ παρεμβάλλουσιν ἐν τῇ κοιλάδι τῆς τερεβίνθου οὗτοι καὶ οὗτοι, καὶ παρατάσσονται εἰς πόλεμον ἐξεναντίας τῶν ἀλλοφύλων. καὶ οἱ ἀλλόφυλοι ἵστανται ἐπὶ τοῦ ὄρους ἐνταῦθα, καὶ ἰσραὴλ ἵσταται ἐπὶ τοῦ ὄρους ἐνταῦθα, καὶ ὁ αὐλὼν ἀνὰ μέσον αὐτῶν. καὶ ἐξῆλθεν ἀνὴρ δυνατὸς ἐκ τῆς παρατάξεως τῶν ἀλλοφύλων, γολιὰθ ὄνομα αὐτῷ, ἐκ γέθ. ὕψος αὐτοῦ ἓξ πήχεων καὶ σπιθαμῆς, καὶ περικεφαλαία ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, καὶ θώρακα ἁλυσιδωτὸν αὐτὸς ἐνδεδυκώς, καὶ ὁ σταθμὸς τοῦ θώρακος αὐτοῦ πέντε χιλιάδων σίκλων χαλκοῦ καὶ σιδήρου. καὶ κνημῖδες χαλκαῖ ἐπὶ τῶν σκελῶν αὐτοῦ.

καὶ

it ei gestans arma eius. Et misit Saul ad Iessæ, dicēs, Assistat iam Dauid in cōspectu meo, quoniam inuenit gratiā in oculis meis. Et factum est, cum esset spiritus malus in Saul, & accipiebat Dauid citharam, & canebat in manu sua, & refocillabatur Saul, & bonum erat ei, & desistebat ab eo spiritus malus.

Cap. XVII

Et congregant alienigenæ castra sua in bellum, et congregātur in Socchoth Iudęæ, & castra figunt in medio Socchoth & medio Azeca, in Aphesdommin. Et Saul & uiri Israel cōgregantur, & castra figunt in ualle Terebinthi hi & hi, & instruunt aciem in bellum ex aduerso alienigenarum. Et alienigenæ consistunt in monte hic, & Israel consistit in monte hic, & uallis in medio eorum. Et egressus est uir potens ex acie alienigenarum, Goliath nomen ei, de Geth. Altitudo ei quatuor cubitorum & palmi, & cassis in capite eius, & thoracem catenatum ipse indutus. Et pondus thoracis eius quinque millia siclorum æris & ferri. Et ocreæ æreæ in cruribus eius.

Et

Et clypeus æreus in medio humerorum eius. Et hastile hastæ eius, ut malus texentis. Et cuspis eius sexcentorum siclorum ferri. Et gerens arma eius antecedebat eum, et stetit, et exclamauit aduersum aciem Israel. Et dixit eis, Quare egredimini aciem instruere in bello aduersum nos? Non sum ego alienigena, et uos Hebræi Saul? Eligite uobisipsis uirum, et descendat ad me, & si poterit belligerare contra me, & si percusserit me, erimus uobis in seruos. Si autem ego potero, & percussero eũ, eritis nobis in seruos, & seruietis nobis. Et di, dixit alienigena, Ecce, ego conuiciatus sum aciei Israel hodie, in die hac da te mihi uirum, & singulariter certabimus ambo. Et audiuit Saul & omnis Israel uerba alienigenæ ista, & exhorruerunt, & timuerunt ualde. Et erat Dauid filius uiri Ephrathęi, is de Bethleem Iuda, & nomen ei Iessæ, & ei octo filij. Et uir in diebus Saul senior, incedens in uiris. Et abierunt tres filij Iessæ maiores post Saul, in bellum. Et nomen filiorum eius qui profecti sunt in bellum, Eliab primogenitus

καὶ ἀσπὶς χαλκῆ ἀνὰ μέσον τῶν ὤμων αὐτοῦ. καὶ ὁ κοντὸς τοῦ δόρατος αὐτοῦ ὡσεὶ μεσάντιον ὑφαίνοντος. καὶ ἡ λόγχη αὐτοῦ ἑξακοσίων σίκλων σιδήρου. καὶ ὁ αἴρων τὰ ὅπλα αὐτοῦ προεπορεύετο αὐτοῦ, καὶ ἔστη, καὶ ἀνεβόησεν εἰς τὴν παράταξιν ἰσραήλ. καὶ εἶπεν αὐτοῖς, ἵνα τί ἐκπορεύεσθε παρατάξασθαι εἰς πόλεμον ἐξεναντίας ὑμῶν; οὐκ ἐγώ εἰμι ἀλλόφυλος, καὶ ὑμεῖς ἑβραῖοι τοῦ σαούλ; ἐκλέξασθε ἑαυτοῖς ἄνδρα, καὶ καταβήτω πρός με, καὶ ἐὰν δυνηθῇ πολεμῆσαι πρός με, καὶ ἐὰν πατάξῃ με, καὶ ἐσόμεθα ὑμῖν εἰς δούλους. ἐὰν δὲ ἐγὼ δυνηθῶ, καὶ πατάξω αὐτόν, ἔσεσθε ἡμῖν εἰς δούλους, καὶ δουλεύσετε ἡμῖν. καὶ εἶπεν ὁ ἀλλόφυλος, ἰδού, ἐγὼ ὠνείδισα τὴν παράταξιν ἰσραὴλ σήμερον, ἐν τῇ ἡμέρᾳ ταύτῃ· δότε μοι ἄνδρα, καὶ μονομαχήσομεν ἀμφότεροι. καὶ ἤκουσε σαοὺλ καὶ πᾶς ἰσραὴλ τὰ ῥήματα τοῦ ἀλλοφύλου ταῦτα, καὶ ἐξέστησαν, καὶ ἐφοβήθησαν σφόδρα. καὶ ἦν δαβὶδ υἱὸς ἀνθρώπου ἐφραθαίου, οὗτος ἐκ βηθλεὲμ ἰούδα, καὶ ὄνομα αὐτῷ ἰεσσαί, καὶ αὐτῷ ὀκτὼ υἱοί. καὶ ὁ ἀνὴρ ἐν ταῖς ἡμέραις σαοὺλ πρεσβύτερος, ἐληλυθὼς ἐν ἀνδράσι. καὶ ἐπορεύθησαν οἱ τρεῖς υἱοὶ ἰεσσαὶ οἱ μείζονες, ὀπίσω σαούλ, εἰς πόλεμον. καὶ ὄνομα τῶν υἱῶν αὐτοῦ τῶν πορευθέντων εἰς τὸν πόλεμον, ἐλιὰβ ὁ πρωτότοκος

τόκος αὐτοῦ. καὶ ὁ δεύτερος ἀμινα-
δάβ, καὶ ὁ τρίτος σαμμά. δαβὶδ
δὲ ὁ μικρότερος, καὶ οἱ τρεῖς οἱ μείζο-
νες ἐπορεύθησαν ὀπίσω σαούλ. καὶ δα-
βὶδ ἀπῆλθε, καὶ ἀνέστρεψεν ἀπὸ τοῦ
σαοὺλ, ποιμαίνων τὰ πρόβατα τοῦ
πατρὸς αὐτοῦ ἐν βηθλεέμ. καὶ προ-
σήει ὁ ἀλλόφυλος ὀρθρίζων καὶ ὀ-
ψίζων, καὶ ἐστηλώθη ἐνώπιον ἰσραὴλ
τεσσαράκοντα ἡμέρας. καὶ εἶπεν ἰεσ-
σαὶ δαβὶδ τῷ υἱῷ αὐτοῦ, λάβε δὴ
τοῖς ἀδελφοῖς σου οἰφὶ τοῦ ἀλφίτου,
καὶ δέκα ἄρτους τούτους, καὶ διά-
δραμε εἰς τὴν παρεμβολὴν, καὶ
δὸς τοῖς ἀδελφοῖς σου. καὶ τὰς δέ-
κα τρυφαλίδας τοῦ γάλακτος τού-
του εἰσοίσεις τῷ χιλιάρχῳ, καὶ τοὺς
ἀδελφούς σου ἐπισκέψαι εἰς εἰρή-
νην, καὶ ὅσα ἂν χρήζωσι, γνώσῃ,
καὶ τὸ σάββατον ποιήσεις μετ' ἐ-
μοῦ. Σαοὺλ δὲ αὐτὸς καὶ πᾶς ὁ
λαὸς ἐν τῇ κοιλάδι τῆς δρυὸς, πολε-
μοῦντες μετὰ τῶν ἀλλοφύλων. Καὶ
ὤρθρισε δαβὶδ τὸ πρωῒ, καὶ ἀφῆκε
τὰ πρόβατα φύλακι. καὶ ἔλαβε, καὶ
ἀπῆλθε, καθὰ ἐνετείλατο αὐτῷ ἰεσ-
σαὶ, καὶ ἦλθεν εἰς τὴν στρογγύλωσιν καὶ
τὴν δύναμιν, τὴν ἐκπορευομένην
εἰς τὴν παράταξιν. καὶ ἠλάλαξαν ἐν
τῷ πολέμῳ, καὶ παρετάξαντο ἰσραὴλ
καὶ οἱ ἀλλόφυλοι παράταξιν ἐξ ἐναν-
τίας παρατάξεως. ἀποθέμενος δὲ
δαβὶδ τὰ σκεύη αὐτοῦ ἀφ' ἑαυτοῦ ἐπὶ
χεῖρα τοῦ φύλακος, ἔδραμεν εἰς τὴν
παρά-

genitus eius, & secundus
Aminadab, & tertius Sa-
ma. Dauid uerò ipse iuni-
or, & tres maiores profe-
cti sunt post Saul. Et Da-
uid abiit, & reuersus est à
Saul pascens oues patris
sui in Bethleem. Et acce-
debat alienigena mane
surgens et uespere ueniēs,
et firmatus est coram Isra-
el quadraginta dies. Et di
xit Iessæ Dauid filio suo,
Accipe iam fratribus tuis
cephi farinæ, et decem pa
nes istos, et transcurre in
castra, et da fratribus tuis.
Et decem caseos lactis hu
ius adferes tribuno, et fra
tres tuos inuise in pacem,
et quibuscunque indigeāt,
cognosces, et sabbatum fa
cies mecum. Saul uerò ip-
se et omnis populus in ual
le Quercus bellum geren
tes cum alienigenis. Et
surrexit Dauid mane, et
dimisit oues custodi. Et
accepit, et abiit, sicut præ
ceperat ei Iessæ, et uenit
in conuersionem et exer-
citum, egredientem in a-
ciem. Et uociferati sunt
in bello, & instruxerunt
Israel et alienigenæ aciem
ex aduerso aciei. De-
ponens uerò Dauid ar-
ma eius à seipso in ma-
nu custodis cucurris, in
aciem

aciem, & uenit, & interrogauit fratres suos in pacem. Et eo loquente cum eis, ecce, uir Amessæus ascendebat, Goliath Phylistigus nomen ei, ex Geth, ex aciebus alienigenarũ & loquutus est secundum uerba hęc. Et audiuit Dauid & omnis uir Israel, cum uiderent ipsi uirum, & fugerunt à facie eius, & timuerunt ualde. Et dixit uir Israel, Num uidistis uirum ascendentem hunc, quoniam ad conuiciandum Israel ascendit. Et erit, uir qui percusserit eum, ditabit eum rex diuitiis magnis, & filiam suam dabit ei, & domum patris eius faciet liberam in Israel. Et dixit Dauid ad uiros consistentes secum, dicens, Quid fiet uiro, qui percusserit alienigenam illum, & abstulerit opprobrium ab Israel? Quoniam quis est alienigena incircumcisus iste, qui conuiciatus est aciei dei uiuentis? Et dixit ei populus secundum uerbũ hoc, dicens, Sic fiet uiro, qui percusserit eum. Et audiuit Eliab frater eius maior, cũ loqueretur ipse ad uiros, & iratus est furore Eliab cõtra Dauid. Et dixit, Quare hoc descẽdisti, & ad quẽ dimisisti paruas oues

παράταξιν, καὶ ἦλθε, καὶ ἠρώτησε τοὺς ἀδελφοὺς αὐτοῦ εἰς εἰρήνην. καὶ αὐτοῦ λαλοῦντος μετ' αὐτῶν, ἰδοὺ ὁ ἀνὴρ ὁ ἀμεσσαῖος ἀνέβαινε, γολιὰθ ὁ φυλισιαῖος ὄνομα αὐτῷ, ἐκ γὲθ, ἐκ τῶν παρατάξεων τῶν ἀλλοφύλων, καὶ ἐλάλησε κατὰ τὰ ῥήματα ταῦτα. καὶ ἤκουσε δαβὶδ, καὶ πᾶς ἀνὴρ ἰσραὴλ ἐν τῷ ἰδεῖν αὐτοὺς τὸν ἄνδρα, καὶ ἔφυγον ἀπὸ προσώπου αὐτοῦ, καὶ ἐφοβήθησαν σφόδρα. καὶ εἶπον ἀνὴρ ἰσραὴλ, εἰ ἑωράκατε τὸν ἄνδρα τὸν ἀναβαίνοντα τοῦτον, ὅτι ὀνειδίσαι τὸν ἰσραὴλ ἀνέβη. καὶ ἔσται ὁ ἀνὴρ, ὃς ἂν πατάξῃ αὐτὸν, πλουτίσει αὐτὸν ὁ βασιλεὺς πλοῦτον μέγαν, καὶ τὴν θυγατέρα αὐτοῦ δώσει αὐτῷ, καὶ τὸν οἶκον τοῦ πατρὸς αὐτοῦ ποιήσει ἐλεύθερον ἐν τῷ ἰσραήλ. καὶ εἶπε δαβὶδ πρὸς τοὺς ἄνδρας τοὺς συνεστηκότας μετ' αὐτοῦ, λέγων, τί ποιηθήσεται τῷ ἀνδρὶ, ὃς ἂν πατάξῃ τὸν ἀλλόφυλον ἐκεῖνον, καὶ ἀφελεῖ ὀνειδισμὸν ἀπὸ ἰσραήλ; ὅτι τίς ὁ ἀλλόφυλος ὁ ἀπερίτμητος οὗτος, ὅτι ὠνείδισε παράταξιν θεοῦ ζῶντος; καὶ εἶπεν αὐτῷ ὁ λαὸς κατὰ τὸ ῥῆμα τοῦτο, λέγων, οὕτως ποιηθήσεται τῷ ἀνδρὶ, ὃς ἂν πατάξῃ αὐτόν. καὶ ἤκουσεν ἐλιὰβ ὁ ἀδελφὸς αὐτοῦ ὁ μείζων, ἐν τῷ λαλεῖν αὐτὸν πρὸς τοὺς ἄνδρας, καὶ ὀργίσθη θυμῷ ἐλιὰβ ἐν τῷ δαβίδ. καὶ εἶπεν, ἵνα τί τοῦτο κατέβης, καὶ ἐπὶ τίνα ἀφῆκας τὰ μικρὰ πρόβατα

πρόβατα ἐκεῖνα ἐν τῇ ἐρήμῳ; ἐγὼ οἶδα τὴν ὑπερηφανίαν σου, καὶ τὴν κακίαν τῆς καρδίας σου, ὅτι ἕνεκεν τοῦ ἰδεῖν τὸν πόλεμον κατέβης. καὶ εἶπε Δαβίδ, τί ἐποίησα νῦν; οὐχὶ ῥῆμά ἐστι, καὶ ἀπέστρεψε παρ' αὐτοῦ εἰς ἐναντίον ἑτέρου, καὶ εἶπε κατὰ τὸ ῥῆμα τοῦτο, καὶ ἀπεκρίθη αὐτῷ ὁ λαὸς κατὰ τὸ ῥῆμα τοῦ πρώτου. καὶ ἠκούσθησαν οἱ λόγοι, οὓς ἐλάλησε Δαβίδ, καὶ ἀνηγγέλη ἐνώπιον σαούλ. καὶ παρέλαβον αὐτὸν, καὶ εἰσήγαγον αὐτὸν πρὸς σαούλ. καὶ εἶπε Δαβίδ πρὸς σαοὺλ, μὴ δὴ συμπεσέτω ἡ καρδία τοῦ κυρίου μου πρὸς αὐτόν. ὁ δοῦλός σου πορεύσεται, καὶ πολεμήσει μετὰ τοῦ ἀλλοφύλου τούτου. καὶ εἶπε σαοὺλ πρὸς τὸν Δαβίδ, οὐ μὴ δυνήσῃ πορευθῆναι πρὸς τὸν ἀλλόφυλον τοῦ πολεμῆσαι μετ' αὐτοῦ, ὅτι παιδάριον εἶ σύ, καὶ αὐτὸς ἀνὴρ πολεμιστὴς ἐκ νεότητος αὐτοῦ. καὶ εἶπε Δαβίδ πρὸς σαοὺλ, ποιμαίνων ἦν ὁ δοῦλός σου τῷ πατρὶ αὐτοῦ, ἐν τῷ ποιμνίῳ, καὶ ὅταν ἤρχετο ὁ λέων καὶ ἡ ἄρκτος, καὶ ἐλάμβανον πρόβατον ἓν ἐκ τῆς ἀγέλης, καὶ ἐξεπορευόμην ὀπίσω αὐτοῦ, καὶ ἐπάταξα αὐτὸν, καὶ ἐξέσπασα ἐκ τοῦ στόματος αὐτοῦ, καὶ εἰ ἐπανίστατο ἐπ' ἐμὲ, ἐκράτησα τοῦ φάρυγγος αὐτοῦ, καὶ ἐπάταξα, καὶ ἐθανάτωσα αὐτόν. καὶ τὸν λέοντα καὶ τὴν ἄρκτον ἔτυπτεν ὁ δοῦλός σου,

καὶ

oues illas in deserto? Ego noui superbiam tuam, & nequitiã cordis tui, quod causa uidendi prælium descendisti. Et dixit Dauid, Quid feci nunc? Non ne uerbum est? Et auersus est ab eo aduersus alterum, & dixit iuxta uerbum hoc, et respondit ei populus iuxta uerbum primi. Et auditi sunt sermones, quos loquutus est Dauid, et renunciatum est coram Saul. Et acceperũt eum, et introduxerunt eum ad Saul. Et dixit Dauid ad Saul, Non concidat cor domini mei propter eum. Seruus tuus uadet, & pugnabit cum alienigena isto. Et dixit Saul ad Dauid, Non poteris ire contra alienigenam istũ, ut belligeres cũ eo, quoniam puer es tu, et ipse uir bellator ab adolescentia sua. Et dixit Dauid ad Saul, Pascens erat seruus tuus patri suo, in grege, et quãdo ueniebat leo uel ursa, et accipiebat ouem de grege, et egrediebar post eum, et percutiebam eum, et extraxi de ore eius, et si insurgebat in me tenui guttur eius, et percussi eum, et interfeci eum. Et leonem et ursam percutiebat seruus tuus.

&

& erit alienigena incircumcisus ut unus horum. Non'ne proficiscar, et percutiam eum, et auferam contumeliam ex Israel? Quapropter quis incircumcisus iste, qui cõuiciatus est aciei dei uiuentis? Et dixit Dauid, Dominus qui eripuit me de ore leonis et de manu ursæ, ipse eripiet me de manu alienigenæ incircumcisi huius. Et dixit Saul ad Dauid, Vade, et erit dominus tecum. Et induit Saul Dauid loricam, et galeam æream circa caput eius. Et cinxit Dauid thorace. Et accinctus est Dauid gladio eius super loricam eius. Et laborauit deambulans semel et bis, quod imperitus erat. Et dixit Dauid ad Saul, Non possum incedere in istis, quoniam non expertus sum. Et auferunt ea ab eo, et accepit Dauid baculum suum in manu sua, et elegit sibi quinque lapides læues de torrente, et posuit eos in pera pastorali, quæ erat ei ad collectionem, et funda sua in manu sua, et accessit aduersum uirum alienigenam. Et incedebat alienigena incedens et propinquans ad Dauid, et uir gerens scutum ante eum. Et inspexit Goliath

καὶ ἔσται ὁ ἀλλόφυλος ὁ ἀπερίτμητος, ὡς ἓν τούτων. οὐχὶ πορεύσομαι, καὶ πατάξω αὐτὸν, καὶ ἀφελῶ σήμερον ὄνειδος ἐξ ἰσραήλ; διότι τίς ὁ ἀπερίτμητος οὗτος, ὃς ὠνείδισε παράταξιν θεοῦ ζῶντος; καὶ εἶπε δαβίδ, κύριος, ὃς ἐξείλετό με ἐκ χειρὸς τοῦ λέοντος, καὶ ἐκ χειρὸς τῆς ἄρκτου, αὐτὸς ἐξελεῖταί με ἐκ χειρὸς τοῦ ἀλλοφύλου τοῦ ἀπεριτμήτου τούτου. καὶ εἶπε σαοὺλ πρὸς δαβίδ, πορεύου, καὶ ἔσται κύριος μετὰ σοῦ. καὶ ἐνέδυσε σαοὺλ τὸν δαβίδ τὸν μανδύαν, καὶ τὴν περικεφαλαίαν χαλκῆν περὶ τὴν κεφαλὴν αὐτοῦ. καὶ ἔζωσε τὸν δαβίδ θώρακα. καὶ περιεζώσατο δαβίδ τὴν ῥομφαίαν αὐτοῦ, ἐπάνω τοῦ μανδύου αὐτοῦ. καὶ ἐκοπίασε περιπατήσας ἅπαξ καὶ δίς, ὅτι ἄπειρος ἦν. καὶ εἶπε δαβίδ πρὸς σαοὺλ, οὐ μὴ δύνωμαι πορευθῆναι ἐν τούτοις, ὅτι οὐ πεπείραμαι. καὶ ἀφαιροῦσιν αὐτὰ ἀπ' αὐτοῦ, καὶ ἔλαβε τὴν βακτηρίαν αὐτοῦ ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἐξελέξατο ἑαυτῷ πέντε λίθους λείους ἐκ τοῦ χειμάῤῥου, καὶ ἔθετο αὐτοὺς ἐν τῷ καδίῳ τῷ ποιμενικῷ, τῷ ὄντι αὐτῷ εἰς συλλογὴν, καὶ σφενδόνη αὐτοῦ ἐν τῇ χειρὶ αὐτοῦ, καὶ προσῆλθε πρὸς τὸν ἄνδρα τὸν ἀλλόφυλον. καὶ ἐπορεύθη ὁ ἀλλόφυλος πορευόμενος καὶ ἐγγίζων πρὸς δαβίδ, καὶ ὁ ἀνὴρ ὁ αἴρων τὸν θυρεὸν ἔμπροσθεν αὐτοῦ, καὶ ἐπέβλεψε γολιὰθ

γολιὰθ ὁ ἀλλόφυλος, καὶ εἶδε τὸν δα-
βὶδ, καὶ ἐξητίμασεν αὐτὸν, ὅτι αὐ-
τὸς ἦν παιδάριον, καὶ αὐτὸς πυῤ-
ῥακὴς μετὰ κάλλους ὀφθαλμῶν. καὶ
εἶπεν ὁ ἀλλόφυλος πρὸς δαβὶδ,
ὡσεὶ κύων ἐγώ εἰμι, ὅτι σὺ ἔρχῃ ἐπ'
ἐμὲ ἐν ῥάβδῳ καὶ λίθοις; καὶ εἶπε δα-
βὶδ, οὐχὶ, ἀλλὰ καὶ χείρων κυνός. καὶ
κατηράσατο ὁ ἀλλόφυλος τὸν δα-
βὶδ ἐν τοῖς θεοῖς αὐτοῦ. καὶ εἶπεν ὁ
ἀλλόφυλος πρὸς δαβὶδ, δεῦρο πρός
με, καὶ δώσω τὰς σάρκας σου τοῖς
πετεινοῖς τοῦ οὐρανοῦ, καὶ τοῖς θηρί-
οις τῆς γῆς. καὶ εἶπε δαβὶδ πρὸς τὸν
ἀλλόφυλον, σὺ ἔρχῃ πρός με ἐν ῥομ-
φαίᾳ καὶ ἐν δόρατι καὶ ἐν ἀσπίδι,
κἀγὼ πορεύσομαι πρός σε ἐν ὀνόμα-
τι κυρίου θεοῦ σαβαώθ, θεοῦ παρατά-
ξεως ἰσραὴλ, ἣν ὠνείδισας σήμε-
ρον. καὶ ἀποκλείσει σε κύριος σήμε-
ρον εἰς τὴν χεῖρά μου, καὶ ἀποκτενῶ
σε. καὶ ἀφελῶ τὴν κεφαλήν σου ἀπὸ
σοῦ, καὶ δώσω τὰ κῶλά σου, καὶ τὰ
κῶλα παρεμβολῆς ἀλλοφύλων, ἐν
ταύτῃ τῇ ἡμέρᾳ, τοῖς πετεινοῖς τοῦ
οὐρανοῦ καὶ τοῖς θηρίοις τῆς γῆς. καὶ
γνώσεται πᾶσα ἡ γῆ, ὅτι ἔστι κύ-
ριος ὁ θεὸς ἐν ἰσραήλ. καὶ γνώσεται
πᾶσα ἡ ἐκκλησία αὕτη, ὅτι οὐκ ἐν
ῥομφαίᾳ καὶ δόρατι σώζει κύριος.
ὅτι τοῦ κυρίου ὁ πόλεμος, καὶ παρα-
δώσει κύριος ὑμᾶς εἰς χεῖρας ἡ-
μῶν. καὶ ἀνέστη ὁ ἀλλόφυλος, καὶ ἐ-
πορεύθη, καὶ ἤγγισεν εἰς συνάντησιν

τῷ

Goliath alienigena, & uidit Dauid, & dehonestauit eum, quod ipse erat puer, & ipse rufus cum pulchritudine oculorum. Et dixit ad Dauid, Tanquam canis ego sim, quod egressus es in baculo & lapidibus contra me? Et dixit Dauid, Non, sed peior cane. Et execratus est alienigena Dauid in dijs suis. Et dixit alienigena ad Dauid, Veni ad me, & dabo carnes tuas uolatilibus cœli, & bestijs terræ. Et 1. Macha. 4
dixit Dauid ad alienigenam, Tu uenis ad me in gladio & in hasta & in scuto, ego autem uenio ad te in nomine domini dei Sabaoth, dei aciei Israel, cui conuitiatus es hodie. Et concludet te dominus hodie in manum meam, & interficiam te. Et auferam caput tuum à te, & dabo membra tua et mēbra castrorum alienigenarū, in die hac, uolatilibus cœli & bestijs terræ. Et cognoscet omnis terra, quod est dominus deus Israel. Et cognoscet omnis ecclesia hæc, quod nō in gladio & hasta saluat dominus. Quoniam domini bellum, & tradet dominus uos in manus nostras. Et surrexit alienigena, & iuit, & appropinquauit in occursum

Dauid. Et festinauit Da-
uid, & cucurrit in pu-
gnam, in occursum alieni
genæ. Et extendit Dauid
manum suam in peram, &
accepit inde lapidem u-
num, & funda iecit, et per
cussit alienigenam in fron
Eccl.47 tem suam. Et penetrauit
1.Mach.4 lapis per galeam in fron-
tem eius, & cecidit in fa-
ciem suam, in terram. Et
uictoriam obtinuit Da-
uid in alienigenam, & oc
cidit eum in funda & in
lapide, & percussit alieni
genam. Et gladius non e-
rat in manu Dauid, & cu-
currit Dauid, & insistit su
per eum, & cepit gladi-
um eius, & extraxit eum
è uagina sua, & interfe-
cit eum, & abstulit in eo
caput eius. Et uiderunt a-
lienigenę, quod mortuus
est potens eorum, & fu-
gerunt. Et consurgunt ui
ri Israel & Iuda, & uoci-
ferati sunt, & persequuti
sunt post eos usque ad in-
gressum Geth, et usque ad
portam Ascalonis. Et ce-
ciderunt uulnerati alieni-
genarum in uia portarũ,
& usque Accaron. Et re-
uersi sunt uiri Israel, decli-
nantes post alienigenas,
& conculcarunt castra e-
orum. Et accepit Dauid
caput alienigenę, et attulit
illud in Hierusalem, &
arma

τῷ δαβίδ. καὶ ἐτάχυνε δαβίδ, καὶ
ἔδραμεν εἰς τὴν παράταξιν, εἰς ἀ-
πάντησιν τοῦ ἀλλοφύλου. καὶ ἐξέτει-
νε δαβίδ τὴν χεῖρα αὐτοῦ εἰς τὸ κά-
διον, καὶ ἔλαβεν ἐκεῖθεν λίθον ἕνα,
καὶ ἐσφενδόνησε, καὶ ἐπάταξε τὸν
ἀλλόφυλον ἐπὶ τὸ μέτωπον αὐτοῦ.
καὶ διέδυ ὁ λίθος διὰ τῆς περικε-
φαλαίας εἰς τὸ μέτωπον αὐτοῦ, καὶ
ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ, ἐπὶ τὴν
γῆν. καὶ ἐκραταίωσε δαβίδ ἐπὶ τὸν
ἀλλόφυλον, καὶ ἐθανάτωσεν αὐτὸν
ἐν τῇ σφενδόνῃ, καὶ ἐν τῷ λίθῳ,
καὶ ἐπάταξε τὸν ἀλλόφυλον. καὶ
ῥομφαία οὐκ ἦν ἐν χειρὶ δαβίδ,
καὶ ἔδραμε δαβίδ, καὶ ἐπέστη ἐπ'
αὐτὸν, καὶ ἔλαβε τὴν ῥομφαίαν αὐ-
τοῦ, καὶ ἐξέσπασεν αὐτὴν ἐκ τοῦ κόλ
που αὐτοῦ, καὶ ἐθανάτωσεν αὐτὸν,
καὶ ἀφεῖλεν ἐν αὐτῇ τὴν κεφαλὴν
αὐτοῦ. καὶ εἶδον οἱ ἀλλόφυλοι, ὅτι
τέθνηκεν ὁ δυνατὸς αὐτῶν, καὶ ἔ-
φυγον. καὶ ἀνίστανται ἄνδρες ἰ-
σραὴλ καὶ ἰούδα, καὶ ἠλάλαξαν,
καὶ κατεδίωξαν ὀπίσω αὐτῶν, ἕως
ἐσόδου γὲθ, καὶ ἕως τῆς πύλης ἀσκά-
λωνος. καὶ ἔπεσον τραυματίαι τῶν ἀλ-
λοφύλων ἐν τῇ ὁδῷ τῶν πυλῶν, καὶ
ἕως γὲθ, καὶ ἕως ἀκκαρών. καὶ ἀνέστρε-
ψαν ἄνδρες ἰσραὴλ, ἐκκλίνοντες ὀ-
πίσω τῶν ἀλλοφύλων, καὶ κατεπάτουν
τὰς παρεμβολὰς αὐτῶν. καὶ ἔλαβε δα-
βίδ τὴν κεφαλὴν τοῦ ἀλλοφύλου, καὶ
ἀνήνεγκεν αὐτὴν εἰς ἱερουσαλὴμ, καὶ
τὰ

τὰ σκεύη αὐτοῦ ἔθηκεν ἐν τῷ σκη-
νώματι αὐτοῦ. καὶ ὡς εἶδε σαοὺλ τὸν
δαβὶδ ἐκπορευόμενον εἰς συνάν-
τησιν τοῦ ἀλλοφύλου, εἶπε πρὸς ἀβεν-
νὴρ τὸν ἄρχοντα τῆς δυνάμεως, υἱὸς τί-
νος ὁ νεανίσκος οὗτος, ἀβεννήρ; καὶ
εἶπεν ἀβεννήρ, ζῇ ἡ ψυχή σου, βασι-
λεῦ, εἰ οἶδα. καὶ εἶπεν ὁ βασιλεύς, ἐ-
περώτησον σύ, υἱὸς τίνος ὁ νεανίσκος
οὗτος. καὶ ὡς ἐπέστρεψε δαβὶδ τοῦ πα-
τάξαι τὸν ἀλλόφυλον, καὶ παρέλαβον
αὐτὸν ἀβεννήρ, καὶ εἰσήγαγεν αὐτὸν ἐ-
νώπιον σαοὺλ, καὶ ἡ κεφαλὴ τοῦ ἀλλο-
φύλου ἐν τῇ χειρὶ αὐτοῦ. καὶ εἶπε πρὸς
αὐτὸν σαοὺλ, υἱὸς τίνος εἶ παιδά-
ριον; καὶ εἶπε δαβὶδ, υἱὸς τοῦ δούλου σου
ἰεσσαὶ τοῦ βηθλεεμίτου.

Καὶ ἐγένετο, ὡς συνετέλεσε λα-
λῶν πρὸς σαοὺλ, καὶ ἡ ψυχὴ ἰωνά-
θαν συνεδέθη τῇ ψυχῇ δαβὶδ, καὶ
ἠγάπησεν αὐτὸν ἰωνάθαν κατὰ
τὴν ψυχὴν αὐτοῦ. καὶ ἔλαβεν αὐτὸν
σαοὺλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ οὐκ
ἔδωκεν αὐτὸν ἐπιστρέψαι ἐν τῷ οἴ-
κῳ τοῦ πατρὸς αὐτοῦ. καὶ διέθετο
ἰωνάθαν καὶ δαβὶδ διαθήκην, ἐν
τῷ ἀγαπᾷν αὐτὸν κατὰ τὴν ψυ-
χὴν αὐτοῦ. καὶ ἐξεδύσατο ἰωνάθαν
τὸν ἐπενδύτην τὸν ἐπ᾽ αὐτῷ, καὶ
ἔδωκεν αὐτὸν τῷ δαβὶδ, καὶ τὸν
μανδύαν αὐτοῦ, καὶ ἕως τῆς ῥομ-
φαίας αὐτοῦ, καὶ ἕως τοῦ τόξου αὐτοῦ,
καὶ ἕως τῆς ζώνης αὐτοῦ. καὶ ἐξεπορεύε-
το δαβὶδ, ἐν πᾶσιν, οἷς ἀπέστελλεν
αὐτὸν

arma eius posuit in taber-
naculo suo. Et ut uidit
Saul David exeuntem in
occursum alienigenæ, di-
xit ad Abenner principẽ
exercitus, Filius cuius a-
dolescens iste, Abenner?
Et dixit Abenner, Viuit
anima tua rex, si noui. Et
dixit rex, Interroga tu, fi-
lius cuius adolescens iste.
Et ut reuersus est Dauid,
cum percussit alienigenã,
et adiunxit eum Aben-
ner, et introduxit eum co
ram Saul, et caput alieni-
genæ in manu eius. Et di-
xit ad eum Saul, Filius cu
ius es adolescens? Et di-
Dauid, Filius serui tui Ies-
sæ Bethleemitæ.

Et factum est, ut perfe- Cap. XVIII
cit loqui ad Saul, et ani-
ma Ionathan coniuncta
est animæ Dauid, et dile-
xit eum Ionathan secun-
dum animam suam. Et ac
cepit eum Saul in die il-
la, et non permisit eum re
uerti in domum patris sui.
Et fecit Ionathan et Da-
uid fœdus, diligẽdo eum
secundum animam suam.
Et exuit Ionathan tuni-
cam quæ in eo, et dedit e-
am Dauid, et uestimẽtum
suum, et usque ad gladi-
um suum, et usque arcum
eius, et usque zonam eius.
Et egrediebat Dauid, in
omnib. quibus ablegauit
e 2 eum

eum Saul, intellexit. Et constituit eum Saul super uiros belli, & placuit in oculis uniuersi populi, & in oculis famulorum Saul. Et factum est, cum ingrederentur ipsi, cum reuersus est Dauid, ut percussit alienigenam, & egressæ sunt choros ducentes in occursum Dauid, ex omnibus urbibus Israel canentes & choros ducentes, in occursum Saul regis, in tympanis & in lætitia, & in cymbalis. Et incipiebant mulieres ludentes, & dicebant, Percussit Saul in millibus suis, et Dauid in decem millibus suis. Et malum uisum est uerbum ualde in oculis Saul, ob sermonem istum. Et dixit, Dederunt Dauid decem millia, & mihi dederunt mille, & quid ei præter regnum? Et erat Saul turbatè intuens Dauid à die illa, & deinceps. Et factum est à crastino die, & incidit spiritus dei malus in Saul, & uaticinatus est in medio domus suæ. Et Dauid canebat in manu sua, sicut quolibet die, & lancea in manu Saul. Et sustulit Saul lanceam, & dixit, percutiam in Dauid & in pariete, et declinauit Dauid à facie eius bis. Et timuit Saul à facie

Καὶ ἐγένετο, ὡς συνετέλεσε λαλῶν πρὸς σαοὺλ, καὶ ἡ ψυχὴ ἰωνάθαν συνεδέθη τῇ ψυχῇ Δαβὶδ, καὶ ἠγάπησεν αὐτὸν ἰωνάθαν κατὰ τὴν ψυχὴν αὐτοῦ. καὶ ἔλαβεν αὐτὸν σαοὺλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ οὐκ ἔδωκεν αὐτὸν ἐπιστρέψαι ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ. καὶ διέθετο ἰωνάθαν καὶ Δαβὶδ διαθήκην, ἐν τῷ ἀγαπᾷν αὐτὸν κατὰ τὴν ψυχὴν αὐτοῦ. καὶ ἐξεδύσατο ἰωνάθαν τὸν ἐπενδύτην τὸν ἐπ' αὐτῷ, καὶ ἔδωκεν αὐτὸν τῷ Δαβὶδ, καὶ τὸν μανδύαν αὐτοῦ, καὶ ἕως τῆς ῥομφαίας αὐτοῦ, καὶ ἕως τοῦ τόξου αὐτοῦ, καὶ ἕως τῆς ζώνης αὐτοῦ. καὶ ἐξεπορεύετο Δαβὶδ ἐν πᾶσιν, οἷς ἀπέστελλεν

αὐτὸν

arma eius poſuit in tabernaculo ſuo. Et ut uidit Saul Dauid exeuntem in occurſum alienigenæ, dixit ad Abenner principē exercitus, Filius cuius adoleſcens iſte, Abenner? Et dixit Abenner, Viuit anima tua rex, ſi noui. Et dixit rex, Interroga tu, filius cuius adoleſcens iſte. Et ut reuerſus eſt Dauid, cum percuſsit alienigenā, et adiunxit eum Abenner, et introduxit eum coram Saul, et caput alienigenæ in manu eius. Et dixit ad eum Saul, Filius cuius es adoleſcens? Et dixit Dauid, Filius ſerui tui Ieſſæ Bethleemitæ.

Cap. XVIII

Et factum eſt, ut perfecit loqui ad Saul, et anima Ionathan coniuncta eſt animæ Dauid, et dilexit eum Ionathan ſecundum animam ſuam. Et accepit eum Saul in die illa, et non permiſit eum reuerti in domum patris ſui. Et fecit Ionathan et Dauid fœdus, diligēdo eum ſecundum animam ſuam. Et exuit Ionathan tunicam quæ in eo, et dedit eam Dauid, et ueſtimētum ſuum, et uſque ad gladium ſuum, et uſque arcum eius, et uſque zonam eius. Et egrediebat Dauid in omnib. quibus ablegauit

eum

eum Saul, intellexit. Et constituit eum Saul super uiros belli, & placuit in oculis uniuersi populi, & in oculis famulorum Saul. Et factum est, cum ingrederentur ipsi, cum reuersus est Dauid, ut percusit alienigenam, & egressæ sunt choros ducentes in occursum Dauid, ex omnibus urbibus Israel canentes & choros ducentes, in occursum Saul regis, in tympanis & in lætitia, & in cymbalis. Et incipiebant mulieres ludentes, & dicebant, Percussit Saul in millibus suis, et Dauid in decem millibus suis. Et malum uisum est uerbum ualde in oculis Saul, ob sermonem istum. Et dixit, Dederunt Dauid decem millia, & mihi dederunt mille, & quid ei præter regnum? Et erat Saul turbatè intuens Dauid à die illa, & deinceps. Et factum est à crastino die, & incidit spiritus dei malus in Saul, & uaticinatus est in medio domus suæ. Et Dauid canebat in manu sua, sicut quolibet die, & lancea in manu Saul. Et sustulit Saul lanceam, & dixit, percutiam in Dauid & in pariete, et declinauit Dauid à facie eius bis. Et timuit Saul à facie

αὐτὸν σαοὺλ, συνῆκεν. καὶ κατέστησεν αὐτὸν σαοὺλ ἐπὶ τοὺς ἄνδρας τοῦ πολέμου, καὶ ἤρεσεν ἐν ὀφθαλμοῖς παντὸς τοῦ λαοῦ, καί γε ἐν ὀφθαλμοῖς δούλων σαοὺλ. καὶ ἐγενήθη ἐν τῷ εἰσπορεύεσθαι αὐτοὺς, ἐν τῷ ἐπιστρέφειν δαβὶδ ἀπὸ τοῦ πατάξαι τὸν ἀλλόφυλον, καὶ ἐξῆλθον αἱ χορεύουσαι εἰς συνάντησιν δαβὶδ, ἐκ πασῶν τῶν πόλεων ἰσραὴλ, ᾄδουσαι καὶ χορεύουσαι εἰς συνάντησιν σαοὺλ τοῦ βασιλέως, ἐν τυμπάνοις καὶ ἐν χαρμοσύνῃ, καὶ ἐν κυμβάλοις, καὶ ἐξῆρχον αἱ γυναῖκες αἱ παίζουσαι, καὶ ἔλεγον, ἐπάταξε σαοὺλ ἐν χιλιάσιν αὐτοῦ, καὶ δαβὶδ ἐν μυριάσιν αὐτοῦ. καὶ πονηρὸν ἐφάνη τὸ ῥῆμα σφόδρα ἐν ὀφθαλμοῖς σαοὺλ, περὶ τοῦ λόγου τούτου. καὶ εἶπεν, τῷ δαβὶδ ἔδωκαν τὰς μυριάδας, καὶ ἐμοὶ ἔδωκαν τὰς χιλιάδας, καὶ τί αὐτῷ πλὴν ἡ βασιλεία; καὶ ἦν σαοὺλ ὑποβλεπόμενος τὸν δαβὶδ ἀπὸ τῆς ἡμέρας ἐκείνης, καὶ ἐπέκεινα. καὶ ἐγενήθη ἀπὸ τῆς ἐπαύριον, καὶ ἔπεσε πνεῦμα θεοῦ πονηρὸν ἐπὶ σαοὺλ, καὶ προεφήτευσεν ἐν μέσῳ τοῦ οἴκου αὐτοῦ. καὶ δαβὶδ ἔψαλλεν ἐν χειρὶ αὐτοῦ, ὡς καθ᾽ ἑκάστην ἡμέραν, καὶ τὸ δόρυ ἐν τῇ χειρὶ σαοὺλ. καὶ ἦρε σαοὺλ τὸ δόρυ, καὶ εἶπε, πατάξω ἐν δαβὶδ καὶ ἐν τῷ τοίχῳ, καὶ ἐξέκλινε δαβὶδ ἀπὸ προσώπου αὐτοῦ δίς. καὶ ἐφοβήθη σαοὺλ ἀπὸ προ-

προσώπου δαβὶδ, ὅτι ἦν κύριος μετ' αὐτοῦ, καὶ ἀπὸ σαὺλ ἀπέστη. καὶ ἀπέστησεν αὐτὸν σαοὺλ ἀπ' αὐτοῦ, καὶ κατέστησεν αὐτὸν ἑαυτῷ χιλίαρχον, καὶ ἐξεπορεύετο, καὶ εἰσεπορεύετο ἔμπροσθεν τοῦ λαοῦ. καὶ ἦν δαβὶδ ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ συνιῶν, καὶ κύριος ἦν μετ' αὐτοῦ. καὶ εἶδε σαοὺλ, ὡς αὐτὸς συνιεῖ σφόδρα, καὶ εὐλαβεῖτο ἀπὸ προσώπου αὐτοῦ. καὶ πᾶς ἰσραὴλ καὶ ἰούδας ἠγάπα τὸν δαβὶδ, ὅτι αὐτὸς ἐξεπορεύετο, καὶ εἰσεπορεύετο πρὸ προσώπου τοῦ λαοῦ. καὶ εἶπε σαοὺλ πρὸς δαβὶδ, ἰδοὺ, ἡ θυγάτηρ μου ἡ μείζων μερὸβ, αὐτὴν σοι δώσω εἰς γυναῖκα, πλὴν γίνου μοι εἰς υἱὸν δυνάμεως, καὶ πολέμει τοὺς πολέμους κυρίου. καὶ σαοὺλ εἶπε, μὴ ἔστω ἡ χείρ μου ἐπ' αὐτῷ, καὶ ἔσται ἐπ' αὐτὸν χεὶρ ἀλλοφύλων. καὶ εἶπε δαβὶδ πρὸς σαοὺλ, τίς ἐγώ εἰμι, καὶ ἡ ζωὴ τῆς συγγενείας τοῦ πατρός μου ἐν ἰσραὴλ, ὅτι ἔσομαι γαμβρὸς τοῦ βασιλέως; καὶ ἐγενήθη ἐν τῷ καιρῷ τοῦ δοθῆναι τὴν μερὸβ θυγατέρα σαὺλ τῷ δαβὶδ, καὶ αὕτη ἐδόθη τῷ ἐσδριὴλ τῷ μολαθίτῃ εἰς γυναῖκα. καὶ ἠγάπησε μιλχὸλ ἡ θυγάτηρ σαὺλ τὸν δαβὶδ, καὶ ἀπηγγέλη τῷ σαοὺλ, καὶ ηὐθύνθη τὸ ῥῆμα ἐν ὀφθαλμοῖς αὐτοῦ. καὶ εἶπε σαὺλ, δώσω αὐτὴν αὐτῷ, καὶ ἔσται αὐτῷ εἰς σκάνδαλον. καὶ ἦν ἐπὶ σαὺλ χεὶρ ἀλλοφύλων, καὶ

εἶπε

facie Dauid, quoniam erat dominus cum eo, & à Saul destitit. Et amouit eum Saul à se, & constituit eum sibijpsi tribunū, & egrediebatur, & ingrediebatur coram populo. Et erat Dauid in omnibus uijs eius intelligens, & dominus erat cum eo. Et uidit Saul, quod ipse intelligit ualde, & cauebat à facie eius. Et omnis Israel & Iuda diligebat Dauid, quoniā ipse egrediebatur, & ingrediebatur ante faciem populi. Et dixit Saul ad Dauid, Ecce filia mea maior Merob, eā tibi dabo in uxorem, cæterum fias mihi in filium fortitudinis, & præliare bella domini. Et Saul dixit, Non sit manus mea in eo, sed erit in eum manus alienigenarum. Et dixit Dauid ad Saul, Quis sum ego, & quæ uita cognationis patris mei in Israel, quod ero gener regis? Et factū est in tempore, cum daretur Merob filia Saul Dauid, & ipsa data est Esdriel Molathitæ in uxorem. Et dilexit Melchol filia Saul Dauid, & renunciatum est Saul, & rectū fuit uerbum in oculis eius. Et dixit Saul, Dabo eam illi, & erit ei in scandalum. Et erat in Saul manus alienigenarum, &

 dixit

dixit Saul ad Dauid, In
exercitibus eris gener mi
hi hodie. Et mādauit Saul
seruis suis, dicens, Loqui-
mini uos clam Dauid, di-
centes, Ecce rex uult in
te, & omnes serui eius di-
ligunt te, & tu gener esto
regi. Et loquuti sunt serui
Saul in auribus Dauid, iu
xta hæc uerba. Et dixit
Dauid, Num leue est in
oculis uestris generum es-
se regi? Et ego uir humi-
lis, & non gloriosus. Et
renunciauerunt Saul serui
eius secundum uerba hęc,
quæ loquutus est Dauid.
Et dixit Saul, Hæc dici-
te Dauid, non uoluntatem
habet rex in dote, nisi in
centum præputijs alieni-
genarum, ut uindices in
hostes regis. Et Saul co-
gitauit inijcere Dauid in
manus alienigenarum. Et
renunciauerunt serui Saul
Dauid, iuxta uerba hæc,
& rectus fuit sermo in o-
culis Dauid, ut fieret ge-
ner regi. Et non impletæ
fuerunt dies, & surrexit
Dauid, & abijt ipse & ui
ri eius, & percussit in alie
nigenis centum uiros, &
attulit præputia eorum,
et impleuit eas regi, & ge
ner fit regi. Et dat ei Saul
Melchol

εἶπε σαοὺλ πρὸς δαβίδ, ἐν ταῖς δυ-
νάμεσιν ἐπιγαμβρεύσεις μοι σήμε-
ρον. καὶ ἐνετείλατο σαοὺλ τοῖς παι-
σὶν αὐτοῦ, λέγων, λαλήσατε ὑμεῖς
λάθρα τῷ δαβίδ, λέγοντες, ἰδοὺ,
θέλει ἐν σοὶ ὁ βασιλεὺς, καὶ πάν-
τες οἱ παῖδες αὐτοῦ ἀγαπῶσί σε,
καὶ σὺ ἐπιγάμβρευσον τῷ βασιλεῖ.
καὶ ἐλάλησαν οἱ παῖδες σαοὺλ εἰς
τὰ ὦτα δαβίδ, κατὰ τὰ ῥήματα
ταῦτα. καὶ εἶπε δαβίδ, εἰ κοῦφον ἐν
ὀφθαλμοῖς ὑμῶν ἐπιγαμβρεῦσαι
βασιλεῖ; κἀγὼ ἀνὴρ ταπεινὸς, καὶ
οὐχὶ ἔνδοξος. καὶ ἀπήγγειλαν οἱ
παῖδες σαοὺλ αὐτῷ κατὰ τὰ ῥή-
ματα ταῦτα, ἃ ἐλάλησε δαβίδ. καὶ
εἶπε σαοὺλ, τάδε ἐρεῖτε τῷ δαβίδ,
οὐ βούλεται ὁ βασιλεὺς ἐν δόματι,
ἀλλ' ἢ ἐν ἑκατὸν ἀκροβυστίαις ἀλ-
λοφύλων, ἐκδικῆσαι εἰς ἐχθροὺς τοῦ
βασιλέως. καὶ σαοὺλ ἐλογίσατο ἐμ-
βαλεῖν τὸν δαβίδ εἰς χεῖρας τῶν
ἀλλοφύλων. καὶ ἀπαγγέλλουσιν οἱ
παῖδες σαοὺλ τῷ δαβίδ, κατὰ τὰ
ῥήματα ταῦτα, καὶ εὐθύνθη ὁ λόγος ἐν
ὀφθαλμοῖς δαβίδ ἐπιγαμβρεῦσαι
τῷ βασιλεῖ. καὶ οὐκ ἐπληρώθησαν αἱ
ἡμέραι, καὶ ἀνέστη δαβίδ, καὶ ἐπορεύ-
θη αὐτὸς καὶ οἱ ἄνδρες αὐτοῦ, καὶ ἐπά-
ταξεν ἐν τοῖς ἀλλοφύλοις ἑκατὸν ἄν-
δρας, καὶ ἀνήνεγκε τὰς ἀκροβυ-
στίας αὐτῶν, καὶ ἐπλήρωσεν αὐτὰς
τῷ βασιλεῖ, καὶ ἐπιγαμβρεύεται τῷ βα-
σιλεῖ. καὶ δίδωσιν αὐτῷ σαοὺλ τὴν
μελχὸλ

μελχὸλ θυγατέρα αὐτοῦ αὐτῷ εἰς γυ
ναῖκα. καὶ εἶδε σαοὺλ, καὶ ἔγνω, ὅτι
κύριος μετὰ δαβὶδ, καὶ πᾶς ἰσρα-
ὴλ ἠγάπα αὐτὸν, καὶ προσέθετο
εὐλαβεῖσθαι ἀπὸ δαβὶδ ἔτι. καὶ ἐ-
γένετο Σαοὺλ ἐχθραίνων τὸν Δα-
βὶδ πάσας τὰς ἡμέρας. καὶ ἐξῆλ-
θον οἱ ἄρχοντες τῶν ἀλλοφύλων, καὶ
ἐγένετο ἀφ' ἱκανοῦ ἐξοδίας αὐτῶν, καὶ
συνετὸς ἦν δαβὶδ παρὰ πάντας
τοὺς δούλους σαοὺλ, καὶ ἐτιμήθη τὸ ὄνο-
μα αὐτοῦ σφόδρα.

Καὶ ἐλάλησε σαοὺλ πρὸς ἰωνά-
θαν τὸν υἱὸν αὐτοῦ, καὶ πρὸς πάν-
τας τοὺς παῖδας αὐτοῦ, τοῦ θανατῶ-
σαι τὸν δαβίδ. καὶ ἰωνάθαν ὁ υἱὸς
σαοὺλ ᾑρεῖτο τὸν δαβὶδ σφόδρα. καὶ
ἀπήγγειλεν ἰωνάθαν τῷ δαβὶδ, λέ-
γων, σαοὺλ ὁ πατήρ μου ζητεῖ θανα-
τῶσαί σε. φύλαξαι οὖν αὔριον τῷ
πρωῒ, καὶ κρύβηθι, καὶ κάθισον κρυ-
φῇ, καὶ ἐγὼ ἐξελεύσομαι, καὶ στήσο-
μαι ἐχόμενος τοῦ πατρός μου, ἐν
ἀγρῷ, οὗ ἐὰν ᾖς ἐκεῖ. καὶ ἐγὼ λαλή-
σω περί σου πρὸς τὸν πατέρα μου,
καὶ ὄψομαι, ὅτι ἐὰν ᾖ, καὶ ἀπαγ-
γελῶ σοι. καὶ ἐλάλησεν ἰωνάθαν πε-
ρὶ δαβὶδ ἀγαθὰ πρὸς σαοὺλ τὸν πα-
τέρα αὐτοῦ. καὶ εἶπε πρὸς αὐτὸν,
μὴ ἁμαρτησάτω ὁ βασιλεὺς εἰς τὸν
δοῦλόν σου δαβὶδ, ὅτι οὐχ ἡμάρτη-
κεν εἰς σέ. καὶ τὰ ποιήματα αὐτοῦ
ἀγαθά σοι σφόδρα, καὶ ἔθετο τὴν ψυ-
χὴν αὐτοῦ ἐν τῇ χειρὶ αὐτοῦ, καὶ
ἐπά-

Melchol filiã ſuam ei in
uxorem. Et uidit Saul, & 1.Reg.3
cognouit, quod dominus
cum Dauid, & omnis Iſ-
rael diligebat eum, & ad
didit cauere à facie Da-
uid adhuc. Et fuit Saul
hoſtiliter proſequens Da
uid, omnes dies. Et egreſ-
ſi ſunt principes alienige-
narum, & factum eſt in
ſufficienti egreſsione eo-
rum, & conſultus erat Da
uid præter omnes ſeruos
Saul, et honoratum eſt no
men eius ualde.

Et loquutus eſt Saul ad Cap.XIX
Ionathan filium ſuum, &
ad omnes ſeruos ſuos, ut
occiderent Dauid. Et Io
nathan filius Saul dilige-
bat Dauid ualde. Et indi Sup.18.
cauit Ionathan Dauid, di
cens, Saul pater meus quę
rit occidere te. Nunc igi-
tur obſerua cras mane, &
abſcondere, & conſide
clàm, & ego egrediar, &
ſtabo orans patrem meũ
in agro, ubi fueris ibi. Et
ego loquar de te ad patrẽ
meum, & uidebo, quic-
quid fuerit, & renuncia-
bo tibi. Et loquutus eſt
Ionathan de Dauid bona
ad Saul patrem ſuum. Et
dixit ad eum, Ne peccet
rex in ſeruum ſuum Da-
uid, quia non peccauit in
te. Et facta eius bona tibi
ualde, & poſuit animam
ſuam in manibus ſuis, &

percusit alienigenam. Et fecit dominus salutem magnam, & omnis Israel uiderunt, & lætati sunt. Et quare peccas in sanguinẽ innocentem, ut interficias Dauid gratis? Et audiuit Saul uocem Ionathan, & iurauit Saul, dicens, Viuit dominus, si morietur. Et uocauit Ionathan Dauid, & renunciauit ei omnia uerba hæc. Et introduxit Ionathã Dauid ad Saul, & erat coram eo sicut heri & nudiustertius. Et accidit fieri bellum aduersus Saul, & præualuit Dauid, & debellauit alienigenas, & percusit eos plagã magnã ualde, & fugerunt à facie eius. Et fuit spiritus domini malus in Saul, & ipse in domo sua sedens, & lancea in manu eius, & Dauid canebat in manibus suis, & quærebat Saul ferire hastam in Dauid. Et destitit Dauid à facie Saul, & percusit lanceam in parietem, & Dauid recessit, & saluatus est. Et factum est in nocte illa, & emisit Saul nuncios in domum Dauid, ut custodirent eum, ut interficerẽt eum mane. Et renũciauit Dauid Melchol uxor eius, dicens, Nisi tu saluaueris animã tuam nocte ista, cras interficieris.

Et

ἐπάταξε τὸν ἀλλόφυλον. καὶ ἐποίησε κύριος σωτηρίαν μεγάλην, καὶ πᾶς ἰσραὴλ εἶδον, καὶ ἐχάρησαν. καὶ ἵνα τί ἁμαρτάνεις εἰς αἷμα ἀθῶον, θανατῶσαι τὸν δαβὶδ δωρεάν; καὶ ἤκουσε σαοὺλ τῆς φωνῆς ἰωνάθαν, καὶ ὤμοσε σαοὺλ, λέγων, ζῇ κύριος, εἰ ἀποθανεῖται. καὶ ἐκάλεσεν ἰωνάθαν τὸν δαβὶδ, καὶ ἀπήγγειλεν αὐτῷ πάντα τὰ ῥήματα ταῦτα. καὶ εἰσήγαγεν ἰωνάθαν τὸν δαβὶδ πρὸς σαοὺλ, καὶ ἦν ἐνώπιον αὐτοῦ ὡς ἐχθὲς καὶ τρίτην ἡμέραν. Καὶ προσέθετο ὁ πόλεμος γενέσθαι πρὸς σαοὺλ, καὶ κατίσχυσε δαβὶδ, καὶ ἐπολέμησε τοὺς ἀλλοφύλους, καὶ ἐπάταξεν αὐτοὺς πληγὴν μεγάλην σφόδρα, καὶ ἔφυγον ἐκ προσώπου αὐτοῦ. καὶ ἐγένετο πνεῦμα κυρίου πονηρὸν ἐπὶ σαοὺλ, καὶ αὐτὸς ἐν οἴκῳ αὐτοῦ καθεύδων, καὶ τὸ δόρυ ἐν τῇ χειρὶ αὐτοῦ, καὶ δαβὶδ ἔψαλλεν ἐν ταῖς χερσὶν αὐτοῦ, καὶ ἐζήτει σαοὺλ πατάξαι τὸ δόρυ εἰς δαβίδ. καὶ ἀπέστη δαβὶδ ἐκ προσώπου σαοὺλ, καὶ ἐπάταξε τὸ δόρυ εἰς τὸν τοῖχον, καὶ δαβὶδ ἀνεχώρησε, καὶ διεσώθη. καὶ ἐγενήθη ἐν τῇ νυκτὶ ἐκείνῃ, καὶ ἀπέστειλε σαοὺλ ἀγγέλους εἰς οἶκον δαβὶδ, φυλάξαι αὐτὸν, τοῦ θανατῶσαι αὐτὸν πρωΐ. καὶ ἀπήγγειλε τῷ δαβὶδ μελχὸλ ἡ γυνὴ αὐτοῦ, λέγουσα, ἐὰν μὴ σὺ σώσῃς τὴν ψυχήν σου τὴν νύκτα ταύτην, αὔριον θανατωθήσῃ.

καὶ

καὶ κατάγει ἡ μελχὸλ τὸν δαβὶδ διὰ τῆς θυρίδος, καὶ ἀπῆλθε, καὶ ἔφυγε, καὶ σώζεται. καὶ ἔλαβε μελχὸλ τὰ κενοτάφια, καὶ ἔθετο ἐπὶ τὴν κλίνην, καὶ ἧπαρ τῶν αἰγῶν ἔθετο πρὸς κεφαλῆς αὐτοῦ, καὶ ἐκάλυψεν αὐτὰ ἐν ἱματίῳ. καὶ ἀπέστειλε σαοὺλ ἀγγέλους, λαβεῖν τὸν δαβίδ, καὶ λέγουσιν ἐνοχλεῖσθαι αὐτόν. καὶ ἀποστέλλει ἐπὶ τὸν δαβίδ, λέγων, ἀγάγετε αὐτὸν ἐπὶ τῆς κλίνης πρός με, τοῦ θανατῶσαι αὐτόν. καὶ ἔρχονται οἱ ἄγγελοι, καὶ ἰδοὺ, τὰ κενοτάφια ἐπὶ τῆς κλίνης, καὶ τὸ ἧπαρ τῶν αἰγῶν, καὶ τὸ στρογγύλωμα τῶν τριχῶν πρὸς κεφαλῆς αὐτοῦ. καὶ εἶπε σαοὺλ τῇ μελχὸλ, ἵνα τί οὕτως παρελογίσω με, καὶ ἐξαπέστειλας τὸν ἐχθρόν μου, καὶ διεσώθη; καὶ εἶπε μελχὸλ τῷ σαοὺλ, αὐτὸς εἶπέ μοι, ἐξαπόστειλόν με, εἰ δὲ μὴ, θανατώσω σε. καὶ δαβὶδ ἔφυγε, καὶ διεσώθη, καὶ παραγίνεται πρὸς σαμουὴλ εἰς ἀρμαθαὶμ, καὶ ἀπαγγέλλει αὐτῷ πάντα, ὅσα ἐποίησεν αὐτῷ σαοὺλ. καὶ ἐπορεύθη σαμουὴλ καὶ δαβὶδ, καὶ ἐκάθισαν ἐν ναυὰθ, ἐν ῥαμᾶ. καὶ ἀπηγγέλη τῷ σαοὺλ, λέγοντες, ἰδοὺ δαβὶδ ἐν ναυὰθ, ἐν ῥαμᾶ. καὶ ἀπέστειλε σαοὺλ ἀγγέλους λαβεῖν τὸν δαβίδ. καὶ ἐλθόντες εἶδον τὴν ἐκκλησίαν τῶν προφητῶν, καὶ σαμουὴλ εἱστήκει, καὶ καθεστηκὼς ἐπ' αὐτῶν, καὶ ἐγενήθη ἐπὶ τοὺς ἀγγέλους

τοῦ

Et deducit Melchol Dauid per fenestram, & abijt, & fugit, & saluatur. Et accepit Melchol simulachra uana, & posuit in lectum, & hepar caprarum posuit ad caput eius, & operuit ea in uestimēto. Et misit Saul nuncios, ut caperent Dauid, & dicunt defatigari eum. Et dimisit Saul ad Dauid, dicens, Ducite eum in lecto ad me, ut occidā eum. Et ueniunt nuncij, & ecce simulachra uana in lecto, & hepar caprarum, & conuersio pilorum ad caput eius. Et dixit Saul Melchol, Quare sic decepisti me, & dimisisti inimicum meum, & saluatus est? Et dixit Melchol ad Saul, Ipse dixit ad me, dimitte me, si autem non, interficiam te. Et Dauid fugit, & saluatus est, & aduenit ad Samuel in Armathaim, & renunciat ei omnia, quæ fecit ei Saul. Et profectus est Samuel & Dauid, & sederunt in Nauath, in Rama. Et renunciatum est Saul, dicentes, Ecce Dauid in Nauath, in Rama. Et misit Saul nūcios, ut caperent Dauid. Et uenientes uiderūt cœtū prophetarū, & Samuel stetit, & consistens inter eos, & fuit super nuncios

Saul spiritus dei, et uaticinantur et ipsi. Et renunciatum est Saul, et misit nuncios alios, et uaticinati sunt et ipsi. Et addidit Saul mittere nuncios tertios, et uaticinati sunt et ipsi. Et iratus est Saul furore, et abijt et ipse in Armathaim, et uenit usque in puteum areae, quae in Sephi. Et interrogauit, et dixit, Vbi Samuel et Dauid? Et dixerunt, Ecce in Nauath, in Rama. Et abijt inde in Nauath, in Rama, et fuit in eo spiritus dei, et profectus est proficiscens, uaticinans usque dum ueniret ipse in Nauath, in Rama. Et exuit uestimenta sua, et uaticinatus est coram eis. Et cecidit nudus tota die illa, et tota nocte illa. Propter hoc dicebãt, Nũ et Saul inter prophetas?

Cap. XX

Et aufugit Dauid in Nauath in Rama, et uenit in conspectum Ionathan, et dixit, Ecquae iniuria mea, et quid peccaui coram patre tuo, quoniam perquirit animam meam? Et dixit ei Ionathan, Nequaquam, tu neutiquam morieris. Ecce neutiquã faciet pater meus uerbum magnum uel paruum, & non reteget auriculam meam. Ecquare, quod abscondet pater meus à me uerbum hoc? Et respondit Dauid Ionathan, et di-

τοῦ σαοὺλ πνεῦμα θεοῦ, καὶ προφητεύουσι καὶ αὐτοί. καὶ ἀπηγγέλη τῷ σαοὺλ, καὶ ἀπέστειλεν ἀγγέλους ἑτέρους, καὶ προεφήτευσαν καὶ αὐτοί. καὶ προσέθετο σαοὺλ ἀποστεῖλαι ἀγγέλους τρίτους, καὶ προεφήτευσαν καὶ αὐτοί. καὶ ἐθυμώθη ὀργῇ σαοὺλ, καὶ ἐπορεύθη καὶ αὐτὸς εἰς ἀρμαθαὶμ, καὶ ἔρχεται ἕως τοῦ φρέατος τοῦ ἅλω τοῦ ἐν τῷ σεφί. καὶ ἠρώτησε, καὶ εἶπε, ποῦ σαμουὴλ καὶ δαβίδ; καὶ εἶπαν, ἰδοὺ ἐν ναυὰθ, ἐν ῥαμᾶ. καὶ ἐπορεύθη ἐκεῖθεν εἰς ναυὰθ, ἐν ῥαμᾶ, καὶ ἐγενήθη ἐπ᾽ αὐτῷ πνεῦμα θεοῦ, καὶ ἐπορεύετο πορευόμενος, προφητεύων ἕως τοῦ ἐλθεῖν αὐτὸν ἐν ναυὰθ, ἐν ῥαμᾶ. καὶ ἐξεδύσατο τὰ ἱμάτια αὐτοῦ, καὶ προεφήτευσεν ἐνώπιον αὐτῶν. καὶ ἔπεσε γυμνὸς ὅλην τὴν ἡμέραν ἐκείνην, καὶ ὅλην τὴν νύκτα. διὰ τοῦτο ἔλεγον, εἰ καὶ σαοὺλ ἐν προφήταις;

Καὶ ἀπέδρα δαβὶδ ἐν ναυὰθ ἐν ῥαμᾶ, καὶ ἔρχεται ἐνώπιον ἰωνάθαν, καὶ εἶπε, τί πεποίηκα, καὶ τί τὸ ἀδίκημά μου, καὶ τί ἡμάρτηκα ἐνώπιον τοῦ πατρός σου, ὅτι ἐπιζητεῖ τὴν ψυχήν μου; καὶ εἶπεν αὐτῷ ἰωνάθαν, μηδαμῶς, σὺ οὐ μὴ ἀποθάνῃς. ἰδοὺ, οὐ μὴ ποιήσῃ ὁ πατήρ μου ῥῆμα μέγα ἢ μικρὸν, καὶ οὐκ ἀποκαλύψει τὸ ὠτίον μου. καί τι ὅτι κρύψει ὁ πατήρ μου ἀπ᾽ ἐμοῦ τὸ ῥῆμα τοῦτο; καὶ ἀπεκρίθη δαβὶδ τῷ ἰωνάθαν,

καὶ

καὶ εἶπε, γινώσκων οἶδεν ὁ πατήρ
σου, ὅτι εὕρηκα χάριν ἐν ὀφθαλμοῖς
σου, καὶ εἶπε, μὴ γνῶ τοῦτο ἰωνά-
θαν, μὴ οὐ μὴ βούληται. ἀλλὰ ζῇ
κύριος, καὶ ζῇ ἡ ψυχή σου, ὅτι κα-
θὼς εἶπον, ἐμπέπλησται ἀνὰ μέσον
ἐμοῦ καὶ ἀνὰ μέσον τοῦ πατρός σου,
ἕως θανάτου. καὶ εἶπεν ἰωνάθαν
πρὸς δαβὶδ, τί ἐπιθυμεῖ ἡ ψυχή
σου, καὶ τί ποιήσω σοί; καὶ εἶπε δα-
βὶδ πρὸς ἰωνάθαν, ἰδοὺ, δὴ νεομη-
νία αὔριον, καὶ ἐγὼ καθίσας οὐ κα-
θίσομαι μετὰ τοῦ βασιλέως φαγεῖν,
καὶ ἐξαποστελεῖς με, καὶ κρυβήσο-
μαι ἐν τῷ πεδίῳ, ἕως δείλης. καὶ
ἐὰν ἐπισκεπτόμενος ἐπισκέψηταί
με ὁ πατήρ σου, καὶ ἐρεῖς παραιτού-
μενος παρῃτήσατο ἀπ᾽ ἐμοῦ δα-
βὶδ, δραμεῖν ἕως βηθλεὲμ τὴν πό-
λιν αὐτοῦ, ὅτι θυσία τῶν ἡμερῶν
ἐκεῖ ὅλῃ τῇ φυλῇ. ἐὰν δὲ εἴπῃ, ἀ-
γαθῶς, εἰρήνη τῷ δούλῳ σου. καὶ ἐὰν
σκληρῶς ἀποκριθῇ σοι, γνῶθι, ὅτι
συντετέλεσται ἡ κακία παρ᾽ αὐτοῦ.
καὶ ποιήσεις ἔλεος μετὰ τοῦ δούλου
σου, ὅτι εἰσήγαγον τὴν διαθήκην κυ-
ρίου, τὸν δοῦλόν σου μετὰ σεαυτοῦ. καὶ εἰ
ἔστιν ἀδικία ἐν τῷ δούλῳ σου, θανά-
τωσόν με σύ. καὶ ἕως τοῦ πατρός σου
ἵνα τί οὕτως ἀπάγεις με; καὶ εἶπεν
ἰωνάθαν, μηδαμῶς σὺ, ὅτι ἐὰν γι-
νώσκων γνῶ, ὅτι συντετέλεσται ἡ
κακία παρὰ τοῦ πατρός μου, τοῦ ἐλθεῖν
ἐπί σε, καὶ ἐὰν μὴ, εἰς τὰς πόλεις σου
ἐγὼ

et dixit, Cognoscens nouit pater tuus, quod inueni gratiam in oculis tuis, et dixit, Non sciat hæc Ionathan, neutiquam uult. Verum uiuit dominus, et uiuit anima tua, quoniam sicut dixi, impletum est inter me et inter patrem tuum usque ad mortem. Et dixit Ionathan ad Dauid, quid desiderat anima tua, et quid faciam tibi? Et dixit Dauid ad Ionathan, Ecce, iam nouus mensis cras, et ego sedens non sedebo cum rege epulari, et dimittes me, et abscondar in campo usque ad uesperam. Et si requirēs requisierit me pater tuus, dices, deprecans deprecatus est à me Dauid, ut curreret usque in Bethleem ciuitatem suam, quoniam sacrificium dierum ibi uniuersæ tribui. Et si dixerit pater tuus, Bene, pax seruo tuo. Si autem durè responderit tibi, scito, quia perfecta est malicia ab eo. Et facies misericordiam cum seruo tuo, quia induxi foedus domini, seruum tuum tecum. Et si est iniquitas in seruo tuo, interfice me tu. Et usque ad patrem tuum cur introducis me? Et dixit Ionathan, Nequaquam tu, quoniam si cognoscēs cognouero, quod perfecta est malicia à patre meo, ueniam ad te, et si non, in urbes tuas
ego

ego renunciabo tibi. Et dixit Dauid ad Ionathã, Quis renunciabit mihi, si responderit pater tuus dure? Et dixit Ionathan ad Dauid, Vade, & mane in agro. Et exeunt ambo in agrum. Et dixit Ionathan ad Dauid, Dominus deus Israel nouit, quod interrogo patrem meum, ut occasio fuerit, ter, & ecce, bonum fuerit de Dauid, & non'ne dimittam ad te in agrum? Hæc faciat deus Ionathan, & hæc addat, si nõ deferam mala ad te, & retegam auriculam tuam, & dimittam te, & uades in pace, & erit dominus tecum, sicut fuit cum patre meo. Et siquidem etiam me uiuente, & facies misericordiam mecum, & si morte mortuus fuero, non auferes misericordiã tuam à domo mea usque in seculum. Et si nõ, cũ euerterit dñs inimicos Dauid, unumquenque à facie terræ, inueniatur nomen Ionathã à domo Dauid, & exquirat dominus hostes Dauid. Et addit adhuc Ionathan iurare Dauid, quoniam amauit animam amantis eum. Et dixit ei Ionathan, Cras nouus mensis, & perquireris, & perquiretur sedes tua. Et ter facies, & perquireris, & uenies in locum tuum, ubi absconditus es die operaria, et sedebis

ἐγὼ ἀναγγελῶ σοι. καὶ εἶπε Δαβὶδ πρὸς Ἰωνάθαν, τίς ἀπαγγελεῖ μοι, ἐὰν ἀποκριθῇ ὁ πατήρ σου σκληρῶς; καὶ εἶπεν Ἰωνάθαν πρὸς Δαβὶδ, πορεύου, καὶ μένε εἰς ἀγρόν. καὶ ἐπορεύοντο ἀμφότεροι εἰς ἀγρόν. καὶ εἶπεν Ἰωνάθαν πρὸς Δαβὶδ, κύριος ὁ θεὸς Ἰσραὴλ οἶδεν, ὅτι ἀνακρίνω τὸν πατέρα μου, ὡς ἂν ὁ καιρὸς, τρισσῶς, καὶ ἰδοὺ, ἀγαθὸν ᾖ περὶ Δαβὶδ, καὶ οὐ μὴ ἀποστείλω πρὸς σὲ εἰς ἀγρόν; τάδε ποιήσαι ὁ θεὸς τῷ Ἰωνάθαν, καὶ τάδε προσθείη, ὅτι ἀνοίσω τὰ κακὰ ἐπί σε, καὶ ἀποκαλύψω τὸ ὠτίον σου, καὶ ἐξαποστελῶ σε, καὶ πορεύσῃ εἰς εἰρήνην, καὶ ἔσται κύριος μετὰ σοῦ, καθὼς ἦν μετὰ πατρός μου. καὶ ἐὰν μὲν ἔτι μου ζῶντος, καὶ ποιήσεις ἔλεος μετ' ἐμοῦ, καὶ ἐὰν θανάτῳ ἀποθάνω, οὐκ ἐξαρεῖς ἔλεός σου ἀπὸ τοῦ οἴκου μου ἕως τοῦ αἰῶνος. καὶ εἰ μὴ, ἐν τῷ ἐξαίρειν κύριον τοὺς ἐχθροὺς Δαβὶδ, ἕκαστον ἀπὸ τοῦ προσώπου τῆς γῆς, εὑρεθῆναι τὸ ὄνομα τοῦ Ἰωνάθαν ἀπὸ τοῦ οἴκου Δαβὶδ, καὶ ἐκζητήσαι κύριος ἐχθροὺς τοῦ Δαβίδ. καὶ προσέθετο ἔτι Ἰωνάθαν ὀμόσαι τῷ Δαβὶδ, ὅτι ἠγάπησε ψυχὴν ἀγαπῶντος αὐτόν. καὶ εἶπεν αὐτῷ Ἰωνάθαν, αὔριον νεομηνία, καὶ ἐπισκεπήσῃ, ὅτι ἐπισκεπήσεται ἡ καθέδρα σου. καὶ τρισσεύσεις, καὶ ἐπισκέψῃ, καὶ ἥξεις εἰς τὸν τόπον σου, οὗ ἐκρύβης τῇ ἡμέρᾳ τῇ ἐργασίμῃ, καὶ καθίσεις

τῆς παρὰ τὸ ἐργὰβ ἐκεῖνο. καὶ ἐγὼ τριςσεύσω ταῖς σχίζαις ἀκοντίζων, ἐκπέμπων εἰς τὴν ἀμαγγαρί. καὶ ἰδοὺ, ἀποστέλλω τὸ παιδάριον, λέγων, δεῦρο, εὑρέ μοι τὴν σχίζαν. ἐὰν εἴπω τῷ παιδαρίῳ, ὧδε ἡ σχίζα ἀπό σου, καὶ ὧδε λαβὲ αὐτὴν, παραγίνου, ὅτι εἰρήνη σοι, καὶ οὐκ ἔστι σοι δόλος, ζῇ κύριος. ἐὰν δὲ οὕτως εἴπω τῷ νεανίσκῳ, ἐκεῖ ἡ σχίζα ἀπό σου καὶ ἐπέκεινα, πορεύου, ὅτι ἐξαπέσταλκέ σε κύριος. καὶ τὸ ῥῆμα ὃ ἐλαλήσαμεν ἐγὼ καὶ σὺ, ἰδοὺ, κύριος μάρτυς ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον σοῦ, ἕως τοῦ αἰῶνος. καὶ κρύπτεται δαβὶδ ἐν ἀγρῷ, καὶ παραγίνεται ὁ μὴν, καὶ ἔρχεται ὁ βασιλεὺς ἐπὶ τὴν τράπεζαν τοῦ φαγεῖν. καὶ ἐκάθισεν ὁ βασιλεὺς ἐπὶ τὴν καθέδραν αὐτοῦ, ὡς ἅπαξ καὶ ἅπαξ, ἐπὶ τῆς καθέδρας παρὰ τὸν τοῖχον, καὶ προέφθασε τὸν ἰωνάθαν, καὶ ἐκάθισεν ἀβεννὴρ ἐκ πλαγίων σαούλ. καὶ ἐπεσκέπη ὁ τόπος δαβὶδ, καὶ οὐκ ἐλάλησε σαοὺλ οὐδὲν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτι εἴρηκε, σύμπτωμα φαίνεται μὴ καθαρὸς εἶναι, ὅτι οὐ κεκαθάρισται. καὶ ἐγενήθη τῇ ἐπαύριον τοῦ μηνὸς, τῇ ἡμέρᾳ τῇ δευτέρᾳ, καὶ ἐπεσκέπη ὁ τόπος τοῦ δαβίδ. καὶ εἶπε σαοὺλ πρὸς ἰωνάθαν τὸν υἱὸν αὐτοῦ, τί ὅτι οὐ παραγέγονεν ὁ υἱὸς ἰεσσαὶ, ἐχθὲς καὶ σήμερον, ἐπὶ τὴν τράπεζαν; καὶ ἀπεκρίθη ἰωνάθαν τῷ σαοὺλ,

καὶ

bis iuxta Ergab illud. Et ego ter repetam lignis iaculans, emittens in Amangari, & ecce dimitto puerum, dicens, Veni, inueni mihi sagittam. Si dixero puero, Hic sagitta à te, & hic tolle eā, adueni, quod pax tibi, et non est dolus, uiuit dominus. Si autem hæc dixero adolescenti, Ibi sagitta à te & ultra, uade, quoniam dimisit te dominus. Et uerbū, quod loquuti sumus ego & tu, ecce, dominus testis inter me & te usq; in sempiternum. Et absconditur Dauid in agro, & aduenit mensis, & uenit rex ad mensam ad edendum. Et cōsedit rex in sella sua, ut semper, in sella iuxta parietem, & præuertit Ionathan. Et consedit Abenner ex latere Saul. Et perquisitus est locus Dauid, & non loquutus est Saul quicquam in die illa, quoniam dixit, casus apparet, ut non mundus sit, quia non purgatus est. Et factum est die crastina mensis, die secunda, & exquisitus fuit locus Dauid. Et dixit Saul ad Ionathan filium suū, Quid, quod non aduenit filius Iessæ, heri & hodie ad mensam. Et respondit Ionathan Saul,

&

et dixit ei, Deprecatus est à me Dauid, ut usque in Bethleem ciuitatem suam proficisceretur. Et dixit, Dimitte iam me, quia sacrificium tribus nostræ in ciuitate, et mandauerunt ad me fratres mei. Et nunc si inueni gratiam in oculis tuis, transibo iam, et uidebo fratres meos. Propter hoc non aduenit ad mensam regis. Et iratus est furore Saul cõtra Ionathan ualde, et dixit ei, Fili puellarum diuagantium, non enim scio, quod tu particeps es filio Iessæ ad turpitudinem tuam, et ad turpitudinem retectionis matris tuæ? Quoniam omnibus diebus, quibus filius Iessę uixerit super terram, non parabitur regnum tuum. Nunc igitur dimittẽs cape adolescentem, quoniam filius mortis est ille. Et respõdit Ionathan Saul patri suo, et dixit, Quare moritur? Quid fecit? Et sustulit Saul lanceam contra Ionathan, ut occideret eum. Et nouit Ionathan, quod perfecta est malicia hæc à patre suo, ut interficeret Dauid. Et resilijt Ionathan à mensa in ira furoris, et non edit panem in secunda die mẽsis, quod cõtristatus est propter Dauid, quia perfecit de eo pater eius. Et factũ est mane, et exiit Ionathan in agrũ, quẽadmodũ instituit

iui

καὶ εἶπον αὐτῷ, παρῄτηται παρ' ἐμοῦ δαβὶδ ἕως εἰς βηθλεὲμ τὴν πόλιν αὐτοῦ πορευθῆναι. καὶ εἶπεν, ἐξαπόστειλον δή με, ὅτι θυσία τῆς φυλῆς ὑμῶν ἐν τῇ πόλει, καὶ ἐνετείλαντο πρός με οἱ ἀδελφοί μου. καὶ νῦν εἰ εὕρηκα χάριν ἐν ὀφθαλμοῖς σου, διαβήσομαι δὴ, καὶ ὄψομαι τοὺς ἀδελφούς μου. διὰ τοῦτο οὐ παραγέγονεν ἐπὶ τὴν τράπεζαν τοῦ βασιλέως. καὶ ἐθυμώθη ὀργῇ σαοὺλ ἐπὶ ἰωνάθαν σφόδρα, καὶ εἶπεν αὐτῷ, ὑὲ κορασίων αὐτομολούντων, οὐ γὰρ οἶδα, ὅτι μέτοχος εἶ σὺ τῷ ὑῷ ἰεσσαὶ εἰς αἰσχύνην σου, καὶ εἰς αἰσχύνην ἀποκαλύψεως μητρός σου; ὅτι πάσας τὰς ἡμέρας, ἃς ὁ ὑὸς ἰεσσαὶ ζῇ ἐπὶ τῆς γῆς, οὐχ ἑτοιμασθήσεται ἡ βασιλεία σου. νῦν οὖν ἀποστείλας λαβὲ τὸν νεανίαν, ὅτι ὑὸς θανάτου οὗτος. καὶ ἀπεκρίθη ἰωνάθαν τῷ σαοὺλ πατρὶ αὐτοῦ, καὶ εἶπεν, ἵνα τί ἀποθνήσκει; τί πεποίηκεν; καὶ ἐπῆρε σαοὺλ τὸ δόρυ ἐπὶ ἰωνάθαν, τοῦ θανατῶσαι αὐτόν. καὶ ἔγνω ἰωνάθαν, ὅτι συντετέλεσται ἡ κακία αὕτη παρὰ τοῦ πατρὸς αὐτοῦ, θανατῶσαι τὸν δαβίδ. καὶ ἀνεπήδησεν ἰωνάθαν ἀπὸ τῆς τραπέζης, ἐν ὀργῇ θυμοῦ, καὶ οὐκ ἔφαγεν ἐν τῇ δευτέρᾳ τοῦ μηνὸς ἄρτον. ὅτι ἐθραύσθη ἐπὶ τὸν δαβίδ, ὅτι συνετέλεσεν ἐπ' αὐτὸν ὁ πατὴρ αὐτοῦ. καὶ ἐγενήθη πρωῒ, καὶ ἐξῆλθεν ἰωνάθαν εἰς ἀγρὸν, καθὼς ἐτάξατο

εἰς

εἰς τὸ μαρτύριον τῷ δαβίδ, καὶ παιδάριον μικρὸν μετ' αὐτοῦ. καὶ εἶπε τῷ παιδαρίῳ, Δράμε, εὗρέ μοι τὰς σχίζας, ἐν αἷς ἐγὼ ἀκοντίζω. καὶ τὸ παιδάριον ἔδραμε, καὶ αὐτὸς ἠκόντισε ἐν τῇ σχίζῃ, καὶ παρήγαγεν αὐτήν. καὶ ἦλθε τὸ παιδάριον ἕως τοῦ τόπου τῆς σχίζης, οὗ ἠκόντιζεν ἰωνάθαν, καὶ ἀνεβόησεν ἰωνάθαν ὀπίσω τοῦ νεανίσκου, καὶ εἶπεν, ἐκεῖ ἡ σχίζα ἀπό σου καὶ ἐπέκεινα. καὶ ἀνεβόησεν ἰωνάθαν ὀπίσω τοῦ παιδαρίου αὐτοῦ, λέγων, ταχύνας σπεῦσον, καὶ μὴ στῇς. καὶ ἀνέλεξε τὸ παιδάριον ἰωνάθαν τὰς σχίζας, καὶ ἤνεγκεν αὐτὰς πρὸς τὸν κύριον αὐτοῦ. καὶ τὸ παιδάριον οὐκ ἔγνω οὐδέν, πλὴν ἰωνάθαν καὶ δαβὶδ ἔγνωσαν τὸ ῥῆμα. καὶ ἰωνάθαν ἔδωκε τὰ σκεύη αὐτοῦ ἐπὶ τὸ παιδάριον αὐτοῦ, καὶ εἶπε τῷ παιδαρίῳ αὐτοῦ, πορεύου, εἴσελθε εἰς τὴν πόλιν. καὶ ὡς εἰσῆλθε τὸ παιδάριον, καὶ δαβὶδ ἀνέστη ἀπὸ τοῦ ἀργὰβ, καὶ ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ, καὶ προσεκύνησεν αὐτῷ τρίς, καὶ κατεφίλησεν ἕκαστος τὸν πλησίον αὐτοῦ, καὶ ἔκλαυσεν ἕκαστος ἐν τῷ πλησίον αὐτοῦ, ἕως συντελείας μεγάλης. καὶ εἶπεν ἰωνάθαν τῷ δαβίδ, πορεύου εἰς εἰρήνην, καὶ ὡς ὀμωμόκαμεν ἡμεῖς ἀμφότεροι ἐν ὀνόματι κυρίου, λέγοντες, κύριος ἔσται μάρτυς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, καὶ ἀνὰ μέσον τοῦ σπέρματός μου καὶ ἀνὰ μέσον

in testimonium Dauid, et puer paruus cũ eo. Et dixit puero, Curre, inueni mihi sagittas, in quibus ego iaculor. Et puer cucurrit, et ipse iaculatus est iaculo, & pretermisit id. Et uenit puer usque ad locũ iaculi, ubi iaculatus fuerat Ionathan, et exclamauit Ionathan à tergo adolescentis, et dixit, Ibi telum à te ulterius. Et exclamauit Ionathan post puerum suum, dicẽs, Accelerans festina, et non stes. Et collegit puer Ionathan sagittas, et tulit ad dominum suum. Et puer non nouit quicquam, tantummodo Ionathan et Dauid nouerant uerbum. Et Ionathan dedit arma sua super puerum suum, et dixit puero eius, Vade, ingredere in ciuitatem. Et abijt puer in ciuitatem, et Dauid surrexit ab Ergab, et cecidit in faciem suam, et adorauit eum ter, et deosculatus est unusquisque propinquum suum, et fleuit unusquisque in propinquo eius, usque ad consummationem magnam. Et dixit Ionathan Dauid, Vade in pace, et ut iurauimus nos ambo in nomine domini, dicentes, Dominus erit testis inter me et inter te, et inter semen meum & inter

ter semē tuū, usq; in sempiternū. Et surrexit Dauid, et abijt, et Ionathan ingressus est in ciuitatem.

Cap. XXI Et uenit Dauid in Nomba, ad Abimelech sacerdotem. Et exhorruit Abimelech occursu eius, & dixit ei, Quid, quod tu solus, et nemo tecum? Et dixit Dauid sacerdoti, Rex præcepit mihi hodie uerbum, et dixit mihi, nemo cognoscat uerbum, propter quod ablego te, et de quo ego præcepi tibi. Et pueris contestatus sum in loco, qui uocatur Emmonim, et nunc si sunt sub manu tua quinque panes, da in manus meas inuentum. Et respondit sacerdos Dauid, et dixit, Non sunt panes prophani sub manu mea, quoniam nisi sancti panes sunt, si custoditi seruuli sunt præterquam à muliere, et edent. Et respondit Dauid sacerdoti, et dixit ei, Sed et à muliere abstinuimus heri et nudiustertius. Quando egrediebar ego in uiam, fuerunt omnes purgati. Et hæc uia impura, propter quod hodie sanctificabitur per arma mea. Et dedit ei Abimelech sacerdos panes propositionis, quia non erat ibi panis, nisi panes faciei, ablati à facie dñi, ut apponerē panis calidꝰ, qua die accepit eos.

μέσον τοῦ σπέρματός σου, ἕως αἰῶνος. καὶ ἀνέστη δαβὶδ, καὶ ἀπῆλθε, καὶ ἰωνάθαν εἰσῆλθεν εἰς τὴν πόλιν.

Καὶ ἔρχεται δαβὶδ εἰς νομβᾶ, πρὸς ἀβιμέλεχ τὸν ἱερέα. καὶ ἐξέστη ἀβιμέλεχ τῇ ἀπαντήσει αὐτοῦ, καὶ εἶπεν αὐτῷ, τί ὅτι σὺ μόνος, καὶ οὐθεὶς μετὰ σοῦ; καὶ εἶπε δαβὶδ τῷ ἱερεῖ, ὁ βασιλεὺς ἐντέταλταί μοι ῥῆμα σήμερον, καὶ εἶπέ μοι, μηδεὶς γνώτω τὸ ῥῆμα, περὶ οὗ ἐγὼ ἀποστέλλω σε, καὶ ὑπὲρ οὗ ἐγὼ ἐντέλλομαί σοι. καὶ τοῖς παιδαρίοις διαμεμαρτύρημαι ἐν τῷ τόπῳ τῷ λεγομένῳ ἐμμωνεὶμ, καὶ νῦν εἰ εἰσὶν ὑπὸ τὴν χεῖρά σου πέντε ἄρτοι, δὸς εἰς χεῖράς μου τὸ εὑρεθέν. καὶ ἀπεκρίθη ὁ ἱερεὺς τῷ δαβὶδ, καὶ εἶπεν, οὐκ εἰσὶν ὑπὸ τὴν χεῖρά μου βέβηλοι ἄρτοι, ὅτι ἀλλ' ἢ ἅγιοι ἄρτοι εἰσὶν, εἰ πεφυλαγμένα τὰ παιδάριά εἰσι πλὴν ἀπὸ γυναικὸς, καὶ φάγονται. καὶ ἀπεκρίθη δαβὶδ τῷ ἱερεῖ, καὶ εἶπεν αὐτῷ, ἀλλὰ καὶ ἀπὸ γυναικὸς ἀπεσχήμεθα ἐχθὲς καὶ τρίτην ἡμέραν. ἐν τῷ ἐξελθεῖν με εἰς ὁδὸν, γέγονε πάντα τὰ παιδάρια ἡγνισμένα. καὶ αὐτὴ ἡ ὁδὸς βέβηλος, διότι ἁγιασθήσεται σήμερον διὰ τὰ σκεύη μου. καὶ ἔδωκεν αὐτῷ ἀβιμέλεχ ὁ ἱερεὺς τοὺς ἄρτους τῆς προθέσεως, ὅτι οὐκ ἦν ἐκεῖ ἄρτος, ἀλλ' ἢ ἄρτοι τοῦ προσώπου, οἱ ἀφῃρημένοι ἐκ προσώπου κυρίου, τοῦ παρατεθῆναι ἄρτον θερμὸν, ᾗ ἡμέρᾳ ἔλαβεν αὐτούς.

ἀυτοῦς. καὶ ἐκεῖ ἦν ἓν τῶν παιδαρί-
ων τοῦ σαοὺλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, συ-
νεχόμενος νεεσσαρὰν ἐνώπιον κυ-
ρίου, καὶ ὄνομα αὐτῷ δωὴκ ὁ σύρος,
νέμων τὰς ἡμιόνους σαοὺλ. καὶ εἶπε
δαβὶδ πρὸς ἀβιμέλεχ, εἰ ἔστιν ἐν-
ταῦθα ὑπὸ τὴν χεῖρά σου δόρυ ἢ ῥομ-
φαία; ἰδὲ, ὅτι τὴν ῥομφαίαν μου
καὶ τὰ σκεύη μου οὐκ εἴληφα ἐν τῇ
χειρί μου, ὅτι ἦν τὸ ῥῆμα τοῦ βασι-
λέως κατὰ σπουδήν. καὶ εἶπεν ὁ ἱε-
ρεὺς, ἰδοὺ ἡ ῥομφαία γολιὰθ τοῦ ἀλ-
λοφύλου, ὃν ἐπάταξας ἐν τῇ κοιλάδι
ἠλᾶ, καὶ αὕτη ἐνειλημένη ἐν ἱμα-
τίῳ. εἰ ταύτην λήψῃ, σεαυτῷ παρά-
λαβε, ὅτι οὐκ ἔστιν ἑτέρα παρὲξ αὐτῆς
ἐνταῦθα. καὶ εἶπε δαβὶδ, ἰδοὺ, οὐκ
ἔστιν ὥσπερ αὕτη, δός μοι αὐτήν.
καὶ ἔδωκεν αὐτὴν αὐτῷ. καὶ ἀνέστη
δαβὶδ, καὶ ἔφυγεν ἐν τῇ ἡμέρᾳ ἐ-
κείνῃ ἀπὸ προσώπου σαοὺλ. καὶ ἦλθε
δαβὶδ πρὸς ἀγχοῦς βασιλέα γέθ.
καὶ εἶπον οἱ παῖδες ἀγχοῦς πρὸς
αὐτὸν, οὐχὶ οὗτος δαβὶδ ὁ βασι-
λεὺς τῆς γῆς; οὐχὶ τούτῳ ἐξήρχοντο αἱ
χορεύουσαι, λέγουσαι, ἐπάταξε σαοὺλ
ἐν χιλιάσιν αὐτοῦ, καὶ δαβὶδ ἐν
μυριάσιν αὐτοῦ; καὶ ἔθετο δαβὶδ
τὰ ῥήματα ἐν τῇ καρδίᾳ αὐτοῦ, καὶ
ἐφοβήθη σφόδρα ἀπὸ προσώπου ἀγ-
χοῦς βασιλέως γέθ, καὶ ἠλλοίωσε τὸ
πρόσωπον αὐτοῦ ἐνώπιον αὐτοῦ, καὶ
προσεποιήσατο ἐν τῇ ἡμέρᾳ ἐκείνῃ,
καὶ ἐτυμπάνιζεν ἐπὶ ταῖς θύραις τῆς
πόλεως,

eos. Et ibi erat unus seruo-
rum Saul in die illa, con-
iunctus Neessaran co-
ram Domino, pascens
mulas Saul. Et dixit Da-
uid ad Abimelech, Num
est hic sub manu tua hasta
aut gladius? Vide, quia
gladium meum & arma
mea non accepi in manu
mea, quia uerbum regis
cum diligentia. Et dixit
sacerdos, Ecce gladius Go-
liath alienigenæ, quē per-
cussisti in ualle Ela, et Inf.21
hic inuolutus in pallio. Si
hunc accipies, tibiipsi ac-
cipe, quia nō est alius præ-
ter eum hic. Et dixit Da-
uid, Ecce nō est, sicut hic,
da mihi eum. Et dedit eū
ei. Et surrexit Dauid, &
fugit in die illa à facie Sa-
ul. Et uenit Dauid ad An-
chus regem Geth. Et di-
xerunt serui Anchus ad
eum, Nonne hic Dauid
rex terræ? Nonne huic or-
diebantur choros ducen-
tes, dicentes, Percussit Sa- Sup.18
ul in millibus suis, & Da- Inf.29
uid in decem millibus su-
is. Et posuit Dauid uerba
ista in corde suo, et timuit
ualde à facie Anchus re- Eccl.47
gis Geth. Et mutauit uul-
tum suum coram eo, & as-
simulauit in die illa, et tym-
pano cecinit in portis

urbis,

urbis, & præteruehebatur in manibus eius, & cecidit in portis urbis, & saliuæ eius defluebãt in barbam eius. Et dixit Anchus ad seruos suos, Ecce uidete uirum insanũ, quare introduxistis eũ ad me? An egeo furiosis ego, quia introduxistis eum ut fureret in me? Num hic non ingredietur in domum?

Cap. XXII
Sup. 20

Et abiit Dauid inde, et saluatus est, et uenit in speluncam Odollam. Et audiunt fratres eius, & domus patris eius, & descendunt ad eum illuc, & congregantur ad eum, omnis in necessitate & omnis debitor, & omnis perturbatus animo, & erat super eos dux. Et erant cum eo circiter quadringenti uiri. Et abiit Dauid inde in Masseph Moab. Et dixit ad regem Moab, Sint iam pater meus & mater mea apud te, donec sciam, quid faciet mihi deus. Et orauit faciem regis Moab, & habitauerunt cum eo omnibus diebus, existente Dauid in præsidio. Et dixit Gad propheta ad Dauid, Non deside in præsidio, proficiscere, & uenies in terram Iuda. Et profectus est Dauid, et uenit, & consedit in ciuitate Sarech. Et audiuit Saul, quod cognitus

πόλεως, καὶ παρεφέρετο ἐν ταῖς χερσὶν αὐτοῦ, καὶ ἔπιπτεν ἐπὶ ταῖς θύραις τῆς πόλεως, καὶ τὰ σίελα αὐτοῦ κατέρρει ἐπὶ τὸν πώγωνα αὐτοῦ. καὶ εἶπεν ἀγχοῦς πρὸς τοὺς παῖδας αὐτοῦ, ἰδοὺ, ἴδετε ἄνδρα ἐπίληπτον, ἵνα τί εἰσαγάγετε αὐτὸν πρός με; μὴ ἐλαττοῦμαι ἐπιλήπτων ἐγὼ, ὅτι εἰσηγάγετε αὐτὸν ἐπιληπτεύεσθαι πρός με; εἰ οὗτος οὐκ εἰσελεύσεται εἰς οἰκίαν;

Καὶ ἀπῆλθεν ἐκεῖθεν δαβὶδ, καὶ διεσώθη, καὶ ἔρχεται εἰς τὸ σπήλαιον τὸ ὀδολλάμ. καὶ ἀκούουσιν οἱ ἀδελφοὶ αὐτοῦ, καὶ ὁ οἶκος τοῦ πατρὸς αὐτοῦ, καὶ καταβαίνουσι πρὸς αὐτὸν ἐκεῖ, καὶ συνήγοντο πρὸς αὐτὸν πᾶς ἐν ἀνάγκῃ καὶ πᾶς ὑπόχρεως, καὶ πᾶς κατώδυνος ψυχῇ, καὶ ἦν ἐπ' αὐτῶν ἡγούμενος. καὶ ἦσαν μετ' αὐτοῦ ὡς τετρακόσιοι ἄνδρες. καὶ ἀπῆλθεν δαβὶδ ἐκεῖθεν εἰς μασσηφὰ τῆς μωάβ. καὶ εἶπε πρὸς βασιλέα μωὰβ, γινέσθωσαν δὴ ὁ πατήρ μου καὶ ἡ μήτηρ μου παρά σοι, ἕως ὅτου γνῶ, τί ποιήσει μοι ὁ θεός. καὶ παρεκάλεσε τὸ πρόσωπον τοῦ βασιλέως μωὰβ, καὶ κατῴκουν μετ' αὐτοῦ πάσας τὰς ἡμέρας, ὄντος τοῦ δαβὶδ ἐν τῇ περιοχῇ. καὶ εἶπε γὰδ ὁ προφήτης πρὸς δαβὶδ, μὴ κάθου ἐν τῇ περιοχῇ, πορεύου, καὶ ἥξεις εἰς γῆν ἰούδα. καὶ ἐπορεύθη δαβὶδ, καὶ ἦλθε, καὶ ἐκάθισεν ἐν πόλει σαρύχ. καὶ ἤκουσε σαοὺλ, ὅτι ἔγνωσται

ται Δαβὶδ καὶ οἱ ἄνδρες οἱ μετ' αὐτοῦ καὶ σαοὺλ ἐκάθητο ἐν τῷ βουνῷ, ὑπὸ τὴν ἄρουραν τὴν ἐν ῥαμᾷ, καὶ τὸ δόρυ ἐν τῇ χειρὶ αὐτοῦ, καὶ πάντες οἱ παῖδες αὐτοῦ παρειστήκεισαν αὐτῷ. καὶ εἶπε σαοὺλ πρὸς τοὺς παῖδας αὐτοῦ τοὺς παρεστηκότας αὐτῷ, ἀκούσατε δὴ υἱοὶ βενιαμίν. εἰ ἀληθῶς πᾶσιν ὑμῖν δώσει ὁ υἱὸς ἰεσσαὶ ἀγροὺς καὶ ἀμπελῶνας, καὶ πάντας ὑμᾶς τάξει ἑκατοντάρχους καὶ χιλιάρχους; ὅτι σύγκεισθε πάντες ὑμεῖς ἐπ' ἐμὲ, καὶ οὐκ ἔστιν ὁ ἀποκαλύπτων τὸ ὠτίον μου, ἐν τῷ διαθέσθαι διαθήκην τὸν υἱόν μου μετὰ τοῦ υἱοῦ ἰεσσαί. καὶ οὐκ ἔστι πονῶν περὶ ἐμοῦ ἐξ ὑμῶν, καὶ ἀποκαλύπτων τὸ ὠτίον μου, ὅτι ἐπήγειρεν ὁ υἱός μου τὸν δοῦλόν μου ἐπ' ἐμὲ εἰς ἐχθρὸν, ὡς ἡ ἡμέρα αὕτη. καὶ ἀποκρίνεται δωὴκ ὁ σύρος, ὁ καθεστηκὼς ἐπὶ τὰς ἡμιόνους σαοὺλ, καὶ εἶπεν, ἑώρακα τὸν υἱὸν ἰεσσαὶ, παραγινόμενον εἰς νομβᾶ πρὸς ἀβιμέλεχ υἱὸν ἀχιτὼβ, τὸν ἱερέα. καὶ ἠρώτα αὐτῷ διὰ τοῦ θεοῦ, καὶ ἐπισιτισμὸν ἔδωκεν αὐτῷ, καὶ τὴν ῥομφαίαν γολιὰθ τοῦ ἀλλοφύλου ἔδωκεν αὐτῷ. καὶ ἀπέστειλεν ὁ βασιλεὺς καλέσαι τὸν ἀβιμέλεχ υἱὸν ἀχιτὼβ, καὶ πάντας τοὺς υἱοὺς τοῦ πατρὸς αὐτοῦ, τοὺς ἱερεῖς τοὺς ἐν νομβᾶ, καὶ παρεγένοντο πάντες πρὸς τὸν βασιλέα. καὶ εἶπε σαοὺλ, ἄκουε δὴ υἱὲ ἀχιτώβ. καὶ εἶπεν, ἰδοὺ ἐγὼ, λάλει κύριε,

tus est Dauid, & uiri qui cum eo. Et Saul desidebat in colle, sub aruo quod in Rhama, & hasta in manu sua, & omnes serui eius astiterunt ei. Et dixit Saul ad seruos suos qui astiterũt ei, Audite iam filii Beniamin. Num uere omnibus uobis dabit filius Iessæ agros & uineas, aut omnes uos constituet centuriões & tribunos? Quoniam cõuenitis omnes uos aduersum me, & non est qui retegat auriculam meam, cum egerit pactionẽ filius meus cum filio Iessæ.
Et non est qui doleat de 4.Reg.4
mẽ ex uobis, & retegens auriculam meam, quod incitauit filius meus seruum meum aduersum me in hostem, ut dies hæc. Et respondit Doec Syrus, præfectus super mulas Saul, et
dicit, Vidi filium Iessę, ad Sup.21
uenientem in Nomba, ad Abimelech filium Achitob, sacerdotem. Et consulebat ei per deum, & commeatum dedit ei, & gladium Goliath alienigenæ dedit ei. Et dimisit rex ad
accersendum Abimelech Genes.37
filium Achitob, sacerdotem, Sup.3
& omnes filios patris Sup.23
ei⁹, sacerdotes qui ex Nõba, & adueniebãt omnes ad Regem. Et dixit Saul, Audi iã fili Achitob. Et dixit, Ecce egõ, loquere domine.

domine. Et dixit ei Saul,
Quare pactus es aduersum
me tu & filius Iessæ, ut da
res tu ei panem & gladiũ,
& consuleres tu ei per de
um, ut poneres eum aduer
sum me in hostem, ut dies
hæc? Et respondit Abi-
melech regi, & dixit, Et
quis in omnibus seruis tu-
is fidelis, ut Dauid fidus
& gener regis, & perfici
ens omne imperium tuum
et gloriosus in domo tua?
An hodie incepi consule-
re ei per deũ? Nequaquã,
ne det rex aduersum ser-
uum tuum sententiam &
in totam domum patris
mei, quia non sciuit seruus
tuus in omnibus istis uer-
bum paruum uel grande.
Sup.14 Et dixit rex Saul, Morte
morieris Abimelech tu et
omnis domus patris tui.
Et dixit rex circumcurrẽ
tibus, assistentibus apud
eum, Adducite, & interfi-
cite sacerdotes domini,
quoniã cognouerunt, qd'
fugit ipse, & non retexe-
runt auriculam meam. Et
non uoluerunt serui regis
inferre manus eorum, ir-
ruere in sacerdotes domi-
ni. Et dixit rex Doec, cõ
uertere tu, & irrue in sa-
cerdotes. Et conuersus est
Doec Syrus, & interfecit
ipse sacerdotes domini in
die illa trecentos & quin
que uiros, omnes geren-

κύριε. καὶ εἶπεν αὐτῷ σαοὺλ, ἵνα τί
συνέθου κατ' ἐμοῦ σὺ, καὶ ὁ υἱὸς ἰεσσαὶ,
τοῦ δοῦναί σε αὐτῷ ἄρτον καὶ ῥομφαί-
αν, καὶ ἐρωτᾷν αὐτῷ διὰ τοῦ θεοῦ, θέ-
σθαι αὐτὸν ἐπ' ἐμὲ εἰς ἐχθρὸν, ὡς ἡ
ἡμέρα αὕτη; καὶ ἀπεκρίθη ἀχιμέλεχ
τῷ βασιλεῖ, καὶ εἶπε, καὶ τίς ἐν πᾶσι
τοῖς δούλοις σου ὡς δαβὶδ πιστὸς, καὶ
γαμβρὸς τοῦ βασιλέως, καὶ ἄρχων
παντὸς τοῦ παραγγέλματός σου, καὶ
ἔνδοξος ἐν τῷ οἴκῳ σου; εἰ σήμερον
ἦργμαι ἐρωτᾷν αὐτῷ διὰ τοῦ θεοῦ;
μηδαμῶς, μὴ δότω ὁ βασιλεὺς κα-
τὰ τοῦ δούλου αὐτοῦ λόγον, καὶ ἐφ' ὅ-
λον τὸν οἶκον τοῦ πατρός μου, ὅτι οὐκ
ᾔδει ὁ δοῦλός σου ἐν πᾶσι τούτοις ῥῆ-
μα μικρὸν ἢ μέγα. καὶ εἶπεν ὁ βασι-
λεὺς σαοὺλ, θανάτῳ ἀποθανῇ, ἀβι-
μέλεχ, σὺ καὶ πᾶς ὁ οἶκος τοῦ πατρός
σου. καὶ εἶπεν ὁ βασιλεὺς τοῖς πα-
ρατρέχουσι τοῖς ἐφεστηκόσιν ἐπ' αὐ-
τὸν, προσαγάγετε, καὶ θανατοῦτε τοὺς
ἱερεῖς τοῦ κυρίου, ὅτι ἡ χεὶρ αὐτῶν με-
τὰ δαβὶδ, καὶ ὅτι ἔγνωσαν, ὅτι φεύ-
γει αὐτὸς, καὶ οὐκ ἀπεκάλυψαν τὸ ὠ-
τίον μου. καὶ οὐκ ἐβουλήθησαν οἱ παῖ-
δες τοῦ βασιλέως ἐπενεγκεῖν τὰς
χεῖρας αὐτῶν, ἀπαντῆσαι εἰς τοὺς ἱε-
ρεῖς τοῦ κυρίου. καὶ εἶπεν ὁ βασιλεὺς
τῷ δωὴκ, ἐπιστρέφου σὺ, καὶ ἀπάντα
εἰς τοὺς ἱερεῖς. καὶ ἐπεστράφη δωὴκ ὁ
σύρος, καὶ ἐθανάτωσε τοὺς ἱερεῖς τοῦ
κυρίου ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, τριακοσί-
ους καὶ πέντε ἄνδρας, πάντας αἴροντας

τας ἐφούδ. καὶ τὴν νομβὰ τὴν πόλιν τῶν ἱερέων ἐπάταξεν ἐν στόματι ῥομφαίας, ἀπὸ ἀνδρὸς ἕως γυναικός, ἀπὸ νηπίου ἕως θηλάζοντος, καὶ μόσχου καὶ ὄνου καὶ προβάτου. καὶ διασώζεται υἱὸς εἷς τῷ ἀβιμέλεχ υἱῷ ἀχιτὼβ, καὶ ὄνομα αὐτῷ ἀβιάθαρ, καὶ ἔφυγεν ὀπίσω δαβίδ. καὶ ἀπήγγειλεν ἀβιάθαρ τῷ δαβίδ, ὅτι ἐθανάτωσε σαοὺλ πάντας τοὺς ἱερεῖς τοῦ κυρίου. καὶ εἶπε δαβὶδ τῷ ἀβιάθαρ, ᾔδειν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτι ἐκεῖ ἦν δωὴκ ὁ σύρος, ὅτι ἀπαγγέλλων ἀπαγγελεῖ τῷ σαούλ. ἐγώ εἰμι αἴτιος τῶν ψυχῶν οἴκου τοῦ πατρός σου. κάθου μετ' ἐμοῦ, μὴ φοβοῦ, ὅτι οὗ ἐὰν ζητῶ τῇ ψυχῇ μου τόπον, ζητήσω καὶ τῇ ψυχῇ σου, ὅτι πεφύλαξαι σὺ παρ' ἐμοί.

Καὶ ἀπηγγέλη τῷ δαβίδ, λέγοντες, ἰδοὺ, οἱ ἀλλόφυλοι πολεμοῦσιν ἐν τῇ κεειλᾷ, καὶ αὐτοὶ διαρπάζουσι, καὶ καταπατοῦσι τοὺς ἅλω. καὶ ἐπηρώτησε δαβὶδ διὰ τοῦ κυρίου, λέγων, εἰ πορευθῶ, καὶ πατάξω τοὺς ἀλλοφύλους τούτους; καὶ εἶπε κύριος, πορεύου, καὶ πατάξεις ἐν τοῖς ἀλλοφύλοις τούτοις, καὶ σώσεις τὴν κεειλᾶ. καὶ εἶπον οἱ ἄνδρες τοῦ δαβὶδ πρὸς αὐτὸν, ἰδοὺ, ἡμεῖς ἐνταῦθα ἐν τῇ ἰδουμαίᾳ φοβούμεθα, καὶ πῶς ἔσται, ἐὰν πορευθῶμεν εἰς κεειλὰ, εἰς τὰς κοιλίας τῶν ἀλλοφύλων εἰσπορευσόμεθα; καὶ προσέθετο δαβὶδ ἔτι ἐπερωτῆσαι διὰ τοῦ κυρίου. καὶ ἀπεκρίθη αὐτῷ κύριος,

tes ephud. Et Nomban ciuitatem sacerdotum percussit in ore gladii, à uiro usque ad mulierem, à paruulo & usque ad lactãtem. & à uitulo & asino & oue. Et saluatur filius unus Abimelech filio Achitob, & nomen ei Abiathar, et fugit post Dauid. Et renũciauit Abiathar Dauid, quod occidit Saul omnes sacerdotes Domini. Et dixit Dauid ad Abiathar, Noui in die illa, quod ibi erat Doec Syrus, quod renunciãs renũciabit Saul. Ego sum reus animarum domus patris tui. Conside mecũ, ne timeas, quoniam ubi quæro animæ meæ locum, quæram & animæ tuæ, quoniam custoditus es tu apud me.

Cap. XXIII

Et renũciatũ est Dauid, dicentes, Ecce, alienigenæ belligerant in Ceila, et ipsi diripiunt, & cõculcant areas. Et interrogauit Dauid per dominũ, dicens, An proficiscar, & percutiam alienigenas istos? Et dixit dominus ad Dauid, Vade, & stragem edes in alienigenis istis, et saluabis Ceila. Et dixerũt uiri Dauid ad eum, Ecce, nos hic in Idumæa timemus, & quomodo erit, si profecti erimus in Ceila, in ualles alienigenarũ ingrediemur? Et addidit Dauid interrogare per dominum. Et respondit ei dominus,

minus, & dixit ei, Surge,& descende in Ceila, quoniam ego trado alienigenas in manus tuas. Et abiit Dauid, & uiri qui cũ eo in Ceila, & bellum gessit cũ alienigenis, et fugerũt à facie eius, et abduxit iumẽta eorũ. Et percussit in eis plaga magna. Et seruauit Dauid inhabitã Ceila. Et factum est, cum fugeret Abiathar filius Abimelech ad Dauid & ipse cum Dauid in Ceila descendit, habens ephud in manu sua. Et renunciatum est Saul, quod uenit Dauid in Ceila Et dixit Saul, Quod tradidit eum dominus in manus meas, quoniam conclusus est ingressus in urbem portarum & ferarum. Et præcipit Saul omni populo descendere in bellum, in Ceila, comprehendere Dauid & uiros eius. Et cognouit Dauid, quod Saul non obticet de eo maliciam. Et dixit Dauid ad Abiathar sacerdotem, Adduc ephud domini. Et dixit Dauid, domine deus Israel, audiens audiuit seruus tuus, quod quærit Saul uenire in Ceila, ut euertat urbem propter me, si occludetur, & nunc an descendet Saul, sicut audiuit seruus tuus, domine deus Israel, renuncia seruo tuo. Et dixit dominus, Occludetur. Et surrexit Dauid & uiri

ριος, καὶ εἶπεν αὐτῷ, ἀνάστηθι, καὶ κατάβηθι εἰς κεϊλά, ὅτι ἐγὼ παραδίδωμι τοὺς ἀλλοφύλους εἰς χεῖράς σου. καὶ ἐπορεύθη δαβὶδ καὶ οἱ ἄνδρες οἱ μετ' αὐτοῦ, εἰς κεϊλά, καὶ ἐπολέμησε τοῖς ἀλλοφύλοις. καὶ ἔφυγον ἀπὸ προσώπου αὐτοῦ, καὶ ἀπήγαγε τὰ κτήνη αὐτῶν, καὶ ἐπάταξεν ἐν αὐτοῖς πληγὴν μεγάλην. καὶ ἔσωσε δαβὶδ τοὺς κατοικοῦντας κεϊλά. καὶ ἐγένετο ἐν τῷ φεύγειν ἀβιάθαρ υἱὸν ἀβιμέλεχ πρὸς δαβίδ, καὶ αὐτὸς μετὰ δαβὶδ εἰς κεϊλὰ κατέβη, ἔχων ἐφοὺδ ἐν τῇ χειρὶ αὐτοῦ. καὶ ἀπηγγέλη τῷ σαοὺλ, ὅτι ἥκει δαβὶδ εἰς κεϊλά. καὶ εἶπε σαοὺλ, ὅτι πέπρακεν αὐτὸν ὁ κύριος εἰς τὰς χεῖράς μου, ὅτι ἀποκέκλεισται εἰσελθὼν εἰς πόλιν θυρῶν καὶ μοχλῶν. καὶ παρήγγειλε σαοὺλ παντὶ τῷ λαῷ καταβαίνειν εἰς πόλεμον ἐς κεϊλά, συνέχειν τὸν δαβὶδ καὶ τοὺς ἄνδρας αὐτοῦ. καὶ ἔγνω δαβὶδ, ὅτι οὐ παρασιωπᾷ σαοὺλ περὶ αὐτοῦ τὴν κακίαν. καὶ εἶπε δαβὶδ πρὸς ἀβιάθαρ τὸν ἱερέα, προσάγαγε τὸ ἐφοὺδ κυρίου. καὶ εἶπε δαβίδ, κύριε ὁ θεὸς ἰσραὴλ, ἀκούων ἀκήκοεν ὁ δοῦλός σου, ὅτι ζητεῖ σαοὺλ ἐλθεῖν εἰς κεϊλά, διαφθεῖραι τὴν πόλιν δι' ἐμέ, εἰ ἀποκλεισθήσεται, καὶ νῦν εἰ καταβήσεται σαοὺλ, καθὼς ἤκουσεν ὁ δοῦλός σου, κύριε ὁ θεὸς ἰσραὴλ ἀπάγγειλον τῷ δούλῳ σου. καὶ εἶπε κύριος, ἀποκλεισθήσεται. Καὶ ἀνέστη δαβὶδ, καὶ οἱ ἄνδρες

ἄνδρες οἱ μετ' αὐτοῦ, ὡς τετρακό-
σιοι, καὶ ἐξῆλθον ἐκ κεϊλᾶ, καὶ ἐ-
πορεύοντο, οὗ ἐὰν ἐπορεύοντο. καὶ
τῷ σαοὺλ ἀπηγγέλη, ὅτι διασέ-
σωσται δαβὶδ ἐκ κεϊλᾶ, καὶ ἀνῆκεν ἔ-
τι τοῦ ἐξελθεῖν. καὶ ἐκάθισε δαβὶδ
ἐν μασερὲμ, ἐν τῇ ἐρήμῳ, ἐν τοῖς στε-
νοῖς, καὶ ἐκάθητο ἐν τῇ ἐρήμῳ, ἐν τῷ
ὄρει ζὶφ, εἰς τὸ ὄρος τὸ αὐχμῶδες
ἐν γῇ αὐχμώδει. καὶ ἐζήτει αὐτὸν
σαοὺλ πάσας τὰς ἡμέρας, καὶ οὐ πα-
ρέδωκεν αὐτὸν κύριος εἰς τὰς χεῖ-
ρας αὐτοῦ. καὶ εἶδε δαβὶδ, ὅτι ἐξέρ-
χεται σαοὺλ τοῦ ζητεῖν αὐτόν. καὶ
δαβὶδ ἦν ἐν τῷ ὄρει τῷ αὐχμώ-
δει, ἐν τῇ καινῇ ζίφ. καὶ ἀνέστη ἰω-
νάθαν υἱὸς σαοὺλ, καὶ ἐπορεύθη πρὸς
δαβὶδ εἰς καινὴν, καὶ ἐκραταίω-
σε τὰς χεῖρας αὐτοῦ ἐν κυρίῳ. καὶ εἶ-
πε πρὸς αὐτὸν, μὴ φοβοῦ, ὅτι οὐ μή
σε εὕρῃ ἡ χεὶρ σαοὺλ τοῦ πατρός μου.
καὶ σὺ βασιλεύσεις ἐπὶ τὸν ἰσραὴλ,
καὶ ἐγὼ ἔσομαί σοι εἰς δεύτερον,
καὶ σαοὺλ ὁ πατήρ μου οἶδεν οὕ-
τως. καὶ διέθεντο ἀμφότεροι δια-
θήκην ἐνώπιον κυρίου. καὶ ἐκάθη-
το δαβὶδ ἐν καινῇ, καὶ ἰωνάθαν ἀ-
πῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. καὶ ἀν-
έβησαν οἱ ζιφαῖοι ἐκ τῆς αὐχμώ-
δους πρὸς σαοὺλ, ἐπὶ τὸν βουνὸν,
λέγοντες, οὐκ ἰδοὺ δαβὶδ κέκρυ-
πται παρ' ἡμῖν, ἐν μεσσαρὰ, ἐν τοῖς
στενοῖς, ἐν τῇ καινῇ, ἐν τῷ βουνῷ τοῦ
ἐχελὰτ, ἐκ δεξιῶν τοῦ ἰεσσαίμου;
καὶ

uiri sui circiter sexcenti,
& egressi sunt de Ceila,
& ibant, quocunque ibant.
Et Saul renunciatum est,
quod saluatus est Dauid è
Ceila, & permisit adhuc,
ut exiret. Et consedit Da-
uid in Maserem, in deser-
to, in angustiis, et consedit
in deserto, in mõte Ziph,
in montem squalidũ in ter-
ra squalida. Et quærebat
eum Saul omnib. diebus,
& non tradidit eum domi-
nus in manus eius. Et ui-
dit Dauid, quod egreditur
Saul, ut quæreret eum. Et
Dauid erat in monte squa-
lido, in Ceniziph. Et sur-
rexit Ionathan filius Saul,
& abiit ad Dauid in No-
uam, & roborauit manus
eius in domino. Et dixit
ad eum, Ne timeas, quia
nequaquã te inueniet ma-
nus Saul patris mei. Et tu
regnabis super Israel, &
ego ero tibi in secundum,
& Saul pater meus nouit
sic. Et fecerunt ambo fœ-
dus coram dño. Et conse-
dit Dauid in Noua, & Io-
nathan abiit in domum su-
am. Et ascenderunt Zi-
phei ex squalido ad Saul,
in collem, dicentes, Non-
ne ecce Dauid abscondi-
tus est apud nos, in Messa-
ra, in angustiis, in No-
ua, in colle Echelat, qui
est à dextris Iessæmu?

Et nunc omnia iuxta ani
mam regis, in descensum
descendat ad nos, conclu-
si enim sunt in manus re-
gis. Et dixit eis Saul, Be-
nedicti uos dño, quia labo
rastis propter me. Abite
iam, & præparate adhuc,
& cognoscite, & uidete
locũ eius, ubi est pes eius,
uelociter ibi, ubi dixistis,
ne forte callide agens cal
lide agat. Et uidete, & co
gnoscite, & uadam uobi-
scum. Et erit, si est in ter-
ra, & perscrutabor eum
in omnibus millibus Iu-
da. Et surrexerũt Ziphei
è squalido, & abierunt an
te Saul. Et Dauid & uiri
eius in deserto Maon, ad
occasum, à dextris Iesse-
mu. Et iuit Saul & uiri
eius ad quærendum Da-
uid. Et renunciarunt Da-
uid, & descendit in petrã
in deserto Maon. Et audi
uit Saul, & persecutus est
post Dauid in desertum
Maon. Et proficiscuntur
Saul & uiri eius ex parte
mõtis hac, & erat Dauid
& uiri eius ex parte mon
tis hac. Et Dauid e-
rat tectus, ut iret à facie
Saul. Et Saul & uiri eius
castra fixerunt aduersus
Dauid & uiros eius, com
prehendere eos. Et ad
Saul uenit nuncius, dicẽs,
Festina, & ueni, q̃a alieni-
genæ

καὶ νῦν πάντα πρὸς ψυχὴν τοῦ βασι-
λέως, εἰς κατάβασιν καταβαινέτω
πρὸς ἡμᾶς, ἀποκεκλεισμένοι εἰσὶν
εἰς τὰς χεῖρας τοῦ βασιλέως. καὶ εἶ-
πεν αὐτοῖς σαοὺλ, εὐλογημένοι ὑμεῖς
τῷ κυρίῳ, ὅτι ἐπονέσατε περὶ ἐμοῦ.
πορεύθητε δὴ, καὶ ἑτοιμάσατε ἔτι,
καὶ γνῶτε τὸν τόπον αὐτοῦ, οὗ ἔσται ὁ ποὺς
αὐτοῦ, ἐν τάχει ἐκεῖ, οὗ εἴπατε, μή πο-
τε πανουργεύσηται, πανουργεύσε-
ται. καὶ ἴδετε, καὶ γνῶτε, καὶ πορεύσο-
μαι μεθ' ὑμῶν. καὶ ἔσται, εἰ ἔστιν ἐπὶ
τῆς γῆς, καὶ ἐξερευνήσω αὐτὸν ἐν πά-
σαις χιλιάσιν ἰούδα. καὶ ἀνέστησαν οἱ
ζιφαῖοι ἐκ τῆς αὐχμώδους, καὶ ἐπορεύ-
θησαν ἔμπροσθεν σαούλ. καὶ δαβὶδ
καὶ οἱ ἄνδρες αὐτοῦ ἐν τῇ ἐρήμῳ τῇ
μαὼν, καθ' ἑσπέραν, ἐκ δεξιῶν τοῦ
ἰεσσαίμου. καὶ ἐπορεύθη σαοὺλ καὶ οἱ ἄν-
δρες αὐτοῦ ζητεῖν τὸν δαβίδ. καὶ ἀ-
πήγγειλαν τῷ δαβὶδ, καὶ κατέβη εἰς
τὴν πέτραν τὴν ἐν τῇ ἐρήμῳ μαών.
καὶ ἤκουσε σαοὺλ, καὶ κατεδίωξεν ὀπίσω
δαβὶδ εἰς τὴν ἔρημον μαών. καὶ πο-
ρεύονται σαοὺλ καὶ οἱ ἄνδρες αὐτοῦ
ἐκ μέρους τοῦ ὄρους ἐκ τούτου, καὶ ἦν δα-
βὶδ καὶ οἱ ἄνδρες αὐτοῦ ἐκ μέρους
τοῦ ὄρους ἐκ τούτου. καὶ ἦν δαβὶδ σκε-
παζόμενος πορεύεσθαι ἀπὸ προσώ-
που σαούλ. καὶ σαοὺλ καὶ οἱ ἄνδρες αὐ-
τοῦ παρενέβαλον ἐπὶ δαβὶδ, καὶ ἐπὶ
τοὺς ἄνδρας αὐτοῦ, συλλαβεῖν αὐ-
τούς. καὶ πρὸς σαοὺλ ἦλθεν ἄγγελος,
λέγων, σπεῦδε, καὶ δεῦρο, ὅτι ἀλλό-
φυλοι

φυλοι ἐπέθεντο ἐπὶ τὴν γῆν. καὶ ἀνέστρεψε σαοὺλ μὴ καταδιώκειν ὀπίσω δαβὶδ, καὶ ἐπορεύθη εἰς συνάντησιν τῶν ἀλλοφύλων. διὰ τοῦτο ἐπεκλήθη ὁ τόπος ἐκεῖνος, πέτρα ἡ μερισθεῖσα.

Καὶ ἀνέστη δαβὶδ ἐκεῖθεν, καὶ ἐκάθισεν ἐν τοῖς στενοῖς γαδδί. καὶ ἐγενήθη, ὡς ἀνέστρεψε σαοὺλ ἀπὸ ὄπισθεν τῶν ἀλλοφύλων, καὶ ἀπηγγέλη αὐτῷ, λεγόντων, ὅτι ἰδοὺ δαβὶδ ἐν τῇ ἐρήμῳ, ἐν γαδδί. Καὶ ἔλαβε μεθ' ἑαυτοῦ τρεῖς χιλιάδας ἀνδρῶν ἐκλεκτοὺς ἐκ παντὸς ἰσραήλ. καὶ ἐπορεύθη ζητεῖν τὸν δαβὶδ καὶ τοὺς ἄνδρας αὐτοῦ, ἐπὶ πρόσωπον σαδδαιέμ. καὶ ἦλθεν ἐπὶ τὰς ἀγέλας τῶν ποιμνίων τὰς ἐπὶ τῆς ὁδοῦ. καὶ ἦν ἐκεῖ σπήλαιον, καὶ σαοὺλ εἰσῆλθε παρασκευάσασθαι, καὶ δαβὶδ, καὶ οἱ ἄνδρες αὐτοῦ ἐσώτερον τοῦ σπηλαίου ἐκάθηντο. καὶ εἶπον οἱ ἄνδρες δαβὶδ πρὸς αὐτὸν, ἰδοὺ ἡ ἡμέρα αὕτη, ἣν εἶπε κύριος πρός σε παραδοῦναι τὸν ἐχθρόν σου εἰς τὰς χεῖράς σου, καὶ ποιήσεις αὐτῷ, ὡς ἀγαθὸν ἐν ὀφθαλμοῖς σου. καὶ ἀνέστη δαβὶδ, καὶ ἀφεῖλε τὸ πτερύγιον τῆς διπλοΐδος τοῦ σαοὺλ λαθραίως. καὶ ἐγενήθη μετὰ ταῦτα, καὶ ἐπάταξε καρδία δαβὶδ αὐτὸν, ὅτι ἀφεῖλε τὸ πτερύγιον τῆς διπλοΐδος αὐτοῦ. καὶ εἶπε δαβὶδ πρὸς τοὺς ἄνδρας αὐτοῦ, μηδαμῶς μοι παρὰ κυρίου, εἰ ποιήσω τὸ ῥῆμα τοῦτο τῷ

κυρίῳ

genæ traducti sunt in terram. Et reuersus est Saul, ut non persequeretur post Dauid, & profectus est in occursum alienigenarum. Propter hoc uocatus est locus ille, Petra diuisa.

Cap. XXIIII.

Dauid captiuæ ductæ fuerant, Achinaam Israelitis, & Abigæa uxor Nabal Carmeli. Et afflictus est Dauid ualde, quoniã dixit populus lapidare eũ, quia perturbata anima totius populi, uniuscuiusque super filiis suis & super filiabus suis. Et corroboratus est Dauid in domino deo suo. Et dixit Dauid ad Abiathar sacerdotem, filium Abimelech, adduc ephud. Et interrogauit Dauid per dominum, dicens, An persequar post Geddur hunc, an comprehendam eos? Et dixit ei dominus, Persequere, quoniam comprehendens comprehẽdes eos, & eripiẽs eripies. Et abiit Dauid, ipse & sexcenti uiri qui cum eo, & ueniunt usq; ad torrentem Bossor. Et superflui steterunt, & persequutus est in quadringẽtis uiris. Substiterũt autem ducenti uiri, qui consederũt trãs torrentem Bossor. Et inueniunt uirum Aegyptium in agro, & capiunt eum, & ducunt eum ad Dauid. Et dederunt ei panem, & edit, & potauerunt eum aqua, & dederunt ei fragmentum massæ caricarum, & edit, & constituit spiritus eius in eo, quia non ederat panem, & non biberat aquam tres dies & tres noctes. Et dixit ei Dauid, Vnde

es, &

es, & cuius es tu? Et dixit puer Aegyptius, Ego sum seruus uiri Amalecitæ, & reliquit me dominus meus, quoniam defatigatus fui ego, hodie triduanus. Et nos impressionẽ fecimus ad Austrũ Chelethi & in Iudææ partes & in Gelbue, & Sicelag succẽdimus in igne. Et dixit ei Dauid, An deduces me ad Geddur hunc? Et dixit, Iura iam mihi per deum, non occidere me, et non tradere me in manus domini mei, & deducam te ad Geddur hunc. Et deduxit eum illuc, & ecce ipsi diffusi super faciẽ omnis terræ, edentes & bibẽtes, & festum celebrantes in omnibus spoliis magnis, quæ ceperunt è terra alienigenarum, & è terra Iuda. Et uenit ad eos Dauid, & percussit eos à lucifero usque uesperã, & crastino die. Et non saluatus est ex eis uir, preterquàm quadringenti pueri, conscendentes in camelos, & fugerunt. Et abstulit Dauid omnia, quæ cepit Amalec, & ambas uxores suas. Et non discrepauit illis à paruo usque ad magnum, & à spoliis & usque ad filios & filias, & usque ad omnia quæ ceperũt eorum, omnia reduxit Dauid. Et tulit Dauid omnes greges & armenta, &

εἶ, καὶ τίνος εἶ σύ; καὶ εἶπε τὸ παιδάριον τὸ αἰγύπτιον, ἐγώ εἰμι δοῦλος ἀνδρὸς ἀμαληκίτου, καὶ κατέλιπέ με ὁ κύριός μου, ὅτι ἐνωχλήθην ἐγώ, σήμερον τριταῖος. καὶ ἡμεῖς ἐπεθέμεθα ἐπὶ τὸν νότον τοῦ χελεθί, καὶ ἐπὶ τὰ τῆς ἰουδαίας μέρη, καὶ ἐπὶ τὸν γελβουέ, καὶ τὴν σικελὰγ ἐνεπυρίσαμεν ἐν πυρί. καὶ εἶπεν αὐτῷ δαβίδ, εἰ κατάξεις με ἐπὶ τὸ γεδδοὺρ τοῦτο; καὶ εἶπεν, ὄμοσον δή μοι κατὰ τοῦ θεοῦ μὴ θανατῶσαί με, καὶ μὴ παραδοῦναί με εἰς χεῖρας τοῦ κυρίου μου, καὶ κατάξω σε ἐπὶ τὸ γεδδοὺρ τοῦτο. καὶ κατήγαγεν αὐτὸν ἐκεῖ, καὶ ἰδού, οὗτοι διακεχυμένοι ἐπὶ πρόσωπον πάσης τῆς γῆς, ἐσθίοντες καὶ πίνοντες, καὶ ἑορτάζοντες ἐν πᾶσι τοῖς σκύλοις τοῖς μεγάλοις, οἷς ἔλαβον ἐκ γῆς ἀλλοφύλων, καὶ ἐκ γῆς ἰούδα. καὶ ἦλθεν ἐπ᾽ αὐτοὺς δαβίδ, καὶ ἐπάταξεν αὐτοὺς ἀπὸ ἑωσφόρου ἕως δείλης, καὶ τῇ ἐπαύριον. καὶ οὐ διεσώθη ἐξ αὐτῶν ἀνήρ, ὅτι ἀλλ᾽ ἢ τετρακόσια παιδάρια, ἃ ἦν ἐπιβεβηκότα ἐπὶ τὰς καμήλους, καὶ ἔφυγον. καὶ ἀφείλατο δαβίδ πάντα, ἃ ἔλαβον οἱ ἀμαληκῖται. καὶ ἀμφοτέρας τὰς γυναῖκας αὐτοῦ. καὶ οὐ διεφώνησεν αὐτοῖς ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ ἀπὸ τῶν σκύλων καὶ ἕως υἱῶν καὶ θυγατέρων, καὶ ἕως πάντων ὧν ἔλαβον αὐτῶν, τὰ πάντα ἐπέστρεψε δαβίδ. καὶ ἔλαβε πάντα τὰ ποίμνια καὶ τὰ βουκόλια, καὶ

καὶ ἀπήγαγον ἔμπροσθεν τῶν σκύ-
λων· καὶ τοῖς σκύλοις ἐκείνοις ἐλέ-
γετο, ταῦτα τὰ σκῦλα δαβίδ. καὶ πα-
ραγίνεται δαβὶδ πρὸς τοὺς διακοσί-
ους ἄνδρας, τοὺς ὑπολειφθέντας τοῦ
πορεύεσθαι ὀπίσω δαβίδ, καὶ ἐκάθι-
σεν αὐτοὺς ἐν τῷ χειμάῤῥῳ τοῦ βεσ-
σώρ. καὶ ἐξῆλθον εἰς ἀπάντησιν δα-
βίδ, καὶ εἰς ἀπάντησιν τοῦ λαοῦ τοῦ
μετ᾽ αὐτοῦ. καὶ προσήγαγε δαβὶδ ἕως
τοῦ λαοῦ, καὶ ἠρώτησαν αὐτὸν τὰ εἰς
εἰρήνην. καὶ ἀπεκρίθη πᾶς ἀνὴρ λοι-
μὸς καὶ πονηρὸς τῶν ἀνδρῶν τῶν πολε-
μιστῶν, τῶν πορευθέντων μετὰ δα-
βίδ, καὶ εἶπον, ὅτι οὐ κατεδίωξαν μεθ᾽
ἡμῶν, οὐ δώσομεν αὐτοῖς ἐκ τῶν σκύ-
λων, ὧν ἐξειλόμεθα, ὅτι ἀλλ᾽ ἢ ἕκα-
στος τὴν γυναῖκα αὐτοῦ καὶ τὰ τέκ-
να αὐτοῦ ἀπαγέσθωσαν, καὶ ἀποστρε-
φέτωσαν. καὶ εἶπε δαβίδ, οὐ ποιήσε-
τε οὕτως, μετὰ τὸ παραδοῦναι κύρι-
ον ἡμῖν καὶ φυλάξαι ἡμᾶς. καὶ παρέ-
δωκε κύριος τὸν γεδδοὺρ τὸν ἐπερ-
χόμενον ἐφ᾽ ἡμᾶς εἰς χεῖρας ἡμῶν,
καὶ τίς ἐπακούσεται ὑμῶν τῶν λόγων
τούτων; ὅτι οὐχ ἧττον ἡμῶν εἰσι. διό-
τι κατὰ τὴν μερίδα τοῦ καταβαί-
νοντος εἰς τὸν πόλεμον, οὕτως ἔσται
ἡ μερὶς τοῦ καθημένου ἐπὶ τὰ σκεύη,
κατὰ τὸ αὐτὸ μεριοῦνται. καὶ ἐγενή-
θη ἀπὸ τῆς ἡμέρας ἐκείνης καὶ ἐπά-
νω, καὶ ἐγένετο εἰς πρόσταγμα καὶ
εἰς δικαίωμα τῷ ἰσραὴλ ἕως τῆς σή-
μερον. καὶ ἦλθε δαβὶδ εἰς σικελὰγ,
καὶ

& abegit ante spolia. Et
spoliis illis dicebatur, Hęc
spolia Dauid. Et aduenit
Dauid ad ducētos uiros,
relictos, ut irent post Da-
uid, & collocauit eos in
torrente Bossor. Et egres
si sunt in occursum Da-
uid, & in occursum popu
li qui cum eo. Et accessit
Dauid usq; ad populum,
& interrogauit eum quæ
ad pacem. Et respondit
omnis uir exitialis & ma
lus ex uiris bellatoribus,
qui profecti erant cū Da-
uid, & dixerunt, Quia nō
persecuti fuerūt uobiscū,
non dabimus eis de spo-
liis, quæ eripuimus, nisi
quod unusquisq; uxorem
suam & liberos suos abdu
cant, et reuertantur. Et di
xit Dauid, Non facietis
sic, postquàm tradidit do-
minus nobis, et custodiuit
nos. Et tradidit dominus
Geddur inuadentem in
nos, in manus nostras, &
quis audiet uestros sermo
nes istos? Quoniam non
minus nobis sunt. Pro-
pter hoc pro parte descē-
dentis in bellum, sic erit
pars considentis ad arma,
pro eodem diuidentur. Et
factum est à die illa & de
inceps, & fuit in pręceptū
& in iudicium Israel us-
que in diem hanc. Et
uenit Dauid in Siceleg.
&

& ablegauit ex spoliis senioribus Iuda & propinquis suis, dicens, Ecce, benedictio uobis ex spoliis inimicorũ domini, qui in Bethsur, & q in Rama austri, & qui in Gethither, & qui in Aroer, & qui in Amadi, & qui in Sapha, & qui in Esthie, et qui in Geth, & qui in Nican, & qui in Saphech, et qui in Themath, et qui in Carmelo, & qui in urbibus Hiermeel, & qui in urbibus Cenezi, et qui in Hiermuth, & qui in Bersabee, & qui in Nombe, & qui in Chebron, & in oẽs locos, quos trãsiit Dauid ibi, ipse & uiri eius.

Cap.XXXI Et alienigenæ belligerabant aduersum Israel, & fugerunt uiri Israel in conspectu alienigenarum, & cadunt uulnerati in monte Gelbue. Et committũt pugnam alienigenæ cum Saul & filiis eius. Et percutiunt alienigenæ Ionathan & Aminadam, & Melchisoa, filios Saul. Et grauatur bellũ in Saul, & inueniũt eũ iaculatores uiri sagittarii, et uulneratus ẽ in ilia. Et dixit Saul ad gestantem arma sua, Extrahe gladium tuum, & transfige me in eo, ne ueniant incircumcisi isti et transfigant me, & illudãt in me. Et non uoluit gerẽs arma eius.

καὶ ἀπέστειλε ἀπὸ τῶν σκύλων τοῖς πρεσβυτέροις ἰούδα, καὶ τοῖς πλησίον αὐτοῦ, λέγων, ἰδοὺ, εὐλογία ὑμῖν ἀπὸ τῶν σκύλων τῶν ἐχθρῶν κυρίου, τοῖς ἐν βεθσοὺρ, καὶ τοῖς ἐν ῥαμᾶ νότου, καὶ τοῖς ἐν γεθθὲρ, καὶ τοῖς ἐν ἀροὴρ, καὶ τοῖς ἐν ἀμαδὶ, καὶ τοῖς ἐν σαφὲ, καὶ τοῖς ἐν ἐσθιὲ, καὶ τοῖς ἐν γὲθ, καὶ τοῖς ἐν κινᾶν, καὶ τοῖς ἐν σαφὲκ, καὶ τοῖς ἐν θημὰθ, καὶ τοῖς ἐν καρμήλῳ, καὶ τοῖς ἐν ταῖς πόλεσι τοῦ ἰσραμιὴλ, καὶ τοῖς ἐν ταῖς πόλεσι τοῦ κενεζεῖ, καὶ τοῖς ἐν ἱεριμὼθ, καὶ τοῖς ἐν βηρσαβεὲ, καὶ τοῖς ἐν νομβὲ, καὶ τοῖς ἐν χεβρὼν, καὶ εἰς πάντας τοὺς τόπους, οὓς διῆλθε δαβὶδ ἐκεῖ, αὐτὸς καὶ οἱ ἄνδρες αὐτοῦ.

Καὶ οἱ ἀλλόφυλοι ἐπολέμουν ἐπὶ ἰσραὴλ, καὶ ἔφυγον οἱ ἄνδρες ἰσραὴλ ἐκ προσώπου τῶν ἀλλοφύλων, καὶ πίπτουσι τραυματίαι ἐν τῷ ὄρει τῷ γελβουέ. καὶ συνάπτουσιν οἱ ἀλλόφυλοι τῷ σαοὺλ καὶ τοῖς υἱοῖς αὐτοῦ. καὶ τύπτουσιν ἀλλόφυλοι τὸν ἰωνάθαν καὶ τὸν ἀμιναδὰμ καὶ τὸν μελχισοὰ, υἱοὺς σαοὺλ. καὶ βαρύνεται ὁ πόλεμος ἐπὶ σαοὺλ, καὶ εὑρίσκουσιν αὐτὸν οἱ ἀκοντισταὶ ἄνδρες τοξόται, καὶ ἐτραυματίσθη εἰς τὰ ὑποχόνδρια. καὶ εἶπε σαοὺλ πρὸς τὸν αἴροντα τὰ σκεύη αὐτοῦ, σπάσαι τὴν ῥομφαίαν σου, καὶ ἀποκέντησόν με ἐν αὐτῇ, μὴ ἔλθωσιν οἱ ἀπερίτμητοι οὗτοι, καὶ ἀποκεντήσωσί με, καὶ ἐμπαίξωσιν ἐν ἐμοί. καὶ οὐκ ἐβουλήθη ὁ αἴρων τὰ σκεύη αὐτοῦ.

αὐτοῦ, ὅτι ἐφοβήθη σφόδρα. καὶ ἔλαβε σαοὺλ τὴν ῥομφαίαν αὐτοῦ, καὶ ἐπέπεσεν ἐπ' αὐτήν. καὶ εἶδεν ὁ αἴρων τὰ σκεύη αὐτοῦ, ὅτι τέθνηκε σαοὺλ, καὶ ἐπέπεσε καὶ αὐτὸς ἐπὶ τὴν ῥομφαίαν αὐτοῦ, καὶ ἀπέθανε μετ' αὐτοῦ. καὶ ἀπέθανε σαοὺλ καὶ οἱ τρεῖς υἱοὶ αὐτοῦ, καὶ ὁ αἴρων τὰ σκεύη αὐτοῦ, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ κατὰ τὸ αὐτό. καὶ εἶδον οἱ ἄνδρες ἰσραὴλ οἱ ἐν τῷ πέραν τῆς κοιλάδος, καὶ οἱ ἐν τῷ πέραν τοῦ ἰορδάνου, ὅτι ἔφυγον ἄνδρες ἰσραὴλ, καὶ ὅτι τέθνηκε σαοὺλ καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ καταλείπουσι τὰς πόλεις αὐτῶν, καὶ φεύγουσι, καὶ ἔρχονται οἱ ἀλλόφυλοι, καὶ κατοικοῦσιν ἐν αὐταῖς. καὶ ἐγενήθη τῇ ἐπαύριον, καὶ ἔρχονται οἱ ἀλλόφυλοι ἐκδιδύσκειν τοὺς νεκροὺς, καὶ εὑρίσκουσι τὸν σαοὺλ, καὶ τοὺς τρεῖς υἱοὺς αὐτοῦ πεπτωκότας ἐπὶ τὰ ὄρη γελβουέ, καὶ ἀποστρέφουσιν αὐτὸν, καὶ ἐξέδυσαν τὰ σκεύη αὐτοῦ. καὶ ἀποκόπτουσι τὴν κεφαλὴν αὐτοῦ, καὶ ἐξαποστέλλουσιν εἰς γῆν ἀλλοφύλων, κύκλῳ εὐαγγελίζοντες τοῖς εἰδώλοις αὐτῶν καὶ τῷ λαῷ αὐτῶν. καὶ ἀνέθηκαν τὰ σκεύη αὐτοῦ εἰς τὸ ἀσταρτεῖον, καὶ τὸ σῶμα αὐτοῦ κατέπηξαν ἐν τῷ τείχει βεθσάμ. καὶ ἀκούουσιν οἱ κατοικοῦντες ἰαβὶς τῆς γαλααδίτιδος, ἃ ἐποίησαν οἱ ἀλλόφυλοι τῷ σαοὺλ, καὶ ἀνέστησαν πᾶς ἀνὴρ δυνάμεως, καὶ ἐπορεύθησαν ὅλην τὴν νύκτα, καὶ ἔλαβον τὸ σῶμα σαοὺλ, καὶ τὸ σῶμα ἰωνάθαν τοῦ υἱοῦ αὐτοῦ ἀπὸ τοῦ τείχους βεθσάμ, καὶ φέρουσιν αὐτοὺς εἰς ἰαβίς.

eius, quia timuit ualde. Et præhendit Saul gladiũ suum, & incidit in eũ. Et uidit gerẽs arma eius, quod mortuus est Saul, & cecidit & ipse in gladiũ eius, & mortuus est cũ eo. Et mortuus est Saul & tres filii eius, & gerens arma eius, in die illa simul. Et uiderunt uiri Israel qui trãs uallem, & qui trans Iordanem, quod fugissent uiri Israel, et quod mortuus est Saul & filii eius, & relinquunt ciuitates suas, & fugiunt, & ueniunt alienigenæ, & habitãt in eis. Et factum est crastina, & ueniunt alienigenæ exuere interfectos, & inueniũt Saul & tres filios eius ꝓstratos in montes Gelbue, & conuertunt eum, & exuerunt arma eius. Et abscindũt caput eius, & ablegãt in terram alienigenarum, in circuitu bene nunciantes idolis eorum & populo eorum. Et reposuerũt arma eius in Astartium, & corpus eius fixerunt in muro Bethsam. Et audiũt inhabitantes Iabes Galaaditidis, quæ fecerunt alienigenæ Saul, & surrexerunt omnis uir potentiæ, & profecti sunt totam noctem, & ceperunt corpus Saul, & corpus Ionathan filii eius à muro Bethsam, & ferunt eos in Iabes, 2.Re.1

Iabes, & combusserunt eos ibi. Et accipiunt ossa eorum, & sepelierunt sub aruo in Iabes, & ieiunauerunt septem dies.

ἰαβεῖς, καὶ κατακαίουσιν αὐτοὺς ἐκεῖ· καὶ λαμβάνουσι τὰ ὀστᾶ αὐτῶν, καὶ θάπτουσιν ὑπὸ τὴν ἄρουραν τὴν ἐν ἰαβεῖς, καὶ νηστεύουσιν ἑπτὰ ἡμέρας.

REGVM LIBER II.

Cap.1



ET factū est postquam mortuus est Saul, & Dauid
reuersus est percutiēs Amalec. Et consedit Dauid
in Sicelag dies duos, &
factum est die tertia, & ec
ce, uir uenit è castris po
puli qui cum Saul, & ue
stes eius disscissæ, & ter
ra super caput eius. Factū
est autē, cū ingrederetur
1.Reg.9 ipse ad Dauid, & cecidit
super terram, & adorauit
eū. Et dixit ei Dauid, Vn
de aduenis? Et dixit ad
eū, E castris Israel saluat⁹
sum. Et dixit ei Dauid,
Quis sermo hic, renūcia.
Et dixit, qđ fugit popu
lus è bello, et ceciderūt mul
ti ex populo, & mortui
sunt Et Saul et Ionathā fi
lius eius mortuus est. Et
dixit Dauid puero renūci
anti ei. Quomodo nouisti
qđ mortuus est Saul, et Io
nathā filius eius. Et dixit
adolescēs renūciās ei, Ca
su incidi in mōte Gelbue,
& ecce, Saul innixus erat
in hastam suam Et ecce,
currus, & equitum princi
pes commissi erant ei, &
respexit



ΚΑὶ ἐγένετο μετὰ τὸ ἀποθανεῖν σαοὺλ, καὶ δαβὶδ ἀνέστρεψε τύπτων τὸν ἀμαλὴκ. καὶ ἐκάθισε δαβὶδ ἐν σικελὰγ ἡμέρας δύο, καὶ ἐγενήθη τῇ ἡμέρᾳ τῇ τρίτῃ, καὶ ἰδοὺ, ἀνὴρ ἦλθεν ἐκ τῆς παρεμβολῆς τοῦ λαοῦ σαοὺλ, καὶ τὰ ἱμάτια αὐτοῦ διεῤῥωγότα, καὶ γῆ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ. καὶ ἐγένετο ἐν τῷ ἐλθεῖν αὐτὸν πρὸς δαβὶδ, καὶ ἔπεσεν ἐπὶ τὴν γῆν, καὶ προσεκύνησεν αὐτῷ. καὶ εἶπεν αὐτῷ δαβὶδ, πόθεν σὺ παραγίνῃ; καὶ εἶπε πρὸς αὐτὸν, ἐκ τῆς παρεμβολῆς ἰσραὴλ ἐγὼ διασέσωσμαι. καὶ εἶπεν αὐτῷ δαβὶδ, τίς ὁ λόγος οὗτος, ἀπάγγειλόν μοι. καὶ εἶπεν, ὅτι πέφευγεν ὁ λαὸς ἐκ τοῦ πολέμου, καὶ πεπτώκασιν πολλοὶ ἐκ τοῦ λαοῦ, καὶ ἀπέθανον. καὶ σαοὺλ καὶ ἰωνάθαν ὁ υἱὸς αὐτοῦ ἀπέθανε. καὶ εἶπε δαβὶδ τῷ παιδαρίῳ τῷ ἀπαγγέλλοντι αὐτῷ, πῶς οἶδας, ὅτι τέθνηκε σαοὺλ, καὶ ἰωνάθαν ὁ υἱὸς αὐτοῦ. καὶ εἶπε τὸ παιδάριον τὸ ἀπαγγέλλον αὐτῷ, περιπτώματι περιέπεσον ἐν τῷ ὄρει τῷ γελβουὲ, καὶ ἰδοὺ. σαοὺλ ἐπεστήρικτο ἐπὶ τὸ δόρυ αὐτοῦ. καὶ ἰδοὺ, τὰ ἅρματα καὶ οἱ ἱππάρχαι συνῆψαν αὐτῷ, καὶ ἐπέβλε-

ἐπέβλεψεν ἐπὶ τὰ ὀπίσω αὐτοῦ, καὶ εἶδέ με, καὶ ἐκάλεσέ με. καὶ εἶπα, ἰδοὺ ἐγώ. καὶ εἶπέ μοι, τίς εἶ σύ; καὶ εἶπα, ἀμαληκίτης ἐγώ εἰμι. καὶ εἶπε πρός με, ἐπίστηθι δὴ ἐπάνω μου, καὶ θανάτωσόν με, ὅτι κατέσχε με σκότος δεινόν, καὶ ἔτι ἡ ψυχή μου ἐν ἐμοί. καὶ ἐπέστην ἐπ' αὐτόν, καὶ ἐθανάτωσα αὐτόν, ὅτι ᾔδειν, ὅτι οὐ ζήσεται μετὰ τὸ πεσεῖν αὐτόν. καὶ ἔλαβον τὸ βασίλειον τὸ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, καὶ τὸν χλιδῶνα τὸν ἐπὶ τοῦ βραχίονος αὐτοῦ, καὶ ἐνήνοχα αὐτὰ τῷ κυρίῳ μου ὧδε. καὶ ἐκράτησεν Δαβὶδ τῶν ἱματίων αὐτοῦ, καὶ διέρρηξεν αὐτά. καὶ πάντες οἱ ἄνδρες οἱ μετ' αὐτοῦ διέρρηξαν τὰ ἱμάτια αὐτῶν, καὶ ἐκόψαντο, καὶ ἔκλαυσαν, καὶ ἐνήστευσαν ἕως δείλης, ἐπὶ Σαοὺλ καὶ ἐπὶ Ἰωνάθαν τὸν υἱὸν αὐτοῦ, καὶ ἐπὶ τὸν λαὸν Ἰούδα, καὶ ἐπὶ τὸν οἶκον Ἰσραήλ, ὅτι ἐπλήγησαν ἐν ῥομφαίᾳ. καὶ εἶπε Δαβὶδ τῷ παιδαρίῳ τῷ ἀπαγγέλλοντι αὐτῷ, πόθεν εἶ σύ; καὶ εἶπεν, υἱὸς ἀνδρὸς παροίκου ἀμαληκίτου ἐγώ εἰμι. καὶ εἶπεν αὐτῷ Δαβίδ, πῶς οὐκ ἐφοβήθης ἐπενεγκεῖν χεῖρά σου, διαφθεῖραι τὸν χριστὸν κυρίου; καὶ ἐκάλεσε Δαβὶδ ἓν τῶν παιδαρίων αὐτοῦ, καὶ εἶπε, προσελθὼν ἀπάντησον αὐτῷ. καὶ ἐπάταξεν αὐτόν, καὶ ἀπέθανε. καὶ εἶπε πρὸς αὐτὸν Δαβίδ, τὸ αἷμά σου ἐπὶ τὴν κεφαλήν σου, ὅτι τὸ στόμα σου ἀπεκρίθη κατὰ σοῦ λέγον, ὅτι ἐγὼ ἐθανάτωσα τὸν χριστὸν κυρίου.

respexit post se, & uidit me, & uocauit me. Et dixi, Ecce ego. Et dixit mihi, Quis es tu? Et dixi ad eũ, Amalecites ego sum. Et dixit ad me, Insiste iã supra me, & interfice me, quoniã detinet me caligo grauis, & adhuc anima mea in me. Et institi in eum, & interfeci eũ, quia noueram, quod nõ uiuet, postq̃ cecidit ipse. Et accepi insigne regiũ, quod in capite eius, & armillã quæ in brachio illius, & tuli ea dño meo huc. Et prehẽdit Dauid uestimẽta sua, & discidit ea. Et oẽs uiri qui cũ eo discidelunt uestes eorum, & planxerunt, & fleuerunt, & ieiunauerunt usq; ad crepusculum, ob Saul & ob Ionathan filium eius, & ob populum Iuda & ob domũ Israel, quoniam percussi fuerunt in gladio. Et dixit Dauid puero renũciãti ei, Vnde es tu? Et dixit Filius uiri accolæ Amalecitæ ego sum. Et dixit ei Dauid, Quomodo non timuisti inferre manũ tuã, ut occideres Christũ dñi? Et uocauit Dauid unũ è pueris suis, & dixit. Accedẽs cõgredere ei. Et percussit eum, et mortuus est. Et dixit ad eũ Dauid, Sanguis tuus in caput tuum, quia os tuũ respondit contra te, dicens, Quod ego interfeci Christum

domini. Et plãxit Dauid planctum hunc ob Saul, et ob Ionathan filium eius. Et dixit, ut doceret filios Iuda, Ecce, scriptũ est in libro Iusti. Et dixit, Erige monumentum Israel super mortuos in altitudines tuas uulneratorũ. Quo modo ceciderunt potẽtes? Ne renuncietis in Geth, & non bene nuncietis in expeditionib. Ascalonis, ne unquam gaudeant filiæ alienigenarum, ne unquã lætentur filiæ incircumcisorum. Mõtes qui in Gelbuc non descendat ros, & non sit pluuia super uos, et agri primitiarũ, quod ibi allisum est scutum potentium. Scutum Saul nõ unctum est in oleo. A sanguine uulneratorũ, & ab adipe potentium arcus Ionathan non reuersus est uacuus retrorsum. Et gladius Saul nõ reflexit uanus. Saul & Ionathan armati & pulchri, nõ diuisi, bene ornati in uita eorũ, & in morte sua non diuisi sunt. Super aquilas leues, & super leones roborati sunt. Filiæ Israel ob Saul lugete, induentem uos coccina cum ornatu uestro, referentẽ ornatũ aureũ ad induments uestra. Quomodo ceciderũt potẽtes ĩ medio belli? Ionathã in mortem uulneratus es, in altitudines tuas uulnerati. Doleo ualde propter te frater mi Iona-

κυρίου. καὶ ἐθρήνησε δαβὶδ τὸν θρῆνον τοῦτον ἐπὶ σαοὺλ, καὶ ἐπὶ ἰωνάθαν τὸν υἱὸν αὐτοῦ. καὶ εἶπε τοῦ διδάξαι τοὺς υἱοὺς ἰούδα, ἰδοὺ, γέγραπται ἐπὶ βιβλίου τοῦ εὐθοῦς. καὶ εἶπε, στήλωσον ἰσραὴλ ὑπὲρ τῶν τεθνηκότων ἐπὶ τὰ ὕψη σου τραυματιῶν. πῶς ἔπεσαν δυνατοί; μὴ ἀπαγγείλητε ἐν γὲθ, καὶ μὴ εὐαγγελίσησθε ἐν ταῖς ἐξόδοις ἀσκάλωνος, μήποτε εὐφρανθῶσι θυγατέρες ἀλλοφύλων, μήποτε ἀγαλλιάσωνται θυγατέρες τῶν ἀπεριτμήτων. ὄρη τὰ ἐν γελβουὲ μὴ καταβάτω δρόσος, καὶ μὴ ὑετὸς ἐφ' ὑμᾶς, καὶ ἀγροὶ ἀπαρχῶν, ὅτι ἐκεῖ προσωχθίσθη θυρεὸς δυνατῶν. θυρεὸς σαοὺλ οὐκ ἐχρίσθη ἐν ἐλαίῳ. ἀφ' αἵματος τραυματιῶν, καὶ ἀπὸ στέατος δυνατῶν τόξον ἰωνάθαν οὐκ ἀπεστράφη κενὸν εἰς τὰ ὀπίσω. καὶ ῥομφαία σαοὺλ οὐκ ἀνέκαμψε κενή. σαοὺλ καὶ ἰωνάθαν οἱ ἠγαπημένοι καὶ ὡραῖοι, οὐ διακεχωρισμένοι, εὐπρεπεῖς ἐν τῇ ζωῇ αὐτῶν, καὶ ἐν τῷ θανάτῳ αὐτῶν οὐ διεχωρίσθησαν. ὑπὲρ ἀετοὺς κοῦφοι, καὶ ὑπὲρ λέοντας ἐκραταιώθησαν. θυγατέρες ἰσραὴλ, ἐπὶ σαοὺλ κλαύσατε, τὸν ἐνδιδύσκοντα ὑμᾶς κόκκινα μετὰ κόσμου ὑμῶν, τὸν ἀναφέροντα κόσμον χρυσοῦν ἐπὶ τὰ ἐνδύματα ὑμῶν. πῶς ἔπεσον δυνατοὶ ἐν μέσῳ τοῦ πολέμου; ἰωνάθαν εἰς θάνατον ἐτραυματίσθης, ἐπὶ τὰ ὕψη σου τραυματίαι. ἀλγῶ ἐπὶ σοὶ ἀδελφέ μου ἰωνά-

ἰωνάθαν, ὡραιώθης μοι σφόδρα, ἐθαυμαστώθη ἡ ἀγάπησίς σου ἐμοί, ὑπὲρ ἀγάπησιν γυναικῶν. πῶς ἔπεσαν δυνατοί, καὶ ἀπώλοντο σκεύη πολεμικά;

Καὶ ἐγένετο μετὰ ταῦτα, καὶ ἐπηρώτησε δαβὶδ ἐν κυρίῳ, λέγων, εἰ ἀναβῶ εἰς μίαν τῶν πόλεων ἰούδα; καὶ εἶπε κύριος πρὸς αὐτόν, ἀνάβηθι. καὶ εἶπε δαβίδ, ποῦ ἀναβῶ; καὶ εἶπεν, εἰς χεβρών. καὶ ἀνέβη ἐκεῖ δαβίδ, εἰς χεβρὼν, καὶ ἀμφότεραι αἱ γυναῖκες αὐτοῦ, ἀχιναὰμ ἡ ἰσραηλίτις, καὶ ἀβιγαία ἡ γυνὴ νάβαλ τοῦ καρμηλίου, καὶ οἱ ἄνδρες οἱ μετ' αὐτοῦ, ἕκαστος, καὶ ὁ οἶκος αὐτοῦ, καὶ κατῴκουν ἐν ταῖς πόλεσι χεβρών. καὶ ἔρχονται οἱ ἄνδρες τῆς ἰουδαίας, καὶ χρίουσι τὸν δαβὶδ ἐκεῖ τοῦ βασιλεῦσαι ἐπὶ τὸν οἶκον ἰούδα. καὶ ἀπήγγειλαν τῷ δαβίδ, λέγοντες, ὅτι οἱ ἄνδρες ἰαβεῖς τῆς γαλααδίτιδος ἔθαψαν τὸν σαούλ. καὶ ἀπέστειλε δαβὶδ ἀγγέλους πρὸς τοὺς ἡγουμένους ἰαβεῖς τῆς γαλααδίτιδος. καὶ εἶπε πρὸς αὐτοὺς δαβίδ, εὐλογημένοι ὑμεῖς τῷ κυρίῳ, ὅτι ἐποιήσατε τὸ ἔλεος τοῦτο ἐπὶ τὸν κύριον ὑμῶν, ἐπὶ σαοὺλ τὸν χριστὸν κυρίου, καὶ ἐθάψατε αὐτὸν καὶ ἰωνάθαν τὸν υἱὸν αὐτοῦ. καὶ νῦν ποιήσαι κύριος μεθ' ὑμῶν ἔλεος καὶ ἀλήθειαν, καί γε ἐγὼ ποιήσω μεθ' ὑμῶν τὸ ἀγαθὸν τοῦτο, ὅτι ἐποιήσατε τὸ ῥῆμα τοῦτο. καὶ νῦν κραταιούσθωσαν αἱ χεῖρες ὑμῶν, καὶ γίνεσθε εἰς υἱοὺς δυνατούς, ὅτι

τέθνη-

Ionathan. Speciosus fuisti mihi, admirabilis fuit amor tuus mihi, super amorem mulierū. Quomodo ceciderunt potētes, & perierunt arma bellica?

Cap. II

Et factū est post hæc, et interrogauit Dauid in domino, dicēs, An ascēdam in unam ciuitatū Iuda? Et dixit dn̄s ad eum, Ascende. Et dixit Dauid, Quo ascendā? Et dixit, In Chebron. Et ascēdit illuc Dauid, in Chebron, & ambę uxores eius, Achinaam Israelitis & Abigæa uxor Nabal Carmelii, & uiri eius qui cū eo, unusquisq; & domus sua, & habitant in ciuitatibus Chebrō. Et ueniunt uiri Iudææ, & ungunt Dauid ibi, ut regnaret super domū Iuda. Et renūciauerūt Dauid, dicētes, qđ uiri Iabes Galaaditidis sepelierūt Saul. Et ablegauit Dauid nuncios ad duces Iabes Galaaditidis. Et dixit ad eos Dauid, Bn̄dicti uos domino, quia fecistis misericordiam hanc in dominum uestrum, in Saul Christum domini, et sepelistis eum & Ionathan filium eius. Et nunc faciat dominus uobiscum misericordiam & ueritatem, & sane ego faciā uobiscum bonum hoc, quod fecistis uerbū hoc. Et nūc roborent manus ur̄æ, et estote in filios potētes, qđ

mortuus est dominus uester Saul, et tanè me unxit dom' Iuda super se in regem. Et Abenner filius Ner, princeps exercitus Saul, accepit Iebosthe filiū Saul, & traduxit eum ex castris in Manaem, & regem constituit eum super Galaaditin & super Thaliri & super Israel, & super Ephraim, & super Beniamin, & super omnē Israel. Quadraginta annorum Iebosthe filius Saul, quando regnauit super Israel, et duos annos regnauit, præter domū Iuda, qui fuerunt post Dauid. Et fuerunt dies, quas Dauid regnauit in Chebron, super domū Iuda, septem anni & menses sex. Et egressus est Abenner filius Ner, & pueri Iebosthe filii Saul, quādo regnū possedit Manaim in Gabaō, & Ioab filius Saruia, & pueri Dauid exierunt è Chebron, et cōgrediuntur eis ad fontem Gabaon simul. Et consederūt hi ad fontē hinc, & hi hinc. Et dixit Abēner ad Ioab, Surgant iam pueri, & ludant corā nobis. Et dixit Ioab, Surgant. Et surrexerunt, & prætererunt in numero Beniamin filiorū duodecim, filiorum Iebosthe filii Saul duodecim, et duodecim è pueris Dauid. Et prehēdit unusquisque manu caput propinqui sui, et gladius eius in latus propin-

τέθνηκεν ὁ κύριος ὑμῶν σαοὺλ, καί γε ἐμὲ κέχρικεν ὁ οἶκος ἰούδα ἐφ᾽ ἑαυτοὺς εἰς βασιλέα. καὶ ἀβεννὴρ υἱὸς νὴρ, ἀρχιστράτηγος σαοὺλ, ἔλαβε τὸν ἰεβοσθὲ υἱὸν σαοὺλ, καὶ ἀνεβίβασεν αὐτὸν ἐκ τῆς παρεμβολῆς εἰς μαναΐμ, καὶ ἐβασίλευσεν αὐτὸν ἐπὶ τὴν γαλααδῖτιν, καὶ ἐπὶ τὸν θασιρὶ, καὶ ἐπὶ τὸν ἰσραὴλ, καὶ ἐπὶ τὸν ἐφραὶμ, καὶ ἐπὶ τὸν βενιαμὶν, καὶ ἐπὶ πάντα ἰσραήλ. τεσσαράκοντα ἐτῶν ἰεβοσθὲ υἱὸς σαοὺλ, ὅτε ἐβασίλευσεν ἐπὶ τὸν ἰσραὴλ, καὶ δύο ἔτη ἐβασίλευσε, πλὴν τοῦ οἴκου ἰούδα, οἳ ἦσαν ὀπίσω δαβίδ. καὶ ἐγένοντο αἱ ἡμέραι ἃς δαβὶδ ἐβασίλευσεν ἐν χεβρὼν, ἐπὶ τὸν οἶκον ἰούδα, ἑπτὰ ἔτη καὶ μῆνας ἕξ. καὶ ἐξῆλθεν ἀβεννὴρ υἱὸς νὴρ, καὶ οἱ παῖδες ἰεβοσθὲ υἱοῦ σαοὺλ, ὅτε ἐβασίλευσαν μαναΐμ εἰς γαβαὼν, καὶ ἰωὰβ υἱὸς σαρουΐα, καὶ οἱ παῖδες δαβὶδ ἐξῆλθον ἐκ χεβρὼν, καὶ συναντῶσιν αὐτοῖς ἐπὶ τὴν κρήνην, τὴν γαβαὼν ὧδε τὸ αὐτό. καὶ ἐκάθισαν οὗτοι ἐπὶ τὴν κρήνην ἐντεῦθεν, καὶ οὗτοι ἐντεῦθεν. καὶ εἶπεν ἀβεννὴρ πρὸς ἰωὰβ, ἀναστήτωσαν δὴ τὰ παιδάρια, καὶ παιξάτωσαν ἐνώπιον ἡμῶν. καὶ εἶπεν ἰωὰβ, ἀναστήτωσαν. καὶ ἀνέστησαν, καὶ παρῆλθον ἐν ἀριθμῷ τῶν βενιαμὶν παίδων δώδεκα, τῶν ἰεβοσθὲ υἱοῦ σαοὺλ δώδεκα, καὶ δώδεκα ἐκ τῶν παίδων δαβίδ. καὶ ἐκράτησαν ἕκαστος τῇ χειρὶ τὴν κεφαλὴν τοῦ πλησίον αὐτοῦ, καὶ μάχαιρα αὐτοῦ εἰς πλευρὰν τοῦ

τοῦ πλησίον αὐτοῦ, καὶ πίπτουσι κατὰ τὸ αὐτό. καὶ ἐκλήθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου, μερὶς τῶν ἐπιβούλων, ὅ ἐστιν ἐν γαβαών. καὶ ἐγένετο ὁ πόλεμος σκληρὸς ὥστε λίαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ ἔπταισον ἀβεννὴρ καὶ οἱ ἄνδρες ἰσραὴλ ἐνώπιον παίδων δαβίδ. καὶ ἐγένοντο ἐκεῖ τρεῖς υἱοὶ σαρουία, ἰωὰβ καὶ ἀβισσὰ καὶ ἀσαήλ. καὶ ἀσαὴλ κοῦφος τοῖς ποσὶν αὐτοῦ, ὡσεὶ μία δορκὰς ἐν ἀγρῷ. καὶ κατεδίωξεν ἀσαὴλ ὀπίσω ἀβεννὴρ, καὶ οὐκ ἐξέκλινε τοῦ πορευθῆναι εἰς δεξιὰ ἢ εἰς ἀριστερὰ κατόπισθεν ἀβεννήρ. καὶ ἐπέβλεψεν ἀβεννὴρ εἰς τὰ ὀπίσω αὐτοῦ, καὶ εἶπεν, εἰ σὺ εἶ αὐτὸς ἀσαήλ; καὶ εἶπεν, ἐγώ εἰμι. καὶ εἶπεν αὐτῷ ἀβεννὴρ, ἔκκλινόν σὺ εἰς τὰ δεξιὰ ἢ εἰς τὰ ἀριστερὰ, καὶ κατάσχε σεαυτῷ ἓν τῶν παιδαρίων, καὶ λαβὲ σεαυτῷ τὴν πανοπλίαν αὐτοῦ. καὶ οὐκ ἠθέλησεν ἀσαὴλ ἐκκλῖναι ἐκ τῶν ὄπισθεν αὐτοῦ. Καὶ προσέθετο ἔτι ἀβεννὴρ λέγων τῷ ἀσαὴλ, ἀπόστηθι ἀπ' ἐμοῦ, ἵνα μὴ πατάξω σε εἰς τὴν γῆν. καὶ πῶς ἀρῶ τὸ πρόσωπόν μου πρὸς ἰωάβ; καὶ ποῦ ἐστι ταῦτα; ἐπίστρεφε πρὸς ἰωὰβ τὸν ἀδελφόν σου. καὶ οὐκ ἐβούλετο τοῦ ἀποστῆναι, καὶ τύπτει αὐτὸν ἀβεννὴρ ἐν τῷ ὀπίσω τοῦ δόρατος αὐτοῦ ἐπὶ τὴν ψόαν, καὶ διεξῆλθε τὸ δόρυ ἐκ τῶν ὀπίσω αὐτοῦ, καὶ πίπτει ἐκεῖ, καὶ ἀποθνήσκει ὑποκάτω αὐτοῦ. καὶ ἐγένετο, πᾶς ὁ ἐρχόμενος ἕως τοῦ

τόπου,

propinqui sui, & cadũt simul. Et uocatũ est nomen loci illius, Pars insidiatorũ, quae est in Gabaon. Et fuit bellũ durum admodũ uehementer in die illa. Et offendit Abẽner & uiri Israel corã pueris Dauid. Et erant ibi tres filii Saruia, Ioab & Abessa & Asael. Et Asael leuis pedib. suis tanq̃ una caprea quae in agro. Et persecutus est Asael post Abenner, & nõ declinauit ut iret in dexteram aut in sinistram à tergo Abenner. Et respexit Abenner post se, et dixit, An tu es ipse Asael? Et dixit, Ego sum. Et dixit ipsi Abenner, Declina tu in dextram uel in sinistram, & apprehende tibi unum de adolescentibus, & tolle tibi armaturam eius. Et non uoluit Asael declinare ab his qui post eũ. Et addidit adhuc Abenner dicens Asael, Desiste à me, ut non percutiam te in terram. Et quomodo tollam faciẽ meam ad Ioab? Et ubi sunt haec? Reuertere ad Ioab fratrẽ tuum. Et non uoluit desistere, & percutit eum Abenner in posteriori parte hastae eius ad lumbum, & transiit hasta ex posterioribus eius, & cadit ibi, & moritur sub eo. Et factum est, omnis qui ueniebat usque ad

Inf.20 locū, quo cecidit ibi Asa-
el, et mortuus est, substitit.
Et persequutus est Ioab &
Abessa post Abēner, &
sol occidit, & ipsi uenerūt
usque ad collē Emmat, qui
est ad prospectū Gai, iter
desertū Gabaon. Et con
gregantur filii Beniamin
post Abenner, & fuerunt
in congressu uno, & stete
runt in capite collis unius.
Et uocauit Abenner Io-
ab, & dixit, Nū in uicto-
riā deuorabit mucro? An
non nosti, quod amara e-
runt in ultima? Et usque
Num.17 quo non dicis populo, ut
reuertatur à tergo fratrū
nostrorum? Et dixit Ioab,
Viuit dñs, nisi locutus fu
isses, quod tunc de mane
ascendisset populus, unus-
quisque post fratrem suum.
Et buccinauit Ioab buc-
cina, et substitit omnis po
pulus, & non persequuti
sunt amplius post Israel, et
non addiderunt ultra bel
ligerare. Et Abenner et
uiri eius abierunt in occa
sum, totam noctem illā, &
transierunt Iordanem, &
emensi sunt totū campum,
Inf.20 & ueniunt in castra. Et
Ioab reuersus est à tergo
Abēner, & congregauit
omnem populū. Et recen
siti sunt ex filiis Dauid no
uē & decē uiri, & Asael.
Et pueri Dauid percusse-
runt de filiis Beniamin, de
uiris Abēner, trecētos &
sexaginta uiros ab eo. Et
tollunt

τόπου, οὗ ἔπεσεν ἐκεῖ ἀσαὴλ, καὶ ἀπέθανε, ἀφίστατο. καὶ κατεδίωξεν ἰωὰβ καὶ ἀβισαὰ ὀπίσω ἀβεννὴρ, καὶ ὁ ἥλιος ἔδυνε, καὶ αὐτοὶ ἦλθον ἕως τοῦ βουνοῦ ἐμμὰτ, ὅ ἐστιν ἐπὶ πρόσωπον γαὶ, ὁδὸν ἔρημον γαβαών. καὶ συναθροίζονται οἱ υἱοὶ βενιαμὶν οἱ ὀπίσω ἀβεννὴρ, καὶ ἐγενήθησαν εἰς συνάντησιν μίαν, καὶ ἔστησαν ἐπὶ κεφαλὴν βουνοῦ ἑνός. καὶ ἐκάλεσεν ἀβεννὴρ ἰωὰβ, καὶ εἶπεν, μὴ εἰς νῖκος καταφάγεται ἡ ῥομφαία; ἢ οὐκ οἶδας, ὅτι πικρὰ ἔσται εἰς τὰ ἔσχατα; καὶ ἕως πότε οὐ μὴ εἴπῃς τῷ λαῷ ἀποστρέφειν ἀπὸ ὄπισθεν τῶν ἀδελφῶν ἡμῶν; καὶ εἶπεν ἰωὰβ, ζῇ κύριος, ὅτι εἰ μὴ ἐλάλησας, διότι τότε ἐκ πρωΐθεν ἀνέβη ἂν ὁ λαὸς, ἕκαστος κατόπισθε τοῦ ἀδελφοῦ αὐτοῦ. καὶ ἐσάλπισεν ἰωὰβ τῇ σάλπιγγι, καὶ ἔστη πᾶς ὁ λαὸς, καὶ οὐ κατεδίωξαν ὀπίσω τοῦ ἰσραὴλ, καὶ οὐ προσέθεντο ἔτι τοῦ πολεμεῖν. καὶ ἀβεννὴρ καὶ οἱ ἄνδρες αὐτοῦ ἀπῆλθον εἰς δυσμὰς, ὅλην τὴν νύκτα ἐκείνην, καὶ διέβαινον τὸν ἰορδάνην, καὶ ἐπορεύθησαν ὅλην τὴν παρατείνουσαν, καὶ ἔρχονται εἰς τὴν παρεμβολήν. καὶ ἰωὰβ ἀνέστρεψεν ὄπισθεν τοῦ ἀβεννὴρ, καὶ συνήθροισε πάντα τὸν λαόν. καὶ ἐπεσκέπησαν τῶν υἱῶν δαβὶδ ἐννεακαίδεκα ἄνδρες. καὶ ἀσαήλ. καὶ οἱ παῖδες δαβὶδ ἐπάταξαν τῶν υἱῶν βενιαμὶν, τῶν ἀνδρῶν ἀβεννὴρ, τριακοσίους καὶ ἑξήκοντα ἄνδρας παρ' αὐτοῦ. καὶ αἴρουσι

αἴρουσι τὸν ἀσαὴλ, καὶ θάπτουσιν αὐτὸν ἐν τῷ τάφῳ τοῦ πατρὸς αὐτοῦ, ἐν βηθλεέμ. καὶ ἐπορεύθη ἰωὰβ καὶ οἱ ἄνδρες οἱ μετ' αὐτοῦ ὅλην τὴν νύκτα, καὶ διέφαυσεν αὐτοῖς ἐν χεβρών.

Καὶ ἐγένετο ὁ πόλεμος ἐπὶ πολὺ ἀνὰ μέσον τοῦ οἴκου σαοὺλ, καὶ ἀνὰ μέσον τοῦ οἴκου δαβίδ. καὶ ὁ οἶκος δαβὶδ ἐπορεύετο, καὶ ἐκραταιοῦτο, καὶ ὁ οἶκος σαοὺλ ἐπορεύετο, καὶ ἠσθένει. καὶ ἐτέχθησαν τῷ δαβὶδ υἱοὶ ἓξ ἐν χεβρών. καὶ ἦν ὁ πρωτότοκος αὐτοῦ, ἀμνὼν τῆς ἀχιναὰμ τῆς ἰσραηλίτιδος, καὶ ὁ δεύτερος αὐτοῦ δαλουΐα τῆς ἀβιγαίας τῆς καρμηλίας, καὶ ὁ τρίτος ἀβεσσαλὼμ υἱὸς μααχὰ, θυγατρὸς θολμὶ βασιλέως γασείρ, καὶ ὁ τέταρτος ὀρνίας υἱὸς ἀγγὶθ, καὶ ὁ πέμπτος σαφατία τῆς ἀβιτάαλ, καὶ ὁ ἕκτος ἰεθραὰμ τῆς αἰγλὰχ γυναικὸς δαβίδ. οὗτοι ἐτέχθησαν τῷ δαβὶδ ἐν χεβρών. Καὶ ἐγένετο ἐν τῷ εἶναι τὸν πόλεμον ἀνὰ μέσον τοῦ οἴκου σαοὺλ, καὶ ἀνὰ μέσον τοῦ οἴκου δαβὶδ, καὶ ἀβεννὴρ ἦν κρατῶν τοῦ οἴκου σαούλ. καὶ τῷ σαοὺλ παλλακὴ ῥεσφὰ, θυγάτηρ ἰωὴλ, καὶ εἰσῆλθε πρὸς αὐτὴν ἀβεννήρ. καὶ εἶπεν ἰεβοσθὲ υἱὸς σαοὺλ πρὸς ἀβεννὴρ, τί ὅτι εἰσῆλθες πρὸς τὴν παλλακὴν τοῦ πατρός μου; καὶ ἐθυμώθη σφόδρα ἀβεννὴρ περὶ τοῦ λόγου τούτου τῷ ἰεβοσθέ. καὶ εἶπεν ἀβεννὴρ πρὸς αὐτὸν, μὴ κεφαλὴ κυνὸς ἐγώ εἰμι; ἐποίησα σή-

μερον

tollunt Asael, & sepeliunt eum in sepulchro patris sui, in Bethleem. Et profectus est Ioab & uiri eius qui cum eo totā noctem, et illuxit ipsis in Chebrō.

Cap. III

Et fuit bellum frequenter inter domum Saul, & inter domum Dauid. Et domus Dauid incedebat, & roborabatur, et domus Saul incedebat, & imbecillis erat. Et nati sunt Dauid filii sex in Chebron. Et erat primogenitus eius, Amnon Achinaam Israelitidis, & secūdus eius Daluia Abigęæ Carmeliæ, & tertius Abessalom filius Maacha, filiæ Thalmi regis Gasser, & quartus Ornias filius Aggith, & quintus Saphatia Abitaal, & sextus Iethroam Aeglach uxoris Dauid. Hi nati sunt Dauid in Chebron. Et factum est, cum esset bellum inter domum Saul, & inter domū Dauid, & Abenner erat regens domum Saul. Et Saul erat pellex Respha, filia Ioel, & intrauit ad eā Abenner. Et dixit Iebosthe filius Saul ad Abenner, Quare ingressus es ad pellicem patris mei? Et iratus est ualde Abenner ob sermonem hunc Iebosthe. Et dixit Abenner ad ad eum, Num caput canis ego sum? Feci ho-

 die

die misericordiam cum domo Saul patris tui, & de fratribus & de familiaribus, & non transfugi in domum Dauid, & perquiris in me tu ob iniuriam mulieris hodie? Hæc faciat deus Abenner, & hæc addat ei, quod sicut iurauit dñs Dauid, sic faciam ei in die hac, ut auferam regnum à domo Saul. & erigam thronũ Dauid super Israel, & super Iudã, à Dan & usq; Bersabee. Et non potuit adhuc Iebosthe respondere Abenner uerbũ, quod metuerit illum. Et misit Abenner nuncios ad Dauid in Thælam, ubi erat, statim, dicens, Age pactionẽ tuã mecũ, & ecce manus mea tecum, ut conuertam ad te oẽm Israel. Et dixit Dauid, Bene. Ego pangã ad te fœdus, uerùm sermonem unũ ego peto à te, dicens, Non uidebis faciem meã, si non duxeris Melchol filiã Saul, aduenieute te ad uidendũ faciẽ meã. Et misit Dauid ad Iebosthe filiũ Saul nuncios, dicẽs, Redde mihi uxorem meã Melchol, quã accepi in cẽtũ præputiis alienigenarũ. Et ablegauit Iebosthe, & accepit eã à uiro suo, à Phaltiel filio Sellem, & ibat post eam uir eius cum ea, plorans post eam usq; ad Baurim. Et dixit

Inf. eod.

μερον ἔλεος μετὰ τοῦ οἴκου σαοὺλ τοῦ πατρός σου, καὶ περὶ ἀδελφῶν, καὶ περὶ γνωρίμων; καὶ οὐκ ηὐτομόλησα εἰς τὸν οἶκον δαβίδ, καὶ ἐπιζητεῖς ἐπ᾽ ἐμὲ σὺ ὑπὲρ ἀδικίας γυναικὸς σήμερον; τάδε ποιήσαι ὁ θεὸς τῷ ἀβεννὴρ, καὶ τάδε προσθείη αὐτῷ, ὅτι καθὼς ὤμοσε κύριος τῷ δαβίδ, οὕτως ποιήσω αὐτῷ ἐν τῇ ἡμέρᾳ ταύτῃ, περιελεῖν τὴν βασιλείαν ἀπὸ τοῦ οἴκου σαοὺλ, καὶ τοῦ ἀναστῆσαι τὸν θρόνον δαβὶδ ἐπὶ τὸν ἰσραὴλ, καὶ ἐπὶ τὸν ἰούδαν, ἀπὸ δὰν καὶ ἕως βηρσαβεέ. καὶ οὐκ ἐδυνάσθη ἔτι ἰεβοσθὲ ἀποκριθῆναι τῷ ἀβεννὴρ ῥῆμα, ἀπὸ τοῦ φοβηθῆναι αὐτόν. καὶ ἀπέστειλεν ἀβεννὴρ ἀγγέλους πρὸς δαβὶδ εἰς θαιλὰμ, οὗ ἦν, παραχρῆμα, λέγων, διάθου διαθήκην σου μετ᾽ ἐμοῦ, καὶ ἰδοὺ ἡ χείρ μου μετὰ σοῦ, τοῦ ἐπιστρέψαι πρός σε πάντα τὸν οἶκον ἰσραήλ. καὶ εἶπε δαβὶδ, καλῶς. ἐγὼ διαθήσομαι πρός σε διαθήκην, πλὴν λόγον ἕνα ἐγὼ αἰτοῦμαι παρὰ σοῦ, λέγων, οὐκ ὄψει τὸ πρόσωπόν μου, ἐὰν μὴ ἀγάγῃς τὴν μελχὸλ θυγατέρα σαοὺλ, παραγινομένου σου ἰδεῖν τὸ πρόσωπόν μου. καὶ ἐξαπέστειλε δαβὶδ πρὸς ἰεβοσθὲ υἱὸν σαοὺλ ἀγγέλους, λέγων, ἀπόδος μοι τὴν γυναῖκά μου τὴν μελχὸλ, ἣν ἔλαβον ἐν ἑκατὸν ἀκροβυστίαις ἀλλοφύλων. καὶ ἀπέστειλεν ἰεβοσθὲ, καὶ ἔλαβεν αὐτὴν παρὰ τοῦ ἀνδρὸς αὐτῆς, παρὰ φαλτιὴλ υἱοῦ σελλὴμ, καὶ ἐπορεύετο ὁ ἀνὴρ αὐτῆς μετ᾽ αὐτῆς, κλαίων ὀπίσω αὐτῆς ἕως βαουρίμ. καὶ εἶπε

εἶπε πρὸς αὐτὸν ἀβεννὴρ, πορεύου, ἀνάστρεφε, καὶ ἀνέστρεψε. καὶ εἶπεν ἀβεννὴρ πρὸς τοὺς πρεσβυτέρους ἰσραὴλ, λέγων, χθὲς καὶ τρίτην ἐζητεῖτε τὸν δαβὶδ βασιλεύειν ἐφ᾽ ὑμᾶς, καὶ νῦν ποιήσατε, ὅτι κύριος ἐλάλησε περὶ δαβίδ, λέγων, ἐν χειρὶ τοῦ δούλου μου δαβὶδ σώσω τὸν ἰσραὴλ ἐκ χειρὸς τῶν ἀλλοφύλων, καὶ ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτοῦ. καὶ ἐλάλησεν ἀβεννὴρ καί γε ἐν τοῖς ὠσὶ βενιαμίν. καὶ ἐπορεύθη ἀβεννὴρ τοῦ λαλῆσαι εἰς τὰ ὦτα δαβὶδ εἰς χεβρὼν πάντα, ὅσα ἤρεσεν ἐν ὀφθαλμοῖς ἰσραὴλ, καὶ ἐν ὀφθαλμοῖς παντὸς οἴκου βενιαμίν. καὶ ἦλθεν ἀβεννὴρ πρὸς δαβὶδ εἰς χεβρὼν, καὶ μετ᾽ αὐτοῦ εἴκοσι ἄνδρες. καὶ ἐποίησε δαβὶδ τῷ ἀβεννὴρ καὶ τοῖς ἀνδράσι τοῖς μετ᾽ αὐτοῦ πότον. καὶ εἶπεν ἀβεννὴρ πρὸς δαβὶδ, ἀναστήσομαι δὴ, καὶ πορεύσομαι, καὶ συναθροίσω πρὸς τὸν κύριόν μου τὸν βασιλέα πάντα ἰσραὴλ, καὶ διαθήσομαι μετ᾽ αὐτοῦ διαθήκην, καὶ βασιλεύσεις ἐπὶ πᾶσιν, οἷς ἐπιθυμεῖ ἡ ψυχή σου. καὶ ἀπέστειλε δαβὶδ τὸν ἀβεννὴρ, καὶ ἐπορεύθη ἐν εἰρήνῃ, καὶ ἰδοὺ, οἱ παῖδες δαβὶδ καὶ ἰωὰβ παραγίνονται ἐκ τῆς ἐξοδίας, καὶ σκῦλα πολλὰ ἔφερον μεθ᾽ ἑαυτῶν. καὶ ἀβεννὴρ οὐκ ἦν μετὰ δαβὶδ εἰς χεβρὼν, ὅτι ἀπεστάλκει αὐτὸν, καὶ ἀπεληλύθει ἐν εἰρήνῃ, καὶ ἰωὰβ καὶ πᾶσα ἡ στρατιὰ αὐτοῦ ἤλθοσαν.

καὶ

dixit ad eū Abenner, Vade, reuertere, & reuersus est. Et dixit Abenner ad seniores Israel, dicens, Heri & nudiustertius quærebatis Dauid, ut regnaret super uos, & nunc facite, quia dn̄s locutus est de Dauid, dicens, In manu serui mei Dauid saluabo populū meū Israel e manu alienigenarū, & e manu omniū inimicorū eius. Et locutus est Abenner etiā in auribus Beniamin. Et abiit Abenner, ut loqueretur in aures Dauid in Chebrō omnia, quæ placuerunt in oculis Israel, & in oculis oīs domus Beniamin. Et uenit Abenner ad Dauid in Chebrō, et cū eo uiginti uiri. Et fecit Dauid Abenner & uiris qui cum eo compotationem. Et dixit Abenner ad Dauid, Surgam iam, & ibo, et cōgregabo ad dominum meum regem omnem Israel, & faciam tecum fœdus, & regnabis in omnibus, quę desiderat anima tua. Et ablegauit Dauid Abenner, & iuit in pace, et ecce pueri Dauid & Ioab aduenīūt ab excursione, & spolia multa afferebant secū. Et Abēner nō erat cū Dauid in Chebrō, qa ablegauerat eū, & ꝓfectꝰ erat in pace, & Ioab et omnis exercitꝰ eius uenerūt.

Et

Et renunciatũ est Ioab, dicentes, Venit Abenner filius Ner ad Dauid, & misit eũ, & abiit in pace. Et ingressus est Ioab ad regẽ, & dixit ei, Quid hoc fecisti? Ecce, uenit Abenner ad te, & quare dimisisti eũ, et abiit in pace? An non nosti maliciam Abenner filii Ner, quod ad decipiendum te aduenit, & ad cognoscendum ingressum tuũ & egressum tuũ, & ad cognoscẽdũ omnia, quæ tu facis? Et reuersus est Ioab à Dauid, & misit nũcios ad Abẽner, post eũ, & reducũt eũ à puteo Seiram, & Dauid non nouerat. Et auertit Abenner in Chebrõ, et abduxit eum Ioab à latere portæ, ut loqueretur ad eum insidiãs. Et percussit eum in inguen ibi, & mortuus est in sanguine Asael fratris. Et audiuit Dauid post hæc, & dixit, Innocens sum ego, et regnũ meum à dño, à præsenti tẽpore & usq; in seculũ, à sanguinibus Abenner filii Ner, occurrant in caput Ioab, & in oẽm domũ patris eius. Et non deficiat de domo Ioab fluxu seminis laborãs & leprosus & tenens scuticã, & cadẽs in gladio & priuatus panibus. Ioab autem & Abessa frater eius obseruabant Abenner, quod occidit Asael fratrem eorum in Gabaõ, in

Dan.13
Act.10

καὶ ἀπηγγέλη τῷ ἰωὰβ, λέγοντες, ἥκει ἀβεννὴρ υἱὸς νὴρ πρὸς δαβὶδ, καὶ ἀπέσταλκεν αὐτὸν, καὶ ἀπῆλθεν ἐν εἰρήνῃ. καὶ εἰσῆλθεν ἰωὰβ πρὸς τὸν βασιλέα, καὶ εἶπε, τί τοῦτο ἐποίησας; ἰδοὺ, ἦλθεν ἀβεννὴρ πρός σε, καὶ ἵνα τί ἐξαπέσταλκας αὐτὸν, καὶ ἀπελήλυθεν ἐν εἰρήνῃ; ἢ οὐκ οἶδας τὴν κακίαν ἀβεννὴρ υἱοῦ νὴρ, ὅτι ἀπατῆσαί σε παρεγένετο, καὶ γνῶναι τὴν εἴσοδόν σου καὶ τὴν ἔξοδόν σου, καὶ γνῶναι ἅπαντα, ὅσα σὺ ποιεῖς; καὶ ἀνέστρεψεν ἰωὰβ ἀπὸ τοῦ δαβὶδ, καὶ ἀπέστειλεν ἀγγέλους πρὸς ἀβεννὴρ, ὀπίσω αὐτοῦ, καὶ ἀποστρέφουσιν αὐτὸν ἀπὸ τοῦ φρέατος τοῦ σεειράμ, καὶ δαβὶδ οὐκ ᾔδει. καὶ ἀπέστρεψε τὸν ἀβεννὴρ εἰς χεβρὼν, καὶ ἐξέκλινεν αὐτὸν ἰωὰβ ἐκ πλαγίων τῆς πύλης, λαλῆσαι πρὸς αὐτὸν ἐνεδρεύων. καὶ ἐπάταξεν αὐτὸν ἐπὶ τὴν ψόαν ἐκεῖ, καὶ ἀπέθανεν ἐν τῷ αἵματι ἀσαὴλ τοῦ ἀδελφοῦ ἰωάβ. καὶ ἤκουσε δαβὶδ μετὰ ταῦτα, καὶ εἶπεν, ἀθῶός εἰμι ἐγὼ καὶ ἡ βασιλεία μου ἀπὸ κυρίου, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος, ἀπὸ τῶν αἱμάτων ἀβεννὴρ υἱοῦ νὴρ, καταντησάτωσαν ἐπὶ κεφαλὴν ἰωὰβ, καὶ ἐπὶ πάντα τὸν οἶκον τοῦ πατρὸς αὐτοῦ. καὶ μὴ ἐκλείποι ἐκ τοῦ οἴκου ἰωὰβ γονοῤῥυὴς καὶ λεπρὸς, καὶ κρατῶν σκυτάλης, καὶ πίπτων ἐν ῥομφαίᾳ, καὶ ἐλαττούμενος ἄρτοις. ἰωὰβ δὲ καὶ ἀβεσσὰ ὁ ἀδελφὸς αὐτοῦ διεπαρετηροῦντο τὸν ἀβεννὴρ, ἀνθ' ὧν ἐθανάτωσε τὸν ἀσαὴλ τὸν ἀδελφὸν αὐτῶν ἐν γαβαὼν, ἐν

ἐν τῷ πολέμῳ. καὶ εἶπε Δαβὶδ πρὸς ἰωὰβ καὶ πρὸς πάντα τὸν λαὸν τὸν μετ' αὐτοῦ, διαῤῥήξατε τὰ ἱμάτια ὑμῶν, καὶ περιζώσασθε σάκκους, καὶ κόπτεσθε ἔμπροσθεν ἀβεννήρ. καὶ ὁ βασιλεὺς Δαβὶδ ἐπορεύετο ὀπίσω τῆς κλίνης, καὶ θάπτουσι τὸν ἀβεννὴρ ἐν χεβρών. καὶ ἦρεν ὁ βασιλεὺς τὴν φωνὴν αὐτοῦ, καὶ ἔκλαυσεν ἐπὶ τοῦ τάφου αὐτοῦ, καὶ ἔκλαυσε πᾶς ὁ λαὸς ἐπὶ ἀβεννήρ. καὶ ἐθρήνησεν ὁ βασιλεὺς ἐπὶ ἀβεννὴρ, καὶ εἶπεν, εἰ κατὰ τὸν θάνατον νάβαλ ἀποθανεῖται ἀβεννήρ; αἱ χεῖρές σου οὐκ ἐδέθησαν, οἱ πόδες σου οὐκ ἐν πέδαις. οὐ προσήγαγεν ὡς νάβαλ, ἐνώπιον υἱοῦ ἀδικίας ἔπεσας. καὶ συνήχθησαν πᾶς ὁ λαὸς τοῦ κλαῦσαι αὐτόν. καὶ ἦλθε πᾶς ὁ λαὸς τοῦ περιδειπνῆσαι τὸν Δαβὶδ ἄρτοις, ἔτι ὄντος ἡμέρας. καὶ ὤμοσε Δαβὶδ λέγων, τάδε ποιήσαι μοι ὁ θεὸς, καὶ τάδε προσθείη, ὅτι ἐὰν μὴ δύῃ ὁ ἥλιος, οὐ μὴ γεύσομαι ἄρτου, ἢ ἀπὸ παντός τινος. καὶ ἔγνω πᾶς ὁ λαὸς, καὶ ἤρεσεν ἐνώπιον αὐτῶν πάντα, ὅσα ἐποίησεν ὁ βασιλεὺς ἐνώπιον τοῦ λαοῦ. καὶ ἔγνω πᾶς ὁ λαὸς καὶ πᾶς ἰσραὴλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτι οὐκ ἐγένετο παρὰ τοῦ βασιλέως τοῦ θανατῶσαι τὸν ἀβεννὴρ υἱὸν νήρ. καὶ εἶπεν ὁ βασιλεὺς πρὸς τοὺς παῖδας αὐτοῦ, οὐκ οἴδατε, ὅτι ἡγούμενος πέπτωκεν μέγας ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἐν τῷ ἰσραήλ, καὶ ὅτι ἐγώ εἰμι συγγενὴς σήμερον,

in bello. Et dixit Dauid ad Ioab, & ad omnẽ populum qui cum eo, Discindite uestimenta uestra, & accingimini saccos, & plangite ante Abenner.

Et rex Dauid ibat ante feretrũ, & sepeliunt Abenner in Chebron. Et leuauit rex uocẽ suam, et fleuit super tumulum eius, & fleuit omnis populus ob Abenner. Et planxit rex ob Abenner, & dixit, An secundũ mortẽ Nabal morietur Abenner? Manus tuæ non ligatę sunt, pedes tui non in cõpedibus. Nõ accessisti ut Nabal, corã filio iniustitiæ cecidisti.

Et congregatus est omnis populus, ut flerẽt eum. Et uenit omnis populus, ut cœnam darent Dauid panibus, adhuc existẽte die. Et iurauit Dauid dicens, Hæc faciat mihi deus, & hæc addat, quod nisi occiderit sol, non gustabo panem, aut de omni aliquo. Et cognouit omnis populus, & placuerunt in conspectu eorum omnia, quæ fecit rex in conspectu populi. Et cognouit omnis populus & omnis Israel in die illa, quod non fiebat à rege, ut occideret Abenner filiũ Ner. Et dixit rex ad seruos eiꝰ, Nõ nouistis, qđ dux cecidit magnꝰ in die hac, i Israel, & qđ ego sum cognatus hodie,

hodie, & cõſtitutus à rege: Viri uere hi filii Saruia duri mihi ſunt. Reddat dominus facienti mala iuxta maliciam ſuam.

Cap.IIII Et audiuit Ieboſthe filius Saul, quod mortuus eſt Abenner filius Ner in Chebrõ, & diſſolutæ ſunt manus eius. Et oẽs uiri Iſrael dimiſsi ſunt, & duo uiri principes turmarum Ieboſthe filio Saul, nomẽ uni Baana, & nomẽ ſecundo Rechab, filii Rẽmon Berothæi è filiis Beniamin. Quia & Beroth annumerata eſt filiis Beniamin. Et fugerunt Berothitæ in Gethai, et fuerũt ibi accolentes uſq; in diem hunc. Et Ionathan filio Saul filiꝰ percuſſus pedes, filius annorum quinq;. & iſte cum uenit nunciũ Saul & Ionathã filii eius ex Iezrhael, & tulit eum nutrix ſua, & fugit. Et factũ eſt, cum feſtinaret ipſa ſecedere, & cecidit, & claudus effectus eſt, & nomen ei Memphiboſthe. Et abierũt filii Remmon Berothæi, Rechab & Baana, & ingreſsi ſunt in feruore diei in domũ Ieboſthe, & ipſe dormiebat in lecto meridie, et ecce, hoſtiaria domꝰ purgabat triticũ, & dormitauit, et dormiuit. Et Rechab & Baana fratres prætererũt, et ingreſsi ſunt in domũ, et Ieboſthe dor-

σύμφρον, καὶ καθεσταμένος ὑπὸ τοῦ βασιλέως· οἱ δὲ ἄνδρες οὗτοι υἱοὶ σαρουΐα σκληροί μοι εἰσίν. ἀνταποδῷ κύριος τῷ ποιοῦντι τὰ πονηρὰ κατὰ τὴν κακίαν αὐτοῦ.

Καὶ ἤκουσεν ἰεβοσθὲ υἱὸς σαοὺλ, ὅτι τέθνηκεν ἀβεννὴρ υἱὸς νὴρ ἐν χεβρὼν, καὶ ἐξελύθησαν αἱ χεῖρες αὐτοῦ. καὶ πάντες οἱ ἄνδρες ἰσραὴλ παρείθησαν, καὶ δύο ἄνδρες ἡγούμενοι συστρεμμάτων τῷ ἰεβοσθὲ υἱῷ σαοὺλ, ὄνομα τῷ ἑνὶ βαανὰ, καὶ ὄνομα τῷ δευτέρῳ ῥηχὰβ, υἱοὶ ῥεμμὰν τοῦ βηρωθαίου, ἐκ τῶν υἱῶν βενιαμίν. ὅτι καὶ βηρὼθ ἐλογίζετο τοῖς υἱοῖς βενιαμίν. καὶ ἀπέδρασαν οἱ βηρωθαῖοι εἰς γεθαὶ, καὶ ἦσαν ἐκεῖ παροικοῦντες ἕως τῆς ἡμέρας ταύτης. καὶ τῷ ἰωνάθαν υἱῷ σαοὺλ υἱὸς πεπληγὼς τοὺς πόδας, υἱὸς ἐτῶν πέντε. καὶ οὗτος ἐν τῷ ἐλθεῖν τὴν ἀγγελίαν σαοὺλ, καὶ ἰωνάθαν τοῦ υἱοῦ αὐτοῦ ἐξ ἰσραὴλ, καὶ ἦρεν αὐτὸν ἡ τιθηνὸς αὐτοῦ, καὶ ἔφυγε. καὶ ἐγένετο ἐν τῷ σπεύδειν αὐτὴν ἀναχωρεῖν, καὶ ἔπεσε, καὶ ἐχωλάνθη, καὶ ὄνομα αὐτῷ μεμφιβοσθέ. καὶ ἐπορεύθησαν οἱ υἱοὶ ῥεμμὼν τοῦ βηρωθαίου, ῥηχὰβ καὶ βαανὰ, καὶ εἰσῆλθον ἐν τῷ καύματι τῆς ἡμέρας εἰς οἶκον ἰεβοσθὲ, καὶ αὐτὸς ἐκάθευδεν ἐν τῇ κοίτῃ τῆς μεσημβρίας, καὶ ἰδοὺ, ἡ θυρωρὸς τοῦ οἴκου ἐκάθαιρε πυρὸς, καὶ ἐνύσταξε, καὶ ἐκάθευδε. καὶ ῥηχὰβ καὶ βαανὰ οἱ ἀδελφοὶ διῆλθον καὶ εἰσήλθοσαν εἰς τὸν οἶκον, καὶ ἰεβοσθὲ ἐκά-

ἐκάθευδεν ἐπὶ τῆς κλίνης αὐτοῦ, ἐν
τῷ κοιτῶνι αὐτοῦ, καὶ τύπτουσιν αὐ-
τὸν, καὶ θανατοῦσιν αὐτὸν, καὶ ἀφαι-
ροῦσι τὴν κεφαλὴν αὐτοῦ. καὶ λαβόντες
τὴν κεφαλὴν αὐτοῦ, ἀπῆλθον ὁδὸν τὴν
κατὰ δυσμὰς, ὅλην τὴν νύκτα. καὶ ἤ-
νεγκαν τὴν κεφαλὴν ἰεβοσθὲ τῷ δα-
βὶδ εἰς χεβρὼν. καὶ εἶπον πρὸς τὸν
βασιλέα, ἰδοὺ ἡ κεφαλὴ ἰεβοσθὲ υἱοῦ
σαοὺλ τοῦ ἐχθροῦ σου, ὃς ἐζήτει τὴν ψυ-
χήν σου. καὶ ἔδωκε κύριος τῷ κυρίῳ
ἡμῶν τῷ βασιλεῖ ἐκδίκησιν τῶν ἐχ-
θρῶν αὐτοῦ, ὡς ἡ ἡμέρα αὕτη, ἐκ σα-
οὺλ τοῦ ἐχθροῦ σου, καὶ ἐκ τοῦ σπέρμα-
τος αὐτοῦ. καὶ ἀπεκρίθη δαβὶδ τῷ
ῥεχὰβ καὶ τῷ βαανὰ ἀδελφῷ αὐτοῦ,
υἱοῖς ῥεμμὼν τοῦ βηρωθαίου, καὶ εἶ-
πεν αὐτοῖς, ζῇ κύριος, ὃς ἐλυτρώσα-
το τὴν ψυχήν μου ἐκ πάσης θλίψε-
ως, ὅτι ὁ ἀπαγγείλας μοι, ὅτι τέθνη-
κε σαοὺλ καὶ ἰωνάθαν, καὶ αὐτὸς ἦν
ὡς εὐαγγελιζόμενος ἐνώπιόν μου,
καὶ κατέσχον αὐτὸν, καὶ ἀπέκτει-
να αὐτὸν ἐν σικελὰγ, ᾧ ἔδει με δοῦ-
ναι εὐαγγέλια. καὶ νῦν ἄνδρες πο-
νηροὶ ἀπεκτάγκασιν ἄνδρα δίκαι-
ον ἐν τῷ οἴκῳ αὐτοῦ, ἐπὶ τῆς κλίνης
αὐτοῦ; καὶ νῦν ἐκζητήσω τὸ αἷμα
αὐτοῦ ἐκ τῶν χειρῶν ὑμῶν, καὶ ἐξολο-
θρεύσω ὑμᾶς ἐκ τῆς γῆς. καὶ ἐνετείλα-
το δαβὶδ τοῖς παιδαρίοις αὐτοῦ, καὶ
ἀποκτείνουσιν αὐτοὺς, καὶ κολοβοῦσι
τὰς χεῖρας αὐτῶν καὶ τοὺς πόδας
αὐτῶν, καὶ ἐκρέμασαν αὐτοὺς ἐπὶ τῆς
κρήνης

dormiebat in lecto eius, in
cubiculo suo, & percutiunt
eum, & interficiunt eum,
& auferunt caput eius. Et
accipientes caput eius,
abierunt uiam quæ ad oc
casum, totam noctem. Et
tulerunt caput Iebosthe
Dauid in Chebron. Et di
xerunt ad regem, Ecce ca
put Iebosthe filii Saul ini
mici tui, qui quærebat ani
mam tuam. Et dedit dñs
domino nostro regi ultio-
nem inimicorum suorum,
ut dies hæc, de Saul inimi
co tuo, & de semine eius.
Et respondit Dauid Re-
chab & Baana fratri e-
ius, filiis Remmon Bero-
thæi, & dixit eis, Viuit Sup. 1
dominus qui liberauit ani
mam meam de omni affli
ctione, quod renuncians
mihi, quod mortuus est
Saul & Ionathan, & ipse
erat quasi bene nuncians
coram me, & detinui eũ,
et occidi eum in Sicelag,
cui oportebat me dare præ
mia nuncii. Et nunc uiri
mali interfecerunt uirum
iustum in lecto suo, in do-
mo sua? Et nunc quæram
sanguinem eius de mani-
bus uestris, & delebo uos
è terra. Et præcepit Da-
uid pueris suis, & interfi-
ciunt, & mutilant manus
eorum & pedes eorum,
& suspenderunt eos in
fonte,

fonte in Chebron. Et caput Iebosthe sepelierũt in sepulchro Abenner filii Ner, in Chebron.

Et aduenerunt omnes tri
Cap. V bus Israel ad Dauid, in
1.Pa.11 Chebron, et dicunt, Ecce
ossa tua et carnes tuę, nos. Et heri & nudiustertius, cum esset Saul rex super nos, tu eras educens & introducens Israel. Et dixit dñs ad te, Tu pasces populum meũ Israel, & tu eris in ducem super populum meum Israel. Et uenerũt omnes seniores Israel ad regẽ, in Chebron, & pepigit eis rex Dauid fœdus in Chebron, coram dño, & ungunt regem Dauid super omnẽ Israel. Filius triginta annorum Dauid, cum regnaret ipse, & quadraginta annos regnauit. Septem annos & menses sex regnauit in Chebron, sup Iuda, et triginta et tres annos regnauit super Israel & Iuda, in Hierusalem. Et abiit Dauid & omnes uiri eius in Hierusalem, ad Iebusæum inhabitantẽ terram. Et dictum est Dauid, Non ingredieris huc, qđ restiterunt cæci et claudi, dicentes, quod non ingredietur Dauid huc. Et præoccupauit Dauid præsidium Sion, ea urbs Dauid. Et dixit Dauid in die

κρήνης ἐν χεβρών. καὶ τὴν κεφαλὴν ἰεβοσθὲ, ἔθαψαν ἐν τῷ τάφῳ ἀβεννὴρ υἱοῦ νὴρ, ἐν χεβρών.

Καὶ παραγίνονται πᾶσαι αἱ φυλαὶ ἰσραὴλ πρὸς δαβὶδ, εἰς χεβρὼν, καὶ εἶπον αὐτῷ, ἰδοὺ ὀστᾶ σου καὶ σάρκες σου, ἡμεῖς. καὶ ἐχθὲς καὶ τρίτην, ὄντος σαοὺλ βασιλέως ἐφ᾽ ἡμᾶς, σὺ ἦσθα ὁ ἐξάγων καὶ εἰσάγων τὸν ἰσραήλ. καὶ εἶπε κύριος πρός σε, σὺ ποιμανεῖς τὸν λαόν μου τὸν ἰσραὴλ, καὶ σὺ ἔσῃ εἰς ἡγούμενον ἐπὶ τὸν λαόν μου ἰσραήλ. Καὶ ἔρχονται πάντες οἱ πρεσβύτεροι ἰσραὴλ πρὸς τὸν βασιλέα, εἰς χεβρὼν, καὶ διέθετο αὐτοῖς ὁ βασιλεὺς δαβὶδ διαθήκην ἐν χεβρὼν, ἐνώπιον κυρίου, καὶ χρίουσι τὸν βασιλέα δαβὶδ ἐπὶ πάντα ἰσραήλ. υἱὸς τριάκοντα ἐτῶν δαβὶδ ἐν τῷ βασιλεύειν αὐτὸν, καὶ τεσσαράκοντα ἔτη ἐβασίλευσεν. ἑπτὰ ἔτη καὶ μῆνας ἓξ ἐβασίλευσεν ἐν χεβρὼν, ἐπὶ τὸν ἰούδαν, καὶ τριάκοντα καὶ τρία ἔτη ἐβασίλευσεν ἐπὶ τὸν ἰσραὴλ καὶ ἰούδαν, ἐν ἱερουσαλήμ. καὶ ἀπῆλθε δαβὶδ, καὶ πάντες οἱ ἄνδρες αὐτοῦ εἰς ἱερουσαλὴμ, πρὸς τὸν ἰεβουσαῖον τὸν κατοικοῦντα τὴν γῆν. καὶ ἐρρέθη τῷ δαβὶδ, οὐκ εἰσελεύσῃ ὧδε, ὅτι ἀντέστησαν τυφλοὶ καὶ οἱ χωλοὶ, λέγοντες, ὅτι οὐκ εἰσελεύσεται δαβὶδ ὧδε. καὶ προκατελάβετο δαβὶδ τὴν περιοχὴν σιὼν, αὕτη ἡ πόλις τοῦ δαβὶδ. καὶ εἶπε δαβὶδ ἐν τῇ ἡμέρᾳ

ἡμέρᾳ ἐκείνῃ, πᾶς τύπτων ἰεβουσαῖ
ον, ἁπτέσθω ἐν παραξιφίδι καὶ τοὺς
χωλοὺς καὶ τοὺς τυφλοὺς, καὶ τοὺς μι
σοῦντας τὴν ψυχὴν δαβίδ. διὰ τοῦ
το ἐροῦσι, χωλοὶ καὶ τυφλοὶ οὐκ εἰσε
λεύσονται εἰς οἶκον κυρίου. καὶ ἐκά
θισε δαβὶδ ἐν τῇ περιοχῇ, καὶ ἐκ-
λήθη αὕτη ἡ πόλις δαβίδ. καὶ ᾠκο-
δόμησεν αὐτὴν πόλιν κύκλῳ ἀπὸ
τῆς ἄκρας, καὶ τὸν οἶκον αὐτοῦ. καὶ ἐπο
ρεύετο δαβὶδ πορευόμενος, καὶ με
γαλυνόμενος, καὶ κύριος παντοκρά
τωρ μετ' αὐτοῦ. καὶ ἀπέστειλε χειρὰμ
βασιλεὺς τύρου ἀγγέλους πρὸς δα
βίδ, καὶ ξύλα κέδρινα, καὶ τέκτονας
ξύλων καὶ τέκτονας λίθων, καὶ ᾠκοδό
μησαν οἶκον τῷ δαβίδ. καὶ ἔγνω δα
βίδ, ὅτι ἡτοίμασεν αὐτὸν κύριος
εἰς βασιλέα ἐπὶ ἰσραὴλ, καὶ ὅτι ἐπήρ
θη ἡ βασιλεία αὐτοῦ, διὰ τὸν λαὸν
αὐτοῦ ἰσραήλ. καὶ ἔλαβε δαβὶδ ἔτι
γυναῖκας καὶ παλλακὰς ἐξ ἱερουσα
λὴμ, μετὰ τὸ ἐλθεῖν αὐτὸν ἐκ χε
βρών. καὶ ἐγένοντο τῷ δαβὶδ ἔτι υἱοὶ
καὶ θυγατέρες. καὶ ταῦτα τὰ ὀνό
ματα τῶν γεννηθέντων αὐτοῦ ἐν ἱερου
σαλὴμ, σαμμοὺς καὶ σωβὰβ, καὶ νά
θαν καὶ σαλομὼν καὶ ἐβιὰρ καὶ ἐλισοὺ
καὶ ναφὶκ καὶ ἰεφίε καὶ ἐλισαμὰ καὶ
ἐλφαλὰθ, σαμαὲ, ἰεσσιβὰθ, νάθαν,
γαλαμαὰν, ἰεβαὰρ, θεησοὺς ἐλφαλὰθ,
ναγὲθ, ναφὲκ, ἰωνάθαν καὶ ἀσεμὶς,
βααλιμὰθ, ἐλιφαάθ. καὶ ἤκουσαν
οἱ ἀλλόφυλοι, ὅτι ἔχρισται δαβὶδ
βασι-

dic illa, Omnis percutiens Iebusæ
um, tangat in pugione &
claudos et cæcos & osos
animam Dauid. Propter
hoc dicunt, claudi & cæci
nō ingrediuntur in domū
dñi. Et habitauit Dauid in
præsidio, et uocata est hec Mat.21
ciuitas Dauid. Et ædifica
uit ipsam ciuitatē per cir
cuitum ab extremitate. &
domum suam. Et ibat Da
uid iens & magnificatus,
& dominus omnipotens
cum eo. Et dimisit Chirā 1.Par.14
rex Tyri nuncios ad Da
uid, & ligna cedrina, &
artifices lignorum, & arti
fices lapidum, & ædifica
uerunt domum Dauid. Et
cognouit Dauid, quod in
stituisset eum dominus in
regē super Israel, & quod
exaltatum est regnū eius
propter populum suum Is
rael. Et accepit Dauid ad
huc uxores & cōcubinas
ex Hierusalem, postquàm
uenerat ipse de Chebron.
Et fuerunt Dauid adhuc
filii & filiæ. Et hæc nomi
na eorū, qui nati sunt ei in
Hierusalē, Sammus & So
bab & Nathan & Salo
mon & Ebear & Elisue
& Naphic & Iephie &
Elisama & Elidae & El
phalath, Samae, Iesetbath
Nathā, Galomaā, Iebaar,
Theethuselphalath, Na
geth, Naphec, Ionathā et
Asemis Boalimath, Eli
phaath. Et audierūt alieni
genę, qđ unctꝰ est Dauid

rex in Israel, & ascenderunt alienigenæ, ut quærerent Dauid. Et audiuit Dauid, & descẽdit in præsidium. Et alienigenæ adueniunt, & conuenerũt in uallem Titanum. Et interrogauit Dauid per dominũ, dicens, An ascendã ad alienigenas, & trades eos in manus meas? Et dixit dominus ad Dauid, Ascende, quoniam tradens tradam alienigenas in manus tuas. Et uenit Dauid è superioribus discissionibus, & percussit alienigenas ibi. Et dixit Dauid, Intercidit dominus inimicos meos alienigenas coram me, sicut interciduntur aquæ. Propter hoc uocatũ est nomen loci illius, super discissionibus. Et relinquunt ibi deos suos, & cepit eos Dauid, & uiri, qui cum eo. Et dixit Dauid comburere eos in igne. Et addiderunt adhuc alienigenæ ut ascenderẽt, & conuenerunt in ualle Titanum. Et interrogauit per dominum, dicens, An ascendam ad alienigenas, & trades eos in manus meas? Et dixit dñs, Nõ ascẽdes in congressũ eorum, auertere ab eis. Et aderis eis prope Fletũ, & erit, cum audieris tu uocem cõcussionis saltus Fletus

βασιλεὺς ἐπὶ Ἰσραήλ, καὶ ἀνέβησαν πάντες οἱ ἀλλόφυλοι ζητεῖν τὸν Δαβίδ. καὶ ἤκουσε Δαβίδ, καὶ κατέβη εἰς τὴν περιοχήν. καὶ οἱ ἀλλόφυλοι παραγίνονται, καὶ συνέπεσαν εἰς τὴν κοιλάδα τῶν τιτάνων. καὶ ἠρώτησε Δαβὶδ διὰ τοῦ κυρίου, λέγων, εἰ ἀναβῶ πρὸς τοὺς ἀλλοφύλους, καὶ παραδώσεις αὐτοὺς εἰς τὰς χεῖράς μου; καὶ εἶπε κύριος πρὸς Δαβίδ, ἀνάβαινε, ὅτι παραδιδοὺς παραδώσω τοὺς ἀλλοφύλους εἰς τὰς χεῖράς σου, καὶ ἦλθε Δαβὶδ ἐκ τῶν ἐπάνω διακοπῶν, καὶ ἔκοψε τοὺς ἀλλοφύλους ἐκεῖ. καὶ εἶπε Δαβίδ, διέκοψε κύριος τοὺς ἐχθρούς μου τοὺς ἀλλοφύλους ἐνώπιον ἐμοῦ, ὡς διακόπτεται ὕδατα. διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου, ἐπάνω διακοπῶν. καὶ καταλιμπάνουσιν ἐκεῖ τοὺς θεοὺς αὐτῶν, καὶ ἔλαβον αὐτοὺς Δαβίδ, καὶ οἱ ἄνδρες οἱ μετ᾽ αὐτοῦ. καὶ εἶπε Δαβὶδ κατακαῦσαι αὐτοὺς ἐν πυρί. καὶ προσέθεντο ἔτι οἱ ἀλλόφυλοι τοῦ ἀναβῆναι, καὶ συνέπεσαν ἐν τῇ κοιλάδι τῶν τιτάνων. καὶ ἐπηρώτησε Δαβὶδ διὰ κυρίου, λέγων, εἰ ἀναβῶ πρὸς τοὺς ἀλλοφύλους, καὶ παραδώσεις αὐτοὺς εἰς τὰς χεῖράς μου; καὶ εἶπε κύριος, οὐκ ἀναβήσῃ εἰς συνάντησιν αὐτῶν, ἀποστρέφου ἀπ᾽ αὐτῶν. καὶ παρέσῃ αὐτοῖς πλησίον τοῦ κλαυθμῶνος, καὶ ἔσται ἐν τῷ ἀκοῦσαί σε τὴν φωνὴν τοῦ συσσεισμοῦ τοῦ ἄλσους τοῦ κλαυθμῶνος,

μῶνος, τότε καταβήσῃ πρὸς αὐτούς, ὅτι τότε ἐξελεύσεται κύριος ἔμπροσθέν σου, κόπτειν ἐν τῷ πολέμῳ τῶν ἀλλοφύλων. καὶ ἐποίησε δαβὶδ, καθὼς ἐνετείλατο αὐτῷ κύριος, καὶ ἐπάταξε τοὺς ἀλλοφύλους ἀπὸ γαβαὼν ἕως τῆς γαζηρά.

Καὶ συνήγαγεν ἔτι δαβὶδ πάντα νεανίαν ἐξ ἰσραὴλ, ὡς ἑβδομήκοντα χιλιάδας. καὶ ἀνέστη, καὶ ἐπορεύθη δαβὶδ, καὶ πᾶς ὁ λαὸς ὁ μετ' αὐτοῦ, καὶ ἀπὸ τῶν ἀρχόντων ἰούδα, ἐν ἀναβάσει τοῦ ἀναγαγεῖν ἐκεῖθεν τὴν κιβωτὸν τοῦ θεοῦ, ἐφ' ἣν ἐπεκλήθη τὸ ὄνομα τοῦ κυρίου τῶν δυνάμεων, καθημένου ἐπὶ τῶν χερουβὶμ, ἐπ' αὐτῆς. καὶ ἐπεβίβασαν τὴν κιβωτὸν τοῦ κυρίου ἐφ' ἅμαξαν καινήν. καὶ ἦραν αὐτὴν ἐξ οἴκου ἀμιναδὰβ τοῦ ἐν τῷ βουνῷ. καὶ ὀζὰ καὶ οἱ ἀδελφοὶ αὐτοῦ, υἱοὶ ἀμιναδὰβ ἦγον τὴν ἅμαξαν σὺν τῇ κιβωτῷ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἐπορεύοντο ἔμπροσθεν τῆς κιβωτοῦ. καὶ δαβὶδ καὶ υἱοὶ ἰσραὴλ παίζοντες ἐνώπιον κυρίου ἐν ὀργάνοις ἡρμοσμένοις, ἐν ἰσχύϊ, καὶ ἐν ᾠδαῖς καὶ ἐν κινύραις καὶ ἐν ναύλαις καὶ ἐν τυμπάνοις καὶ ἐν κυμβάλοις καὶ ἐν αὐλοῖς, καὶ παραγίνονται ἕως ἁλώνων ναχώρ. καὶ ἐξέτεινεν ὀζὰ τὴν χεῖρα αὐτοῦ ἐπὶ τὴν κιβωτὸν τοῦ θεοῦ κατασχεῖν αὐτήν, καὶ ἐκράτησεν αὐτήν, ὅτι περιέσπασεν αὐτὴν ὁ μόσχος. καὶ ἐθυμώθη

ὀργῇ

tus, tunc descēdes ad eos; quia tunc egredietur dominus ante te, ut percutiat in bello alienigenas. Et fecit Dauid, sicut præceperat ei dominus, & percussit alienigenas à Gabaon usq; Gazera.

Et congregauit rursum Dauid omnem adolescentem ex Israel, circiter septuaginta millia. Et surrexit, & abiit Dauid & omnis populus qui cum eo et ex principibus Iuda, in ascēsu, ut reducerent inde arcam dei super quam inuocatum est nomen domini exercituum, considentis in Cherubim, super eā. Et imposuerunt arcam domini in plaustrum nouū, & tulerunt eam de domo Aminadab, qui in colle. Et Oza & fratres eius, filii Aminadab ducebant plaustrum cum arca, et fratres eius ibant ante arcā. Et Dauid & filii Israel ludentes coram domino in organis concinnatis, in robore & in cantibus & in citharis & in naulis, & in tympanis & in cymbalis & in tibiis, & adueniunt usq; ad areas Nachor. Et extendit Oza manum suam ad arcam dei, ut teneret eam, & tenuit eam, quoniam circumflectebat eam uitulus. Et iratus est

Cap. VI
1. Par. 13

i 2 indi-

indignatione dominus Oza, & percussit ibi deus, & mortuus est ibi, iuxta arcam domini, corã deo. Et tristatus est Dauid, ꝓpter quod discidit dominus discissionem in Oza. Et uocatus est locus ille, discissio Oza, usq; in diẽ hunc. Et timuit Dauid dominum in die illa, dicens, Quomodo ingredietur ad me arca dei? Et non uoluit Dauid diuertere ad se arcam foederis domini, in ciuitatem Dauid, & auertit eam Dauid in domũ Abeddara Gethaei. Et consedit arca domini in domo Abeddara Gethaei menses tres. Et benedixit dominus toti domui Abeddara, & omnibus eius. Et renunciatum est regi Dauid, dicentes, Benedixit dominus domui Abeddara, & omnibus eius, propter arcam dei. Et abiit Dauid, & reduxit arcam domini è domo Abeddara, in ciuitatem Dauid in gaudio. Et erant cum eo portantes arcam domini septẽ chori, & uictima uituli, & agni. Et Dauid pulsabat, dicens in organis concinnatis, coram domino & Dauid indutus stolam eximiam. Et Dauid et omnis domus Israel reducebãt arcã domini

ὀργῇ κύριος τῷ ὀζᾶ, καὶ ἔπαισεν αὐτὸν ἐκεῖ ὁ θεὸς, καὶ ἀπέθανεν ἐκεῖ, παρὰ τὴν κιβωτὸν κυρίου, ἐνώπιον τοῦ θεοῦ. καὶ ἠθύμησε δαβίδ, ὑπὲρ οὗ διέκοψε κύριος διακοπὴν ἐν τῷ ὀζᾶ. καὶ ἐκλήθη ὁ τόπος ἐκεῖνος, διακοπὴ ὀζᾶ, ἕως τῆς ἡμέρας ταύτης. καὶ ἐφοβήθη δαβὶδ τὸν κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγων, πῶς εἰσελεύσεται πρός με ἡ κιβωτὸς τοῦ θεοῦ; καὶ οὐκ ἐβούλετο δαβὶδ τοῦ ἐκκλῖναι πρὸς αὐτὸν τὴν κιβωτὸν διαθήκης κυρίου, εἰς τὴν πόλιν δαβίδ, καὶ ἀπέκλινεν αὐτὴν δαβὶδ εἰς οἶκον ἀβεδδαρὰ τοῦ γεθθαίου. καὶ ἐκάθισεν ἡ κιβωτὸς τοῦ κυρίου ἐν οἴκῳ ἀβεδδαρὰ τοῦ γεθθαίου μῆνας τρεῖς. καὶ εὐλόγησε κύριος ὅλον τὸν οἶκον ἀβεδδαρὰ, καὶ πάντα τὰ αὐτοῦ. καὶ ἀνηγγέλη τῷ βασιλεῖ δαβὶδ, λεγόντων, εὐλόγησε κύριος τὸν οἶκον ἀβεδδαρὰ, καὶ πάντα τὰ αὐτοῦ, ἕνεκα τῆς κιβωτοῦ τοῦ θεοῦ. καὶ ἐπορεύθη δαβὶδ, καὶ ἀνήγαγε τὴν κιβωτὸν κυρίου, ἐκ τοῦ οἴκου ἀβεδδαρὰ, εἰς τὴν πόλιν δαβὶδ ἐν εὐφροσύνῃ. καὶ ἦσαν μετ' αὐτοῦ αἴροντες τὴν κιβωτὸν κυρίου ἑπτὰ χοροὶ, καὶ θῦμα μόσχου, καὶ ἄρνες. καὶ δαβὶδ ἀνεκρούετο, λέγων ἐν ὀργάνοις ἡρμοσμένοις, ἐνώπιον κυρίου, καὶ ὁ δαβὶδ ἐνδεδυκὼς στολὴν ἔξαλλον. καὶ δαβὶδ καὶ πᾶς ὁ οἶκος ἰσραὴλ ἀνήγαγον τὴν κιβωτὸν τοῦ κυρίου

κυρίου μετὰ κραυγῆς, καὶ μετὰ φωνῆς σάλπιγγος. καὶ ἐγένετο, τῆς κιβωτοῦ παραγινομένης ἕως πόλεως δαβὶδ, καὶ μελχὸλ ἡ θυγάτηρ σαοὺλ διέκυπτε διὰ τῆς θυρίδος, καὶ εἶδε τὸν βασιλέα δαβὶδ ὀρχούμενον, καὶ ἀνακρουόμενον ἐνώπιον κυρίου, καὶ ἐξουδένωσεν αὐτὸν ἐν τῇ καρδίᾳ ἑαυτῆς. καὶ εἰσήνεγκαν τὴν κιβωτὸν τοῦ κυρίου, καὶ ἀπέθηκαν αὐτὴν εἰς τὸν τόπον αὐτῆς, εἰς μέσον τῆς σκηνῆς, ἧς ἔπηξεν ἐν αὐτῇ δαβίδ. καὶ ἀνήνεγκε δαβὶδ ὁλοκαυτώματα ἐνώπιον κυρίου εἰς εἰρηνικάς. καὶ συνετέλεσε δαβὶδ ἀναφέρων τὰς ὁλοκαυτώσεις καὶ τὰς εἰρηνικὰς, καὶ εὐλόγησε τὸν λαὸν ἐν ὀνόματι κυρίου τῶν δυνάμεων. καὶ διεμέρισε παντὶ τῷ λαῷ, εἰς πᾶσαν τὴν δύναμιν τοῦ ἰσραὴλ, ἀπὸ δὰν ἕως βηρσαβεὲ, καὶ ἀπὸ ἀνδρὸς ἕως γυναικὸς, ἑκάστῳ κολλυρίδα ἄρτου καὶ ἐσχαρίτην, καὶ λάγανον ἀπὸ τηγάνου. καὶ ἀπῆλθε πᾶς ὁ λαὸς, ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἐπέστρεψε δαβὶδ εὐλογῆσαι τὸν οἶκον αὐτοῦ. καὶ ἐξῆλθε μελχὸλ ἡ θυγάτηρ σαοὺλ εἰς ἀπάντησιν δαβὶδ, καὶ εὐλόγησεν αὐτὸν, καὶ εἶπε, τί δεδόξασται σήμερον ὁ βασιλεὺς ἰσραήλ; ὃς ἀπεκαλύφθη σήμερον ἐν ὀφθαλμοῖς παιδισκῶν τῶν δούλων ἑαυτοῦ, καθὼς ἀποκαλύπτεται ἀποκαλυφθεὶς εἷς τῶν ὀρχουμένων. καὶ εἶπε δαβὶδ πρὸς μελχὸλ, ἐνώπιον κυρίου

domini cum clamore, & clangore buccinæ. Et factum est, arca domini adueniente usq; in ciuitatem Dauid, & Melchol filia Saul nutauit per fenestrā, & uidit regem Dauid saltantem & psallentem coram domino, & nihili fecit eum in corde suo. Et introduxerunt arcam domini, & reposuerunt eam in loco suo, in medio tabernaculi, quod fixerat in ea Dauid. Et obtulit Dauid holocausta coram domino in pacifica. Et perfecit Dauid offerens holocausta & pacifica, & benedixit populo in nomine domini exercituum. Et diuisit omni populo, in omnem exercitum Israel, à Dan usq; Bersabee, & à uiro usq; ad mulierem, unicuiq; collyridem panis, & placentam, & laganū de sartagine. Et abiit omnis populus, unusquisque in domum suam, & reuersus est Dauid, ut benediceret domui suæ. Et egressa est Melchol filia Saul in occursum Dauid, & benedixit ei, & ait, Quare gloriosus fuit hodie rex Israel? Qui retectus est hodie in oculis ancillarum seruorum suorum, sicut re egitur retectus unus saltantium. Et dixit Dauid ad Melchol, Coram domino

saltabo. Et benedictus dominus, qui elegit me præ patre tuo, & præ omni domo eius, ut cōstitueret me in ducem super populum eius, super Israel. Et ludā, & tripudiabo coram domino, & retegar adhuc sic, & ero uilis in oculis tuis & cum ancillis, quibus dixisti me non gloriosum fuisse. Et Melchol filiæ Saul non fuit filius, usque in diem, in qua mortua est ipsa.

Cap.VII 1.Par.17 Et factum est, cum consedisset rex Dauid in domo sua, & dñs hæreditate donauit eum undiq; ab omnibus inimicis suis, & dixit rex ad Nathan prophetā, Ecce iam, ego habito in domo cedrina, & arca dei cōsidet in medio tabernaculi. Et dixit Nathan ad regē, Omnia quæ fuerint in corde tuo, uade & fac. quoniam dominus tecum. Et factum est in nocte illa, & fuit uerbum domini ad Nathan, dicens, Vade, & dic ad seruum meum Dauid, Hæc dicit dominus, non tu ædificabis mihi domum, ut habitem ego. Quoniam nō habitaui in domo, ex qua die eduxi filios Israel de Aegypto, usq; in diē hāc. Et fui deambulās in tabernaculo & in tētorio, in omnib. quę trāsiui in omni Israel.

ὀρχήσομαι. καὶ εὐλογητὸς κύριος, ὃς ἐξελέξατό με ὑπὲρ τὸν πατέρα σου, καὶ ὑπὲρ πάντα τὸν οἶκον αὐτοῦ, τοῦ καταστῆσαί με εἰς ἡγούμενον ἐπὶ τὸν λαὸν αὐτοῦ, ἐπὶ τὸν ἰσραὴλ, καὶ παίξομαι, καὶ ὀρχήσομαι ἐνώπιον κυρίου, καὶ ἀποκαλυφθήσομαι ἔτι οὕτως, καὶ ἔσομαι ἀχρεῖος ἐν ὀφθαλμοῖς σου, καὶ μετὰ τῶν παιδισκῶν, ὧν εἶπάς με μὴ δοξασθῆναι. καὶ τῇ μελχὸλ θυγατρὶ σαοὺλ οὐκ ἐγένετο παιδίον, ἕως τῆς ἡμέρας τοῦ ἀποθανεῖν αὐτήν.

Καὶ ἐγένετο, ὅτε ἐκάθισεν ὁ βασιλεὺς ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ κύριος κατακληρονόμησεν αὐτὸν κυκλόθεν ἀπὸ πάντων τῶν ἐχθρῶν αὐτοῦ κύκλῳ, καὶ εἶπεν ὁ βασιλεὺς πρὸς νάθαν τὸν προφήτην, ἰδοὺ δὴ, ἐγὼ κατοικῶ ἐν οἴκῳ κεδρίνῳ, καὶ ἡ κιβωτὸς τοῦ θεοῦ κάθηται ἐν μέσῳ τῆς σκηνῆς. καὶ εἶπε νάθαν πρὸς τὸν βασιλέα, πάντα ὅσα ἂν ᾖ ἐν τῇ καρδίᾳ σου, βάδιζε, καὶ ποίει, ὅτι κύριος μετὰ σοῦ. καὶ ἐγένετο ἐν τῇ νυκτὶ ἐκείνῃ, καὶ ἐγένετο ῥῆμα κυρίου πρὸς νάθαν, λέγων, πορεύου, καὶ εἰπὸν πρὸς τὸν δοῦλόν μου δαβίδ, τάδε λέγει κύριος, οὐ σὺ οἰκοδομήσεις μοι οἶκον τοῦ κατοικῆσαί με. ὅτι οὐ κατῴκηκα ἐν οἴκῳ, ἀφ' ἧς ἡμέρας ἀνήγαγον τοὺς υἱοὺς ἰσραὴλ ἐξ αἰγύπτου, ἕως τῆς ἡμέρας ταύτης. καὶ ἤμην ἐμπεριπατῶν ἐν καταλύματι καὶ ἐν σκηνῇ, ἐν πᾶσιν, οἷς διῆλθον ἐν παντὶ ἰσραήλ.

ἰσραήλ. εἰ λαλῶν ἐλάλησα πρὸς μί
αν φυλὴν ἰσραὴλ, ᾧ ἐνετειλάμην
ποιμαίνειν τὸν λαόν μου ἰσραὴλ,
λέγων, ἵνα τί οὐκ ᾠκοδομήκατέ μοι
οἶκον κέδρινον; καὶ νῦν τάδε ἐρεῖς
τῷ δούλῳ μου τῷ δαβίδ, τάδε λέ-
γει κύριος παντοκράτωρ. ἔλαβόν σε
ἐκ τῆς μάνδρας τῶν προβάτων, τοῦ
εἶναί σε εἰς ἡγούμενον ἐπὶ τὸν λαόν
μου τὸν ἰσραὴλ, καὶ ἤμην μετά σου
ἐν πᾶσιν, οἷς ἐπορεύου. καὶ ἐξωλό-
θρευσα πάντας τοὺς ἐχθρούς σου ἀ-
πὸ προσώπου σου, καὶ ἐποίησά σε ὀ-
νομαστὸν κατὰ τὸ ὄνομα τῶν μεγά-
λων τῶν ἐπὶ τῆς γῆς. καὶ θήσομαι
τόπον τῷ λαῷ μου τῷ ἰσραὴλ, καὶ
καταφυτεύσω αὐτὸν, καὶ κατα-
σκηνώσει καθ' ἑαυτὸν, καὶ οὐ με-
ριμνήσει οὐκέτι. καὶ οὐ προσθήσει υἱ-
ὸς ἀδικίας τοῦ ταπεινῶσαι αὐτὸν,
καθὼς ἀπ' ἀρχῆς καὶ ἀπὸ τῶν ἡ-
μερῶν, ὧν ἔταξα κριτὰς ἐπὶ τὸν
λαόν μου ἰσραήλ. καὶ ἀναπαύσω σε
ἀπὸ πάντων τῶν ἐχθρῶν σου. καὶ
ἀπαγγελεῖ σοι κύριος, ὅτι οἶκον
οἰκοδομήσεις αὐτῷ. καὶ ἔσται, ἐὰν
πληρωθῶσιν αἱ ἡμέραι σου, καὶ
κοιμηθήσῃ μετὰ τῶν πατέρων
σου. καὶ ἀναστήσω τὸ σπέρμα σου
μετά σε, ὃς ἔσται ἐκ τῆς κοιλίας
σου, καὶ ἑτοιμάσω τὴν βασιλείαν
αὐτοῦ. αὐτὸς οἰκοδομήσει οἶκον τῷ
ὀνόματί μου. καὶ ἀνορθώσω τὸν θρό
νον αὐτοῦ ἕως εἰς τὸν αἰῶνα. ἐγὼ
ἔσομαι

Israel. Num loquens locu
tus sum ad unam tribum Is
rael, cui præcepi pasce-
re populum meum Israel,
dicens, Quare non ædifi-
castis mihi domum cedri-
nam? Et nunc hæc dices
seruo meo Dauid, Hæc di 1.Reg.18
cit dominus omnipotens.
Tuli te ex caula ouium, ut
esses tu in ducem super po
pulum meum Israel, & fui
tecum in omnibus, quibus
ambulasti. Et destruxi om
nes inimicos tuos à facie
tua, et feci te nominatũ iu
xta nomẽ magnorũ q sunt
in terra. Et ponam locum
populo meo Israel, & plã
tabo eum, & habitabit a-
pud seipsum, & nõ erit so
licitus unquam. Et nõ ad-
det filius iniquitatis, ut hu
miliet eum, sicut ab initio,
& ex diebus quibus con-
stitui iudices super popu-
lum meum Israel. Et quie
tum reddam te ab omni-
bus inimicis tuis. Et renũ
ciabit tibi dominus, quod
domum ædificabis ei. Et
erit, si completi fuerint di
es tui, & dormies cum pa
tribus tuis. Et suscitabo
semen tuum post te, qui e-
rit de utero tuo, & præpa
rabo regnum eius. Hic æ-
dificabit mihi domum no 1.Pa.22
mini meo, et erigã thronũ Heb.1
eius usq; in æternũ. Ego

ero ei in patrem, & ipse
erit mihi in filiū. Et si ue-
nerit iniquitas eius, & ar
guam eum in uirga uiro-
rū, & in plagis filiorū ho-
minum, sed misericordiam
meam non amouebo ab
eo, sicut amoui, à quibus
amoui à facie mea. Et fi-
delis erit domus eius usq;
in æternum, coram me. Et
thronus eius erit erectus
in seculum, pro omnibus
sermonibus his, & pro o-
mni uisione ista. Sic locu-
tus est Nathan ad Dauid.
Et ingressus est rex Da-
uid, & consedit coram do
mino, & dixit, Quis sum
ego domine mi domine,
& quæ domus mea, quod
amasti me usq; ad hæc? Et
deminutus sui minutim in
conspectu tuo domine mi
domine, & loquutus es de
domo serui tui in longum.
Ista autē lex hominis, do-
mine mi domine. Et quid
addet Dauid adhuc, ut lo
quatur ad te? Et nūc tu no
sti seruū tuū dñe mi dñe.
Et propter seruū tuū feci
sti, & secundū cor tuū fe-
cisti oēm bonitatē istā, ut
ostēderes seruo tuo, ppte-
rea ut magnificaret te dñe
mi domine. Quia non est,
sicut tu. Et non est deus
præter te in omnibus, quę
audiuimus in auribus no-
stris. Et quis, ut populus tu
us Israel, gens alia in terra?
Quomodo p̄ uiā duxit eū
deus

ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς
ἔσται μοι εἰς υἱόν. καὶ ἐὰν ἔλθῃ ἡ ἀδι-
κία αὐτοῦ, καὶ ἐλέγξω αὐτὸν ἐν ῥάβδῳ
ἀνδρῶν, καὶ ἐν ἁφαῖς υἱῶν ἀνθρώ-
πων, τὸ δὲ ἔλεός μου οὐκ ἀποστήσω ἀπ'
αὐτοῦ, καθὼς ἀπέστησα ἀφ' ὧν ἀπέ-
στησα ἐκ προσώπου μου. καὶ πιστωθήσε-
ται ὁ οἶκος αὐτοῦ καὶ ἡ βασιλεία αὐτοῦ
ἕως αἰῶνος, ἐνώπιόν μου. καὶ ὁ θρόνος
αὐτοῦ ἔσται ἀνωρθωμένος εἰς τὸν αἰῶ-
να, κατὰ πάντας τοὺς λόγους τούτους,
καὶ κατὰ πᾶσαν τὴν ὅρασιν ταύτην.
οὕτως ἐλάλησε νάθαν πρὸς δαβίδ.
Καὶ εἰσῆλθεν ὁ βασιλεὺς δαβίδ, καὶ
ἐκάθισεν ἐνώπιον κυρίου, καὶ εἶπε, τίς
εἰμι ἐγὼ κύριέ μου κύριε, καὶ τίς ὁ
οἶκός μου, ὅτι ἠγάπησάς με ἕως τού-
των; καὶ κατεσμικρύνθην μικρὸν
ἐνώπιόν σου κύριέ μου κύριε, καὶ ἐ-
λάλησας ὑπὲρ τοῦ οἴκου τοῦ δούλου σου
εἰς μακράν. οὗτος δὲ ὁ νόμος τοῦ
ἀνθρώπου, κύριέ μου κύριε. καὶ τί προ-
σθήσει δαβὶδ ἔτι τοῦ λαλῆσαι πρός
σε; καὶ νῦν σὺ οἶδας τὸν δοῦλόν σου
κύριέ μου κύριε, καὶ διὰ τὸν δοῦλόν
σου πεποίηκας, καὶ κατὰ τὴν καρδί-
αν σου ἐποίησας πᾶσαν τὴν ἀγαθω-
σύνην ταύτην, γνωρίσαι τῷ δούλῳ
σου, ἕνεκεν τοῦ μεγαλῦναί σε κύριέ
μου κύριε, ὅτι οὐκ ἔστιν, ὡς σύ. καὶ οὐκ
ἔστι θεός, πλὴν σοῦ ἐν πᾶσιν, οἷς
ἠκούσαμεν ἐν τοῖς ὠσὶν ἡμῶν. καὶ
τίς, ὡς ὁ λαός σου ἰσραήλ, ἔθνος
ἄλλο ἐν τῇ γῇ; ὡς ὡδήγησεν αὐτὸν
ὁ θεὸς

ὁ θεὸς τοῦ λυτρώσασθαι αὐτῷ λαόν, τοῦ θέσθαι σε ὄνομα, τοῦ ποιῆσαι μεγαλωσύνην καὶ ἐπιφάνειαν, τοῦ ἐκβαλεῖν σε ἐκ προσώπου τοῦ λαοῦ σου, οὓς ἐλυτρώσω σεαυτῷ ἐξ αἰγύπτου, ἔθνη καὶ σκηνώματα. καὶ ἡτοίμασας σεαυτῷ τὸν λαόν σου ἰσραὴλ εἰς λαόν, ἕως αἰῶνος, καὶ σὺ κύριε ἐγένου αὐτοῖς εἰς θεόν. καὶ νῦν κύριέ μου κύριε, τὸ ῥῆμα, ὃ ἐλάλησας περὶ τοῦ δούλου σου καὶ τοῦ οἴκου αὐτοῦ, πίστωσον ἕως τοῦ αἰῶνος, καθὼς ἐλάλησας. καὶ νῦν μεγαλυνθείη τὸ ὄνομά σου ἕως αἰῶνος, λέγων, κύριος παντοκράτωρ, θεὸς ἐπὶ τὸν ἰσραήλ. καὶ ὁ οἶκος τοῦ δούλου σου δαβὶδ ἔσται ἀνωρθωμένος ἐνώπιόν σου, ὅτι σὺ κύριε παντοκράτωρ, ὁ θεὸς τοῦ ἰσραὴλ, ἀπεκάλυψας τὸ ὠτίον τοῦ δούλου σου, λέγων, οἶκον οἰκοδομήσω σοι. διὰ τοῦτο εὗρεν ὁ δοῦλός σου τὴν καρδίαν ἑαυτοῦ τοῦ προσεύξασθαι πρός σε τὴν προσευχὴν ταύτην. καὶ νῦν κύριέ μου κύριε, σὺ εἶ ὁ θεὸς, καὶ οἱ λόγοι σου ἔσονται ἀληθινοί, καὶ ἐλάλησας ὑπὲρ τοῦ δούλου σου τὰ ἀγαθὰ ταῦτα. καὶ νῦν ἄρξαι, καὶ εὐλόγησον τὸν οἶκον τοῦ δούλου σου, τοῦ εἶναι εἰς τὸν αἰῶνα ἐνώπιόν σου, ὅτι σὺ κύριέ μου κύριε ἐλάλησας, καὶ ἀπὸ τῆς εὐλογίας σου εὐλογηθήσεται ὁ οἶκος τοῦ δούλου τοῦ εἶναι εἰς τὸν αἰῶνα ἐνώπιόν σου.

Καὶ ἐγένετο μετὰ ταῦτα, καὶ ἐπάταξε δαβὶδ τοὺς ἀλλοφύλους,

καὶ

deus, ut redimeret ei populum, ut poneret te nomen. ut faceres maiestatē & claritatē, ut eiicias tu à facie populi tui, quos redemisti tibiipsi ex Aegypto, gentes & tabernacula. Et prę parasti tibiipsi populū tuum Israel in populum, usque in sempiternum, & tu domine fuisti eis in deum. Et nunc domine mi domine, uerbum quod locutus es de seruo tuo, & de domo eius, confirmes usq; in sempiternum, sicut loquutus es. Et nunc magnificetur nomen tuū usq; in sempiternum, dicens, Dominus omnipotens, deus super Israel. Et domus serui tui Dauid erecta corā te, quia tu domine omnipotens, deus Israel retexisti auriculam serui tui, dicēs, Domum aedificabo tibi. Propter hoc inuenit seruus tuus cor suum, ut oraret ad te orationē hāc. Et nunc domine mi domine, tu es deus, & sermones tui erunt ueri, & loquutus es de seruo tuo bona haec. Et nunc incipe, & benedic domui serui tui, ut sit in sempiternū coram te, quia tu domine mi domine loquutus es, & à benedictione tua benedicetur domus serui tui, ut sit in aeternum coram te.

Et factū est post haec, et Cap. VIII ꝑcusit Dauid alienigenas

& in fugam uertit eos. Et tulit Dauid partem definitam ex manu alienigenarum. Et percussit Dauid Moab, & dimẽsus est eos funiculis, ponẽs eos super terram. Et fuerũt duæ mẽsuræ funiculorum ad occidendum, & per duas mensuras uiuos ceperunt. Et fuit Moab Dauid in seruos ferentes munera. Et percussit Dauid Adrazar filium Raab regem Suba, proficiscẽte ipso ut imponeret manum suam super fluuiũ Euphraten. Et præoccupauit Dauid de rebus eius mille currus, & septẽ millia equitum, & uiginti millia uirorum peditũ. Et dissoluit Dauid omnes currus, & relicti fuerunt ex eis centum currus. Et aduenit Syria Damasci, ut auxilium ferret Adrazar regi Suba, et percussit Dauid in Syro uiginti & duo millia uirorum. Et posuit Dauid custodiam in Syria, quæ ad Damascum. Et fuit Syrus Dauid in seruos ferentes munera. Et saluauit dominus Dauid in omnibus, ad quæ profectus est. Et cepit Dauid armillas aureas quæ fuerunt in pueris Adrazar regis Suba, & tulit ea in Hierusalem. Et cepit ea Susacim rex Aegypti, cum ascenderet ipse in Hierusalem, in

diebus

καὶ ἐτροπώσατο αὐτούς. καὶ ἔλαβε δαβὶδ τὴν ἀφωρισμένην ἐκ χειρὸς τῶν ἀλλοφύλων. καὶ ἐπάταξε δαβὶδ τὴν μωὰβ, καὶ διεμέτρησεν αὐτοὺς ἐν σχοινίοις, κοιμήσας αὐτοὺς ἐπὶ τὴν γῆν. καὶ ἐγένετο τὰ δύο σχοινίσματα τοῦ θανατῶσαι, καὶ τὰ δύο σχοινίσματα ἐζώγρησαν. καὶ ἐγένετο μωὰβ τῷ δαβὶδ εἰς δούλους φέροντας ξένια. καὶ ἐπάταξε δαβὶδ τὸν ἀδραζὰρ υἱὸν ῥαὰβ βασιλέα σουβὰ, πορευομένου αὐτοῦ ἐπιστῆσαι τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸν ποταμὸν εὐφράτην. καὶ προκατελάβετο δαβὶδ τῶν αὐτοῦ χίλια ἅρματα, καὶ ἑπτὰ χιλιάδας ἱππέων, καὶ εἴκοσι χιλιάδας ἀνδρῶν πεζῶν. καὶ παρέλυσε δαβὶδ πάντα τὰ ἅρματα, καὶ ὑπελείπετο ἐξ αὐτῶν ἑκατὸν ἅρματα. καὶ παραγίνεται συρία δαμασκοῦ βοηθῆσαι τῷ ἀδραζὰρ βασιλεῖ σουβὰ, καὶ ἐπάταξε δαβὶδ ἐν τῷ σύρῳ εἴκοσι καὶ δύο χιλιάδας ἀνδρῶν. καὶ ἔθετο δαβὶδ φρουρὰν ἐν συρίᾳ τῇ κατὰ δαμασκόν. καὶ ἐγένετο ὁ σύρος τῷ δαβὶδ εἰς δούλους φέροντας ξένια. καὶ ἔσωσε κύριος τὸν δαβὶδ ἐν πᾶσιν οἷς ἐπορεύετο. καὶ ἔλαβε δαβὶδ τοὺς χλιδόνας τοὺς χρυσοῦς, οἳ ἦσαν ἐπὶ τῶν παίδων τῶν ἀδραζὰρ βασιλέως σουβὰ, καὶ ἤνεγκεν αὐτὰ εἰς ἱερουσαλήμ. καὶ ἔλαβεν αὐτὰ σουσακὶμ βασιλεὺς αἰγύπτου, ἐν τῷ ἀναβῆναι αὐτὸν εἰς ἱερουσαλὴμ ἐν

ἡμέραις

ἡμέραις ῥοβοὰμ, υἱοῦ σολομῶντος.
καὶ ἐκ τῆς μετεβὰκ καὶ ἐκ τῶν ἐκλεκτῶν
πόλεων τοῦ ἀδρααζὰρ ἔλαβεν ὁ βασι-
λεὺς δαβὶδ χαλκὸν πολὺν σφόδρα,
ἐν αὐτῷ ἐποίησε σολομὼν τὴν θά-
λασσαν τὴν χαλκῆν. καὶ τοὺς στύλους καὶ
τοὺς λουτῆρας, καὶ πάντα τὰ σκεύη. καὶ
ἤκουσε θοοὺ ὁ βασιλεὺς ἡμὰθ, ὅτι ἐ-
πάταξε δαβὶδ πᾶσαν τὴν δύνα-
μιν ἀδρααζάρ. καὶ ἀπέστειλε θοοὺ ἰεδ-
δουρὰμ τὸν υἱὸν αὐτοῦ πρὸς τὸν βα-
σιλέα δαβὶδ, ἐρωτῆσαι αὐτὸν τὰ
εἰς εἰρήνην, καὶ εὐλογῆσαι αὐτὸν,
ὑπὲρ οὗ ἐπολέμησε τὸν ἀδρααζὰρ, καὶ
ἐπάταξεν αὐτὸν, ὅτι ἀντικείμενος
ἦν τῷ ἀδρααζάρ. καὶ ἐν ταῖς χερσὶν αὐ-
τοῦ ἦσαν σκεύη ἀργυρᾶ, καὶ σκεύη
χρυσᾶ, καὶ σκεύη χαλκᾶ. καὶ ταῦτα
ἡγίασεν ὁ βασιλεὺς δαβὶδ τῷ κυ-
ρίῳ, μετὰ τοῦ ἀργυρίου καὶ μετὰ τοῦ
χρυσίου, οὗ ἡγίασεν ἐκ πασῶν τῶν
πόλεων, ὧν κατεδυνάστευσεν, ἐκ τῆς
ἰδουμαίας, καὶ ἐκ τῆς μωὰβ, καὶ ἐκ τῶν
υἱῶν ἀμμὼν, καὶ ἐκ τῶν ἀλλοφύλων,
καὶ ἐξ ἀμαλὴκ, καὶ ἐκ τῶν σκύλων ἀ-
δρααζὰρ υἱοῦ ῥαὰβ βασιλέως σουβά. καὶ
ἐποίησε δαβὶδ ὄνομα, καὶ ἐν τῷ ἀ-
νακάμπτειν αὐτὸν ἐπάταξεν τὴν
ἰδουμαίαν ἐν γεβελὶμ, εἰς ὀκτωκαί-
δεκα χιλιάδας ἀνδρῶν, καὶ ἔθετο ἐν
τῇ ἰδουμαίᾳ φρουρὰς, ἐν πάσῃ τῇ
ἰδουμαίᾳ. καὶ ἐγένοντο πάντες οἱ
ἰδουμαῖοι δοῦλοι τῷ βασιλεῖ. καὶ ἔσω-
σε κύριος τὸν δαβὶδ ἐν πᾶσιν,
οἷς

diebus Roboam filii Solo
monis. Et ex Metebac, et
de electis ciuitatibus A-
drazar cepit rex Dauid æs
multum ualde, in eo fecit
Solomon mare æneum, &
colūnas & pelues, & om-
nia uasa. Et audiuit Thou
rex Hemath, quod per-
cussit Dauid omne robur
Adrazar. Et misit Thou
Iedduram filium suum ad
regem Dauid, ut interro-
garet eum quæ ad pacem,
& benediceret ei pro eo,
quod debellauit Adra-
zar, et percussit eum, quo
niam aduersatus erat Ad-
razar. Et in manibus eius
erant uasa argentea, & ua
sa aurea, & uasa ærea. Et
hæc sanctificauit rex Da-
uid dño, cū argento & cū
auro, quod sanctificauit
ex omnibus ciuitatibus,
quas deuicit, ex Idumæa et
ex Moab, & de filiis Am
mon, & ex alienigenis, et
ex Amalec, & ex spoliis
Adrazar filii Raab regis
Suba. Et fecit Dauid no-
men, & cum reflecteret ip
se, percussit Idumæam in
Gebelem, ad octo & decē
milia uirorū, & posuit in
Idumæa custodias, in om-
ni Idumæa. Et fuerūt om
nes Idumæi serui regi. Et
saluauit dñs Dauid in oīb.
ad

ad quæ profectus est. Et regnauit Dauid super omnem Israel. Et erat Dauid faciens iudiciũ & iustitiã in omnem populũ suũ. Et

Inf. 20 Ioab filius Saruia sup exercitum. Et Iosaphat filius Achiludà commentariis. Et Sadoc filius Achitob, & Achimelech filius Abiathar, sacerdotes. Et Sasa filius Iodae, cõsiliarius. Et Chelethoi et Ophelti et filii Dauid, aulæ principes fuerunt.

Cap. IX Et dixit Dauid, An est adhuc relictus in domo Saul, & faciam cum eo misericordiam propter Ionathan. Et de domo Saul erat seruus, & nomen ei Siba, & uocant eum ad Dauid. Et dicit ad eũ rex, Tu es Siba? Et dixit, Ego seruus tuus. Et dixit rex, An relictus est ex domo Saul adhuc uir, & faciam cum eo misericordiam dei? Et dixit Siba ad regem, Adhuc est filius Ionathan percussus pedibus. Et dixit rex, Vbi iste? Et dixit Siba ad regẽ, Ecce in domo Machir filii Ammiel ex Lodabar. Et dimisit rex Dauid, et tulit eũ de domo Machir filii Ammiel de Lodabar. Et aduenit Mẽphibosthe filius Ionathan filii Saul ad regem Dauid, & cecidit in faciẽ suam, & adorauit eum. Et dixit ei Dauid, Memphibosthe.

οἷς ἐπορεύθη. καὶ ἐβασίλευσε δαβὶδ ἐπὶ πάντα ἰσραήλ. καὶ ἦν δαβὶδ ποιῶν κρίμα καὶ δικαιοσύνην ἐπὶ πάντα τὸν λαὸν αὐτοῦ. καὶ ἰωὰβ υἱὸς σαρουΐας ἐπὶ τῆς στρατιᾶς. καὶ ἰωσαφὰτ υἱὸς ἀχιλοὺδ ἐπὶ τῶν ὑπομνημάτων. καὶ σαδὼκ υἱὸς ἀχιτώβ, καὶ ἀχιμελὲχ υἱὸς ἀβιαθάρ, ἱερεῖς. καὶ σασὰ ὁ γραμματεύς. καὶ βαναίας υἱὸς ἰωδαέ, σύμβουλος. καὶ ὁ χελεθοῒ, καὶ ὀφελτὶ, καὶ οἱ υἱοὶ δαβὶδ αὐλάρχαι ἦσαν.

Καὶ εἶπε δαβὶδ, εἰ ἔστιν ἔτι ὑπολελειμμένος ἐν τῷ οἴκῳ σαοὺλ, καὶ ποιήσω μετ' αὐτοῦ ἔλεος ἕνεκεν ἰωνάθαν. καὶ ἐκ τοῦ οἴκου σαοὺλ ἦν παῖς, καὶ ὄνομα αὐτῷ σιβὰ, καὶ ἐκάλεσαν αὐτὸν πρὸς δαβὶδ. καὶ εἶπε πρὸς αὐτὸν ὁ βασιλεὺς, σὺ εἶ σιβά; καὶ εἶπεν, ἐγὼ δοῦλος σός. καὶ εἶπεν ὁ βασιλεὺς, εἰ ὑπολέλειπται ἐκ τοῦ οἴκου σαοὺλ ἔτι ἀνὴρ, καὶ ποιήσω μετ' αὐτοῦ ἔλεος θεοῦ. καὶ εἶπε σιβὰ πρὸς τὸν βασιλέα, ἔτι ἔστιν υἱὸς τῷ ἰωνάθαν πεπληγὼς τοὺς πόδας. καὶ εἶπεν ὁ βασιλεὺς, ποῦ οὗτος; καὶ εἶπε σιβὰ πρὸς τὸν βασιλέα, ἰδοὺ ἐν οἴκῳ μαχὶρ υἱοῦ ἀμμιὴλ ἐκ τῆς λοδάβαρ. καὶ ἀπέστειλεν ὁ βασιλεὺς δαβὶδ, καὶ ἔλαβον αὐτὸν ἐκ τοῦ οἴκου μαχὶρ υἱοῦ ἀμμιὴλ, ἐκ τῆς λοδάβαρ. καὶ παραγίνεται μεμφιβοσθὲ υἱὸς ἰωνάθαν υἱοῦ σαοὺλ πρὸς τὸν βασιλέα δαβὶδ, καὶ ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ, καὶ προσεκύνησεν αὐτῷ. καὶ εἶπεν αὐτῷ δαβὶδ, μεμφιβοσθέ.

βοσθὲ. καὶ εἶπεν, ἰδοὺ ὁ δοῦλός σου. καὶ εἶπεν αὐτῷ Δαβὶδ, μὴ φοβοῦ, ὅτι ποιῶν ποιήσω μετὰ σοῦ ἔλεος, διὰ Ἰωνάθαν τὸν πατέρα σου. καὶ ἀποκαταστήσω σοι πάντα ἀγρὸν σαοὺλ πατρὸς τοῦ πατρός σου, καὶ σὺ φάγῃ ἄρτον ἐπὶ τῆς τραπέζης μου διὰ παντός. καὶ προσεκύνησεν αὐτῷ μεμφιβοσθὲ, καὶ εἶπε, τίς εἰμι ὁ δοῦλός σου, ὅτι ἐπέβλεψας ἐπὶ τὸν κύνα τὸν τεθνηκότα, τὸν ὅμοιον ἐμοί; καὶ ἐκάλεσεν ὁ βασιλεὺς τὸν σιβὰ τὸ παιδάριον σαοὺλ, καὶ εἶπε πρὸς αὐτόν. πάντα ὅσα ἐστὶ τῷ σαοὺλ, καὶ ὅλον τὸν οἶκον αὐτοῦ δέδωκα τῷ υἱῷ τοῦ κυρίου σου. καὶ ἐργᾷ αὐτῷ τὴν γῆν σὺ καὶ οἱ υἱοί σου καὶ οἱ δοῦλοί σου, καὶ εἰσοίσεις τῷ υἱῷ τοῦ κυρίου σου ἄρτους, καὶ φάγονται. καὶ μεμφιβοσθὲ υἱὸς τοῦ κυρίου σου φάγεται ἄρτον διὰ παντὸς ἐπὶ τῆς τραπέζης μου. καὶ τῷ σιβὰ ἦσαν πεντεκαίδεκα υἱοὶ, καὶ εἴκοσι δοῦλοι. καὶ εἶπε σιβὰ πρὸς τὸν βασιλέα, κατὰ πάντα ὅσα ἐντέταλται ὁ κύριός μου ὁ βασιλεὺς τῷ δούλῳ αὐτοῦ, οὕτως ποιήσω ὁ δοῦλός σου. καὶ μεμφιβοσθὲ ἤσθιεν ἐπὶ τῆς τραπέζης Δαβὶδ, καθὼς εἷς τῶν υἱῶν τοῦ βασιλέως. καὶ τῷ μεμφιβοσθὲ υἱὸς μικρὸς ἦν. καὶ ὄνομα αὐτῷ μιχᾶ. καὶ πᾶσα ἡ κατοίκησις τοῦ οἴκου σιβὰ, δοῦλοι τοῦ μεμφιβοσθέ. καὶ μεμφιβοσθὲ κατῴκει ἐν ἱερουσαλὴμ, ὅτι ἐπὶ τῆς τραπέζης τοῦ βασιλέως αὐτὸς διὰ παντὸς ἤσθιε.

bosthe. Et dixit, Ecce seruus tuus. Et dixit ei Dauid, Ne timeas, quia faciens faciam misericordiam tecum propter Ionathan patrem tuum. Inf. 19 Et restituam tibi omnem agrũ Saul patris patris tui, & tu edes panem in mensa mea semper. Et adorauit eũ Memphibosthe, & dixit, Quis sum seruus tuus, q̃d respexisti in canem mortuũ, similem mihi? 1. Reg. 18. Et uocauit rex Siba puerum Saul, & dixit ad eum, Omnia quę cunq; erant Saul, & totã domum eius dedi filio domini tui, & operare ei terram tu, & filii tui, & serui tui, & inferes filio dñi tui edet panes, et edẽt. Et Mẽphibosthe filius dñi tui edet panem semper in mensa mea. Et Siba erant quindecim filii, & uiginti serui. Et dixit Siba ad regẽ. Iuxta omnia quæcunque præcepit dominus meus rex seruo suo, sic faciã seruus tuus. Et Mẽphibosthe edebat in mensa Dauid, sicut unus de filiis regis. Et Memphibosthe filius paruus erat, & nomen ei Micha. Et omnis habitatio domus Siba, serui Memphibosthe. Et Mẽphibosthe habitabat in Hierusalem, quia in mensa regis ipse semper edebat.

edebat, & ipse erat claudus utrisq; pedibus suis.

Cap. X
1.Par.19

Et factum est post hæc, & mortuus est rex filiorum Ammon, & regnauit Annō filius eius .p eo. Et dixit Dauid, Faciā misericordiā cū Annō filio Naas, quēadmodū fecit pater eius mecum misericordiā. Et dimisit Dauid ad consolādum eum in manu seruorum suorum ob patrem eius. Et aduenerunt serui Dauid in terram filiorum Ammon, & dixerūt principes filiorum Ammon ad Annon dominum suum, Num propter honorare Dauid patrem tuū coram te, quòd ablegauit tibi cōsolantes? Non sed ut inuestigarent ciuitatem, & explorarent eam euertere eam ablegauit Dauid seruos suos ad te. Et tulit Annon seruos Dauid, & rasit barbas eorum, & abscidit uestes eorum in dimidio, usque ad nates eorum, & dimisit eos. Et renunciarunt Dauid de uiris, & dimisit in occursum eorum, quoniam erant uiri dehonestati ualde. Et dixit rex, Considete in Hiericho, donec oriantur barbæ uestræ, & reuertemini. Et uiderunt filii Ammō, qd' cōtumelia affecti sūt serui Dauid. Et miserūt filii

ὕαθιε, καὶ αὐτὸς ἦν χωλὸς ἀμφοτέροις τοῖς ποσὶν αὐτοῦ.

Καὶ ἐγένετο μετὰ ταῦτα, καὶ ἀπέθανε βασιλεὺς υἱῶν ἀμμών, καὶ ἐβασίλευσεν ἀννὼν υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. καὶ εἶπε δαβίδ, ποιήσω ἔλεος μετὰ ἀννὼν υἱοῦ ναάς, ὃν τρόπον ἐποίησεν ὁ πατὴρ αὐτοῦ μετ' ἐμοῦ ἔλεος. καὶ ἀπέστειλε δαβὶδ παρακαλέσαι αὐτὸν ἐν χειρὶ τῶν δούλων αὐτοῦ, περὶ τοῦ πατρὸς αὐτοῦ. καὶ παρεγένοντο οἱ παῖδες δαβὶδ εἰς τὴν γῆν υἱῶν ἀμμών. καὶ εἶπον οἱ ἄρχοντες υἱῶν ἀμμὼν πρὸς ἀννὼν τὸν κύριον αὐτῶν, μὴ παρὰ τὸ δοξάζειν δαβὶδ τὸν πατέρα σου ἐνώπιόν σου, ὅτι ἀπέστειλέ σοι παρακαλοῦντας; οὐχί, ἀλλ' ὅπως ἐρευνήσωσι τὴν πόλιν, καὶ κατασκοπήσωσιν αὐτήν, τοῦ καταστρέψαι αὐτήν, ἀπέστειλε δαβὶδ τοὺς παῖδας αὐτοῦ πρός σε. καὶ ἔλαβεν ἀννὼν τοὺς παῖδας δαβίδ, καὶ ἐξύρισε τοὺς πώγωνας αὐτῶν, καὶ ἀπέκοψε τοὺς μανδύας αὐτῶν ἐν τῷ ἡμίσει ἕως τῶν ἰσχίων αὐτῶν, καὶ ἐξαπέστειλεν αὐτούς. καὶ ἀνήγγειλαν τῷ δαβὶδ ὑπὲρ τῶν ἀνδρῶν, καὶ ἀπέστειλεν εἰς ἀπάντησιν αὐτῶν, ὅτι ἦσαν οἱ ἄνδρες ἠτιμασμένοι σφόδρα. καὶ εἶπεν ὁ βασιλεύς, καθίσατε ἐν ἱεριχώ, ἕως τοῦ ἀνατεῖλαι τοὺς πώγωνας ὑμῶν. καὶ ἐπιστραφήσεσθε. καὶ εἶδον οἱ υἱοὶ ἀμμὼν ὅτι κατῃσχύνθησαν ὁ λαὸς δαβίδ. καὶ ἀπέστειλαν οἱ

οἱ ὑοὶ ἀμμὼν, καὶ ἐμισθώσαντο τὴν συρίαν βαιθραὰμ, καὶ τὴν συρίαν σουβὰ, καὶ ῥοὼβ, εἴκοσι χιλιάδας πεζῶν, καὶ τὸν βασιλέα ἀμαλὴκ μααχὰ, χιλίους ἄνδρας, καὶ ἰστὼβ δώδεκα χιλιάδας ἀνδρῶν. καὶ ἤκουσε δαβὶδ, καὶ ἀπέστειλε τὸν ἰωὰβ, καὶ πᾶσαν τὴν δύναμιν, τοὺς δυνατούς. καὶ ἐξῆλθον οἱ ὑοὶ ἀμμὼν, καὶ παρετάξαντο εἰς πόλεμον, πρὸς τὴν θύραν τῆς πύλης. καὶ συρία σουβὰ, καὶ ῥοὼβ καὶ ἰωὰβ, καὶ ἀμαλὴκ μόνοι ἐν ἀγρῷ. καὶ εἶδεν ἰωὰβ, ὅτι ἐγενήθη πρὸς αὐτὸν ἀντὶ πρόσωπον τοῦ πολέμου, ἐκ τοῦ κατὰ πρόσωπον ἐξεναντίας, καὶ ἐκ τοῦ ὄπισθεν, καὶ ἐπελέξατο ἐκ πάντων τῶν νεανιῶν ἰσραὴλ, καὶ παρετάξαντο ἐξ ἐναντίας συρίας. καὶ τὸ κατάλοιπον τοῦ λαοῦ ἔδωκεν ἐν χειρὶ ἀβεσσὰ τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ παρετάξαντο ἐξεναντίας ὑῶν ἀμμών. καὶ εἶπεν, ἐὰν κραταιωθῇ συρία ὑπὲρ ἐμὲ, καὶ ἔσεσθέ μοι εἰς σωτηρίαν. καὶ ἐὰν κραταιωθῶσιν οἱ ὑοὶ ἀμμὼν ὑπὲρ σὲ, καὶ ἐσόμεθα τοῦ σῶσαί σε. ἀνδρίζου, καὶ κραταιωθῶμεν ὑπὲρ τοῦ λαοῦ ἡμῶν, καὶ περὶ τῶν πόλεων τοῦ θεοῦ ἡμῶν. καὶ κύριος ποιήσει τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς αὐτοῦ. καὶ προσῆλθεν ἰωὰβ, καὶ ὁ λαὸς αὐτοῦ μετ' αὐτοῦ, εἰς πόλεμον πρὸς συρίαν, καὶ ἔφυγον ἀπὸ προσώπου αὐτοῦ. καὶ ὑοὶ ἀμμὼν εἶδον, ὅτι ἔφυγε συρία,

καὶ

filii Ammon, & conduxerunt mercede Syriam Bæthraam, & Syriam Suba & Roob, uiginti millia peditum, & regem Amalec Maacha, mille uiros, et Istob duodecim millia uirorũ. Et audiuit Dauid, et misit Ioab, & oẽm exercitum, potentes. Et egressi sunt filii Ammon, & instruebantur in bellum, ad ianuam portæ. Et Syria Suba & Roob & Ioab & Amalec soli in agro. Et uidit Ioab, quod fuit ad eum, contra faciem belli, è regione iuxta faciem ex aduerso & à tergo, & elegit ex omnibus iuuenibus Israel, & instruebantur ex aduersa parte Syriæ. Et reliquũ populi dedit in manu Abessa fratris sui, & instruebãtur ex aduersa parte filiorum Ammõ. Et dixit, si uicerit Syria super me, & eritis mihi in salutem. Et si uicerint filii Ammon super te, & erimus ad saluandũ te. Vir sis, & uincamus pro populo nostro, & pro ciuitatibus dei nostri, & dominus faciet bonum in oculis suis. Et accessit Ioab & populus eius qui cũ eo in bellum contra Syriam, & fugerunt à facie eius. Et filii Ammon uiderunt, qđ fugit Syria

&

& fugerunt à facie Abessa, & ingressi sunt in ciuitatem. Et reuersus est Ioab à facie filiorũ Ammõ, et aduenit in Hierusalem. Et uidit Syria, quod offendit coram Israel, & congregati sunt pariter. Et ablegauit Adrazar, & congregauit Syriam quæ è regione trans fluuium Chalamac, et aduenerũt in Aelam. Et Sobac princeps militię Adrazar ante eos. Et renũciatum est Dauid, & congregauit omnem Israel, & transiit Iordanẽ, et aduenit in Aelã. Et instruxit aciẽ Syria ex aduerso Dauid, et bellũ gessit cum eo. Et fugit Syria à facie filiorũ Israel. Et occidit Dauid ex Syria septingẽtos currus, et quadraginta millia equitũ, & Sobac principem militiæ eius percussit, & mortuus est ibi. Et uiderunt omnes reges serui Adrazar, quod ceciderunt coram Israel, & transfugerunt ad Israel, & seruierunt eis. Et timuit Syria, ut saluaret in filios Ammon.

Cap. XI
1. Par. 10

Et factũ est reuertẽte anno in tẽpus expeditiõis regũ, et dimisit Dauid Ioab, & seruos suos cum eo, & omnem Israel, & deuastarunt filios Ammon. Et obse-

καὶ ἔφυγον ἀπὸ προσώπου ἀβεσσὰ, καὶ εἰσῆλθον εἰς τὴν πόλιν. καὶ ἀνέστρεψεν ἰωὰβ ἀπὸ προσώπου τῶν υἱῶν ἀμμὼν, καὶ παρεγένετο ἐν ἱερουσαλήμ. καὶ εἶδε συρία, ὅτι ἔπταισεν ἔμπροσθεν ἰσραὴλ, καὶ συνήχθησαν ἐπὶ τὸ αὐτὸ, καὶ ἀπέστειλεν ἀδραζὰρ, καὶ συνήγαγε τὴν συρίαν τὴν ἐκ τοῦ πέραν τοῦ ποταμοῦ χαλαμὰκ, καὶ παρεγένοντο εἰς αἰλάμ. καὶ σωβὰκ ἄρχων τῆς δυνάμεως ἀδραζὰρ ἔμπροσθεν αὐτῶν. καὶ ἀπηγγέλη τῷ δαβὶδ, καὶ συνήγαγε τὸν πάντα ἰσραὴλ, καὶ διέβη τὸν ἰορδάνην, καὶ παρεγένετο εἰς αἰλάμ. καὶ παρετάξατο συρία ἀπέναντι δαβὶδ, καὶ ἐπολέμησε μετ' αὐτοῦ. καὶ ἔφυγε συρία ἀπὸ προσώπου υἱῶν ἰσραήλ. καὶ ἀνεῖλε δαβὶδ ἐκ τῆς συρίας ἑπτακόσια ἅρματα, καὶ τεσσαράκοντα χιλιάδας ἱππέων, καὶ τὸν σωβὰκ τὸν ἄρχοντα τῆς δυνάμεως αὐτοῦ ἐπάταξε, καὶ ἀπέθανεν ἐκεῖ. καὶ εἶδον πάντες οἱ βασιλεῖς, οἱ δοῦλοι ἀδραζὰρ, ὅτι ἔπταισαν ἐνώπιον ἰσραὴλ, καὶ ηὐτομόλησαν μετὰ ἰσραὴλ, καὶ ἐδούλευσαν αὐτοῖς. καὶ ἐφοβήθη συρία τοῦ σῶσαι ἐπὶ τοὺς υἱοὺς ἀμμών.

Καὶ ἐγένετο, ἐπιστρέψαντος τοῦ ἐνιαυτοῦ εἰς τὸν καιρὸν τῆς ἐξοδίας τῶν βασιλέων, καὶ ἀπέστειλε δαβὶδ τὸν ἰωὰβ, καὶ τοὺς παῖδας αὐτοῦ μετ' αὐτοῦ, καὶ τὸν πάντα ἰσραὴλ, καὶ διέφθειραν τοὺς υἱοὺς ἀμμών. καὶ

πόριν

περιεκάθισαν ἐν ῥαββὰθ, καὶ δαβὶδ ἐκάθισεν ἐν ἱερουσαλήμ. καὶ ἐγένετο πρὸς ἑσπέραν, καὶ ἀνέστη δαβὶδ ἀπὸ τῆς κοίτης αὐτοῦ, καὶ περιεπάτει ἐπὶ τοῦ δώματος τοῦ οἴκου τοῦ βασιλέως. καὶ εἶδε γυναῖκα λουομένην ἀπὸ τοῦ δώματος· καὶ ἡ γυνὴ καλὴ τῷ εἴδει σφόδρα. καὶ ἀπέστειλε δαβίδ· καὶ ἐζήτησε τὴν γυναῖκα, καὶ εἶπεν, οὐχὶ αὕτη βηρσαβεὲ θυγάτηρ ἐλιὰβ, γυνὴ οὐρίου τοῦ χετταίου; καὶ ἀπέστειλε δαβὶδ ἀγγέλους, καὶ ἔλαβεν αὐτὴν, καὶ εἰσῆλθε πρὸς αὐτὴν, καὶ ἐκοιμήθη μετ' αὐτῆς. καὶ αὕτη ἁγιαζομένη ἀπὸ ἀκαθαρσίας αὐτῆς, καὶ ἀπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς, καὶ ἐν γαστρὶ ἔλαβεν ἡ γυνὴ, καὶ ἀποστείλασα ἀπήγγειλε τῷ δαβὶδ, καὶ εἶπεν, ἰδοὺ, ἐγώ εἰμι ἐν γαστρὶ ἔχουσα. καὶ ἀπέστειλε δαβὶδ πρὸς ἰωὰβ, λέγων, ἀπόστειλον πρός με τὸν οὐρίαν τὸν χετταῖον. καὶ ἀπέστειλεν ἰωὰβ τὸν οὐρίαν πρὸς δαβίδ. καὶ παραγίνεται οὐρίας, καὶ εἰσῆλθε πρὸς αὐτόν. καὶ ἐπηρώτησεν δαβὶδ εἰς εἰρήνην ἰωὰβ, καὶ εἰς εἰρήνην τοῦ λαοῦ, καὶ εἰς εἰρήνην τοῦ πολέμου. καὶ εἶπε δαβὶδ τῷ οὐρίᾳ, κατάβηθι τὸν οἶκόν σου, καὶ νίψαι τοὺς πόδας σου. καὶ ἐξῆλθεν οὐρίας ἐξ οἴκου τοῦ βασιλέως, καὶ ἐξῆλθεν ὀπίσω αὐτοῦ ἄρσις τοῦ βασιλέως, καὶ ἐκοιμήθη οὐρίας παρὰ τῇ θύρᾳ τοῦ οἴκου τοῦ βασιλέως μετὰ

τῶν

obſederunt in Rabbath, & Dauid conſedit in Hieruſalem. Et erat ad ueſperam, & ſurrexit Dauid à lecto ſuo, & deambulabat in ſolario domus regis. Et uidit mulierem lauantem à cœnaculo, & mulier pulchra forma ualde. Et miſit Dauid, & quæſiuit mulierem, & dixit, Nonne hęc eſt Berſabee filia Eliab, uxor Vriæ Chettæi? Et dimiſit Dauid nuncios, & tulit eam, & ingreſſus eſt ad eam, & dormiuit cum ea. Et hæc erat ſanctificata ab immunditia ſua, & reuerſa eſt in domũ ſuam, & in utero geſtauit mulier, & ablegans renunciauit Dauid, & dixit, Ecce, ego ſum in utero geſtans. Et miſit Dauid ad Ioab, dicens, Ablega ad me Vriam Chettæum. Et miſit Ioab Vriam ad Dauid. Et aduenit Vrias, & ingreſſus eſt ad eum. Et interrogauit Dauid in pacem Ioab & in pacem populi & in pacem belli. Et dixit Dauid Vriæ, Deſcende in domum tuam, & laua pedes tuos. Et egreſſus eſt Vrias ex domo regis, & egreſsũ eſt poſt eum ferculũ regis. Et dormiuit Vrias ad ianuã dom⁹ regis cũ

k ſer-

seruis domini sui, & non descendit ad domum suam. Et renunciauerunt Dauid dicentes, Quod non descendit Vrias in domum suam. Et dixit Dauid ad Vriam, Nonne è uia tu uenis, quid quod non descendisti in domum tuam? Et dixit Vrias ad Dauid, Arca & Israel & Iudas habitant in tabernaculis, & dominus meus Ioab & serui domini mei super faciem agri castra figunt, & ego ingrediar in domum meam, ut edam, & bibam, & dormiam cum uxore mea? Viuit anima tua, si faciam uerbum hoc. Et dixit Dauid ad Vriam, Conside hic utique hodie, & cras te dimittam. Et consedit Vrias in Hierusalem

Inf. 14 in die illa, & crastina, & uocauit eum Dauid, & edit coram se, & bibit, & inebriauit eum. Et egressus est uespere, ut dormiret in cubili eius, cum seruis domini sui, & in domum suam non descendit. Et fuit mane, & scripsit Dauid libellum ad Ioab, & misit in manu Vriæ. Et scripsit in libello, dicens, Introduc Vriam ex aduerso belli fortis, & auertimini à tergo eius, & percutietur, & morietur. Et factum est cum custo-

τῶν δούλων τοῦ κυρίου αὐτοῦ, καὶ οὐ κατέβη εἰς τὸν οἶκον αὐτοῦ. καὶ ἀπήγγειλαν τῷ δαβὶδ λέγοντες, ὅτι οὐ κατέβη οὐρίας εἰς τὸν οἶκον αὐτοῦ. καὶ εἶπε δαβὶδ πρὸς οὐρίαν, οὐχὶ ἐξ ὁδοῦ σὺ ἔρχῃ, τί ὅτι οὐ κατέβης εἰς τὸν οἶκόν σου; καὶ εἶπεν οὐρίας πρὸς δαβίδ, ἡ κιβωτὸς, καὶ ἰσραὴλ καὶ ἰούδας κατοικοῦσιν ἐν σκηναῖς, καὶ ὁ κύριός μου ἰωὰβ, καὶ οἱ δοῦλοι τοῦ κυρίου μου ἐπὶ πρόσωπον τοῦ ἀγροῦ παρεμβάλλουσι, καὶ ἐγὼ εἰσελεύσομαι εἰς τὸν οἶκόν μου τοῦ φαγεῖν καὶ πιεῖν, καὶ κοιμηθῆναι μετὰ τῆς γυναικός μου; ζῇ ἡ ψυχή σου, εἰ ποιήσω τὸ ῥῆμα τοῦτο. καὶ εἶπε δαβὶδ πρὸς οὐρίαν, κάθισον ἐνταῦθα καί γε σήμερον, καὶ αὔριον ἐξαποστελῶ σε. καὶ ἐκάθισεν οὐρίας ἐν ἱερουσαλὴμ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ τῇ ἐπαύριον, καὶ ἐκάλεσεν αὐτὸν δαβίδ, καὶ ἔφαγεν ἐνώπιον αὐτοῦ, καὶ ἔπιε, καὶ ἐμέθυσεν αὐτόν. καὶ ἐξῆλθεν ἑσπέρας τοῦ κοιμηθῆναι ἐπὶ τῆς κοίτης αὐτοῦ, μετὰ τῶν δούλων τοῦ κυρίου αὐτοῦ, καὶ εἰς τὸν οἶκον αὐτοῦ οὐ κατέβη. καὶ ἐγένετο πρωΐ, καὶ ἔγραψε δαβὶδ βιβλίον πρὸς ἰωὰβ, καὶ ἀπέστειλεν ἐν χειρὶ οὐρίου. καὶ ἔγραψεν ἐν τῷ βιβλίῳ, λέγων, εἰσάγαγε τὸν οὐρίαν ἐξ ἐναντίας τοῦ πολέμου τοῦ κραταιοῦ, καὶ ἀποστραφήσεσθε ἀπὸ ὄπισθεν αὐτοῦ, καὶ πληγήσεται, καὶ ἀποθανεῖται. καὶ ἐγενήθη ἐν τῷ φυλάσ-

φυλάσσειν ἰωὰβ ἐπὶ τὴν πόλιν, καὶ ἔθηκεν τὸν οὐρίαν εἰς τὸν τόπον, οὗ ᾔδει, ὅτι ἄνδρες δυνάμεως ἐκεῖ. καὶ ἐξῆλθον οἱ ἄνδρες τῆς πόλεως, καὶ ἐπολέμουν μετὰ ἰωάβ. καὶ ἔπεσαν ἀπὸ τοῦ λαοῦ ἐκ τῶν δούλων δαβίδ, καὶ ἀπέθανε καί γε οὐρίας ὁ χετταῖος. καὶ ἀπέστειλεν ἰωὰβ, καὶ ἀπήγγειλε τῷ δαβὶδ πάντας τοὺς λόγους τοῦ πολέμου λαλῆσαι πρὸς τὸν βασιλέα. καὶ ἐνετείλατο τῷ ἀγγέλῳ, λέγων, ἐν τῷ συντελέσαι σε πάντας τοὺς λόγους τοῦ πολέμου, λαλῆσαι πρὸς τὸν βασιλέα, καὶ ἔσται, ἐὰν ἀναβῇ ὁ θυμὸς τοῦ βασιλέως, καὶ εἴπῃ σοι, τί ὅτι ἠγγίκατε πρὸς τὴν πόλιν πολεμῆσαι; οὐκ ᾔδειτε, ὅτι τοξεύσουσιν ἐπάνωθεν τοῦ τείχους; τίς ἐπάταξε τὸν ἀβιμελὲχ υἱὸν ἰεροβαάλ; οὐχὶ γυνὴ ἔρριψε κλάσμα μύλου ἐπ' αὐτὸν ἀπὸ ἄνωθεν τοῦ τείχους, καὶ ἀπέθανεν ἐν θαμασεῖ; ἵνα τί προσηγάγετε πρὸς τὸ τεῖχος; καὶ ἐρεῖς, καί γε ὁ δοῦλός σου οὐρίας ὁ χετταῖος ἀπέθανε. καὶ ἐπορεύθη ὁ ἄγγελος ἰωὰβ πρὸς τὸν βασιλέα εἰς εἰς ἱερουσαλήμ. καὶ παρεγένετο, καὶ ἀπήγγειλε τῷ δαβὶδ πάντα, ὅσα ἀπήγγειλεν αὐτῷ ἰωὰβ, πάντα τὰ ῥήματα τοῦ πολέμου. καὶ ἐθυμώθη δαβὶδ πρὸς ἰωάβ. καὶ εἶπε δαβὶδ πρὸς τὸν ἄγγελον, ἵνα τί προσηγάγετε πρὸς τὴν πόλιν τοῦ πολεμῆσαι; οὐκ ᾔδειτε, ὅτι πληγήσεσθε ἀπὸ

custodiret Ioab ad urbẽ, & locauit Vriam in locum, ubi nouerat, quod uiri potentiæ erant ibi. Et egressi sunt uiri ciuitatis, & belligerabant cum Ioab. Et ceciderunt de populo ex seruis Dauid, & mortuus est utique Vrias Chettæus. Et misit Ioab, & renunciauit Dauid omnes sermones belli, loquendo ad regem. Et præcepit nuncio dicens, Cum perfeceris tu omnes sermones belli loquiendo ad regem, & erit, si ascenderit ira regis, & dixerit tibi, Quare quod appropinquastis ad urbem belligerare? Nonne nouisti, quod iaculabuntur supra murum. Quis percussit Abimelech filium Hierobaal? Nonne mulier iecit super eum fragmen molæ de muro, & mortuus est in Thamase? quare accessistis ad murum? Et dices, Et sane seruus tuus Vrias Chettæus mortuus est. Et uenit nuncius Ioab ad regem in Hierusalem. Et aduenit & renunciauit Dauid omnia, quæ renunciauit ei Ioab, omnia uerba belli. Et iratus est Dauid contra Ioab. Et dixit Dauid ad nuncium, Quare accessistis ad urbẽ belligerare? Nõ noueratis, quod percutiemini

Iudic. 9

à muro? Quis percussit Abimelech filium Hierobaal? Nonne mulier iecit in eum frustum molae à muro, & mortuus est in Thamase? Quare accessistis ad murum? Et dixit nuncius ad Dauid, quod contenderunt nos uiri, & egressi sunt ad nos in agrum, & fuimus contra eos usq; ad ianuas portae. Et iaculati sunt iaculatores ad seruos tuos supra murum, & mortui sunt de seruis regis, & sanè Vrias seruus tuus Chettaeus mortuus est. Et dixit Dauid ad nuncium, Haec dices Ioab, non malum sit in oculis tuis uerbum hoc, quoniam aliquando quidem sic, & aliquando sic uorabit gladius. Robora bellum tuum aduersus urbem, & dirue eam. Et audiuit uxor Vriae, quod mortuus esset uir suus Vrias, & planxit ob uirum suum. Et transiit luctus, & dimisit Dauid, & deduxit eam in domum suam, & facta est ei in uxorem, & peperit ei filium.

Cap·XII Et malum uisum est uerbum, quod fecit Dauid, in oculis domini. Et ablegauit dominus Nathan prophetam ad Dauid. Et ingressus est ad eum, & dixit, Renuncia iam mihi iudiciū. Et di-

xit

ἀπὸ τοῦ τείχους; τίς ἐπάταξε τὸν ἀβιμελὲχ υἱὸν ἱεροβαάλ; οὐχὶ γυνὴ ἔρριψεν ἐπ' αὐτὸν κλάσμα μύλου ἀπὸ τοῦ τείχους, καὶ ἀπέθανεν ἐν θαμασεῖ; ἵνα τί προσηγάγετε πρὸς τὸ τεῖχος; καὶ εἶπεν ὁ ἄγγελος πρὸς δαβίδ, ὅτι ἐκραταίωσαν ἐφ' ἡμᾶς οἱ ἄνδρες, καὶ ἐξῆλθον ἐφ' ἡμᾶς εἰς τὸν ἀγρὸν, καὶ ἐγενήθημεν ἐπ' αὐτοὺς ἕως τῆς θύρας τῆς πύλης. καὶ ἐτόξευσαν οἱ τοξεύοντες πρὸς τοὺς παῖδάς σου ἐπάνωθεν τοῦ τείχους, καὶ ἀπέθανον ἀπὸ τῶν παίδων βασιλέως, καί γε οὐρίας ὁ δοῦλός σου ὁ χετταῖος ἀπέθανε. καὶ εἶπε δαβὶδ πρὸς τὸν ἄγγελον, τάδε ἐρεῖς τῷ ἰωὰβ, μὴ πονηρὸν ἔστω ἐν ὀφθαλμοῖς σου τὸ ῥῆμα τοῦτο, ὅτι ποτὲ μὲν οὕτως, καὶ ποτὲ οὕτως φάγεται ἡ μάχαιρα. κραταίωσον τὸν πόλεμόν σου εἰς τὴν πόλιν, καὶ κατάσπασον αὐτήν. καὶ ἤκουσεν ἡ γυνὴ οὐρίου, ὅτι ἀπέθανεν οὐρίας ὁ ἀνὴρ αὐτῆς, καὶ ἐκόψατο ἐπὶ τὸν ἄνδρα αὐτῆς. καὶ διῆλθε τὸ πένθος, καὶ ἀπέστειλε δαβίδ, καὶ συνήγαγεν αὐτὴν εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἐγενήθη αὐτῷ εἰς γυναῖκα, καὶ ἔτεκεν αὐτῷ υἱόν.

Καὶ πονηρὸν ἐφάνη τὸ ῥῆμα, ὃ ἐποίησε δαβίδ, ἐν ὀφθαλμοῖς κυρίου. καὶ ἀπέστειλε κύριος τὸν νάθαν τὸν προφήτην πρὸς δαβίδ. καὶ εἰσῆλθε πρὸς αὐτὸν, καὶ εἶπεν αὐτῷ, ἀνάγγειλον δή μοι κρίσιν. καὶ εἶ-

πεν

πεν αὐτῷ, δύο ἦσαν ἄνδρες ἐν πό-
λει μιᾷ, εἷς πλούσιος καὶ εἷς πέ-
νης. καὶ τῷ πλουσίῳ ἦν ποίμνια καὶ
βουκόλια πολλὰ σφόδρα, καὶ τῷ πέ-
νητι οὐκ ἦν οὐδὲν, ἀλλ' ἢ ἀμνὰς
μία μικρὰ, ἣν ἐκτήσατο, καὶ περιε-
ποιήσατο, καὶ ἐξέθρεψεν αὐτὴν,
καὶ ἡδρύνθη μετ' αὐτοῦ καὶ μετὰ
τῶν υἱῶν αὐτοῦ ἐπὶ τὸ αὐτὸ, ἐκ τοῦ ἄρ-
του αὐτοῦ ἤσθιε, καὶ ἐκ τοῦ ποτηρίου
αὐτοῦ ἔπινε, καὶ ἐν τῷ κόλπῳ αὐτοῦ
ἐκάθευδε, καὶ ἦν αὐτῷ θυγάτηρ.
καὶ ἦλθε πάροδος τῷ ἀνδρὶ τῷ πλου-
σίῳ, καὶ ἐφείσατο λαβεῖν ἐκ τῶν
ποιμνίων αὐτοῦ, καὶ ἐκ τῶν βουκο-
λίων αὐτοῦ, τοῦ ποιῆσαι τῷ ξένῳ ἐλ-
θόντι πρὸς αὐτὸν, καὶ ἔλαβε τὴν
ἀμνάδα τοῦ πένητος, καὶ ἐποίη-
σεν αὐτὴν τῷ ἀνδρὶ τῷ ἐλθόντι
πρὸς αὐτόν. καὶ ἐθυμώθη ὀργῇ δα-
βὶδ σφόδρα τῷ ἀνδρί. καὶ εἶπε δα-
βὶδ πρὸς νάθαν, ζῇ κύριος, ὅτι υἱ-
ὸς θανάτου ἐστὶν ὁ ἀνὴρ ὁ ποιήσας
τοῦτο, καὶ τὴν ἀμνάδα ἀποτίσει ἑ-
πταπλασίονα, ἀνθ' ὧν ὅτι ἐποίησε
τὸ ῥῆμα τοῦτο, καὶ περὶ οὗ οὐκ ἐφεί-
σατο. καὶ εἶπε νάθαν πρὸς δαβὶδ,
σὺ εἶ ὁ ἀνὴρ ὁ ποιήσας τοῦτο. τάδε
λέγει κύριος ὁ θεὸς ἰσραὴλ, ἐγώ εἰ-
μι, ὃς ἔχρισά σε εἰς βασιλέα ἐπὶ ἰσ-
ραήλ. καὶ ἐγώ εἰμι ὁ ἐρρυσάμενός
σε ἐκ χειρὸς σαούλ. καὶ ἔδωκά σοι τὸν
οἶκον τοῦ κυρίου σου, καὶ τὰς γυναῖ-
κας τοῦ κυρίου σου ἐν τῷ κόλπῳ σου. καὶ
ἔδωκά

xit ei, Duo erant uiri in
ciuitate una, unus diues et
unus pauper, Et diuiti e-
rant greges & armenta
multa ualde, & pauperi
non erat quicquam, nisi
agna una parua, quam
possedit, & fouit, & nutri
uit eam, & aucta est cum
eo & cum filiis eius pari-
ter, de pane eius edebat,
& de calice eius bibe-
bat, & in sinu eius dor-
miebat, & erat ei filia. Et
uenit uiator uiro diuiti,
& pepercit accipere ex
gregibus eius & ex ar-
mentis eius, ut faceret pe
regrino uenienti ad se, &
tulit agnam pauperis, &
fecit eam uiro uenienti ad
eum. Et concitatus est ira
Dauid ualde uiro. Et di-
xit Dauid ad Nathan,
Viuit dominus, quoniam
filius mortis est uir, qui fe
cit hoc, & agnam reddet
septuplicem, eo quod fe-
cit uerbum hoc, & eo
quod non pepercit. Et di-
xit Nathan ad Dauid, Tu
es uir faciens hoc. Hæc
dicit dominus deus Isra-
el, Ego unxi te in regem
super Israel. Et ego sum
liberans te de manu Saul.
Et dedi tibi domum do-
mini tui, & uxores do-
mini tui in sinu tuo. Et

 dedi

dedi tibi domum Israel et Iuda. Et si paruum tibi est, apponam tibi iuxta hæc. Et quare, quod eleuasti sermonem domini, ut faceres malum in oculis Domini: Vriam Chettæum percussisti in gladio, & uxorem illius accepisti in uxorem tibiipsi, & eum interfecisti in gladio filiorum Ammon. Et nunc non desistet gladius de domo tua in æternum pro his, quod nihili fecisti me & accepisti uxorem Vriæ Chettæi ut sit tibi in uxorem. Hæc dicit dominus, Ecce, ego excito in te mala de domo tua, & tollam uxores tuas, iuxta oculos tuos, & dabo propinquo tuo, & dormiet cum uxoribus tuis, coram sole hoc. Quia tu fecisti in occulto, & ego faciam uerbum hoc coram omni Israel, & coram sole hoc.

Eccl. 47 Et dixit Dauid Nathan, Peccaui domino. Et dixit Nathan ad Dauid: Et dominus abstulit peccatum tuum, non morieris. Verum quia exacuens exacuisti hostes tuos in uerbo hoc, & filius tuus natus tibi morte morietur. Et abiit Nathan in domum suam. Et percussit puerum, quem peperit uxor Vriæ Dauid, & male ualuit. Et quæ-

ἔδωκά σοι τὸν οἶκον ἰσραὴλ καὶ ἰούδα. καὶ εἰ μικρόν σοί ἐστι, προσθήσω σοι κατὰ ταῦτα. καὶ τί, ὅτι ἐφαύλισας τὸν λόγον κυρίου, τοῦ ποιῆσαι τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου; τὸν οὐρίαν τὸν χετταῖον ἐπάταξας ἐν ῥομφαίᾳ, καὶ τὴν γυναῖκα αὐτοῦ ἔλαβες εἰς γυναῖκα σεαυτῷ, καὶ αὐτὸν ἀπέκτεινας ἐν ῥομφαίᾳ υἱῶν ἀμμών. καὶ νῦν οὐκ ἀποστήσεται ῥομφαία ἐκ τοῦ οἴκου σου ἕως αἰῶνος, ἀνθ' ὧν ὅτι ἐξουδένωσάς με, καὶ ἔλαβες τὴν γυναῖκα τοῦ οὐρίου τοῦ χετταίου, τοῦ εἶναί σοι εἰς γυναῖκα. τάδε λέγει κύριος, ἰδοὺ, ἐγὼ ἐξεγείρω ἐπί σε κακὰ ἐκ τοῦ οἴκου σου, καὶ λήψομαι τὰς γυναῖκάς σου, κατ' ὀφθαλμούς σου, καὶ δώσω τῷ πλησίον σου, καὶ κοιμηθήσεται μετὰ τῶν γυναικῶν σου, ἐναντίον τοῦ ἡλίου τούτου. ὅτι ἐποίησας κρυβῇ, κἀγὼ ποιήσω τὸ ῥῆμα τοῦτο ἐναντίον παντὸς ἰσραὴλ, καὶ ἐναντίον τοῦ ἡλίου τούτου. καὶ εἶπε δαβὶδ τῷ νάθαν, ἡμάρτηκα τῷ κυρίῳ. καὶ εἶπε νάθαν πρὸς δαβὶδ, καὶ κύριος παρεβίβασε τὸ ἁμάρτημά σου, οὐ μὴ ἀποθάνῃς. πλὴν ὅτι παροξύνων παρώξυνας τοὺς ἐχθρούς σου ἐν τῷ ῥήματι τούτῳ, καί γε ὁ υἱός σου ὁ τεχθείς σοι θανάτῳ ἀποθανεῖται. καὶ ἀπῆλθε νάθαν εἰς τὸν οἶκον αὐτοῦ. καὶ ἔθραυσε κύριος τὸ παιδάριον, ὃ ἔτεκεν ἡ γυνὴ οὐρίου τῷ δαβὶδ, καὶ ἠῤῥώστησε. καὶ

ἐζήτησε

ἐζήτησε Δαβὶδ τὸν θεὸν περὶ τοῦ
παιδαρίου. καὶ ἐνήστευσε Δαβὶδ νη-
στείαν, καὶ εἰσῆλθε, καὶ ηὐλίσθη ἐπὶ
τῆς γῆς, καὶ ἀνέστησαν ἐπ' αὐτὸν οἱ
πρεσβύτεροι τοῦ οἴκου αὐτοῦ ἐγεῖραι
αὐτὸν ἀπὸ τῆς γῆς, καὶ οὐκ ἠθέλησε,
καὶ οὐ συνέφαγεν αὐτοῖς ἄρτον. καὶ
ἐγένετο ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ
ἀπέθανε τὸ παιδάριον. καὶ ἐφοβή-
θησαν οἱ δοῦλοι Δαβὶδ ἀναγγεῖλαι
αὐτῷ, ὅτι τέθνηκε τὸ παιδάριον, ὅ-
τι εἶπον, ἰδοὺ ἐν τῷ τὸ παιδάριον ἔ-
τι ζῆν ἐλαλήσαμεν πρὸς αὐτὸν, καὶ
οὐκ εἰσήκουσε τῆς φωνῆς ἡμῶν, καὶ
πῶς εἴπωμεν πρὸς αὐτὸν, ὅτι τέ-
θνηκε τὸ παιδάριον; καὶ ποιήσει
κακά. καὶ συνῆκε Δαβὶδ, ὅτι οἱ παῖ-
δες αὐτοῦ ψιθυρίζουσι, καὶ ἐννόησε Δα-
βὶδ, ὅτι τέθνηκε τὸ παιδάριον. καὶ
εἶπε Δαβὶδ πρὸς τοὺς παῖδας αὐ-
τοῦ, εἰ τέθνηκε τὸ παιδάριον; καὶ εἶ-
πον, τέθνηκε, καὶ ἀνέστη Δαβὶδ ἐκ
τῆς γῆς. καὶ ἐλούσατο, καὶ ἠλείψατο,
καὶ ἤλλαξε τὰ ἱμάτια αὐτοῦ, καὶ εἰ-
σῆλθεν εἰς τὸν οἶκον τοῦ θεοῦ, καὶ προ-
σεκύνησεν αὐτῷ, καὶ εἰσῆλθεν εἰς
τὸν οἶκον αὐτοῦ, καὶ ᾔτησεν ἄρτον
φαγεῖν. καὶ παρέθηκαν αὐτῷ ἄρ-
τον, καὶ ἔφαγε. καὶ εἶπον οἱ παῖδες
αὐτοῦ πρὸς αὐτὸν, τί τὸ ῥῆμα τοῦτο,
ὃ ἐποίησας ἕνεκα τοῦ παιδαρίου; ὅτι
ἔτι ζῶντος ἔκλαιες, καὶ ἐνήστευες,
καὶ ἠγρύπνεις, καὶ ἡνίκα ἀπέθανε
τὸ παιδάριον ἀνέστης, καὶ ἔφαγες
ἄρτον,

quæsiuit Dauid Deum
pro puero. Et ieiunauit
Dauid ieiunio, & ingres-
sus est, & diuersatus est in
terra, & surrexerunt ad
eum seniores domus eius
ut erigerent eum de ter-
ra, & non uoluit, & non
comedit cum eis panem.
Et factum est in die septi-
ma, & mortuus est puer.
Et timuerunt serui Da-
uid renunciare ei, quod
mortuus est puer, quod di
xerunt, Ecce, cum puer
adhuc uiueret, loqueba-
mur ad eum, & non au-
diebat uocem nostram,
& quomodo dicemus ad
eum, quod mortuus est
puer? Et faciet mala. Et
intellexit Dauid, quod
pueri eius mussitant. Et
cogitauit Dauid, quod
mortuus est puer. Et di-
xit Dauid ad seruos suos,
An mortuus est puer? Et
dixerunt, Mortuus est.
Et surrexit Dauid de ter-
ra, & lauit, & unctus est,
& mutauit uestes eius, &
ingressus est in domum
Dei, & adorauit eum, &
ingressus est in domum
suam, & petiuit panem e-
dere. Et apposuerunt ei
panem, & edit. Et dixe-
runt pueri eius ad eum,
Quod uerbum hoc, quod
fecisti propter puellum?
Quod adhuc uiuente plo
rabas, & ieiunabas, & ui-
gilabas, & quādo mortu9
est puer, surrexisti, et edisti

panem, & bibisti? Et
dixit Dauid, Cum puel-
lus adhuc uiueret, ieiuna-
ui, & fleui, quia dixi,
Quis nouit, si miserebitur
mei dominus, & uiuet pu
ellus. Et nunc mortuus
est, quare hoc ego ieiuna
bo? Num potero conuer-
tere eum adhuc? Quod e-
go uadam ad eum, & ip-
se non reuertetur ad me.
Et consolatus est Dauid
Bersabee uxorem suam,
& ingressus est ad eam,
& dormiuit cum ea, &
concepit, & peperit fi-
lium, & uocauit nomen
eius Salomon. Et do-
minus dilexit eum, & di-
misit in manu Nathan
prophetæ, & uocauit no-
1.Par.3 men eius Ieddedi in ser-
Mat.1 mone domini. Et Ioab
belligerauit in Rabbath
filiorum Ammon, & occu
pauit urbem regni. Et mi
sit Ioab nuncios ad Da-
uid, & dixit, Belligeraui
in Rabbath, & occupaui
urbem Aquarum. Et nūc
congrega reliquum popu
li, & castra fige ad ciui-
tatem, & præoccupa e-
am, ut non præoccupem
ego urbem, & uocetur
nomen meum super eam.
Et congregauit Dauid o-
mnem populum, & profe
ctus est in Rabbath, &
belligerauit in ea, & præ
occupauit eā. Et tulit co-
ronā Molchō regis eorū, à
capite eiꝰ, et pōdus eiꝰ talē
tum

ἄρτον, καὶ πέπωκας. καὶ εἶπεν δαβίδ,
ἐν τῷ τὸ παιδάριον ἔτι ζῆν ἐνήστευ-
σα, καὶ ἔκλαυσα, ὅτι εἶπα, τίς οἶδεν,
εἰ ἐλεήσει με κύριος, καὶ ζήσεται τὸ
παιδάριον. καὶ νῦν τέθνηκεν, ἵνα τί
τοῦτο ἐγὼ νηστεύω; μὴ δυνήσομαι ἐ-
πιστρέψαι αὐτὸν ἔτι; ὅτι ἐγὼ πορεύ-
σομαι πρὸς αὐτὸν, καὶ αὐτὸς οὐκ ἀνα-
στρέψει πρός με. καὶ παρεκάλεσε δα-
βὶδ τὴν βηρσαβεὲ γυναῖκα αὐτοῦ, καὶ
εἰσῆλθε πρὸς αὐτὴν, καὶ ἐκοιμήθη
μετ' αὐτῆς, καὶ συνέλαβε, καὶ ἔτεκεν
υἱὸν, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ σαλο-
μών. καὶ κύριος ἠγάπησεν αὐτὸν,
καὶ ἀπέστειλεν ἐν χειρὶ νάθαν τοῦ
προφήτου, καὶ ἐκάλεσε τὸ ὄνομα αὐ-
τοῦ ἰεδδεδὶ ἐν λόγῳ κυρίου. καὶ ἐ-
πολέμησεν ἰωὰβ ἐν ῥαββὰθ υἱῶν
ἀμμὼν, καὶ κατελάβετο τὴν πό-
λιν τῆς βασιλείας. καὶ ἀπέστειλεν
ἰωὰβ ἀγγέλους πρὸς δαβίδ, καὶ εἶ-
πεν, ἐπολέμησα ἐν ῥαββὰθ, καὶ κατε-
λαβόμην τὴν πόλιν τῶν ὑδάτων. καὶ
νῦν σύναγε τὸ κατάλοιπον τοῦ
λαοῦ, καὶ παρέμβαλε ἐπὶ τὴν πόλιν,
καὶ προκαταλαβοῦ αὐτὴν, ἵνα μὴ προ-
καταλάβωμαι ἐγὼ τὴν πόλιν, καὶ
κληθῇ τὸ ὄνομά μου ἐπ' αὐτήν. καὶ συ-
νήγαγε δαβὶδ πάντα τὸν λαὸν, καὶ
ἐπορεύθη εἰς ῥαββὰθ, καὶ ἐπολέμησεν
ἐν αὐτῇ, καὶ κατελάβετο αὐτήν. καὶ
ἔλαβε τὸν στέφανον μελχὸμ τοῦ βα-
σιλέως αὐτῶν, ἀπὸ τῆς κεφαλῆς
αὐτοῦ, καὶ ὁ σταθμὸς αὐτοῦ τάλαν-
τον

τὸν χρυσίου, καὶ λίθου τιμίου, καὶ ἦν ἐπὶ τῆς κεφαλῆς δαβίδ, καὶ σκῦλα τῆς πόλεως ἐξήνεγκε πολλὰ σφόδρα. καὶ τὸν λαὸν τὸν ὄντα ἐν αὐτῇ ἐξήγαγε, καὶ ἔθηκεν ἐν τῷ πρίονι, καὶ ἐν τοῖς τριβόλοις τοῖς σιδηροῖς, καὶ ὑποτομεῦσι σιδηροῖς, καὶ διήγαγεν αὐτοὺς διὰ τοῦ πλινθίου. καὶ οὕτως ἐποίησε πάσαις ταῖς πόλεσιν υἱῶν ἀμμὼν, καὶ ἀνέστρεψε δαβὶδ καὶ πᾶς ἰσραὴλ εἰς ἱερουσαλήμ.

Καὶ ἐγενήθη μετὰ ταῦτα, καὶ τῷ ἀβεσσαλὼμ υἱῷ δαβὶδ ἦν ἀδελφὴ καλὴ τῷ εἴδει σφόδρα, καὶ ὄνομα αὐτῇ θημὰρ, καὶ ἠγάπησεν αὐτὴν ἀμνὼν, υἱὸς δαβίδ. καὶ ἐθλίβετο ἀμνὼν, ὥστε ἀρρωστεῖν σφόδρα διὰ θημὰρ τὴν ἀδελφὴν αὐτοῦ, ὅτι παρθένος ἦν αὕτη, καὶ ὑπέρογκον ἐν ὀφθαλμοῖς ἀμνὼν τοῦ ποιῆσαί τι αὐτῇ. καὶ ἦν τῷ ἀμνὼν ἑταῖρος, καὶ ὄνομα αὐτῷ ἰωναδὰβ, υἱὸς σαμαὰ τοῦ ἀδελφοῦ δαβίδ. καὶ ἰωναδὰβ ἀνὴρ σοφὸς σφόδρα, καὶ εἶπεν αὐτῷ, τί σοι, ὅτι οὕτως ἀσθενὴς υἱὲ τοῦ βασιλέως τὸ πρωῒ πρωΐ, οὐκ ἀπαγγελεῖς μοι; καὶ εἶπεν αὐτῷ ἀμνὼν, θημὰρ τὴν ἀδελφὴν ἀβεσσαλὼμ τοῦ ἀδελφοῦ μου ἐγὼ ἀγαπῶ. καὶ εἶπεν αὐτῷ ἰωναδὰβ, κοιμήθητι ἐπὶ τῆς κοίτης σου, καὶ μαλακίσθητι, καὶ εἰσελεύσεται ὁ πατήρ σου ἰδεῖν σε, καὶ ἐρεῖς πρὸς αὐτὸν, ἐλθέτω δὴ θημὰρ ἡ ἀδελφή μου,

καὶ

tum auri, & lapidis preciosi, & erat super caput Dauid, & spolia ciuitatis abstulit multa ualde. Et populum qui in ea eduxit, & posuit in serra & in tribulis ferreis & ascijs ferreis, & traduxit eos per laterem. Et sic faciebat omnibus ciuitatibus filiorum Ammon, & reuersus est Dauid, & omnis Israel in Hierusalem.

Cap. XIII

Et factum est post hæc, & Abessalom filio Dauid erat soror pulchra forma ualde, & nomen ei Themar, & amauit eam Amnon filius Dauid. Et affligebatur Amnon adeo, ut male ualeret ualde propter Themar sororem suam, quia uirgo erat ipsa, & per difficile in oculis Amnon ut faceret aliquid ei. Et erat Amnon socius, & nomen ei Ionadab, filius Samaa fratris Dauid. Et Ionadab prudens ualde, & dixit ei, Quid tibi, quod sic male uales fili regis mane mane, non renuncias mihi? Et dixit ei Amnon, Themar sororem Abessalom fratris mei ego amo. Et dixit ei Ionadab, Cuba in lecto tuo, & ægrota. Et ingredietur pater tuus uidere te, & dices ad eũ, Veniat iã Themar soror mea

& cibet me, & faciat ad oculos meos duas collyridas, ut uideam, & edam ex manibus eius. Et dormiuit Amnon & male ualuit. Et ingressus est rex uidere eum, & dixit Amnon ad regem, Veniat iam Themar soror mea ad me, & faciat collyridas in oculis meis duas collyridas, & edam de manu eius. Et misit Dauid ad Themar, dicens, Vade in domum Amnon fratris tui, & fac ei cibum. Et iuit Themar in domum Amnon fratris sui, & ipse dormiens, & accepit farinam, & commiscuit, & fecit collyridas ad oculos eius, & coxit collyridas. Et accepit patinam, in quam effundunt, & euacuauit coram eo, & non uoluit edere. Et dixit Amnon, Educite omnem uirum superne à me. Et eduxerunt omnem uirum superne ab eo. Et dixit Amnon ad Themar, Infer mihi cibum in conclaue, & edam de manu tua. Et accepit Themar collyridas, quas fecit, & intulit Amnon fratri suo in conclaue, & obtulit ei ut ederet. Et apprehendit eam, & dixit ei, Age, cubа

è templo sancto eius uocem meam, & clamor meus in auribus eius. Et turbata est, & commota est terra, & fundamenta cœli conturbata sunt, & concussa sunt, quoniam iratus est dominus eis. Et ascendit fumus in ira eius, & ignis ex ore eius deuorat, carbones exusti sunt ab eo. Et inclinauit cœlos, et descendit, & caligo sub pedibus eius. Et insedit in Cherubim, & uolauit, & uisus est super pennas uentorum. Et posuit tenebras latibulum suum, in circuitu suo tabernaculum suũ, tenebræ aquarum densæ fuerunt in nubibus aeris. A lumine coram eo exusti sunt carbones ignis. Et intonuit è cœlo dominus & altissimus dedit uocem suam, & emisit sagittas, & dissipauit eos. Et fulgurauit fulgur, & exterruit eos, et uisæ sunt emissiones maris. Et retecta sunt fundamenta orbis in increpatione domini, à spiratione spiritus furoris eius. Et emisit de altitudine, & assumpsit me, traxit me de aquis multis. Liberauit me de robore inimicorum meorũ, de odio prosequẽtib. me, qm̃ roborati sunt supra me. Præuenerũt me in die afflictionis meæ, & fuit dñs firmamẽtũ meũ et eduxit me in latitudinẽ. Et eripuit me, qđ bñ placuit

ἐκ ναοῦ ἁγίου αὐτοῦ φωνῆς μου, καὶ ἡ
κραυγή μου ἐν τοῖς ὠσὶν αὐτοῦ. καὶ
ἐταράχθη, καὶ ἐσείσθη ἡ γῆ, καὶ τὰ
θεμέλια τοῦ οὐρανοῦ συνεταράχθησαν,
καὶ ἐσπαράχθησαν, ὅτι ἐθυμώθη κύριος
αὐτοῖς. καὶ ἀνέβη καπνὸς ἐν ὀργῇ
αὐτοῦ, καὶ πῦρ ἐκ στόματος αὐτοῦ κατέ-
δεται, ἄνθρακες ἐξεκαύθησαν ἀπ' αὐ-
τοῦ. καὶ ἔκλινεν οὐρανούς, καὶ κατέβη, καὶ
γνόφος ὑπὸ κάτω τῶν ποδῶν αὐτοῦ.
καὶ ἐπεκάθισεν ἐπὶ τῶν χερουβίμ, καὶ
ἐπετάσθη, καὶ ὤφθη ἐπὶ πτερύγων
ἀνέμων. καὶ ἔθετο σκότος ἀποκρυ-
φὴν αὐτοῦ, κύκλῳ αὐτοῦ ἡ σκηνὴ
αὐτοῦ, σκότος ὑδάτων ἐπάχυνεν ἐν
νεφέλαις ἀέρων. ἀπὸ τοῦ φέγγους ἐν-
αντίον αὐτοῦ ἐξεκαύθησαν ἄνθρα-
κες πυρός. καὶ ἐβρόντησεν ἐξ οὐρα-
νοῦ ὁ κύριος, καὶ ὁ ὕψιστος ἔδωκε
φωνὴν αὐτοῦ, καὶ ἀπέστειλε βέλη,
καὶ διεσκόρπισεν αὐτούς. καὶ ἤστρα-
ψεν ἀστραπήν, καὶ ἐξέστησεν αὐτούς,
καὶ ὤφθησαν ἀφέσεις θαλάσσης. καὶ
ἀπεκαλύφθη θεμέλια τῆς οἰκουμένης
ἐν τῇ ἐπιτιμήσει κυρίου, ἀπὸ πνοῆς
πνεύματος θυμοῦ αὐτοῦ. καὶ ἐξα-
πέστειλεν ἐξ ὕψους, καὶ ἔλαβέ με, εἵλ-
κυσέ με ἐξ ὑδάτων πολλῶν, ἐρρύσα-
τό με ἐξ ἰσχύος ἐχθρῶν μου, ἐκ τῶν μι-
σούντων με, ὅτι ἐκραταιώθησαν ὑπὲρ
ἐμέ. προέφθασάν με ἐν ἡμέρᾳ θλί-
ψεώς μου, καὶ ἐγένετο κύριος ἀντιστή-
ριγμά μου, καὶ ἐξήγαγέ με εἰς πλα-
τυσμόν, καὶ ἐξείλετό με, ὅτι ηὐδόκησεν

ἐν ἐμοί. καὶ ἀνταπέδωκέ μοι κύριος κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἀνταποδώσει μοι. ὅτι ἐφύλαξα τὰς ὁδοὺς κυρίου, καὶ οὐκ ἠσέβησα ἀπὸ τοῦ θεοῦ μου. ὅτι πάντα τὰ κρίματα αὐτοῦ κατεναντίον μου, καὶ τὰ δικαιώματα αὐτοῦ οὐκ ἀπέστησαν ἀπ' ἐμοῦ. καὶ ἔσομαι ἄμωμος αὐτῷ, καὶ προφυλάξομαι ἀπὸ τῆς ἀνομίας μου. καὶ ἀνταποδώσει μοι κύριος κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ. μετὰ ὁσίου ὁσιωθήσῃ, καὶ μετὰ ἀνδρὸς τελείου τέλειος ἔσῃ. καὶ μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ, καὶ μετὰ στρεβλοῦ στρεβλωθήσῃ. καὶ τὸν λαὸν τὸν πτωχὸν σώσεις, καὶ ὀφθαλμοὺς ὑπερηφάνων ταπεινώσεις. ὅτι σὺ φωτιεῖς λύχνον μου κύριε, καὶ ὁ κύριος ἐκλάμψει μοι τὸ σκότος μου. ὅτι ἐν σοὶ δραμοῦμαι μονόζωνος, καὶ ἐν τῷ θεῷ μου ὑπερβήσομαι τεῖχος. ὁ ἰσχυρός, ἄμωμος ἡ ὁδὸς αὐτοῦ. τὸ ῥῆμα κυρίου πεπυρωμένον, ὑπερασπιστής ἐστι πᾶσι τοῖς πεποιθόσιν ἐπ' αὐτόν. ὅτι τίς ἰσχυρὸς πλὴν τοῦ κυρίου; καὶ τίς κτίστης πλὴν τοῦ θεοῦ ἡμῶν; ὁ ἰσχυρὸς ὁ κραταιῶν με δυνάμει, καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου, τιθεὶς τοὺς πόδας μου ὡσεὶ ἐλάφων, καὶ ἐπὶ τὰ ὑψηλὰ ἱστῶν με, ὁ διδάσκων χεῖράς μου εἰς πόλεμον, καὶ κατάξας τόξον χαλκοῦν

ἐν

in me. Et retribuit mihi dominus secundum iustitiam meam, & secundum mundiciem manuum mearum reddet mihi. Quia custodiui uias domini, & nō impiè egi à deo meo. Quoniam omnia iudicia eius coram me, & sanctiones eius non destiterunt à me. Et ero immaculatus ei, & præseruabor ab iniquitate mea. Et reddet mihi dominus secundum iustitiam meam, & secundū puritatem manuum mearum coram oculis eius. Cum sancto sanctus eris, & cum uiro perfecto perfectus eris. Et cum electo electus eris, & cum peruerso peruerteris. Et populum mendicum saluabis, & oculos superborū humiliabis. Quoniam tu illuminabis lucernam meam domine, et dominus illustrabit mihi tenebras meas. Quod in te curram accinctus, & in deo meo transcendam murum. Fortis, sine uitio uia eius. Verbum domini ignitum, propugnator est omnibus cōfisis in eum. Quia quis fortis præter dominum? Et quis conditor præter deū nostrum? Fortis roborans me potentia, & posuit sine uitio uiam meam, ponens pedes meos uelut ceruorū, et in alta statuēs me, docēs manus meas ad bellū & cōfringēs arcū æreū

in

in brachio meo. Et dedisti mihi defensionẽ salutis meę, & obediẽtia tua multiplicauit me. Dilatas trãsit⁹ meos subtus me, et nõ quassata sunt crura mea. Persequar inimicos meos & conterã eos, & non reuertar, donec cõficiã eos. Et frangã eos, & nõ consurgẽt, & cadent sub pedibus meis. Et corroborasti me potentia in bellum, flectes insurgentes in me, sub me. Et hostes meos dedisti mihi tergum, odio persequentes me, & occidisti eos. Clamabãt, & non est auxilians apud dñm, & nõ exaudiuit eos. Et minui eos ut puluerẽ terræ, ut lutũ egressuũ extenuaui eos. Et liberabis me ex gladio populorũ, custodies me in caput gentiũ. Populus quẽ nõ cognoui, seruiuit mihi, in auditũ auris obediuit mihi. Filii alieni mẽtiti sunt mihi, filii alieni abiiciẽtur, & offendent ex cõclusionib. eorũ. Viuit dñs, et bñdictus custos meus, & exaltabitur de⁹ meus, custos salutis meæ. Fortis dñs dans uindictas mihi, & erudiẽs populos subtus me, & educens me ex hostibus meis. Et ex insurgẽtibus cõtra me exaltabis me, è uiris iniquitatũ liberabis me. Propter hoc cõfitebor tibi dñe, in gẽtib⁹ dñe, & nomini tuo cãtabo, magnificãs salutes

regis

ἐν βραχίονί μου. καὶ ἔδωκάς μοι ὑπερασπισμὸν σωτηρίας μου, καὶ ὑπακοή σου ἐπλήθυνέ με. πλατυνεῖς τὰ διαβήματά μου ὑποκάτω μου, καὶ οὐκ ἐσαλεύθησαν τὰ σκέλη μου. διώξω ἐχθρούς μου, καὶ ἀφανιῶ αὐτούς, καὶ οὐκ ἀποστρέψω, ἕως ἂν συντελέσω αὐτούς. καὶ θλάσω αὐτούς, καὶ οὐκ ἀναστήσονται, καὶ πεσοῦνται ὑπὸ τοὺς πόδας μου. καὶ ἐνισχύσεις με δυνάμει εἰς πόλεμον, κάμψεις τοὺς ἐπανισταμένους ἐπ' ἐμὲ ὑποκάτω μου. καὶ τοὺς ἐχθρούς μου ἔδωκάς μοι νῶτον, τοὺς μισοῦντάς με, καὶ ἐθανάτωσας αὐτούς. βοήσονται, καὶ οὐκ ἔστι βοηθῶν πρὸς κύριον, καὶ οὐκ ἐπήκουσεν αὐτῶν. καὶ ἐλέανα αὐτούς, ὡς χοῦν γῆς, ὡς πηλὸν ἐξόδων ἐλέπτυνα αὐτούς. καὶ ῥύσῃ με ἐκ μαχαίρας λαῶν, φυλάξῃ με εἰς κεφαλὴν ἐθνῶν. λαὸς ὃν οὐκ ἔγνων, ἐδούλευσέ μοι, εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου. υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι, υἱοὶ ἀλλότριοι ἀπορριφήσονται, καὶ σφαλοῦσιν ἐκ τῶν συγκλεισμῶν αὐτῶν. ζῇ κύριος, καὶ εὐλογητὸς ὁ φύλαξ μου, καὶ ὑψωθήσεται ὁ θεός μου, ὁ φύλαξ τῆς σωτηρίας μου. ἰσχυρὸς κύριος ὁ διδοὺς ἐκδικήσεις ἐμοί, καὶ παιδεύων λαοὺς ὑποκάτω μου, καὶ ἐξαγαγών με ἐξ ἐχθρῶν μου. καὶ ἐκ τῶν ἐπεγειρομένων ἐπ' ἐμὲ ὑψώσεις με, ἐξ ἀνδρῶν ἀδικημάτων ῥύσῃ με. διὰ τοῦτο ἐξομολογήσομαί σοι κύριε, ἐν ἔθνεσι κύριε, καὶ τῷ ὀνόματί σου ψαλῶ, μεγαλύνων τὰς σωτηρίας

τοῦ βα-

τῷ βασιλέως αὐτοῦ, καὶ ποιῶν ἔλεος τῷ χριστῷ αὐτοῦ τῷ δαβίδ, καὶ τῷ σπέρματι αὐτοῦ, ἕως αἰῶνος.

Καὶ οὗτοι οἱ λόγοι δαβίδ οἱ ἔσχατοι. πιστὸς δαβίδ υἱὸς ἰεσσαί, καὶ πιστὸς ἀνὴρ, ὃν ἀνέστησε κύριος ἐπὶ χριστὸν θεοῦ ἰακώβ, καὶ εὐπρεπεῖς ψαλμοὶ ἰσραήλ. καὶ πνεῦμα κυρίου ἐλάλησεν ἐν ἐμοί, καὶ ὁ λόγος αὐτοῦ ἐπὶ γλώσσης μου. λέγει ὁ θεὸς ἰσραήλ, ἐμοὶ ἐλάλησε φύλαξ ἰσραὴλ παραβολήν. εἶπον, ἐν ἀνθρώποις πῶς κραταιώσητε φόβον θεοῦ; καὶ ἐν φωτὶ θεοῦ πρωίας, καὶ ἀνατείλαι ὁ ἥλιος τὸ πρωί. οὐ παρῆλθεν ἐκ φέγγους, καὶ ὡς ἐξ ὑετοῦ χλόης ἀπὸ γῆς. οὐ γὰρ οὕτως ὁ οἶκός μου μετὰ ἰσχυροῦ. διαθήκην γὰρ αἰώνιον ἔθετό μοι ἑτοίμην, ἐν παντὶ καιρῷ πεφυλαγμένην. ὅτι πᾶσα σωτηρία μου καὶ πᾶν θέλημα ἐν κυρίῳ. ὅτι οὐ μὴ βλαστήσῃ ὁ παράνομος, ὥσπερ ἄκανθα ἐξωσμένη πάντες οὗτοι. ὅτι οὐ χειρὶ ληφθήσονται, καὶ ἀνὴρ οὐ κοπιάσει ἐν ὀφθαλμοῖς. καὶ πλῆθος σιδήρου, καὶ ξύλον δόρατος, καὶ ἐν πυρὶ καύσει, καὶ καυθήσονται εἰς αἰσχύνην αὐτῶν. ταῦτα τὰ ὀνόματα τῶν δυνατῶν τοῦ δαβίδ. ἰεβοσθαὶ ὁ χαναναῖος ἄρχων τῶν τρίτων ἐστίν. ἀδινὼν ὁ ἀσωναῖος, οὗτος ἐσπάσατο τὴν ῥομφαίαν αὐτοῦ ἐπὶ ὀκτακοσίους τραυματίας εἰσάπαξ. καὶ μετ' αὐτὸν ἐλεανὰν υἱὸς πατραδέλφου αὐτοῦ, ἐν τοῖς τρισὶ δυνατοῖς ἀδελφοῖς. οὗτος ἦν μετὰ δαβίδ ἐν σερρὰν, ἐν τῷ ὀνειδίσαι αὐτὸν ἐν τοῖς ἀλλο-

regis sui, & facies misericordiam Christo eius Dauid, & semini eius, usque in æternum.

Cap. XXIII

Et hi sermões Dauid ultimi. Fidelis Dauid filius Iessæ, & fidelis uir, quẽ suscitauit dñs ad Christũ dei Iacob, & decẽtes cãtus Israel. Et spiritus dñi locutus est in me, & sermo ei⁹ in lingua mea. Dixit deus Israel, mihi locutus, est custos Israel cõparationẽ. Dixi, In hominibus quomodo tenueritis timorẽ dei? Et in lumine dei mane, et oriaẽ sol mane. Nõ prçteriit ex lumine, & tanquã ex pluuia herbæ à terra. Nõ enim sic domus mea cũ forti. Fœdus enim ęter nũ posuit mihi paratum, in oĩ tẽpore custoditũ. Qm̃ omnis salus mea, & omnis uolũtas in dño. Quoniam nõ mihi germinabit præuaricator, quasi spina stricta, oẽs isti. Qm̃ nõ manu capiẽtur, & uir nõ laborabit in oculis. Et multitudo ferri, & lignũ hastæ, & in igne uret, & uiẽtur in pudorẽ eorũ. Hæc nomina potentiũ Dauid. Ieboslthę Chananæus, princeps tertii est. Adinon Asonæus, hic extraxit gladiũ eius in octingẽtos uulneratos simul. Et post eum Eleanan filius patrui eius, in tribus potentib. fratribus. Hic erat cũ Dauid in Serrhã cũ exprobrauit ipse in alie-

alienigenis. Et alienigenæ congregati sunt ibi in bellum. & exclamauit uir Israel ante faciem eius, & ipse surrexit, & percussit in alienigenis, donec laborauit manus eius, & adiūcta est manus eius ad gladium. Et fecit dominus salutem magnam in die illa, & populus reuersus est post eum, sed ad exspoliādum. Et post eum Samaia, filius Asa Arucæus. Et congregati sunt alienigenę in feras, & erat ibi pars agri plena lente. Et populus fugit de facie alienigenarum, & firmatus est in medio partis. Et eripuit eam, & percussit alienigenas, & fecit dominus salutem magnam. Et descenderunt tres ex triginta principes, & uenerunt in Casoa, ad Dauid, in speluncam Odollam. Et agmen alienigenarum castra fixit in ualle Raphaim. Et Dauid tunc in præsidio, & statio alienigenarum tunc in Bethleem.

Et desiderauit Dauid, & dixit, Quis potabit me aqua ex puteo, qui in Bethleem, qui in porta? Statio uero alienigenarum tunc in Bethleem. Et perruperunt tres potentes castra alienigenarum, & hauserūt aquā è puteo, qui in Bethleē, qui in porta, & ceperūt, & aduenerūt ad

ἀλλοφύλοις. καὶ οἱ ἀλλόφυλοι συνήχθησαν ἐκεῖ εἰς πόλεμον, καὶ ἀνεβόησεν ἀνὴρ ἰσραὴλ πρὸ προσώπου αὐτοῦ, καὶ αὐτὸς ἀνέστη, καὶ ἐπάταξεν ἐν τοῖς ἀλλοφύλοις, ἕως οὗ ἐκοπίασεν ἡ χεὶρ αὐτοῦ, καὶ προσεκολλήθη ἡ χεὶρ αὐτοῦ πρὸς τὴν μάχαιραν. καὶ ἐποίησε κύριος σωτηρίαν μεγάλην ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ὁ λαὸς ἐπέστρεψεν ὀπίσω αὐτοῦ, πλὴν ἐκδιδύσκειν. καὶ μετ᾽ αὐτὸν σαμαία, υἱὸς ἄσα ὁ ἀρουκαῖος. καὶ συνήχθησαν οἱ ἀλλόφυλοι εἰς θηρία, καὶ ἦν ἐκεῖ μερὶς ἀγροῦ πλήρης φακοῦ, καὶ ὁ λαὸς ἔφυγεν ἐκ προσώπου ἀλλοφύλων, καὶ ἐστηλώθη ἐν μέσῳ τῆς μερίδος. καὶ ἐξείλετο αὐτὴν, καὶ ἐπάταξε τοὺς ἀλλοφύλους, καὶ ἐποίησε κύριος σωτηρίαν μεγάλην. καὶ κατέβησαν τρεῖς ἀπὸ τῶν τριάκοντα ἀρχόντων, καὶ ἦλθον εἰς κασωὰ πρὸς δαβὶδ, εἰς τὸ σπήλαιον ὀδολλάμ. καὶ τάγμα τῶν ἀλλοφύλων παρενέβαλεν ἐν τῇ κοιλάδι ῥαφαΐμ. καὶ δαβὶδ τότε ἐν τῇ περιοχῇ, καὶ τὸ ὑπόστημα τῶν ἀλλοφύλων τότε ἐν βεθλεέμ. καὶ ἐπεθύμησε δαβὶδ, καὶ εἶπε, τίς ποτιεῖ με ὕδωρ ἐκ τοῦ λάκκου τοῦ ἐν βηθλεὲμ τοῦ ἐν τῇ πύλῃ; τὸ δὲ σύστημα τῶν ἀλλοφύλων τότε ἐν βηθλεέμ. καὶ διέῤῥηξαν οἱ τρεῖς δυνατοὶ τὴν παρεμβολὴν τῶν ἀλλοφύλων, καὶ ὑδρεύσαντο ὕδωρ ἐκ τοῦ λάκκου τοῦ ἐν βηθλεὲμ τοῦ ἐν τῇ πύλῃ, καὶ ἔλαβον, καὶ παρεγένοντο πρὸς

πρὸς δαβίδ. καὶ οὐκ ἠθέλησε πιεῖν αὐτὸ, καὶ ἔσπεισεν αὐτὸ τῷ κυρίῳ. καὶ εἶπε, ἵλεώς μοι κύριε τοῦ ποιῆσαι τοῦτο, εἰ αἷμα τῶν ἀνδρῶν τῶν πορευθέντων ἐν ταῖς ψυχαῖς αὐτῶν πίομαι, καὶ οὐκ ἠθέλησε πιεῖν αὐτό. ταῦτα ἐποίησαν οἱ τρεῖς δυνατοί. καὶ ἀβεσσὰ ὁ ἀδελφὸς ἰωὰβ υἱὸς σαρουία, οὗτος ἄρχων ἐν τοῖς τρισί. καὶ οὗτος ἐξήγειρε τὸ δόρυ αὐτοῦ ἐπὶ τριακοσίους τραυματίας. καὶ αὐτῷ ὄνομα ἐν τοῖς τρισίν, ἐκ τῶν τριῶν ἐκείνων ἔνδοξος, καὶ ἐγένετο αὐτοῖς εἰς ἄρχοντα, καὶ ἕως τῶν τριῶν οὐκ ἦλθε. καὶ βαναίας υἱὸς ἰωδαὲ, ἀνὴρ οὗτος πολλοστὸς ἔργοις ἀπὸ καβασαὴλ. καὶ οὗτος ἐπάταξε τοὺς δύο υἱοὺς ἀριὴλ τοῦ μωάβ. καὶ αὐτὸς κατέβη, καὶ ἐπάταξε τὸν λέοντα ἐν μέσῳ τοῦ λάκκου, ἐν τῇ ἡμέρᾳ τῆς χιόνος, καὶ αὐτὸς ἐπάταξε τὸν ἄνδρα τὸν αἰγύπτιον, ἄνδρα ὁρατόν. ἐν δὲ τῇ χειρὶ τοῦ αἰγυπτίου δόρυ, ὡς ξύλον διαβάθρας, καὶ κατέβη πρὸς αὐτὸν ἐν ῥάβδῳ, καὶ ἥρπασε τὸ δόρυ ἐκ τῆς χειρὸς τοῦ αἰγυπτίου, καὶ ἀπέκτεινεν αὐτὸν ἐν τῷ δόρατι αὐτοῦ. ταῦτα ἐποίησε βαναίας υἱὸς ἰωδαὲ, καὶ αὐτῷ ὄνομα ἐν τοῖς τρισὶν δυνατοῖς, ἐκ τῶν τριῶν ἔνδοξος, καὶ πρὸς τοὺς τρεῖς οὐκ ἦλθε, καὶ ἔταξεν αὐτὸν δαβὶδ πρὸς τὰς ἀκοὰς αὐτοῦ. καὶ τὰ ὀνόματα τῶν δυνατῶν δαβὶδ τοῦ βασιλέως, ἀσαὴλ ἀδελφὸς ἰωὰβ, οὗτος ἐν

τοῖς

ad Dauid. Et non uoluit Dauid bibere illam, & libauit eam domino. Et dixit, Propitius mihi domine, ut faciam hoc, si sanguinem uirorum, qui profecti sunt in animabus suis, bibam, et non uoluit bibere eam. Hæc fecerunt tres potentes. Et Abessa frater Ioab filius Saruiæ. hic princeps in tribus. Et hic excitauit hastam suam contra trecentos uulneratos. Et ei nomen in tribus, ex tribus illis Gloriosus, & erat eis in principem, & usq; ad tres non uenit. Et Banaias filius Iodae, uir hic multus operibus à Cabasael. Et hic percussit duos filios Ariel Moab. Et hic descendit, & percussit leonem in medio lacus, in die niuis. Et hic percussit uirum Aegyptium, uirum spectatum. In manu uero Aegyptii hasta, ut lignum scalæ nauticæ, & descendit ad eum in uirga, & rapuit hastam è manu Aegyptii, & interfecit eum in hasta eius. Hæc fecit Banaias filius Iodae, & ei nomen in tribus potentibus, ex tribus Gloriosus, & ad tres non uenit, & ordinauit eum Dauid ad auditiones eius. Et nomina potentiũ Dauid regis, Asael frater Ioab, hic in

 ter

ter triginta. Eleanã filius patrui eius de Bethleẽ, Semoth Arodi, Chelles Chelothi, Hira filius Ecces Thecoites, Abiezer Anathothites, Sabuchai Asothites, Hellon Alonites, Moee Netophathites, Hele filius Baanna Netophathites, Etthi filius Riba ex Gabaa Beniamin, Banaias Pharathonites, Vri ex Nalaligaias, Ariel filius Arabothitæ, Zaor Barsamites, Eleasa filius Olabonites, Basai filius Goyni, Ionathan filius Sama Arorites, Achian filius Arata Arathurites, Eliphalath filius Maachi, Eliab filius Achitophel Gelonitæ, Asarai Carmelius, Vrẽ, filius Asbi, Egalla filius Nathã, & Baan filius Agarin, Ellich Ammanites, Gelore Berothæus, gestans arma Ioab filii Saruia, Iras Eththiræus, & Vrias Getthæus. Omnes triginta & septem.

Cap. XXIIII. 1. Par. 21. Et addidit iram dominus accendere in Israel, et incitauit Dauid in eis, dicens, Vade, & numera Israel & Iudam. Et dixit rex ad Ioab principẽ exercitus qui cum eo, Perambula iam omnes tribus Israel & Iuda, à Dan & usque ad Bersabee, & recẽse populum, & cognoscam numerum populi. Et dixit Ioab ad regẽ, Et adiun-

τοῖς τριάκοντα. ἐλεανὰν ὑὸς πατραδέλφου αὐτοῦ ἐκ βηθλεέμ. σεμὰθ ὁ ἀρωδὶ, χελλὴς ὁ χελωθὶ, ἰρὰ ὑὸς ἐκκὴς ὁ θεκωίτης, ἀβιέζερ ὁ ἀναθωθίτης, σαβουχαὶ ὁ ἀσωθίτης, ἐλλὼν ὁ ἀλωνίτης, μοεὶ ὁ νετωφαθίτης, ἐλὴ ὑὸς βαανὰ ὁ νετωφαθίτης, ἐθθὶ ὑὸς ῥιβὰ ἐκ γαβαὰ βενιαμὶν, βαναίας ὁ φαραθωνίτης, οὐρὶ ἐκ ναλαλιγαίας, ἀριὴλ ὑὸς τοῦ ἀραβωθίτου, ζαὼρ ὁ βαρσαμίτης, ἐλιασὰ ὑὸς ὀλαβονίτης, βασαὶ ὁ γωυνὶ, ἰωνάθαν ὑὸς σαμὰ ὁ ἀρωρίτης, ἀχιὰν ὑὸς ἀρατὰ ὁ ἀραθουρίτης, ἐλιφαλὰθ ὑὸς τοῦ μααχὶ, ἐλιὰβ ὑὸς ἀχιτόφελ τοῦ γελωνίτου, ἀσαραὶ ὁ καρμήλιος τοῦ οὐρὲμ ὑὸς ἀσβὶ, ἠγάλλα ὑὸς νάθαν, καὶ βαὰν ὑὸς ἀγαρὶμ, ἐλλὶχ ὁ ἀμμανίτης, γελωρὲ ὁ βηρωθαῖος ὁ αἴρων τὰ σκεύη ἰωὰβ ὑοῦ σαρουΐα, ἰρας ὁ ἐθθιραῖος, καὶ οὐρίας ὁ γεθθαῖος. οἱ πάντες, τριάκοντα καὶ ἑπτά.

Καὶ προσέθετο ὀργὴν κύριος ἐκκαῦσαι ἐν ἰσραὴλ, καὶ ἐπέσεισε τὸν δαβὶδ ἐν αὐτοῖς, λέγων, πορεύθητι, καὶ ἀρίθμησον τὸν ἰσραὴλ καὶ τὸν ἰούδαν. καὶ εἶπεν ὁ βασιλεὺς πρὸς ἰωὰβ ἄρχοντα τῆς ἰσχύος, τὸν μετ' αὐτοῦ, διέλθε δὴ πάσας τὰς φυλὰς ἰσραὴλ καὶ ἰούδα, ἀπὸ δὰν καὶ ἕως βηρσαβεὲ, καὶ ἐπίσκεψαι τὸν λαὸν, καὶ γνώσομαι τὸν ἀριθμὸν τοῦ λαοῦ. καὶ εἶπεν ἰωὰβ πρὸς τὸν βασιλέα, καὶ προσ-

προσθήσει κύριος ὁ θεός σου πρὸς
τὸν λαόν σου, ὥσπερ αὐτοὺς, ἑκατον-
ταπλάσιον, καὶ οἱ ὀφθαλμοὶ τοῦ κυ-
ρίου μου τοῦ βασιλέως ὁρῶντες. καὶ
ὁ κύριός μου ὁ βασιλεὺς ἵνα τί βού-
λεται ἐν τῷ λόγῳ τούτῳ; καὶ ὑπερί-
σχυσεν ὁ λόγος τοῦ βασιλέως πρὸς
ἰωὰβ καὶ πρὸς τοὺς ἄρχοντας τῆς δυνά-
μεως. καὶ ἐξῆλθεν ἰωὰβ, καὶ οἱ ἄρ-
χοντες τῆς δυνάμεως ἐνώπιον τοῦ βα-
σιλέως, ἐπισκέψασθαι τὸν λαὸν τὸν
ἰσραήλ. καὶ διέβησαν τὸν ἰορδάν-
ην, καὶ παρενέβαλον ἐν ἀροὴρ ἐκ
δεξιῶν τῆς πόλεως, τῆς ἐν μέσῳ τῆς
φάραγγος γὰδ καὶ ἐλιέζερ, καὶ ἦλ-
θον εἰς γαλαὰδ καὶ εἰς γῆν βαθα-
σὼν καὶ ἐσθὼν καὶ δασαί. καὶ παρε-
γένοντο εἰς δανιδὰν, καὶ ἐκύκλω-
σαν εἰς σιδῶνα, καὶ ἦλθον εἰς μάψαρ
τύρου, καὶ εἰς πάσας τὰς πόλεις τοῦ
εὐαίου καὶ τοῦ χαναναίου. καὶ πορεύονται
κατὰ νότον ἰούδα εἰς βηρσαβεὲ, καὶ πε-
ριώδευσαν ἐν πάσῃ τῇ γῇ, καὶ παρε-
γένοντο ἀπὸ τέλους ἐννέα μηνῶν καὶ
εἴκοσι ἡμερῶν, εἰς ἱερουσαλήμ. καὶ ἔδω-
κεν ἰωὰβ τὸν ἀριθμὸν τῆς ἐπισκέψε-
ως τοῦ λαοῦ τῷ βασιλεῖ. καὶ ἦν ἰσρα-
ὴλ, ὀκτακόσιαι χιλιάδες ἀνδρῶν
δυνάμεως, σπωμένων ῥομφαίαν. καὶ
ἀνὴρ ἰούδα πεντακόσιαι χιλιάδες
ἀνδρῶν μαχητῶν. καὶ ἐπάταξε καρ-
δία δαβὶδ αὐτὸν μετὰ τὸ ἀριθμῆ-
σαι τὸν λαόν. καὶ εἶπε δαβὶδ πρὸς
κύριον, ἥμαρτον σφόδρα ποιήσας

τὸ

adiungat dominus deus tuus ad populum tuum, sicut istos, centuplum, & oculi domini mei regis uidentes. Et dominus meus rex quare uult in sermone isto? Et obtinuit sermo regis contra Ioab, et contra principes exercitus. Et egressus est Ioab & principes exercitus coram rege, ut recenserent populum Israel. Et transierunt Iordanem, & castra fixerunt in Aroer, à dextris urbis, quæ in medio uallis Gad & Eliezer, & uenerunt in Galaad & in terram Bathason & Esthon & Dasai. Et aduenerunt in Danidan & circumierunt in Sidonem, & uenerunt in Mapsar Tyri, & in omnes ciuitates Euæi & Chananæi. Et proficiscuntur ad meridiem Iuda in Bersabee, & circumiuerunt in omni terra, & aduenerunt à fine nouem mensium & uiginti dierum, in Hierusalem. Et dedit Ioab numerum lustrationis populi regi. Et erat Israel, octingenta millia uirorum potentiæ, extrahentium gladium. Et uiri Iuda, quingenta millia uirorum pugnatorum. Et percussit cor Dauid eum, postquam numerauit populum. Et dixit Dauid ad dominum, Peccaui ualde faciens

uerbum

uerbum hoc. Et nunc do-
mine transfer iam iniqui-
tatem serui tui, quoniam
stultè egi ualde. Et surre-
xit Dauid mane, & ser-
mo domini factus est ad
prophetam, uidentem Da
uid, dicens, Vade, & lo-
quere ad Dauid, dicens,
Hæc dicit dñs. Tria ego
porto ad te, elige tibi ip-
si unum ex eis, & faciam
tibi. Et intrauit Gad ad
Dauid, & renunciauit ei,
dicens, Elige tibi ipsi fie-
ri, aut ueniat tibi tres an-
nos fames in terra tua, aut
fugere te ante hostes tuos
& erunt persequendo te,
aut tres dies esse mortẽ in
terra tua. Nunc igitur co-
gnosce, & uide, quid re-
spondeam ei, qui misit me.
Et dixit Dauid ad Gad.
Arcta mihi undiq; ualde
Dan.13 sunt etiam tria. Incidam sa
1.Par.21 nè in manus domini, quia
multæ miserationes eius
ualde, in manus uerò ho-
minum neutiquã incidã.
Et elegit sibi Dauid mor-
tem & dies. Et dies mes-
sis triticorum. Et dedit do
minus mortem in Israel, à
mane usq; ad horam pran
dii, & incepit afflictio in
populo. Et mortui sunt è
populo, à Dan et usq; Ber
sabee, septuaginta millia
uirorum. Et extendit an-
gelus manum suam in Hie
rusa'em, ut disperderet
eam, & reuocatus est
domi-

τὸ ῥῆμα τοῦτο. καὶ νῦν κύριε παραβί-
βασον δὴ τὴν ἀνομίαν τοῦ δούλου σου,
ὅτι ἐμωράνθην σφόδρα. καὶ ἀνέστη
δαβὶδ τὸ πρωΐ, καὶ λόγος κυρίου ἐγέ-
νετο πρὸς γὰδ τὸν προφήτην, τὸν ὁρῶν-
τα δαβίδ, λέγων, πορεύθητι, καὶ λά-
λησον πρὸς δαβίδ, λέγων, τάδε λέ-
γει κύριος. τρία ἐγὼ αἴρω ἐπί σε, καὶ
ἔκλεξαι σεαυτῷ ἓν ἐξ αὐτῶν, καὶ ποιήσω
σοι. καὶ εἰσῆλθε γὰδ πρὸς δαβίδ, καὶ
ἀνήγγειλε, καὶ εἶπεν αὐτῷ, ἔκλεξαι
σεαυτῷ γενέσθαι, ἢ ἔλθοι σοὶ τρία ἔ-
τη λιμὸς ἐν τῇ γῇ σου, ἢ τρεῖς μῆνας
φεύγειν σε ἔμπροσθεν τῶν ἐχθρῶν
σου, καὶ ἔσονται καταδιώκειν σε, ἢ
τρεῖς ἡμέρας γενέσθαι θάνατον ἐν
τῇ γῇ σου. νῦν οὖν γνῶθι, καὶ ἴδε, τί
ἀποκριθῶ τῷ ἀποστείλαντί με. καὶ
εἶπε δαβὶδ πρὸς γὰδ, στενά μοι
πάντοθεν σφόδρα ἐστὶ καὶ τὰ τρία.
ἐμπεσοῦμαι δὴ εἰς χεῖρας κυρίου, ὅτι
πολλοὶ οἱ οἰκτιρμοὶ αὐτοῦ σφόδρα,
εἰς δὲ χεῖρας ἀνθρώπων οὐ μὴ ἐμπέ-
σω. καὶ ἐξελέξατο ἑαυτῷ δαβὶδ τὸν
θάνατον καὶ ἡμέρας. καὶ αἱ ἡμέ-
ραι θερισμοῦ πυρῶν. καὶ ἔδωκε κύρι-
ος θάνατον ἐν ἰσραὴλ, ἀπὸ πρωΐ-
θεν ἕως ὥρας ἀρίστου, καὶ ἤρξατο ἡ
θραῦσις ἐν τῷ λαῷ. καὶ ἀπέθανον ἐκ
τοῦ λαοῦ κυρίου, ἀπὸ δὰν καὶ ἕως βηρ-
σαβεὲ, ἑβδομήκοντα χιλιάδες ἀν-
δρῶν. καὶ ἐξέτεινεν ὁ ἄγγελος τοῦ
θεοῦ τὴν χεῖρα αὐτοῦ εἰς ἰερουσαλὴμ,
τοῦ διαφθεῖραι αὐτὴν, καὶ παρεκλήθη
κύριος

κύριος ἐπὶ τῇ κακίᾳ. καὶ εἶπε τῷ ἀγ-
γέλῳ τῷ διαφθείροντι ἐν τῷ λαῷ, πο-
λὺ νῦν, ἄνες τὴν χεῖρά σου. καὶ ὁ ἄγγε-
λος τοῦ θεοῦ ἦν ἑστὼς περὶ τῇ ἅλῳ ὀρ-
νᾶ τοῦ ἰεβουσαίου. καὶ εἶπε δαβὶδ πρὸς
κύριον, ἐν τῷ ἰδεῖν αὐτὸν τὸν ἄγγε-
λον τὸν τύπτοντα τὸν λαὸν, καὶ εἶπεν,
ἰδοὺ ἐγώ εἰμι, ἠδίκησα. καίγε ἐγώ εἰ-
μι ὁ ποιμὴν ἐκακοποίησα, καὶ οὗτοι
τὰ πρόβατα τί ἐποίησαν, γενέσθω
δὴ χείρ σου ἐν ἐμοὶ, καὶ ἐν τῷ οἴκῳ
τοῦ πατρός μου. καὶ ἦλθε γὰδ πρὸς
δαβὶδ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ εἶ-
πον αὐτῷ, ἀνάβηθι, καὶ στῆσον τῷ κυ-
ρίῳ θυσιαστήριον ἐν τῇ ἅλῳ ὀρνᾶ τοῦ
ἰεβουσαίου. καὶ ἀνέβη δαβὶδ κατὰ
τὸ ῥῆμα γὰδ τοῦ προφήτου, ὃν τρόπον
ἐνετείλατο αὐτῷ κύριος, καὶ διέ-
κυψεν ὀρνᾶ, καὶ εἶδε τὸν βασιλέα
καὶ τοὺς παῖδας αὐτοῦ παραπορευο-
μένους ἐπάνω αὐτοῦ. καὶ ἐξῆλθεν ὀρ-
νᾶ, καὶ προσεκύνησε τῷ βασιλεῖ ἐ-
πὶ πρόσωπον αὐτοῦ, ἐπὶ τὴν γῆν.
καὶ εἶπεν ὀρνᾶ, τί ὅτι ἦλθεν ὁ κύρι-
ός μου ὁ βασιλεὺς πρὸς τὸν δοῦλον
αὐτοῦ; καὶ εἶπε δαβὶδ, κτήσασθαι
παρὰ σοῦ τὴν ἅλω, τοῦ οἰκοδομῆσαι
θυσιαστήριον τῷ κυρίῳ, καὶ συσχεθῇ
ἡ θραῦσις ἐπάνωθεν τοῦ λαοῦ. καὶ εἶ-
πεν ὀρνᾶ πρὸς δαβὶδ, λαβέτω, καὶ
ἀνενεγκάτω ὁ κύριός μου ὁ βασιλεὺς
τῷ κυρίῳ τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς
αὐτοῦ. ἰδοὺ οἱ βόες εἰς ὁλοκαύτω-
μα, καὶ οἱ τροχοὶ καὶ τὰ σκεύη τῶν
βοῶν

dominus ob calamitatem. Et dixit angelo disperdenti in populo, Multum nunc, remitte manum tuam. Et angelus dei erat stans iuxta aream Orna Iebusæi. Et dixit Dauid ad dominum, cum uideret ipse angelum cædentem populum, & dixit, Ecce ego sum, iniuste egi. Et sane ego sum pastor, malefeci, & hi agni quid fecerunt? Sit iam manus tua in me & in domum patris mei. Et uenit Gad ad Dauid in die illa, & dixit ei. Ascende, & constitue domino altare in area Orna Iebusæi. Et ascendit Dauid iuxta uerbum Gad prophetæ, quẽadmodum præceperat ei dominus, & inclinauit Orna, & uidit regem & seruos eius transeuntes supra se. Et egressus est Orna, & adorauit regem in faciem suam, in terram. Et dixit Orna, Quid, quod uenit dominus meus rex ad seruum suum? Et dixit ei Dauid, Vt possideam à te aream, ut ædificem altare domino, & cohibeatur afflictio supra populum. Et dixit Dauid, Capiat, & offerat dominus meus rex Domino bonum in oculis eius. Ecce boues in holocaustum, & rotæ & instrumenta boum

boum in ligna. Omnia dedit Orna regi. Et dixit Orna ad regẽ, Dominus deus tuus benedicat tibi. Et dixit rex ad Orna, Nequaquam, nisi quod possidens possidebo à te in permutatione, & nõ offeram domino deo meo holocaustum gratis. Et possedit Dauid arcam & boues in argento siclorũ quinquaginta. Et ædificauit ibi Dauid altare domino, & obtulit holocausta & pacifica. Et adiunxit Salomon ad altare in ultimo, quod paruum erat in primis. Et exaudiuit dominus terram, & cohibita est afflictio supra Israel.

βοῶν εἰς ξύλα. τὰ πάντα ἔδωκεν ὀρνᾶ τῷ βασιλεῖ. καὶ εἶπεν ὀρνᾶ πρὸς τὸν βασιλέα, κύριος ὁ θεός σου εὐλογήσαι σε. καὶ εἶπεν ὁ βασιλεὺς πρὸς ὀρνᾶ, οὐχί, ὅτι ἀλλ' ἢ κτώμενος κτήσομαι παρὰ σοῦ ἐν ἀνταλλάγματι, καὶ οὐκ ἀνοίσω κυρίῳ τῷ θεῷ μου ὁλοκαύτωμα δωρεάν. καὶ ἐκτήσατο δαβὶδ τὸν ἅλω, καὶ τοὺς βόας, ἐν ἀργυρίῳ σίκλων πεντήκοντα. καὶ ᾠκοδόμησεν ἐκεῖ δαβὶδ θυσιαστήριον τῷ κυρίῳ, καὶ ἀνήνεγκεν ὁλοκαυτώσεις καὶ εἰρηνικάς. καὶ προσέθηκε σολομὼν ἐπὶ τὸ θυσιαστήριον ἐπ' ἐσχάτῳ, ὅτι μικρὸν ἦν ἐν πρώτοις. καὶ ἐπήκουσε κύριος τῇ γῇ, καὶ συνεσχέθη ἡ θραῦσις ἐπάνωθεν ἰσραήλ.

REGVM LIBER III.

Cap. I
Sup. cod.



Et rex Dauid senior, prouectus diebus, & circũdabant eum uestibus, & nõ calefiebat. Et dixerũt serui eius, Quærant domino nostro regi uirginem adolescentulam, & adstabit coram rege, & erit eum fouens, & cubabit cum eo, et calefiet dominus noster rex. Et quæsierunt adolescentulam pulchram ex omni termino Israel, et inuenerũt Abisac Sonamitin, et duxerũt eã ad regẽ. Et puella



Καὶ ὁ βασιλεὺς δαβὶδ πρεσβύτερος, προβεβηκὼς ἡμέραις, καὶ περιέβαλλον αὐτὸν ἱματίοις, καὶ οὐκ ἐθερμαίνετο. καὶ εἶπον οἱ παῖδες αὐτοῦ, ζητησάτωσαν τῷ κυρίῳ ἡμῶν τῷ βασιλεῖ παρθένον νεάνιδα, καὶ παραστήσεται τῷ βασιλεῖ, καὶ ἔσται αὐτὸν θάλπουσα, καὶ κοιμηθήσεται μετ' αὐτοῦ, καὶ θερμανθήσεται ὁ κύριος ἡμῶν ὁ βασιλεύς. καὶ ἐζήτησαν νεάνιδα καλὴν ἐκ παντὸς ὁρίου ἰσραήλ, καὶ εὗρον τὴν ἀβισὰκ τὴν σωναμίτιν, καὶ ἤνεγκαν αὐτὴν πρὸς τὸν βασιλέα. καὶ ἡ νεᾶνις

νεᾶνις καλὴ τῷ εἴδει σφόδρα, καὶ ἦν
θάλπουσα τὸν βασιλέα, καὶ ἐλειτούρ-
γει αὐτῷ. καὶ ὁ βασιλεὺς οὐκ ἔγνω αὐ-
τήν. καὶ ἀδωνίας υἱὸς ἀγγὶθ ἐπήρε-
το, λέγων, ἐγὼ βασιλεύσω. καὶ ἐποί-
ησεν αὐτῷ ἅρματα καὶ ἱππεῖς, καὶ πεν-
τήκοντα ἄνδρας παρατρέχειν ἔμ-
προσθεν αὐτοῦ, καὶ οὐκ ἀπεκώλυσεν αὐ-
τὸν ὁ πατὴρ αὐτοῦ οὐδέποτε, λέγων,
διὰ τί σὺ τοῦτο ἐποίησας; καί γε αὐ-
τὸς ὡραῖος τῇ ὄψει σφόδρα, καὶ αὐ-
τὸν ἔτεκεν ὀπίσω ἀβεσσαλώμ. καὶ ἐ-
γένοντο οἱ λόγοι αὐτοῦ μετὰ ἰωὰβ
τοῦ υἱοῦ σαρουίας, καὶ μετὰ ἀβιάθαρ
τοῦ ἱερέως, καὶ ἐβοήθουν ὀπίσω ἀ-
δωνίου. καὶ σαδὼκ ὁ ἱερεὺς, καὶ
βαναίας υἱὸς ἰωδαὲ, καὶ νάθαν ὁ
προφήτης, καὶ σεμεῒ καὶ ῥησεὶ, καὶ
υἱοὶ δυνατοὶ τοῦ δαβὶδ οὐκ ἦσαν ὀ-
πίσω ἀδωνίου. καὶ ἐθυσίασεν ἀδω-
νίας πρόβατα καὶ μόσχους καὶ ἄρ-
νας, παρὰ τὸν λίθον τὸν ζωελὲθ, ὃς
ἦν ἐχόμενος τῆς πηγῆς ῥωγήλ. καὶ
ἐκάλεσε πάντας τοὺς ἀδελφοὺς αὐ-
τοῦ, τοὺς υἱοὺς τοῦ βασιλέως, καὶ πάν-
τας τοὺς ἄνδρας υἱοὺς ἰούδα, παῖδας
τοῦ βασιλέως, καὶ νάθαν τὸν προφή-
την, καὶ βαναίαν, καὶ τοὺς δυνα-
τοὺς, καὶ σολομῶντα ἀδελφὸν αὐτοῦ
οὐκ ἐκάλεσε. καὶ εἶπε νάθαν πρὸς
βηρσαβεὲ μητέρα σολομὼν, λέγων,
οὐκ ἤκουσας, ὅτι ἐβασίλευσεν ἀ-
δωνίας υἱὸς ἀγγὶθ, καὶ ὁ κύριος ἡ-
μῶν δαβὶδ οὐκ ἔγνω; καὶ νῦν δεῦρο,
συμβου-

puella pulchra forma ual-
de, & erat fouens regem,
& ministrabat ei. Et rex
non cognouit eam. Et A-
donias filius Aggith ele-
uabatur dicens, Ego reg-
nabo. Et fecit sibi currus
& equites, & quinquagin
ta uiros ad accurrendum
ante se, & non prohibuit
eum pater eius unquam,
dicens, Quare tu hoc feci
sti? Et sane hic pulcher a-
spectu ualde, & hunc ge-
nuit post Abessalom. Et
erant sermones eius cũ Io
ab filio Saruiæ, & cum
Abiathar sacerdote, & iu
uabant post Adoniam. Et
Sadoc sacerdos, & Banai
as filius Iodae, & Nathã
propheta, & Semei &
Rhesi & filii potêtes Da-
uid nõ erãt post Adoniã.
Et immolauit Adonias
oues & uitulos, & agnos
iuxta lapidem Zoeleth,
qui erat iunctus fonti Ro-
gel. Et uocauit omnes fra
tres suos, filios regis, & o-
mnes uiros Iuda, seruos re
gis, & Nathan prophe-
tam, & Banaian & po-
tentes, & Solomonem
fratrem suum non uoca-
uit. Et dixit Nathan ad
Bersabee matrem Solo-
monis, dicens, Non audi-
sti, quod regnauit Ado-
nias filius Aggith, &
dominus noster Dauid
non nouit? Et nunc ueni,
con-

consulam tibi consilium, & eripe animam tuam & animam filii tui Solomonis. Age, ingredere ad regem Dauid, & dices ad eum, inquiens, Nonne tu domine mi rex iurasti ancillæ tuæ, dicens, quod Solomõ filius tuus regnabit post me, & ipse considebit in solio meo? Et quare regnauit Adonias? Et ecce, adhuc te loquente ibi cum rege, & ego ingrediar post te, & complebo sermones tuos. Et ingressa est Bersabee ad regem in cubiculum. Et rex senex ualde, & Abisac Sonamitis erat ministrans regi, & inclinauit se Bersabee, & adorauit regẽ. Et dixit rex, Quid est tibi? Hæc uerò dixit, Domine mi rex tu iurasti in dño deo tuo ancillæ tuæ, dicens, qđ filius tuus Solomõ regnabit post me & ipse considebit in solio meo. Es nunc ecce, Adonias regnauit, et tu dñe mi rex non nouisti. Et immolauit uitulos, & agnas & oues in multitudinem, & uocauit omnes filios regis, & Abiathar sacerdotem, & Ioab principem militiæ, & Solomonem seruũ tuũ non uocauit. Et tu dñe mi rex, oculi omnis Israel ad te, ob renũcian-

συμβουλεύσω σοι συμβουλίαν, καὶ ἔξελε τὴν ψυχήν σου, καὶ τὴν ψυχὴν τοῦ υἱοῦ σου σολομών. δεῦρο, εἴσελθε πρὸς τὸν βασιλέα δαβὶδ, καὶ ἐρεῖς πρὸς αὐτὸν, λέγουσα, οὐχί σου κύριέ μου βασιλεῦ ὤμοσας τῇ δούλῃ σου, λέγων, ὅτι σολομὼν ὁ υἱός σου βασιλεύσει μετ' ἐμὲ, καὶ αὐτὸς καθιεῖται ἐπὶ τοῦ θρόνου μου; καὶ τί ὅτι ἐβασίλευσεν ἀδωνίας; καὶ ἰδοὺ, ἔτι σου λαλούσης ἐκεῖ μετὰ τοῦ βασιλέως, καὶ ἐγὼ εἰσελεύσομαι ὀπίσω σου, καὶ πληρώσω τοὺς λόγους σου. καὶ εἰσῆλθε βηρσαβεὲ πρὸς τὸν βασιλέα εἰς τὸ ταμεῖον. καὶ ὁ βασιλεὺς πρεσβύτης σφόδρα, καὶ ἀβισὰκ ἡ σωναμῖτις ἦν λειτουργοῦσα τῷ βασιλεῖ, καὶ ἔκυψε βηρσαβεὲ, καὶ προσεκύνησε τῷ βασιλεῖ. καὶ εἶπεν ὁ βασιλεὺς, τί ἐστι σοί; ἡ δὲ εἶπε, κύριέ μου βασιλεῦ, σὺ ὤμοσας ἐν κυρίῳ τῷ θεῷ σου τῇ δούλῃ σου, λέγων, ὅτι ὁ υἱός σου σολομὼν βασιλεύσει μετ' ἐμὲ, καὶ αὐτὸς καθιεῖται ἐπὶ τοῦ θρόνου μου. καὶ νῦν ἰδοὺ, ἀδωνίας ἐβασίλευσε, καὶ σὺ κύριέ μου βασιλεῦ οὐκ ἔγνως, καὶ ἐθυσίασε μόσχους, καὶ ἄρνας καὶ πρόβατα εἰς πλῆθος, καὶ ἐκάλεσε πάντας τοὺς υἱοὺς τοῦ βασιλέως, καὶ ἀβιάθαρ τὸν ἱερέα, καὶ ἰωὰβ τὸν ἄρχοντα τῆς δυνάμεως, καὶ τὸν σολομῶντα τὸν δοῦλόν σου οὐκ ἐκάλεσε. καὶ σὺ κύριέ μου βασιλεῦ, οἱ ὀφθαλμοὶ παντὸς ἰσραὴλ πρὸς σὲ, ἀπαγγεῖλαι

γγεῖλαι αὐτοῖς, τίς καθήσεται ἐπὶ τοῦ
θρόνου τοῦ κυρίου μου τοῦ βασιλέως μετ'
αὐτόν. καὶ ἔσται, ὡς ἂν κοιμηθῇ ὁ κύ-
ριός μου ὁ βασιλεὺς μετὰ τῶν πατέ-
ρων αὐτοῦ, καὶ ἔσομαι ἐγὼ καὶ σολομὼν
ὁ υἱός μου ἁμαρτωλοί. καὶ ἰδοὺ, ἔτι αὐ-
τῆς λαλούσης μετὰ τοῦ βασιλέως, καὶ
νάθαν ὁ προφήτης εἰσῆλθε, καὶ ἀνήγγει-
λαν τῷ βασιλεῖ λέγοντες, ἰδοὺ νάθαν
ὁ προφήτης. καὶ εἰσῆλθε κατὰ πρό-
σωπον τοῦ βασιλέως, καὶ προσεκύνη-
σε τῷ βασιλεῖ κατὰ πρόσωπον αὐ-
τοῦ ἐπὶ τὴν γῆν, καὶ εἶπε νάθαν, κύ-
ριέ μου βασιλεῦ, σὺ εἶπας, ἀδωνί-
ας βασιλεύσει ὀπίσω μου, καὶ αὐ-
τὸς καθήσεται ἐπὶ τοῦ θρόνου μου;
ὅτι κατέβη σήμερον, καὶ ἔθυσε μό-
σχους καὶ ἄρνας, καὶ πρόβατα εἰς
πλῆθος, καὶ ἐκάλεσε πάντας τοὺς
υἱοὺς τοῦ βασιλέως, καὶ τοὺς ἄρχοντας
τῆς δυνάμεως, καὶ ἀβιάθαρ τὸν ἱε-
ρέα. καὶ ἰδοὺ, εἰσὶν ἐσθίοντες καὶ
πίνοντες ἐνώπιον αὐτοῦ, καὶ εἶπον,
ζήτω ὁ βασιλεὺς ἀδωνίας. καὶ ἐμὲ
αὐτὸν τὸν δοῦλόν σου, καὶ σαδὼκ
τὸν ἱερέα, καὶ βαναίαν υἱὸν ἰω-
δαὲ, καὶ σολομῶντα τὸν δοῦλόν σου
οὐκ ἐκάλεσεν. εἰ διὰ τοῦ κυρίου μου
τοῦ βασιλέως γέγονε τὸ ῥῆμα τοῦτο,
καὶ οὐκ ἐγνώρισας τῷ δούλῳ σου. τίς
καθήσεται ἐπὶ τοῦ θρόνου τοῦ κυρίου
μου τοῦ βασιλέως μετ' αὐτόν; καὶ
ἀπεκρίθη ὁ βασιλεὺς δαβὶδ, καὶ
εἶπε, καλέσατέ μοι τὴν βηρσαβεέ.
καὶ

ciandum eis, quis conside
bit in solio domini mei re
gis post eum. Et erit, cum
dormierit dominus meus
rex cum patribus suis, &
erimus ego & Solomon
filius meus peccatores. Et
ecce, adhuc ea loquente
cum rege, & Nathan pro
pheta ingressus est, & re-
nunciauerunt regi, dicen-
tes, Ecce Nathan prophe
tha. Et ingressus est Na-
than in conspectum regis,
& adorauit regem in fa-
ciem suam, in terrã. Et di
xit Nathan, Domine mi
rex tu dixisti, Adonias
regnabit post me, & ipse
considebit super thronum
meum? Quia descendit
hodie, & immolauit uitu-
los & agnos, & oues in
multitudinem, & uocauit
omnes filios regis & prin
cipes militiæ, & Abia-
thar sacerdotem. Et ecce,
sunt edentes & bibentes
coram eo, & dixerunt,
Viuat rex Adonias. Et
meipsum seruum tuum &
Sadoc sacerdotem, & Ba
naian filium Iodae, & So
lomonem seruum tuũ non
uocauit. An per domi-
num meum regem factum
est uerbum hoc, & non in
dicasti seruo tuo, quis con
sidebit in solio domini
mei regis post eum? Et re
spõdit rex Dauid, et dixit,
Vocate mihi Bersabee.
o Et

Et ingressa est, coram rege, & stetit coram eo. Et iurauit rex, & dixit, Viuit dominus qui, liberauit animam meam ex omni afflictione, quod sicut iuraui tibi in domino deo Israel, dicens, quod Solomon filius tuus regnabit post me, & ipse considebit in solio meo pro me, quod sic faciam die hac. Et inclinauit Bersabee in uultum, in terram, & adorauit regem, & dixit, Viuat dominus meus rex Dauid in æternum. Et dixit rex Dauid, Vocate mihi Sadoc sacerdotem, & Nathan prophetam, & Banaian filium Iodae. Et ingressi sunt coram rege, & dixit rex eis, Accipite uobiscum seruos domini nostri, & imponite filium meum Solomonem in mulam meam, & deducite eum in Geon, & ungat eum ibi Sadoc sacerdos & Nathan propheta in regem super Israel. Et canite buccina, & dicite, Viuat rex Solomon. Et ascendetis post eum, & ingredietur, & cõsidebit in solio meo, & ipse regnabit pro me, & ego præcepi, ut sit in ducem super Israel & Iudam. Et respon-

καὶ εἰσῆλθεν ἐνώπιον τοῦ βασιλέως, καὶ ἔστη ἐνώπιον αὐτοῦ. καὶ ὤμοσεν ὁ βασιλεὺς, καὶ εἶπε, ζῇ κύριος, ὃς ἐλυτρώσατο τὴν ψυχήν μου ἐκ πάσης θλίψεως, ὅτι καθὼς ὤμοσά σοι ἐν κυρίῳ θεῷ ἰσραὴλ, λέγων, ὅτι σολομὼν ὁ υἱός σου βασιλεύσει μετ' ἐμὲ, καὶ αὐτὸς καθήσεται ἐπὶ τοῦ θρόνου μου ἀντ' ἐμοῦ, ὅτι οὕτω ποιήσω τῇ ἡμέρᾳ ταύτῃ. καὶ ἔκυψε βηρσαβεὲ ἐπὶ πρόσωπον, ἐπὶ τὴν γῆν, καὶ προσεκύνησε τῷ βασιλεῖ, καὶ εἶπε, ζήτω ὁ κύριός μου ὁ βασιλεὺς δαβὶδ εἰς τὸν αἰῶνα. καὶ εἶπεν ὁ βασιλεὺς δαβὶδ, καλέσατέ μοι τὸν σαδὼκ τὸν ἱερέα, καὶ νάθαν τὸν προφήτην, καὶ βαναίαν υἱὸν ἰωδαέ. καὶ εἰσῆλθον ἐνώπιον τοῦ βασιλέως, καὶ εἶπεν ὁ βασιλεὺς αὐτοῖς, λάβετε μεθ' ὑμῶν τοὺς δούλους τοῦ κυρίου ὑμῶν, καὶ ἐπιβιβάσατε τὸν υἱόν μου σολομῶν ἐπὶ τὴν ἡμίονον τὴν ἐμὴν, καὶ καταγάγετε αὐτὸν εἰς τὸν γειὼν, καὶ χρισάτω αὐτὸν ἐκεῖ σαδὼκ ὁ ἱερεὺς καὶ νάθαν ὁ προφήτης εἰς βασιλέα ἐπὶ τὸν ἰσραήλ. καὶ σαλπίσατε κερατίνῃ, καὶ ἐρεῖτε, ζήτω ὁ βασιλεὺς σολομών. καὶ ἀναβήσεσθε ὀπίσω αὐτοῦ, καὶ εἰσελεύσεται, καὶ καθήσεται ἐπὶ τοῦ θρόνου μου, καὶ αὐτὸς βασιλεύσει ἀντ' ἐμοῦ, καὶ ἐγὼ ἐνετειλάμην, τοῦ εἶναι εἰς ἡγούμενον ἐπὶ ἰσραὴλ καὶ ἰούδαν. καὶ ἀπεκρίθη

κρίθη βαναίας ὑὸς ἰωδαὲ τῷ βασι-
λεῖ, καὶ εἶπε, γένοιτο οὕτως, πιστώσαι
κύριος ὁ θεὸς τὸ ῥῆμα τοῦ κυρίου μου
τοῦ βασιλέως. καθὼς ἦν κύριος μετὰ
τοῦ κυρίου μου τοῦ βασιλέως, οὕτως εἴη μετὰ
τὰ σολομῶντος, καὶ μεγαλύναι τὸν θρό-
νον αὐτοῦ ὑπὲρ τὸν θρόνον τοῦ κυρίου μου
τοῦ βασιλέως δαβίδ. καὶ κατέβη σα-
δὼκ ὁ ἱερεὺς, καὶ νάθαν ὁ προφήτης,
καὶ βαναίας ὑὸς ἰωδαὲ, καὶ ὁ χερεθθὶ καὶ
ὁ φελεθθὶ, καὶ ἐπεκάθισαν τὸν σολομῶν-
τα ἐπὶ τὴν ἡμίονον τοῦ βασιλέως δα-
βίδ, καὶ ἀπήγαγον αὐτὸν εἰς τὸν γε-
ὼν. καὶ ἔλαβε σαδὼκ ὁ ἱερεὺς τὸ κέ-
ρας τοῦ ἐλαίου ἐκ τῆς σκηνῆς, καὶ ἔχρι-
σε τὸν σολομῶντα, καὶ ἐσάλπισε τῇ
κερατίνῃ. καὶ εἶπε πᾶς ὁ λαὸς, ζή-
τω ὁ βασιλεὺς σολομῶν. καὶ ἀνέβη
πᾶς ὁ λαὸς ὀπίσω αὐτοῦ, καὶ ἐχόρευ-
ον ἐν χοροῖς, καὶ εὐφραινόμενοι εὐ-
φροσύνην μεγάλην, καὶ ἐῤῥάγη ἡ γῆ
ἐν τῇ φωνῇ αὐτῶν. καὶ ἤκουσεν ἀδωνί-
ας καὶ πάντες οἱ κλητοὶ αὐτοῦ, καὶ
αὐτοὶ συνετέλεσαν φαγεῖν. καὶ ἤκου-
σεν ἰωὰβ τὴν φωνὴν τῆς κερατίνης,
καὶ εἶπε, τίς ἡ φωνὴ τῆς πόλεως ἠχού-
σης; καὶ ἔτι αὐτοῦ λαλοῦντος, καὶ
ἰδοὺ, ἰωνάθαν ὑὸς ἀβιάθαρ τοῦ ἱερέως
ἦλθε, καὶ εἶπεν ἀδωνίας, εἴσελθε, ὅτι ἀ-
νὴρ δυνάμεως εἶ σύ, καὶ ἀγαθὰ εὐαγ-
γέλισαι. καὶ ἀπεκρίθη ἰωνάθαν καὶ εἶπε,
καὶ μάλα, ὁ κύριος ἡμῶν ὁ βασιλεὺς
δαβίδ ἐβασίλευσε τὸν σολομῶντα. καὶ
ἀπέστειλε μετ' αὐτοῦ ὁ βασιλεὺς
τὸν

spondit Banaias filius Io-
dae regi, et dixit, Fiat sic,
confirmet dominus deus
uerbum domini mei re-
gis. Sicut fuit dominus
cum domino meo rege,
sic sit & cum Solomone,
& magnificet solium eius
supra solium domini mei
regis Dauid. Et descen-
dit Sadoc sacerdos, et Na
than propheta, & Bana-
ias filius Iodae, & Che-
rethi & Phelethi, & im
posuerunt Solomonem in
mulam regis Dauid, & ab
duxerunt eum in Geon.
Et sumpsit Sadoc sacer-
dos cornu olei è taberna-
culo, & unxit Solomo-
nem, & cecinit buccina.
Et dixit omnis populus,
Viuat rex Solomon. Et
ascendit omnis populus
post eum, & saltabant in
choris, & gaudentes gau
dio magno, & fracta
est terra in uoce eorum.
Et audiuit Adonias &
omnes uocati eius, & hi
pfecerunt edere. Et audi-
uit Ioab uocem tubæ, &
dixit, Quæ uox ciuitatis
tumultuantis? Et adhuc Sup. eod.
eo loquente, & ecce, Io-
nathan filius Abiathar sa-
cerdotis uenit, & dixit
Adonias, Ingredere, quia
uir potẽtiæ es tu, & bona
bene nũcies. Et respondit
Ionathã, & dixit, Et oio.
dñs noster rex Dauid, re-
gem constituit Solomo-
nem. Et dimisit cũ eo rex

Sadoc sacerdotem, et Na
than prophetam, & Bana
ian filium Iodae, & Che-
retthi, & Pheletthi, & im
posuerunt eum in mulam
regis, et unxit eum Sadoc
sacerdos, & Nathan pro-
pheta in regem in Geon.
Et ascenderunt inde læ-
tantes, & sonuit ciuitas
hæc uocem, quam audi-
stis. Et consedit Solomon
in solio regni, & intraue-
runt serui regis, ut benedi
cerent domino nostro re-
gi Dauid, dicentes, Bo-
num facias deus nomen
Solomonis filii tui super
nomen tuum, & magnifi-
cet thronum eius super
thronum tuum. Et adora-
uit rex in lecto suo, & sa-
nè sic dixit rex. Benedi-
ctus dominus deus Israel,
qui dedit hodie de semine
meo considentem in solio
meo, & oculi mei uident.
Et exterriti sunt, & surre-
xerunt omnes inuitati A-
doniæ, & abierunt uir in
Inf. 1 uiam suam. Et Adonias ti
muit à facie Solomonis,
& surrexit, & abiit, et ap
prehendit cornua altaris.
Et renunciatum est Solo-
moni, dicentes, Ecce, A-
donias timuit regem Solo
monē, & tenet cornua al
taris, dicens, Iuret mihi ho
die Solomō, si nō iterficiet
seruum

τὸν σαδὼκ τὸν ἱερέα, καὶ νάθαν τὸν
προφήτην, καὶ βαναίαν τὸν υἱὸν ἰω-
δαέ, καὶ τὸν χερεθθί, καὶ τὸν φελεθθί,
καὶ ἐπεκάθισαν αὐτὸν ἐπὶ τὴν ἡμίο-
νον τοῦ βασιλέως, καὶ ἔχρισαν αὐτὸν σα-
δὼκ ὁ ἱερεύς, καὶ νάθαν ὁ προφήτης,
εἰς βασιλέα ἐν τῷ γειών. καὶ ἀνέβη-
σαν ἐκεῖθεν εὐφραινόμενοι, καὶ ἤχη-
σεν ἡ πόλις αὕτη φωνήν, ἣν ἠκούσα-
τε. καὶ ἐκάθισε σολομὼν ἐπὶ θρόνου τῆς
βασιλείας, καὶ εἰσῆλθον οἱ δοῦλοι τοῦ
βασιλέως εὐλογῆσαι τὸν κύριον ἡμῶν
τὸν βασιλέα δαβίδ, λέγοντες, ἀγα-
θύναι ὁ θεὸς τὸ ὄνομα σολομῶντος τοῦ
υἱοῦ σου ὑπὲρ τὸ ὄνομά σου, καὶ μεγαλύ-
ναι τὸν θρόνον αὐτοῦ ὑπὲρ τὸν θρόνον
σου. καὶ προσεκύνησεν ὁ βασιλεὺς ἐ-
πὶ τὴν κοίτην αὐτοῦ, καί γε οὕτως εἶ-
πεν ὁ βασιλεύς, εὐλογητὸς κύριος
ὁ θεὸς ἰσραήλ, ὃς ἔδωκε σήμερον ἐκ
τοῦ σπέρματός μου καθήμενον ἐπὶ
θρόνου μου, καὶ οἱ ὀφθαλμοί μου βλέ-
πουσι. καὶ ἐξέστησαν, καὶ ἐξανέστη-
σαν πάντες οἱ κλητοὶ τοῦ ἀδωνίου,
καὶ ἀπῆλθον ἀνὴρ εἰς τὴν ὁδὸν αὐ-
τοῦ. καὶ ἀδωνίας ἐφοβήθη ἀπὸ προ-
σώπου σολομῶντος, καὶ ἀνέστη,
καὶ ἀπῆλθε, καὶ ἐπελάβετο τῶν
κεράτων τοῦ θυσιαστηρίου. καὶ ἀνηγ-
γέλη τῷ σολομῶντι, λέγοντες, ἰδού,
ἀδωνίας ἐφοβήθη τὸν βασιλέα σο-
λομών, καὶ κατέχει τῶν κεράτων
τοῦ θυσιαστηρίου, λέγων, ὀμοσάτω μοι
σήμερον σολομών, εἰ οὐ θανατώσει τὸν
δοῦλον

δοῦλον αὐτοῦ ἐν ῥομφαίᾳ. καὶ εἶπε σολομών, ἐὰν γένηται εἰς υἱὸν δυνάμεως, οὐ πεσεῖται ἀπὸ τῶν τριχῶν αὐτοῦ ἐπὶ τὴν γῆν, καὶ ἐὰν κακία εὑρεθῇ ἐν αὐτῷ, θανατωθήσεται. καὶ ἀπέστειλε ὁ βασιλεὺς σολομών, καὶ κατήνεγκεν αὐτὸν ἀπάνωθεν τοῦ θυσιαστηρίου, καὶ εἰσῆλθε, καὶ προσεκύνησε τῷ βασιλεῖ σολομῶντι. καὶ εἶπεν αὐτῷ σολομών, δεῦρο εἰς τὸν οἶκόν σου.

seruum suum in gladio. Et dixit Solomon, Si fuerit in filium potentiæ, si cadet de capillis eius in terram, & si malitia inuenta fuerit in eo, morietur. Et dimisit rex Solomon, & deduxit eum ab altari, & ingressus est, & adorauit regem Solomonem. Et dixit ei Solomon, Vade in domum tuam.

Καὶ ἤγγισαν αἱ ἡμέραι δαβὶδ ἀποθανεῖν αὐτὸν, καὶ ἐνετείλατο τῷ σολομῶντι υἱῷ αὐτοῦ, λέγων, ἐγώ εἰμι, πορεύομαι ἐν ὁδῷ πάσης τῆς γῆς, καὶ ἰσχύσεις, καὶ ἔσῃ εἰς ἄνδρα τέλειον. καὶ φυλάξεις τὴν φυλακὴν κυρίου θεοῦ σου, τοῦ πορεύεσθαι ἐν ταῖς ὁδοῖς αὐτοῦ, φυλάσσειν τὰς ἐντολὰς αὐτοῦ, καὶ τὰ δικαιώματα καὶ τὰ κρίματα, καὶ τὰ μαρτύρια αὐτοῦ, τὰ γεγραμμένα ἐν τῷ νόμῳ μωϋσέως, ἵνα συνήσῃς, ἃ ποιήσεις κατὰ πάντα, ὅσα ἂν ἐντείλωμαί σοι, ἵνα στήσῃ κύριος τὸν λόγον αὐτοῦ, ὃν ἐλάλησε περὶ ἐμοῦ, λέγων, ἐὰν φυλάξωσιν οἱ υἱοί σου τὴν ὁδὸν αὐτῶν, πορεύεσθαι ἐνώπιόν μου ἐν ἀληθείᾳ, ἐν ὅλῃ καρδίᾳ αὐτῶν, καὶ ἐν ὅλῃ ψυχῇ αὐτῶν, λέγων, οὐκ ἐξολοθρευθήσεταί σοι ἀνὴρ ἐπάνωθεν τοῦ θρόνου ἰσραήλ. καί γε σὺ ἔγνως, ὅσα ἐποίησέ σοι ἰωὰβ υἱὸς σαρουίας, ὅσα ἐποίησε τοῖς δυσὶν ἄρχουσι τῶν δυνάμεων ἰσραὴλ, τῷ ἀβεννὴρ υἱῷ νὴρ, καὶ

Et appropinquauerunt dies Dauid, ut moreretur ipse, & præcepit Solomoni filio suo, dicens, Ego sum, incedo in uia omnis terræ, & potens eris, & eris in uirum perfectum. Et custodies custodiã domini dei tui, ut ambules in uiis eius, ut custodias mandata eius, & decreta eius, & iudicia eius, & testimonia eius, scripta in lege Moysi, ut intelligas quæ facies iuxta omnia, quæcunque præcepero tibi, ut statuat dominus sermonem eius, quem loquutus est de me, dicens, Si custodierint filii tui uiam suam, ut ambulẽt coram me in ueritate, in toto corde suo, & in tota anima sua, dicens, Non perdetur tibi uir de solio Israel. Et sanè tu nosti, quæ fecit tibi Ioab filius Saruia, quæ fecit duobus principibus exercituum Israel, Abenner filio Ner, &

Cap. II
Deut. 31
Iosue 23
Iosue 1
3. Re. 3. 20

et Amessai filio Iether. Et
occidit eos, et ordinauit
sanguines belli in pace. Et
dedit sanguinē innocētem
in balteo suo qui in lum-
bo eius, & in calciamen-
to suo quod in pede eius.
Et facies iuxta sapienti-
am tuam, & non deduces
in pace caniciem eius ad
inferos. Et filiis Berzelli
Galaaditæ facies miseri-
cordiā, & erūt in edētib.
mēsam tuā, qm̄ sic propin
2.Reg.19 quarūt mihi, qn̄ aufugi à
facie Abessalō fratris tui.
Et ecce tecum Semei fi-
lius Gera, filius Iemeni è
Baurim, & is execratus
est me execratione amaru
lenta ea die, qua profici-
scebar in castra, & ipse
descendit in occursum me
um, ad Iordanem, & iura
ui ei in domino, dicens, Si
interficiam te in gladio.
Et nequaquam innocen-
tem habebis eum, quia
uir sapiens es tu, & cog-
nosces, quæ facies ei, &
deduces caniciem eius in
sanguine ad inferos. Et
dormiuit Dauid cum pa-
tribus suis, & sepultus est
in ciuitate Dauid. Et di-
es, quibus regnauit Dauid
super Israel, quadraginta
anni. In Chebron regna-
uit septem annos, & in
Hierusalē regnauit trigin
ta & tres annos. Et Solo
mō sedit in solio Dauid pa
tris sui, filius annorū duode
cim. Et paratū fuit regnū
eius

καὶ τῷ ἀμεσσαῒ υἱῷ ἰεθὲρ. καὶ ἀπέκτεινεν
αὐτοὺς, καὶ ἔταξε τὰ αἵματα πολέμου
ἐν εἰρήνῃ. καὶ ἔδωκεν αἷμα ἀθῶον
ἐν τῇ ζώνῃ αὐτοῦ, τῇ ἐν τῇ ὀσφύϊ αὐ-
τοῦ, καὶ ἐν τῷ ὑποδήματι αὐτοῦ τῷ
ἐν τῷ ποδὶ αὐτοῦ. καὶ ποιήσεις κατὰ
τὴν σοφίαν σου, καὶ οὐ κατάξεις τὴν πο-
λιὰν αὐτοῦ ἐν εἰρήνῃ εἰς ᾅδου. καὶ τοῖς
υἱοῖς βερζελλὶ τοῦ γαλααδίτου ποιή-
σεις ἔλεος, καὶ ἔσονται ἐν τοῖς ἐσθίου-
σι τὴν τράπεζάν σου, ὅτι οὕτως ἤγγι-
σάν μοι ἐν τῷ ἀποδιδράσκειν ἀπὸ
προσώπου ἀβεσσαλὼμ τοῦ ἀδελφοῦ
σου. καὶ ἰδοὺ μετά σου σεμεῒ υἱὸς γηρά,
υἱὸς τοῦ ἰεμενὶ ἐκ βαουρίμ, καὶ αὐτὸς
κατηράσατό με κατάραν ὀδυνηρὰν
τῇ ἡμέρᾳ, ᾗ ἐπορευόμην εἰς παρεμ-
βολάς, καὶ αὐτὸς κατέβη εἰς ἀπάν-
τησίν μου εἰς τὸν ἰορδάνην, καὶ ὤμο-
σα αὐτῷ ἐν κυρίῳ, λέγων, εἰ θανα-
τώσω σε ἐν ῥομφαίᾳ. καὶ οὐ μὴ ἀθῳώ-
σῃς αὐτὸν, ὅτι ἀνὴρ σοφὸς εἶ σύ, καὶ
γνώσῃ, ἃ ποιήσεις αὐτῷ, καὶ κατά-
ξεις τὴν πολιὰν αὐτοῦ ἐν αἵματι εἰς
ᾅδου. καὶ ἐκοιμήθη δαβὶδ μετὰ τῶν
πατέρων αὐτοῦ, καὶ ἐτάφη ἐν πό-
λει δαβίδ. καὶ αἱ ἡμέραι, ἃς ἐβα-
σίλευσε δαβὶδ ἐπὶ τὸν ἰσραὴλ, τεσ-
σαράκοντα ἔτη. ἐν χεβρὼν ἐβασίλευ-
σεν ἑπτὰ ἔτη, καὶ ἐν ἱερουσαλὴμ ἐβα-
σίλευσε τριάκοντα καὶ τρία ἔτη. καὶ
σολομὼν ἐκάθισεν ἐπὶ τοῦ θρόνου
δαβὶδ τοῦ πατρὸς αὐτοῦ, υἱὸς ἐτῶν
δώδεκα. καὶ ἡτοιμάσθη ἡ βασιλεία
αὐτοῦ

αὐτοῦ σφόδρα. καὶ εἰσῆλθον ἀδωνίας υἱὸς ἀγγὶθ πρὸς βηρσαβεὲ, μητέρα σολομῶντος, καὶ προσεκύνησεν αὐτῇ. ἡ δὲ εἶπεν, εἰρήνη ἡ εἴσοδός σου; καὶ εἶπεν, εἰρήνη, λόγος μοι πρὸς σέ. καὶ εἶπεν αὐτῷ, λάλησον. καὶ εἶπεν αὐτῇ, σὺ οἶδας, ὅτι ἐμοὶ ἦν ἡ βασιλεία, καὶ ἐπ' ἐμὲ ἔθετο πᾶς ἰσραὴλ τὸ πρόσωπον αὐτοῦ εἰς βασιλέα, καὶ ἐστράφη ἡ βασιλεία, καὶ ἐγενήθη τῷ ἀδελφῷ μου, ὅτι παρὰ κυρίου ἐγενήθη αὐτῷ. καὶ νῦν αἴτησιν μίαν ἐγὼ αἰτοῦμαι παρὰ σοῦ, μὴ ἀποστρέψῃς τὸ πρόσωπόν μου. καὶ εἶπεν αὐτῷ βηρσαβεὲ, λάλει. καὶ εἶπεν αὐτῇ, εἰπὸν δὴ πρὸς τὸν βασιλέα σολομῶν, ὅτι οὐκ ἀποστρέψει τὸ πρόσωπον αὐτοῦ ἀπό σου, καὶ δώσει μοι τὴν ἀβισὰκ τὴν σωναμίτιν εἰς γυναῖκα. καὶ εἶπεν βηρσαβεὲ, καλῶς, ἐγὼ λαλήσω περί σου τῷ βασιλεῖ. καὶ εἰσῆλθε βηρσαβεὲ πρὸς τὸν βασιλέα σολομῶντα, λαλῆσαι αὐτῷ περὶ ἀδωνίου. καὶ ἐξανέστη ὁ βασιλεὺς εἰς ἀπάντησιν αὐτῆς, καὶ κατεφίλησεν αὐτὴν, καὶ ἐκάθισεν ἐπὶ τοῦ θρόνου αὐτοῦ. καὶ ἐτέθη θρόνος τῇ μητρὶ τοῦ βασιλέως, καὶ ἐκάθισεν ἐκ δεξιῶν αὐτοῦ. καὶ εἶπεν αὐτῷ, αἴτησιν μίαν μικρὰν ἐγὼ αἰτοῦμαι παρὰ σοῦ, μὴ ἀποστρέψῃς τὸ πρόσωπόν μου. καὶ εἶπεν αὐτῇ ὁ βασιλεὺς, αἴτησαι μῆτερ ἐμὴ, ὅτι οὐκ ἀποστρέψω σε. καὶ εἶπε, δοθήτω δὴ ἀβισὰκ ἡ σωναμῖτις

τῷ

eius ualde. Et ingressus
est Adonias filius Aggith
ad Bersabee matrem So-
lomonis, & adorauit eã.
Hæc uerò dixit, Pax in- 3.Reg.10
gressus tu⁹? Et dixit, Pax,
sermo mihi ad te. Et dixit
ei, Loquere. Et dixit, Tu
nosti, quod mihi erat reg
num, & in me posuit om-
nis Israel faciem suam in
regem, & auersum est re-
gnum, & factum est fratri
meo, quoniam à domino
factum est ei. Et nunc pe-
titionem unam ego peto
à te, ne auertas faciem me
am. Et dixit ei Bersabee,
Loquere. Et dixit ei, Dic
iam ad regem Solomon,
quia non auertet faciem
tuam à te, & dabit mihi
Abisac Sonamitin in u-
xorem. Et dixit Bersa-
bee, Bene, ego loquar pro
te regi. Et ingressa est
Bersabee ad regem Solo-
monem, ut loqueretur ei
pro Adonia. Et surrexit
rex in occursum eius, &
adorauit eã, et consedit in
throno suo. Et positus est
thronus matri regis, & cõ
sedit à dextris eius. Et di-
xit ei, Petitionem unam
paruam ego peto à te, ne
auertas faciem meam. Et
dixit ei rex, Pete mater
mea, quoniam non a-
uertam te. Et dixit, De-
tur iam Abisac Sonamitis

Adonia fratri tuo in uxo-
rem. Et respondit rex So
lomon, & dixit matri suę,
Et quare tu petis Abisac
Sonamitin Adoniæ? Et
postula ei regnum, quoni-
am iste frater meus mag-
nus supra me, & ei Abia-
thar sacerdos, & ei Ioab
filius Saruiæ princeps mi
litiæ, socius. Et iurauit
rex Solomon per domi-
num, dicens, Hæc faciat
mihi deus, & hæc addat,
quia contra animam su-
am loquutus est Adonias
sermonem hunc. Et nunc
uiuit dominus, qui institu-
it me, & posuit me in so-
lium Dauid patris mei, &
ipse fecit mihi domum, si-
cut loquutus est dominus,
quia hodie occidetur A-
donias. Et dimisit rex So
lomon in manu Banaiæ fi
lii Iodae, & interfecit e-
um. Et mortuus est Ado-
nias in die illa. Et Abia-
thar sacerdoti dixit rex,
Decurre in Anathoth, in
agrum tuum, quia uir mor
tis es tu in die hac. Et nõ
interficiam te, quia porta
sti arcam fœderis domi-
ni, coram patre meo, &
quia male affectus es in o-
mnibus, quibus male affe
ctus est pater meus. Et e-
iecit Solomon Abiathar,
ut non esset sacerdos do-
mini, ut impleretur sermo
domini, quem loqu-
1.Reg.2 tus est ad domum Heli
in Selo. Et fama uenit
usque

τῷ ἀδωνίᾳ τῷ ἀδελφῷ σου εἰς γυναῖ-
κα. καὶ ἀπεκρίθη ὁ βασιλεὺς σολο-
μὼν, καὶ εἶπε τῇ μητρὶ αὐτοῦ, καὶ ἵνα
τί σὺ ᾔτησαι τὴν ἀβισὰκ τὴν σωνα-
μίτην τῷ ἀδωνίᾳ; καὶ αἴτησαι αὐτῷ
τὴν βασιλείαν, ὅτι οὗτος ἀδελφός
μου ὁ μέγας ὑπὲρ ἐμὲ, καὶ αὐτῷ ἀβιά-
θαρ ὁ ἱερεὺς, καὶ αὐτῷ ἰωὰβ υἱὸς σαρουί-
ας ἀρχιστράτηγος, ἑταῖρος. καὶ ὤμο-
σεν ὁ βασιλεὺς σολομὼν κατὰ τοῦ κυ-
ρίου, λέγων, τάδε ποιήσαι μοι ὁ θεὸς,
καὶ τάδε προσθείη, ὅτι κατὰ τῆς ψυ-
χῆς αὐτοῦ ἐλάλησεν ἀδωνίας τὸν
λόγον τοῦτον. καὶ νῦν ζῇ κύριος, ὃς
ἡτοίμασέ με, καὶ ἔθετό με ἐπὶ τὸν
θρόνον δαβὶδ τοῦ πατρός μου, καὶ
αὐτὸς ἐποίησέ μοι οἶκον, καθὼς ἐ-
λάλησε κύριος, ὅτι σήμερον θανα-
τωθήσεται ἀδωνίας. καὶ ἐξαπέστει-
λεν ὁ βασιλεὺς σολομὼν ἐν χειρὶ βα-
ναίου υἱοῦ ἰωδαὲ, καὶ ἀνεῖλεν αὐτόν.
καὶ ἀπέθανεν ἀδωνίας ἐν τῇ ἡμέ-
ρᾳ ἐκείνῃ. καὶ ἀβιάθαρ τῷ ἱερεῖ εἶπεν
ὁ βασιλεὺς, ἀπότρεχε σὺ εἰς ἀναθὼθ,
εἰς ἀγρόν σου, ὅτι ἀνὴρ θανάτου εἶ σὺ
ἐν τῇ ἡμέρᾳ ταύτῃ. καὶ οὐ θανατώ-
σω σε, ὅτι ἦρας τὴν κιβωτὸν διαθή-
κης κυρίου, ἐνώπιον τοῦ πατρός μου,
καὶ ὅτι ἐκακουχήθης ἐν πᾶσιν, οἷς
ἐκακουχήθη ὁ πατήρ μου. καὶ ἐξέβα-
λε σολομὼν τὸν ἀβιάθαρ, τοῦ μὴ εἶ-
ναι ἱερέα τοῦ κυρίου, πληρωθῆναι τὸν
λόγον κυρίου, ὃν ἐλάλησεν ἐπὶ τὸν οἶ-
κον ἠλὶ ἐν σηλώμ. καὶ ἡ ἀκοὴ ἦλθεν
ἕως

ἕως ἰωὰβ υἱοῦ σαρουίας, ὅτι ἰωὰβ ἦν κεκλικὼς ὀπίσω ἀδωνίου, καὶ ὀπίσω σολομῶντος οὐκ ἔκλινε. καὶ ἔφυγεν ἰωὰβ εἰς τὸ σκήνωμα τοῦ κυρίου, καὶ κατέσχε τῶν κεράτων τοῦ θυσιαστηρίου. καὶ ἀπηγγέλη τῷ σολομῶντι, λέγοντες, ὅτι πέφευγεν ἰωὰβ εἰς τὴν σκηνὴν τοῦ κυρίου, καὶ ἰδοὺ, κατέχει τῶν κεράτων τοῦ θυσιαστηρίου. καὶ ἀπέστειλε σολομὼν ὁ βασιλεὺς πρὸς ἰωὰβ, λέγων, τί γέγονέ σοι, ὅτι πέφευγας εἰς τὸ θυσιαστήριον; καὶ εἶπεν ἰωὰβ, ὅτι ἐφοβήθην ἀπὸ προσώπου σου, καὶ ἔφυγον πρὸς κύριον. καὶ ἀπέστειλε σολομὼν τὸν βαναίαν υἱὸν ἰωδαὲ, λέγων, πορεύου, καὶ ἄνελε αὐτὸν, καὶ θάψον αὐτόν. καὶ ἦλθε βαναίας υἱὸς ἰωδαὲ πρὸς ἰωὰβ, εἰς τὴν σκηνὴν τοῦ κυρίου, καὶ εἶπεν αὐτῷ, τάδε λέγει ὁ βασιλεὺς, ἔξελθε. καὶ εἶπεν ἰωὰβ, οὐκ ἐκπορεύσομαι, ὅτι ὧδε ἀποθανοῦμαι. καὶ ἐπέστρεψε βαναίας υἱὸς ἰωδαὲ, καὶ εἶπε τῷ βασιλεῖ, λέγων, τάδε λελάληκεν ἰωὰβ, καὶ τάδε ἀποκέκριταί μοι. καὶ εἶπεν αὐτῷ ὁ βασιλεὺς, πορεύου, καὶ ποίησον αὐτῷ, καθὼς εἴρηκε, καὶ ἄνελε αὐτὸν, καὶ θάψεις αὐτόν. καὶ ἐξαρεῖς σήμερον τὸ αἷμα, ὃ δωρεὰν ἐξέχεεν ἰωὰβ, ἀπ᾽ ἐμοῦ καὶ ἀπὸ τοῦ οἴκου τοῦ πατρός μου. καὶ ἐπέστρεψε κύριος τὸ αἷμα τῆς ἀδικίας αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, ὡς ἀπήντησε τοῖς δικαίοις καὶ ἀγαθοῖς ὑπὲρ αὐτόν.

καὶ

usque ad Ioab filium Saruiae, quod Ioab esset inclinatus post Adonian, & post Solomonem non inclinasset. Et fugit Ioab in tabernaculum domini, & apprehendit cornua altaris. Et renunciatum est Solomoni, dicētes, Quod fugit Ioab in tabernaculum domini, & ecce, detinet cornua altaris. Et dimisit Solomon rex ad Ioab, dicens, Quid accidit tibi, quod fugisti ad altare? Et dixit Ioab, Quod timui à facie tua, & fugi ad dominum. Et dimisit Solomon Banaian filium Iodae & Ioab, dicēs, Vade, & interfice eum, & sepeli eū. Et uenit Banaias filius Iodae ad Ioab, in tabernaculum domini, et dixit ei, Hęc dicit rex, egredere. Et dixit Ioab, Non egrediar, quia hic moriar. Et reuersus est Banaias, & dixit regi, dicens, Hęc loquutus est Ioab, & hæc respondit mihi. Et dixit ei rex, Vade, & fac ei, sicut dixit, & interfice eum, & sepelies eū. Et exímes hodie sanguinē, quem effudit Ioab gratis, à me & à domo patris mei. Et conuertit dominus sanguinem iniustitiæ eius in caput eius, quod congressus est duobus hominibus, iustis & bonis supra eum.

o 5 Et

Et occidit eos in gladio, & pater meus Dauid non nouit sanguinem eorum, Abenner filium Ner, principẽ militiæ Israel, & Amessai filium Iether, principem exercitus Iuda. Et conuersi sunt sanguines illorum in caput eius, & in caput seminis eius usq; in æternum. Et Dauid & semini eius & domui eius & throno eius, fiat mihi pax usq; in æternũ à domino. Et ascendit Banaias filius Iodae, & congressus ẽ ei, & interfecit eũ, & sepeliuit eũ in domo sua in deserto. Et dedit rex Solomon Banaian filiũ Iodae pro eo ad militię principatum. Et regnum erigebatur in Hierusalem. Et Sadoc sacerdotem dedit rex in sacerdotem primum, pro Abiathar. Et Solomon filius Dauid regnauit super Israel & Iuda in Hierusalem.

γειρε κύριος σατὰν τῷ σολομῶντι,
τὸν ἄδερ τὸν ἰδουμαῖον. καὶ ἤγει-
ρε κύριος τῷ σολομῶντι σατὰν, τὸν
ῥαζρὸν, υἱὸν ἐλιαδεκὲ τὸν βαραμὲθ,
καὶ τὸν ἀδραάζερ βασιλέα σου-
βᾶ, κύριον αὐτοῦ. καὶ συνηθροίσθη-
σαν ἐπ᾽ αὐτὸν ἄνδρες, καὶ ἦν ἄρ-
χων συστρεμμάτων, καὶ προκατελά-
βετο τὴν δαμασὲκ, καὶ ἐκάθισαν
ἐν αὐτῇ, καὶ ἐβασίλευσαν ἐν δαμα-
σὲκ, καὶ ἦν σατὰν τῷ ἰσραὴλ πά-
σας τὰς ἡμέρας σολομῶντος. καὶ ἄ-
δερ ὁ ἰδουμαῖος ἐκ τοῦ σπέρματος
τῆς βασιλείας ἐν ἰδουμαίᾳ. καὶ ἐγέ-
νετο ἐν τῷ ἐξολοθρεῦσαι δαβὶδ τὸν
ἐδὼμ, ἐν τῷ πορευθῆναι ἰωὰβ τὸν
ἄρχοντα τῆς στρατιᾶς θάπτειν τοὺς
τραυματίας, καὶ ἔκοψαν πᾶν ἀρσε-
νικὸν ἐν τῇ ἰδουμαίᾳ. ὅτι ἓξ μῆνας
ἐνεκάθητο ἐκεῖ ἰωὰβ, καὶ πᾶς ἰσραὴλ
ἐν τῇ ἰδουμαίᾳ, ἕως ὅτου ἐξωλόθρευ-
σεν πᾶν ἀρσενικὸν ἐκ τῆς ἰδουμαί-
ας. καὶ ἀπέδρα ἄδερ, αὐτὸς καὶ πάν-
τες ἄνδρες ἰδουμαῖοι τῶν παίδων

τοῦ

disrumpens disrumpam regnum tuum de manu tua, & dabo illud seruo tuo. Verùm in diebus tuis nō faciam hæc, propter Dauid patrem tuum, de manu filii tui capiam illud. Verū totū regnū nō capiam, sceptrum unum dabo filio tuo, propter Dauid patrem tuum, & propter Hierusalem ciuitatē, quā elegi. Et excitauit dominus Satan Solomoni Ader Idumæum. Et excitauit dominus Solomoni Satan, Razron, filium Elidece Barameth, & Adradezer regem Suba, dominum eius. Et congregati sunt ad eum uiri, & erat princeps cōiurationū, & pręoccupauit Damasec, et consedit in ea, & regnauit in Damasec, & erat Satan Israel omnes dies Solomonis. Et Ader Idumæus ex semine regni in Idumæa. Et factum est, cum disperderet Dauid Edom, cum iret Ioab princeps militiæ ad sepeliendum interfectos, & occiderunt omne masculinum in Idumea. Quia sex menses obsedit ibi Ioab, & omnis Israel, in Idumæa nec exciderunt omne masculinū de Idumæa. Et aufugit Ader, ipse & oēs uiri Idumæi seruorum

 patris

patris eius cum eo, & ingressi sunt in Aegyptum. Et Ader puellus paruus, & assurgunt uiri ex urbe Madian, & ueniūt in Pharan, & capiunt uiros secum, & ueniunt ad Pharao regem Aegypti. Et ingressus est Ader ad Pharao, & dedit ei domum, et panes disposuit ei, & terram dedit ei. Et inuenit Ader gratiam corā Pharao ualde, & dedit in uxorem, sororem uxoris suæ, sororem Thecemines maiorem. Et peperit ei soror Thecemines Ader Ganebath filium eius, & enutriuit eū Thecemina in medio filiorum Pharao. Et erat Ganebath in medio filiorum Pharao. Et Ader audiuit in Aegypto, quod dormiuit Dauid cū patribus suis, & qđ mortuus est Ioab princeps mi-
Gen. 30 litiæ. Et dixit Ader ad Pharao, Dimitte me, & reuertar in terram meam. Et dixit Pharao Ader, Qua re tu minor es apud me, & ecce, tu quæris ire ad terram tuam? Et dixit ei Ader, Quia dimittens dimittes me. Et reuersus est Ader in terrā eius. Hæc malitia, quam fecit Ader, & grauatus est contra Israel, & regnauit in terra Edō. Et Hieroboā filius Nabat Ephrathi, ex Sarrera, filius mulieris uiduæ, seruus Solomonis, &

hæc

τοῦ πατρὸς αὐτοῦ μετ' αὐτοῦ, καὶ εἰσῆλθον εἰς αἴγυπτον. καὶ ἄδερ παιδάριον μικρὸν, καὶ ἀνίστανται ἄνδρες ἐκ τῆς πόλεως μαδιὰν, καὶ ἔρχονται εἰς φαρὰν, καὶ λαμβάνουσιν ἄνδρας μεθ' αὐτῶν, καὶ ἔρχονται πρὸς φαραὼ βασιλέα αἰγύπτου. καὶ εἰσῆλθεν ἄδερ πρὸς φαραὼ, καὶ ἔδωκεν αὐτῷ οἶκον, καὶ ἄρτους διέταξεν αὐτῷ, καὶ γῆν ἔδωκεν αὐτῷ. καὶ εὗρεν ἄδερ χάριν ἐναντίον φαραὼ σφόδρα, καὶ ἔδωκεν αὐτῷ γυναῖκα, ἀδελφὴν τῆς γυναικὸς αὐτοῦ, ἀδελφὴν θεκεμίνας τὴν μείζω. καὶ ἔτεκεν αὐτῷ ἡ ἀδελφὴ θεκεμίνας τῷ ἄδερ τὸν γανηβὰθ υἱὸν αὐτῆς, καὶ ἐξέθρεψεν αὐτὸν θεκεμινὰ, ἐν μέσῳ υἱῶν φαραώ. καὶ ἦν γανηβὰθ ἐν μέσῳ υἱῶν φαραώ. καὶ ἄδερ ἤκουσεν ἐν αἰγύπτῳ, ὅτι κεκοίμηται δαβὶδ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ὅτι τέθνηκεν ἰωὰβ ὁ ἄρχων τῆς στρατιᾶς. καὶ εἶπεν ἄδερ πρὸς φαραὼ, ἐξαπόστειλόν με, καὶ ἀποστρέψω εἰς τὴν γῆν μου. καὶ εἶπε φαραὼ τῷ ἄδερ, τίνι σὺ ἐλάττον εἶ μετ' ἐμοῦ, καὶ ἰδοὺ, σὺ ζητεῖς ἀπελθεῖν εἰς τὴν γῆν σου; καὶ εἶπεν αὐτῷ ἄδερ, ὅτι ἐξαποστέλλων ἐξαποστελεῖς με. καὶ ἀνέστρεψεν ἄδερ εἰς τὴν γῆν αὐτοῦ. αὕτη ἡ κακία, ἣν ἐποίησεν ἄδερ, καὶ ἐβαρύνθη ἐπὶ ἰσραὴλ, καὶ ἐβασίλευσεν ἐν γῇ ἐδώμ. καὶ ἱεροβοὰμ υἱὸς ναβὰτ ἐφραθὶ, ἐκ τῆς σαῤῥηρὰ, υἱὸς γυναικὸς χήρας, δοῦλος σολομῶντος, καὶ

ποτε

τοῦτο τὸ πρᾶγμα, ὃ ἐποίησεν, ὡς ἐπήρατο χεῖρας ἐπὶ βασιλέα σολομῶντα. καὶ ὁ βασιλεὺς σολομὼν, ᾠκοδόμησε τὴν ἄκραν, καὶ συνέκλεισε τὸν φραγμὸν τῆς πόλεως δαβὶδ τοῦ πατρὸς ἑαυτοῦ. καὶ ὁ ἄνθρωπος ἱεροβοὰμ ἰσχυρὸς δυνάμει. καὶ εἶδε σολομὼν τὸ παιδάριον, ὅτι ἀνὴρ ἔργων ἐστὶ, καὶ κατέστησεν αὐτὸν ἐπὶ τὰς ἄρσεις οἴκου ἰωσήφ. καὶ ἐγενήθη ἐν τῷ καιρῷ ἐκείνῳ, καὶ ἱεροβοὰμ ἐξῆλθεν ἐξ ἱερουσαλὴμ, καὶ εὗρεν αὐτὸν ἀχιὰ ὁ σηλωνίτης ὁ προφήτης ἐν τῇ ὁδῷ, καὶ κατέστησεν αὐτὸν ἐκ τῆς ὁδοῦ. καὶ ἀχιὰ περιβεβλημένος ἱματίῳ καινῷ, καὶ ἀμφότεροι μόνοι ἐν τῷ πεδίῳ. καὶ ἐπελάβετο ἀχιὰ τοῦ ἱματίου αὐτοῦ καινοῦ τοῦ ἐπ' αὐτοῦ, καὶ διέρρηξεν αὐτῷ δώδεκα ῥήγματα. καὶ εἶπε τῷ ἱεροβοὰμ, λαβὲ σεαυτῷ δέκα ῥήγματα. ὅτι τάδε λέγει κύριος ὁ θεὸς ἰσραὴλ, ἰδοὺ, ἐγὼ ῥήσσω τὴν βασιλείαν ἐκ χειρὸς σολομῶντος, καὶ δώσω σοὶ δέκα σκῆπτρα. καὶ δύο σκῆπτρα ἔσονται αὐτῷ, διὰ τὸν δοῦλόν μου δαβὶδ, καὶ διὰ ἱερουσαλὴμ τὴν πόλιν, ἣν ἐξελεξάμην ἐν αὐτῇ, ἐκ πασῶν φυλῶν ἰσραὴλ, ἀνθ' ὧν ἐγκατέλιπέ με, καὶ ἐποίησε τῇ ἀστάρτῃ βδελύγματι σιδωνίων, καὶ τῷ χαμὼς, καὶ τοῖς εἰδώλοις μωὰβ, καὶ τῷ βασιλεῖ αὐτῶν, προσοχθίσματι υἱῶν ἀμμὼν, καὶ οὐκ ἐπορεύθη ἐν ταῖς ὁδοῖς μου, τοῦ ποιῆσαι τὸ εὐθὲς ἐνώπιον ἐμοῦ,

ὡς

hæc actio, quam fecit, ut extulit manus in regē Solomonē. Et rex Solomon ædificauit arcem, & concluſit ſepem ciuitatis Dauid patris ſui. Et homo Hieroboam fortis robore. Et uidit Solomō puellum, quod uir operum eſt, & conſtituit eum ſuper tributa domus Ioſeph. Et factum eſt in tempore illo, & Hieroboam exiuit è Hieruſalem, & inuenit cū Achia Selonites propheta in uia, & tranſtulit eum è uia. Et Achia circūdatus ueſte noua, & ambo ſoli in campo. Et apprehendit Achia ueſtem eius nouam in eo, & diſcidit ei duodecim ſciſſuras. Et dixit Hieroboam, Tolle tibi decem ſciſſuras. Quia hæc dicit dominus deus Iſrael, Ecce, ego ſcindam regnum de manu Solomonis, & dabo tibi decem ſceptra, & duo ſceptra erunt ei, propter ſeruū meum Dauid, & propter Hieruſalem ciuitatem, quam elegi in ea, ex omnibus tribubus Iſrael, propterea quod dereliquit me, & fecit Aſtartæ abominationi Sidoniorum, & Chamos & ſimulacris Moab, & regi eorum, moleſtiæ filiorum Ammon, & non ambulauit in uiis meis, ut faceret rectum corā me,

ut Dauid pater eius. Qua
propter oppositus oppo-
nar ei omnes dies uitę eius
& non auferam regnum
totum de manu eius, pro-
pter Dauid seruum meũ,
quem elegi eum. Et aufe-
ram regnum de manu filii
eius, & dabo tibi decem
sceptra. At filio eius dabo
duo sceptra, ut sit adoptio
seruo meo Dauid omni-
bus diebus, coram me in
Hierusalem ciuitate, quam
elegi mihiipsi, ut pone-
rem nomen eum ibi. Et te
assumam, & regnabis, in
quibus desiderat anima
tua, & tu eris rex super Is-
rael. Et erit, si custodieris
omnia, quæ præcepero ti
bi, & ambulaueris in uiis
meis, & feceris rectum co
ram me, ut custodias om-
nia mandata mea & præ-
cepta mea, sicut fecit Da-
uid seruus meus, & ero te
cum. & ædificabo tibi do
mũ fidelem, sicut ædifica-
ui Dauid. Et quæsiuit So
lomon interficere Hiero-
boam. Et surrexit, & au-
fugit in Aegyptum ad Su
sacim regem Aegypti, &
fuit in Aegypto, donec
mortuus est Solomon. Et
2.Par.9 reliqua sermonũ Solomo-
nis, & omnia quæ fecit, et
omnis prudẽtia eius, non-
ne hæc scripta sunt in li-
bro uerborum Solomo-
nis? Et dies, quos re-
gnauit Solomon in Hie-
rusalem,

ὡς δαβὶδ ὁ πατὴρ αὐτοῦ, διότι ἀν-
τιπαρεστάμενος ἀντιτάξομαι αὐτῷ,
πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ, καὶ
οὐ μὴ λάβω τὴν βασιλείαν ὅλην ἐκ
χειρὸς αὐτοῦ, διὰ δαβὶδ τὸν δοῦλόν μου,
ὃν ἐξελεξάμην αὐτόν. καὶ λήψομαι
τὴν βασιλείαν ἐκ χειρὸς τοῦ υἱοῦ αὐ-
τοῦ, καὶ δώσω σοὶ τὰ δέκα σκῆπτρα,
τῷ δὲ υἱῷ αὐτοῦ δώσω τὰ δύο σκῆπτρα,
ὅπως ᾖ θέσις τῷ δούλῳ μου δαβὶδ,
πάσας τὰς ἡμέρας ἐνώπιον ἐμοῦ,
ἐν ἱερουσαλὴμ τῇ πόλει, ἣν ἐξελεξά-
μην ἐμαυτῷ, τοῦ θέσθαι τὸ ὄνομά
μου ἐκεῖ. καὶ σὲ λήψομαι, καὶ βασι-
λεύσεις, ἐν οἷς ἐπιθυμεῖ ἡ ψυχή σου,
καὶ σὺ ἔσῃ βασιλεὺς ἐπὶ τὸν ἰσραήλ. καὶ
ἔσται, ἐὰν φυλάξῃς πάντα, ὅσα ἐν-
τέλλωμαί σοι, καὶ πορευθῇς ἐν ταῖς
ὁδοῖς μου, καὶ ποιήσῃς τὸ εὐθὲς ἐνώ-
πιον ἐμοῦ, τοῦ φυλάξαι τὰ προστάγμα-
τά μου, καὶ τὰς ἐντολάς μου, καθὼς ἐ-
ποίησε δαβὶδ ὁ δοῦλός μου, καὶ ἔσο-
μαι μετά σου, καὶ οἰκοδομήσω σοι οἶ-
κον πιστὸν, καθὼς ᾠκοδόμησα τῷ δα-
βίδ. καὶ ἐζήτησε σολομὼν θανατῶσαι
τὸν ἱεροβοάμ, καὶ ἀνέστη, καὶ ἀπέδρα
εἰς αἴγυπτον, πρὸς σουσακεὶμ βασι-
λέα αἰγύπτου, καὶ ἦν ἐν αἰγύπτῳ, ἕως
οὗ ἀπέθανε σολομών. καὶ τὰ λοιπὰ
τῶν λόγων σολομών, καὶ πάντα, ὅσα ἐ-
ποίησε, καὶ πᾶσαν τὴν φρόνησιν αὐ-
τοῦ, οὐκ ἰδοὺ ταῦτα γέγραπται ἐν βι-
βλίῳ ῥημάτων σολομῶντος; καὶ αἱ ἡ-
μέραι, ἃς ἐβασίλευσε σολομὼν ἐν ἱε-
ρουσα-

ρουσαλὴμ, ἐπὶ πάντα ἰσραὴλ, τεσσαράκοντα ἔτη. καὶ ἐκοιμήθη σολομὼν μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἔθαψαν αὐτὸν ἐν πόλει δαβὶδ τοῦ πατρὸς αὐτοῦ. καὶ ἐγενήθη, ὡς ἤκουσεν ἱεροβοὰμ υἱὸς ναβὰτ, καὶ αὐτοῦ ἔτι ὄντος ἐν αἰγύπτῳ, ὡς ἔφυγεν ἐκ προσώπου τοῦ βασιλέως σολομὼν, καὶ ἐκάθητο ἐν αἰγύπτῳ, κατευθύνει, καὶ ἔρχεται εἰς τὴν πόλιν αὐτοῦ, εἰς τὴν γῆν σαῤῥηρὰ τὴν ἐν ὄρει ἐφραίμ. καὶ ὁ βασιλεὺς σολομὼν ἐκοιμήθη μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐβασίλευσε ῥοβοὰμ ὁ υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ.

Καὶ πορεύεται ὁ βασιλεὺς ῥοβοὰμ εἰς σίκιμα, ὅτι εἰς σίκιμα ἤρχοντο πᾶς ἰσραὴλ βασιλεῦσαι αὐτόν. καὶ ἐλάλησεν ὁ λαὸς πρὸς τὸν βασιλέα ῥοβοὰμ, λέγοντες, ὁ πατήρ σου ἐβάρυνε τὸν κλοιὸν ἡμῶν, καὶ σὺ νῦν κούφισον ἀπὸ τῆς δουλείας τοῦ πατρός σου τῆς σκληρᾶς, καὶ ἀπὸ τοῦ κλοιοῦ αὐτοῦ τοῦ βαρέος, οὗ ἔδωκεν ἐφ᾽ ἡμᾶς, καὶ δουλεύσομέν σοι. καὶ εἶπε πρὸς αὐτοὺς, ἀπέλθετε ἕως ἡμερῶν τριῶν, καὶ ἀναστρέψατε πρός με. καὶ ἀπῆλθον, καὶ ἀπήγγειλεν ὁ βασιλεὺς ῥοβοὰμ τοῖς πρεσβυτέροις, οἳ ἦσαν παρεστηκότες ἐνώπιον σολομῶντος τοῦ πατρὸς αὐτοῦ, ἔτι ζῶντος αὐτοῦ, λέγων, πῶς ὑμεῖς βουλεύετε, καὶ ἀποκριθῶ τῷ λαῷ τούτῳ λόγον; καὶ ἐλάλησαν πρὸς αὐτὸν, λέγοντες, εἰ ἐν τῇ ἡμέρᾳ ταύτῃ ἔσῃ δοῦλος

τῷ

ruſalem, ſuper omnem Iſrael, quadraginta anni. Et dormiuit Solomon cum patribus ſuis, & ſepelierunt eum in ciuitate Dauid patris ſui. Et factum eſt, ut audiuit Hieroboam filius Nabat, & eo adhuc exiſtente in Aegypto, ut fugit à facie regis Solomonis, & conſedit in Aegypto, profectionem inſtituit, & migrat in urbem eius, in terrã Sarrera, quae in mõte Ephraim. Et rex Solomon dormiuit cũ patribus eius, & regnauit Roboã filius eius pro eo.

Cap. XII

Et proficiſcitur rex Roboam in Sicima, quia in Sicima ueniebant omnis Iſrael ad conſtituendũ regem eum. Et loquutus eſt populus ad regem Roboam, dicentes, Pater tuus grauauit iugum noſtrum, & tu nunc leua de ſeruitute patris tui dura, & de iugo eius graui, quod dedit ſuper nos, & ſeruiemus tibi. Et dixit ad eos, Abite uſq; ad dies tres, & reuertimini ad me. Et abierũt, et renunciauit rex Roboã ſenioribus, qui erant adſiſtentes coram Solomone patre eius, adhuc uiuente eo, dicens, Quomodo uos conſulitis, ut reſpondeam populo huic ſermonẽ? Et locuti ſunt ad eũ, dicẽtes, Si in die hac fueris ſeruus

populo huic, & seruies eis, & loqueris ad eos sermones bonos, & erunt tibi serui omnibus diebus. Et dereliquit consilium seniorum, quod consuluerāt ei, & iniit consilium cum pueris qui enutriti fuerant cum eo, qui adsistebant ante faciem eius. Et dixit eis, Quid uos consulitis? Et quid respondebo populo huic, qui locuti sunt ad me, dicentes, Leua à iugo, quod dedit pater tuus super nos? Et loquuti sunt ad eum iuuenes enutriti cum eo, & dixerunt, Hæc loqueris populo huic, qui loquuti sunt ad te, dicentes, Pater tuus grauauit iugum nostrum, & tu nunc leua à nobis. Hæc

2.Par.10 dices ad eos, Paruitas mea crassior est lumbo patris mei. Et nunc pater meus instrauit uos iugo graui, & ego addam super iugum uestrum. Pater meus erudiuit uos in flagellis, ego uerò erudiā uos in scorpionibus. Et aduenit omnis populus ad regem Roboam in die tertia, sicut loquutus est rex Israel, dicens, Reuertimini ad me in die tertia. Et respondit rex ad poplū dura. Et dereliqt rex Roboā cōsiliū seniorum,

τῷ λαῷ τούτῳ, καὶ δουλεύσεις αὐτοῖς, καὶ λαλήσεις πρὸς αὐτοὺς λόγους ἀγαθούς, καὶ ἔσονταί σοι δοῦλοι πάσας τὰς ἡμέρας. καὶ ἐγκατέλιπε τὴν βουλὴν τῶν πρεσβυτέρων, ἃ συνεβουλεύσαντο αὐτῷ, καὶ συνεβουλεύσατο μετὰ τῶν παιδαρίων τῶν ἐκτραφέντων μετ᾽ αὐτοῦ, τῶν παρεστηκότων πρὸ προσώπου αὐτοῦ. καὶ εἶπεν αὐτοῖς, τί ὑμεῖς συμβουλεύετε; καὶ τί ἀποκριθῶ τῷ λαῷ τούτῳ, τοῖς λαλήσασι πρός με, λεγόντων, κούφισον ἀπὸ τοῦ κλοιοῦ, οὗ ἔδωκεν ὁ πατήρ σου ἐφ᾽ ἡμᾶς; καὶ ἐλάλησαν πρὸς αὐτὸν τὰ παιδάρια τὰ ἐκτραφέντα μετ᾽ αὐτοῦ, καὶ εἶπον αὐτῷ, τάδε λαλήσεις τῷ λαῷ τούτῳ, τοῖς λαλήσασι πρός σε, λέγοντες, ὁ πατήρ σου ἐβάρυνε τὸν κλοιὸν ἡμῶν, καὶ σὺ νῦν κούφισον ἀφ᾽ ἡμῶν. τάδε λαλήσεις πρὸς αὐτούς, ἡ μικρότης μου παχυτέρα τῆς ὀσφύος τοῦ πατρός μου. καὶ νῦν ὁ πατήρ μου ἐπεσάξατο ὑμᾶς κλοιῷ βαρεῖ, κἀγὼ προσθήσω ἐπὶ τὸν κλοιὸν ὑμῶν. ὁ πατήρ μου ἐπαίδευσεν ὑμᾶς ἐν μάστιξιν, ἐγὼ δὲ παιδεύσω ὑμᾶς ἐν σκορπίοις. καὶ παρεγένετο πᾶς ὁ λαὸς πρὸς τὸν βασιλέα Ῥοβοάμ, ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ, καθότι ἐλάλησεν αὐτοῖς ὁ βασιλεὺς Ἰσραήλ, λέγων, ἀναστρέψατε πρός με ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ. καὶ ἀπεκρίθη ὁ βασιλεὺς πρὸς τὸν λαὸν σκληρά. καὶ ἐγκατέλιπεν ὁ βασιλεὺς Ῥοβοὰμ τὴν βουλὴν τῶν πρεσβυτέρων,

σβυτέρων, ἃ συνεβουλεύσαντο αὐτῷ, καὶ ἐλάλησε πρὸς αὐτοὺς κατὰ τὴν βουλὴν τῶν παιδαρίων, λέγων, ὁ πατήρ μου ἐβάρυνε τὸν κλοιὸν ὑμῶν, κἀγὼ προσθήσω ἐπὶ τὸν κλοιὸν ὑμῶν. ὁ πατήρ μου ἐπαίδευσεν ὑμᾶς ἐν μάστιξι, κἀγὼ παιδεύσω ὑμᾶς ἐν σκορπίοις. καὶ οὐκ ἤκουσεν ὁ βασιλεὺς τοῦ λαοῦ, ὅτι ἦν μεταστροφὴ παρὰ κυρίου, ὅπως στήσῃ τὸ ῥῆμα αὐτοῦ, ὃ ἐλάλησεν ἐν χειρὶ ἀχιὰ τοῦ σηλωνίτου, περὶ ἱεροβοὰμ υἱοῦ ναβάτ. καὶ εἶδε πᾶς ἰσραὴλ, ὅτι οὐκ ἤκουσεν ὁ βασιλεὺς τῆς φωνῆς αὐτῶν. καὶ ἀπεκρίθησαν ὁ λαὸς τῷ βασιλεῖ, λέγων, τίς ἡμῖν μερὶς ἐν δαβίδ; καὶ οὐκ ἔστιν ἡμῖν κληρονομία ἐν υἱῷ ἰεσαί. ἀπότρεχε ἰσραὴλ εἰς τὰ σκηνώματά σου, νῦν βόσκε τὸν οἶκόν σου δαβίδ. καὶ ἀπῆλθεν ἰσραὴλ εἰς τὰ σκηνώματα αὐτοῦ. καὶ ἀπέστειλεν ὁ βασιλεὺς τὸν ἀδωνιρὰμ τὸν ἐπὶ τοῦ φόρου, καὶ ἐλιθοβόλησαν αὐτὸν ἐν λίθοις πᾶς ἰσραὴλ, καὶ ἀπέθανεν. καὶ ὁ βασιλεὺς ῥοβοὰμ ἔφθασεν ἀναβῆναι ἐπὶ τὸ ἅρμα, τοῦ φυγεῖν εἰς ἱερουσαλήμ. καὶ ἠθέτησεν ἰσραὴλ εἰς τὸν οἶκον δαβὶδ ἕως τῆς ἡμέρας ταύτης. καὶ ἐγένετο, ὡς ἤκουσε πᾶς ἰσραὴλ, ὅτι ἀνέκαμψεν ἱεροβοὰμ ἐξ αἰγύπτου, καὶ ἀπέστειλαν, καὶ ἐκάλεσαν αὐτὸν εἰς τὴν συναγωγὴν, καὶ ἐβασίλευσαν αὐτὸν ἐπὶ ἰσραήλ. καὶ οὐκ ἦν ὀπίσω οἴκου δαβὶδ, πάρεξ σκήπτρου ἰούδα καὶ βενιαμὶν

niorum, quod consuluerũt ei, & loquutus est ad eos secundum consilium puerorum, dicens, Pater meus grauauit iugum uestrum, & ego addam super iugum uestrum. Pater meus erudiuit uos in flagellis, et ego erudiam uos in scorpionibus. Et non audiuit rex populũ, quia erat auersio à domino, ut statueret dominus uerbũ suum, quod loquutus est in manu Achia Selonitæ de Hieroboam filio Nabat. Et uidit omnis Israel, quod non audiuit rex uocem eorum. Et responderunt populus regi, dicens, Quæ nobis pars in Dauid? Et non est nobis hæreditas in filio Iessæ. Decurre Israel in taberna- 2.Par.10 cula tua, nunc pasce domũ tuam Dauid. Et abiit Israel in tabernacula sua. Et dimisit rex Adoniram, qui super tributum, & lapidauerunt eum in lapidibus omnis Israel, & mortuus est. Et rex Roboã præuenit ascẽdere sup currũ, ut fugeret in Hierusalẽ. Et illegitimè egit Israel in domũ Dauid usq; in diẽ hũc. Et factũ est, ut audiuit oĩs Israel, qđ reuersus esset Hieroboã ex Aegypto, et dimiserũt, & uocauerũt eũ in cõgregationẽ, & cõstituerũt regẽ eũ sup Israel. Et nõ erat post domũ Dauid, præter sceptrũ Iuda et Benia-

Beniamin, soli. Et Robo-
am ingressus est in Hieru
salem, & euocauit congre
gationem Iuda, & sceptrũ
Beniamin, centum & ui-
ginti milia iuuenum, faci-
entium bellum, ut bellige
rarent contra domum Isra
el, ut reducerent regnum
Roboã filio Solomonis.
Et factus est sermo domi-
ni ad Samæan, hominem
dei, dicens, Dic Roboam
filio Solomonis, regi Iu-
da, & ad oẽm domũ Iuda
& Beniamin, & reliquo
popl'i, dicẽs, Hęc dicit dñs,
nõ ascẽdetis, neq; bellige
rabitis cũ fratrib. uestris fi
liis Israel. Reuertatur unus
quisq; in domum suam,
quia à me factum est uer-
bum hoc. Et audierũt ser
monem domini, & quie-
uerunt ire, secundum uer-
bum domini. Et rex Solo
mon dormit cũ patribus
eius, & sepelitur cum pa-
tribus eius, in urbe Da-
uid. Et regnauit Roboã
filius eius pro eo, in Hieru
salem, filius existens sex et
decem annorũ cum regna
ret ipse, & septemdecim
annos regnauit in Hieru-
salẽ. Et nomẽ matris eius,
Naanan, filia Annon filii
Naas, regis filiorum Am-
mon. Et fecit malum co-
ram domino, & non pro-
fectus est in uia Dauid pa
tris eius. Et erat homo ex
monte Ephraim, seruus
Solomon, & nomen ei
Hiero-

βενιαμὶν μόνοι. καὶ ῥοβοὰμ εἰσῆλθεν
εἰς ἱερουσαλὴμ, καὶ ἐξεκκλησίασε τὴν
συναγωγὴν ἰούδα, καὶ σκῆπτρον βεν-
ιαμὶν, ἑκατὸν καὶ εἴκοσι χιλιάδας
νεανιῶν, ποιούντων πόλεμον, τοῦ πο
λεμεῖν πρὸς οἶκον ἰσραὴλ, ἐπιστρέ-
ψαι τὴν βασιλείαν ῥοβοὰμ υἱῷ σολο-
μῶντος. καὶ ἐγένετο λόγος κυρίου
πρὸς σαμαίαν, ἄνθρωπον τοῦ θεοῦ, λέ
γων, εἶπον τῷ ῥοβοὰμ υἱῷ σολομῶντος,
βασιλεῖ ἰούδα, καὶ πρὸς πάντα οἶκον
ἰούδα καὶ βενιαμὶν, καὶ τῷ καταλοίπῳ
τοῦ λαοῦ, λέγων, τάδε λέγει κύριος,
οὐκ ἀναβήσεσθε, οὐδὲ πολεμήσετε με
τὰ τῶν ἀδελφῶν ὑμῶν υἱῶν ἰσραήλ. ἀ-
ναστρεφέτω ἕκαστος εἰς τὸν οἶκον
αὐτοῦ, ὅτι παρ' ἐμοῦ γέγονε τὸ ῥῆμα
τοῦτο. καὶ ἤκουσαν τοῦ λόγου κυρίου, καὶ
κατέπαυσαν τοῦ πορευθῆναι κατὰ
τὸ ῥῆμα κυρίου. καὶ ὁ βασιλεὺς σο-
λομὼν κοιμᾶται μετὰ τῶν πατέ-
ρων αὐτοῦ, καὶ θάπτεται μετὰ τῶν πατέ
ρων αὐτοῦ, ἐν πόλει δαβίδ. καὶ ἐβα
σίλευσε ῥοβοὰμ υἱὸς αὐτοῦ ἀντ' αὐ-
τοῦ, ἐν ἱερουσαλὴμ, υἱὸς ὢν ἑκκαίδε-
κα ἐτῶν ἐν τῷ βασιλεύειν αὐτὸν,
καὶ δεκαεπτὰ ἔτη ἐβασίλευσεν ἐν
ἱερουσαλήμ. καὶ ὄνομα τῆς μητρὸς αὐ-
τοῦ νααναὰν, θυγάτηρ ἀνὰν υἱοῦ να-
ὰς, βασιλέως υἱῶν ἀμμών. καὶ ἐποίη
σε τὸ πονηρὸν ἐνώπιον κυρίου, καὶ οὐκ
ἐπορεύθη ἐν ὁδῷ δαβὶδ τοῦ πατρὸς
αὐτοῦ. καὶ ἦν ἄνθρωπος ἐξ ὄρους ἐφρα-
ίμ, δοῦλος τοῦ σολομὼν, καὶ ὄνομα αὐτῷ
ἱεροβοάμ.

ἱεροβοάμ. καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ σαρειρᾶ, γυνὴ πόρνη. καὶ ἔδωκεν αὐτὸν σολομὼν εἰς ἄρχοντα σκυτάλης, ἐπὶ τὰς ἄρσεις οἴκου ἰωσήφ. καὶ ᾠκοδόμησε τῷ σολομὼν τὴν σαρειρᾶ τὴν ἐν ὄρει ἐφραίμ, καὶ ἦσαν αὐτῷ τριακόσια ἅρματα ἵππων. οὗτος ᾠκοδόμησε τὴν ἄκραν ἐν ταῖς ἄρσεσιν οἴκου ἐφραίμ. οὗτος συνέκλεισε τὴν πόλιν δαβίδ, καὶ ἦν ἐπαιρόμενος ἐπὶ τὴν βασιλείαν. καὶ ἐζήτει σολομὼν θανατῶσαι αὐτόν, καὶ ἐφοβήθη, καὶ ἀπέδρα πρὸς σουσακεὶμ βασιλέα αἰγύπτου, καὶ ἦν μετ' αὐτοῦ, ἕως ἀπέθανε σολομών. καὶ ἤκουσεν ἱεροβοὰμ ἐν αἰγύπτῳ, ὅτι τέθνηκε σολομών, καὶ ἐλάλησεν εἰς τὰ ὦτα σουσακεὶμ βασιλέως αἰγύπτου, λέγων, ἐξαπόστειλόν με, καὶ ἀπελεύσομαι εἰς τὴν γῆν μου. καὶ εἶπεν αὐτῷ σουσακείμ, αἴτησαι τὶ αἴτημα, καὶ δώσω σοί. καὶ σουσακεὶμ ἔδωκε τῷ ἱεροβοὰμ τὴν ἀνώ, ἀδελφὴν θεκεμίνας τὴν πρεσβυτέραν τῆς γυναικὸς αὐτοῦ, αὐτῷ εἰς γυναῖκα. καὶ αὕτη ἦν μεγάλη ἐν μέσῳ τῶν θυγατέρων τοῦ βασιλέως, καὶ ἔτεκε τῷ ἱεροβοὰμ τὸν ἀβιὰ υἱὸν αὐτοῦ. καὶ εἶπεν ἱεροβοὰμ πρὸς σουσακείμ, ὄντως ἐξαπόστειλόν με, καὶ ἀπελεύσομαι. καὶ ἐξῆλθεν ἱεροβοὰμ ἐξ αἰγύπτου, καὶ ἦλθεν εἰς γῆν σαρειρᾶ τὴν ἐν ὄρει ἐφραίμ. καὶ συνάγεται ἐκεῖ πᾶν σκῆπτρον ἐφραὶμ πρὸς ἱεροβοάμ. καὶ ᾠκοδόμησεν ἐκεῖ ἱεροβοὰμ χάρακα.

Hieroboam. Et nomen matris eius Sarera, mulier meretrix. Et dedit eũ Solomon in principem baculi, ad tributa domus Ioseph. Et ædificauit Solomoni Sarera, quæ in monte Ephraim, & erãt ei trecẽti currus equorum. Hic ædificauit arcem in tributis domus Ephraim. Hic conclusit urbem Dauid, & erat sublatus in regnũ. Et quærebat Solomon occidere eum, & timuit, & aufugit ad Susacim regem Aegypti, & erat cum eo, donec mortuus est Solomon. Et audiuit Hieroboam in Aegypto, qđ mortuus est Solomon, & locutus est in aures Susacim regis Aegypti, dicens, Ablega me, & abibo in terram meã. Et dixit ei Susacim, Pete aliquam petitionẽ, & dabo tibi. Et Susacim dedit Hieroboam Ano, sororẽ Thecemenas seniorem uxoris suæ, ei in uxorem. Et hæc erat magna in medio filiarum regis, et peperit Hieroboam Abia filium eius. Et dixit Hieroboã ad Susacim, Verè ablega me, & abibo. Et exiuit Hieroboam ex Aegypto, & uenit in terram Sarera, quæ in monte Ephraim. Et colligitur ibi omne sceptrum Ephraim ad Hieroboam. Et ædificauit ibi Hieroboã uallum.

uallum. Et male ualuit puellus eius mala ualetudine uehementi ualde, & profectus est Hieroboam rogare de puello. Et dixit ad Ano uxorem eius, Surge, & proficiscere, interroga Deum de puello, an uiuet à mala ualetudine eius. Et erat homo in Selo, & nomen ei Achia, & hic erat filius sexaginta annorum, & uerbum domini cum eo. Et dixit Hieroboam ad uxorem eius, Surge, et cape in manu tua homini Dei panes, & collyria liberis eius, & uuam, & uas mellis. Et surrexit mulier, & accepit in manum eius panes, & duo collyria, & uuam, & uas mellis Achia. Et homo senex, & oculi eius cæcutiebant ad uidendum. Et surrexit ex Sarera, & proficiscitur. Et factum est, ingrediente ea in urbem, ad Achia Selonitem, & dixit Achia puello eius, Egredere iam in occursum Ano uxoris Hieroboam. Et dices ei, Ingredere, & ne stes, quia hæc dicit dominus, Dura ego immittam in te. Et intrauit Ano ad hominem dei. Et dixit ei Achia, Quare tulisti mihi panes, & uuam & collyria, & uas mellis? Hæc dicit dñs, Ecce, tu

abibis

χάρακα. καὶ ἠῤῥώστησε τὸ παιδάριον αὐτοῦ ἀῤῥωστίαν κραταιὰν σφόδρα, καὶ ἐπορεύθη ἱεροβοὰμ ἐρωτῆσαι περὶ τοῦ παιδαρίου. καὶ εἶπε πρὸς ἀνὼ τὴν γυναῖκα αὐτοῦ, ἀνάστηθι, καὶ πορεύου, ἐπερώτησον τὸν θεὸν περὶ τοῦ παιδαρίου, εἰ ζήσεται ἀπὸ τῆς ἀῤῥωστίας αὐτοῦ. καὶ ἦν ὁ ἄνθρωπος ἐν σηλὼ, καὶ ὄνομα αὐτῷ ἀχιᾶ, καὶ οὗτος ἦν υἱὸς ἑξήκοντα ἐτῶν, καὶ ῥῆμα κυρίου μετ' αὐτοῦ. καὶ εἶπεν ἱεροβοὰμ πρὸς τὴν γυναῖκα αὐτοῦ, ἀνάστηθι, καὶ λαβὲ ἐν τῇ χειρί σου τῷ ἀνθρώπῳ τοῦ θεοῦ ἄρτους, καὶ κολλύρια τοῖς τέκνοις αὐτοῦ, καὶ σταφυλὴν, καὶ στάμνον μέλιτος. καὶ ἀνέστη ἡ γυνὴ, καὶ ἔλαβεν εἰς τὴν χεῖρα αὐτῆς ἄρτους, καὶ δύο κολλύρια, καὶ σταφυλὴν, καὶ στάμνον μέλιτος τῷ ἀχιά. καὶ ὁ ἄνθρωπος πρεσβύτης, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἠμβλυώττουν τοῦ βλέπειν. καὶ ἀνέστη ἐκ σαρηρᾶ, καὶ πορεύεται. καὶ ἐγένετο, εἰσελθούσης αὐτῆς εἰς τὴν πόλιν, πρὸς ἀχιὰ τὸν σηλωνίτην, καὶ εἶπεν ἀχιᾶ τῷ παιδαρίῳ αὐτοῦ, ἔξελθε δὴ εἰς συνάντησιν ἀνὼ γυναικὸς ἱεροβοάμ. καὶ ἐρεῖς αὐτῇ, εἴσελθε, καὶ μὴ στῇς, ὅτι τάδε λέγει κύριος, σκληρὰ ἐγὼ ἐπαποστελῶ ἐπί σε. καὶ εἰσῆλθεν ἀνὼ πρὸς τὸν ἄνθρωπον τοῦ θεοῦ. καὶ εἶπεν αὐτῇ ἀχιὰ, ἵνα τί ἐνήνοχάς μοι ἄρτους, καὶ σταφυλὴν καὶ κολλύρια, καὶ στάμνον μέλιτος; τάδε λέγει κύριος, ἰδοὺ, σὺ

ἀπελεύσῃ

ἀπελθούσῃ ἀπ' ἐμοῦ, καὶ ἔσται εἰσελθούσης σου εἰς τὴν πόλιν, εἰς σαριρᾶ, καὶ τὰ κοράσιά σου ἐξελεύσονται εἰς συνάντησίν σου, καὶ ἐροῦσί σοι, ὅτι τὸ παιδάριον τέθνηκεν. ὅτι τάδε λέγει κύριος, ἰδού, ἐγὼ ἐξολοθρεύσω τοῦ ἱεροβοὰμ οὐροῦντα πρὸς τοῖχον. καὶ ἔσται, τὸν τεθνηκότα τοῦ ἱεροβοὰμ ἐν τῇ πόλει καταφάγονται οἱ κύνες, καὶ τὸν τεθνηκότα ἐν τῷ ἀγρῷ καταφάγονται τὰ πετεινὰ τοῦ οὐρανοῦ. καὶ τὸ παιδάριον κόψονται, οὐαὶ κύριε, ὅτι εὑρέθη ἐν αὐτῷ ῥῆμα καλὸν περὶ τοῦ κυρίου. καὶ ἀπῆλθεν ἡ γυνή, ὡς ἤκουσε. καὶ ἐγένετο, ὡς εἰσῆλθεν εἰς τὴν σαφυρᾶ, καὶ τὸ παιδάριον ἀπέθανε, καὶ ἐξῆλθεν ἡ κραυγὴ εἰς ἀπάντησιν. καὶ ἐπορεύθη ἱεροβοὰμ εἰς σίκιμα τὴν ἐν ὄρει ἐφραίμ, καὶ συνήθροισεν ἐκεῖ τὰς φυλὰς τοῦ ἰσραήλ. καὶ ἀνέβη ἐκεῖ ῥοβοὰμ υἱὸς σολομών. καὶ λόγος κυρίου ἐγένετο πρὸς σαμαίαν τὸν ἐλαμίτην, λέγων, λαβὲ σεαυτῷ ἱμάτιον καινόν, καὶ οὐκ εἰσεληλυθὸς εἰς ὕδωρ, καὶ ῥῆξον αὐτὸ δώδεκα ῥήγματα, καὶ δώσεις τῷ ἱεροβοάμ. καὶ ἐρεῖς αὐτῷ, τάδε λέγει κύριος, λαβὲ σεαυτῷ δέκα ῥήγματα τοῦ περιβαλέσθαι σε. καὶ ἔλαβεν ἱεροβοάμ, καὶ εἶπε σαμαίας, τάδε λέγει κύριος, ἰδού, ἐγὼ ῥήσσω τὴν βασιλείαν σολομών, καὶ δώσω σοὶ δέκα σκῆπτρα, καὶ δύο σκῆπτρα ἔσονται ῥοβοὰμ τῷ σολομών. καὶ ἐγενήθη μετὰ τελευτὴν

τοῦ

abibis à me, & erit ingrediente te in urbem, in Sarera, & puellæ tuæ egredientur in occursum tuum, & dicent tibi, quod puellus mortuus est. Quia hęc dicit dominus, Ecce, ego disperdam Hieroboã mingentem ad parietem. Et erit, mortuum Hieroboam in urbe comedent canes, & mortuum in agro comedent uolucres cœli. Et puellum plangent, Vę domine, quod inuentum est in eo uerbum bonum de domino. Et abiit mulier, ut audiuit. Et factum est, ut intrauit in Sarera, & puellus mortuus est, & exiuit clamor in occursum. Et profectus est Hieroboam in Sicima, quæ in monte Ephraim, & cõgregauit ibi tribus Israel. Et ascendit illuc Roboã filius Solomonis. Et sermo domini factus est ad Samæam Elamitẽ, dicẽs, Cape tibiipsi uestimẽtum nouũ, & ingressũ in aquã, & scinde illud duodecim scissuras, & dabis Hieroboã. Et dices ei, Hæc dicit dñs, cape tibiipsi decẽ scissuras ad circũtegendũ te. Et accepit Hieroboã, & dixit Samæas, Hæc dicit dñs, ecce, ego scindo regnum Solomonis, & dabo tibi decem sceptra, & duo sceptra erunt Roboam filio Solomonis. Et factum est post obitum

regis

regis Solomonis, regnauit filius eius Roboā pro eo. Et dixit populus ad Roboam, Pater tuus grauauit iugum eius in nos, et grauauit cibos mensis eius, nunc leuabis in nos, et seruiemus tibi. Et dixit Roboam ad populū, Adhuc tribus diebus, & respondebo uobis uerbum. Et dixit Roboam, Introducite mihi seniores, & consulam cum eis, quid respondeam populo, uerbū in die tertia. Et locutus est Roboam in aures eorum, sicut ablegauit populus ad eum. Et dixerunt seniores populi, Sic, ut locutus est ad te populus, loqueris ad populum. Et dissipauit Roboam consiliū eorum, & non placuit coram eo. Et dimisit, & introduxit collactaneos eius, & locutus est eis, Hęc & hęc ablegauit populus ad me. Et dixerunt collactanei eius, Sic loqueris ad populū, dicens, Paruitas mea crassior est supra lumbū patris mei. Pater meus flagellauit uos in flagellis, ego uero imperabo uobis in scorpiis. Et placuit uerbum coram Hieroboam, & respondit populo, sicut consuluerant ei collactanei eius, pueri. Et dixit omnis populus, ut uir quilibet pro-

τῆς βασιλείας σολομῶν, ἐβασίλευσεν ὁ υἱὸς αὐτοῦ ῥοβοὰμ ἀντ' αὐτοῦ. καὶ εἶπεν ὁ λαὸς πρὸς ῥοβοὰμ, ὁ πατήρ σου ἐβάρυνε τὸν κλοιὸν αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐβάρυνε τὰ βρώματα τῆς τραπέζης αὐτοῦ, νυνὶ κουφιεῖς ἐφ' ἡμᾶς, καὶ δουλεύσομέν σοι. καὶ εἶπε ῥοβοὰμ πρὸς τὸν λαὸν, ἔτι τριῶν ἡμερῶν, καὶ ἀποκριθήσομαι ὑμῖν ῥῆμα. καὶ εἶπε ῥοβοὰμ, εἰσαγάγετέ μοι τοὺς πρεσβυτέρους, καὶ συμβουλεύσομαι μετ' αὐτῶν, τί ἀποκριθῶ τῷ λαῷ, ῥῆμα ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ. καὶ ἐλάλησε ῥοβοὰμ εἰς τὰ ὦτα αὐτῶν, καθὼς ἀπέστειλεν ὁ λαὸς πρὸς αὐτόν. καὶ εἶπον οἱ πρεσβύτεροι τοῦ λαοῦ, οὕτως, ὡς ἐλάλησεν πρός σε ὁ λαὸς, λαλήσεις πρὸς τὸν λαόν. καὶ διεσκέδασε ῥοβοὰμ τὴν βουλὴν αὐτῶν, καὶ οὐκ ἤρεσεν ἐνώπιον αὐτοῦ. καὶ ἀπέστειλε, καὶ εἰσήγαγε τοὺς συντρόφους αὐτοῦ, καὶ ἐλάλησεν αὐτοῖς, ταῦτα καὶ ταῦτα ἀπέστειλεν ὁ λαὸς πρός με. καὶ εἶπον οἱ σύντροφοι αὐτοῦ, οὕτως λαλήσεις πρὸς τὸν λαὸν, λέγων, ἡ μικρότης μου παχυτέρα ὑπὲρ τὴν ὀσφὺν τοῦ πατρός μου. ὁ πατήρ μου ἐμαστίγου ὑμᾶς ἐν μάστιξιν, ἐγὼ δὲ κατάρξω ὑμῶν ἐν σκορπίοις. καὶ ἤρεσε τὸ ῥῆμα ἐνώπιον ἱεροβοὰμ, καὶ ἀπεκρίθη τῷ λαῷ, καθὼς συνεβούλευσαν αὐτῷ οἱ σύντροφοι αὐτοῦ, τὰ παιδάρια. καὶ εἶπε πᾶς ὁ λαὸς, ὡς ἀνὴρ ἕκαστος

τῷ

τῷ πλησίον αὐτοῦ, καὶ ἀνέκραξαν ἅπαντες, λέγοντες, οὐκ ἔστι μερὶς ἡμῖν ἐν δαβίδ, οὐδὲ κληρονομία ἐν υἱῷ ἰεσσαί. ἕκαστος εἰς τὰ σκηνώματά σου, ἰσραὴλ, ὅτι ὁ ἄνθρωπος οὗτος οὐκ εἰς ἄρχοντα οὐδὲ εἰς ἡγούμενον. καὶ διεσπάρη πᾶς ὁ λαὸς ἐκ σικίμων, καὶ ἀπῆλθεν ἕκαστος εἰς τὸ σκήνωμα αὐτοῦ. καὶ κατεκράτησε ῥοβοὰμ, καὶ ἀπῆλθεν, καὶ ἀνέβη ἐπὶ τὸ ἅρμα αὐτοῦ, καὶ εἰσῆλθεν εἰς ἱερουσαλήμ. καὶ πορεύονται ὀπίσω αὐτοῦ πᾶν σκῆπτρον ἰούδα, καὶ πᾶν σκῆπτρον βενιαμίν. καὶ ἐγένετο ἐνισταμένου τοῦ ἐνιαυτοῦ, καὶ συνήθροισε ῥοβοὰμ πάντα ἄνδρα ἰούδα καὶ βενιαμὶν, καὶ ἀνέβη τοῦ πολεμεῖν πρὸς ἱεροβοὰμ, εἰς σίκιμα. καὶ ἐγένετο τὸ ῥῆμα κυρίου πρὸς σαμαίαν, ἄνθρωπον τοῦ θεοῦ, λέγων, εἰπὸν τῷ ῥοβοὰμ βασιλεῖ ἰούδα, καὶ πρὸς πάντα οἶκον ἰούδα καὶ βενιαμὶν, καὶ πρὸς πᾶν τὸ κατάλειμμα τοῦ λαοῦ, λέγων, τάδε λέγει κύριος. οὐκ ἀναβήσεσθε, οὐδὲ πολεμήσετε πρὸς τοὺς ἀδελφοὺς ὑμῶν υἱοὺς ἰσραήλ. ἀναστρεφέτω ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ, ὅτι παρ' ἐμοῦ γέγονε τὸ ῥῆμα τοῦτο. καὶ ἤκουσαν τοῦ λόγου κυρίου, καὶ ἀνέσχον μὴ πορευθῆναι κατὰ τὸ ῥῆμα κυρίου. καὶ ᾠκοδόμησεν ἱεροβοὰμ τὴν σίκιμα τὴν ἐν ὄρει ἐφραὶμ, καὶ κατῴκει ἐν αὐτῇ. καὶ ἐξῆλθεν ἐκεῖθεν, καὶ ᾠκοδόμησε τὴν φανουήλ. καὶ εἶπεν ἱεροβοὰμ ἐν τῇ καρδίᾳ αὐτοῦ,

ἰδοὺ,

propinquo eius, & exclamauerũt omnes, dicentes, Non est pars nobis in Dauid, neq; hæreditas in filio Iessæ. Quilibet in tabernacula sua, Israel, quia homo hic non in principẽ neq; in ducem. Et dispersus est omnis populus ex Sicimis, & abierunt quilibet in tabernaculum eius. Et imperio abusus est Roboam, & abiit, & ascẽdit in currum eius, et intrauit in Hierusalem. Et proficiscũtur post eum omne sceptrum Iuda, & omne sceptrum Beniamin. Et factũ est instante anno, & congregauit Roboam omnẽ uirum Iuda & Beniamin, & ascendit ad belligerandum contra Hieroboam, in Sicima. Et factũ est uerbum domini ad Samęam, hominem Dei, dicẽs, Dic Roboam regi Iuda, & ad omnem domum Iuda & Beniamin, et ad omnes reliquias populi, dicẽs, Hæc dicit dominus. Non ascẽdetis, neq; belligerabitis contra fratres uestros filios Israel. Reuertimini quilibet in domum eius, quia à me factum est uerbum hoc. Et audierunt sermonem domini, & sustinuerunt non proficisci iuxta uerbum domini. Et ædificauit Hieroboam Sicima, quæ in monte Ephraim, & habitauit in ea.

Et

Et egressus est inde, &
ædificauit Phanuel. Et di
xit Hieroboam in corde
suo, Ecce, nunc reuertetur
regnum ad domum Da-
uid, si ascenderit populus
iste offerre sacrificium in
domo domini, in Hierusa
lem, & conuertetur cor
populi ad dominum, et do
minum suum, ad Roboam
regem Iuda, & interficiēt
me. Et consuluit rex, &
fecit duas uitulas aureas.
Et dixit ad populum, Suf
ficiat uobis ascendere in
Hierusalem, ecce dei tui
Exod. 32 Israel, reducētes te de ter-
2. Par. 11 ra Aegypti. Et posuit unā
in Bæthel, et unā posuit in
Dan. Et fuit sermo hic in
peccatū. Et ibat populus
post unā usque in Dan, &
liuerunt domū dñi. Et fe-
cit domos in excelsis, &
fecit sacerdotes, partē quā
dā de populo, qui nō erāt
de filiis Leui. Et celebra-
uit Hieroboā festū in men
se octauo, in quintadecima
die mensis iuxta festum,
quod in terra Iuda. Et a-
scēdit in altare, qđ fecit in
Bæthel, ut immolaret uitu
lis, quas fecit. Et cōstituit
in Bæthel sacerdotes ex-
celsorū, quę fecerat. Et a-
scēdit in altare, qđ fecit in
quintadecima die, in mēse
octauo, in festo, quod fin-
xerat è corde suo. Et cele
brauit festū filiis Israel, &
ascendit in altare, ut sacri-
ficaret.

ἰδοὺ, νῦν ἐπιστρέψει ἡ βασιλεία εἰς
οἶκον Δαβίδ, ἐὰν ἀναβῇ ὁ λαὸς οὗ-
τος ἀναφέρειν θυσίαν ἐν οἴκῳ κυ-
ρίου, εἰς Ἱερουσαλὴμ, καὶ ἐπιστραφήσεται
ἡ καρδία τοῦ λαοῦ πρὸς κύριον, καὶ κύ-
ριον αὐτῶν, πρὸς Ῥοβοὰμ βασιλέα Ἰού-
δα, καὶ ἀποκτενοῦσί με. καὶ ἐβουλεύσα-
το ὁ βασιλεὺς, καὶ ἐποίησε δύο δαμά-
λεις χρυσᾶς. καὶ εἶπε πρὸς τὸν λαὸν, ἱκα-
νούσθω ὑμῖν ἀναβαίνειν εἰς Ἱερουσα-
λὴμ, ἰδοὺ οἱ θεοί σου Ἰσραὴλ, οἱ ἀνα-
γαγόντες σε ἐκ γῆς Αἰγύπτου. καὶ ἔ-
θετο τὴν μίαν ἐν Βαιθὴλ, καὶ τὴν
μίαν ἔδωκεν ἐν Δάν. καὶ ἐγένετο ὁ
λόγος οὗτος εἰς ἁμαρτίαν. καὶ ἐπο-
ρεύετο ὁ λαὸς ἐπίσω τῆς μιᾶς ἕως
Δὰν, καὶ εἴασαν τὸν οἶκον κυρίου. καὶ
ἐποίησεν οἴκους ἐφ' ὑψηλῶν, καὶ ἐποί-
ησεν ἱερεῖς, μέρος τι ἐκ τοῦ λαοῦ, οἳ
οὐκ ἦσαν ἐκ τῶν υἱῶν Λευί. καὶ ἐποίησεν
Ἱεροβοὰμ ἑορτὴν ἐν τῷ μηνὶ τῷ ὀγ-
δόῳ, ἐν τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ
τοῦ μηνὸς, κατὰ τὴν ἑορτὴν τὴν ἐν
γῇ Ἰούδα. καὶ ἀνέβη ἐπὶ τὸ θυσιαστή-
ριον, ὃ ἐποίησεν ἐν Βαιθὴλ, τοῦ θύ-
ειν ταῖς δαμάλεσιν, αἷς ἐποίησε.
καὶ παρέστησεν ἐν Βαιθὴλ τοὺς ἱε-
ρεῖς τῶν ὑψηλῶν, ὧν ἐποίησε. καὶ ἀνέ-
βη ἐπὶ τὸ θυσιαστήριον, ὃ ἐποίησε τῇ
πεντεκαιδεκάτῃ ἡμέρᾳ, ἐν τῷ μηνὶ
τῷ ὀγδόῳ, ἐν τῇ ἑορτῇ, ᾗ ἐπλάσατο
ἀπὸ καρδίας αὐτοῦ. καὶ ἐποίησεν ἑορ-
τὴν τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἀνέβη ἐπὶ τὸ
θυσιαστήριον τοῦ ἐπιθῦσαι.

Et

Καὶ

Καὶ ἰδοὺ, ἄνθρωπος τοῦ θεοῦ παρεγένετο ἐξ ἰούδα, ἐν λόγῳ κυρίου, εἰς βαιθὴλ, καὶ ἰεροβοὰμ εἱστήκει ἐπὶ τὸ θυσιαστήριον αὐτοῦ ἐπιθῦσαι. καὶ ἐπεκάλεσεν ἐπὶ τὸ θυσιαστήριον, ἐν λόγῳ κυρίου, καὶ εἶπε, θυσιαστήριον θυσιαστήριον, τάδε λέγει κύριος, ἰδοὺ, υἱὸς τίκτεται τῷ οἴκῳ δαβὶδ, ἰωσίας ὄνομα αὐτῷ, καὶ θύσει ἐπί σε τοὺς ἱερεῖς τῶν ἐπιθυόντων ἐπί σε, καὶ ὀστᾶ ἀνθρώπων καύσει ἐπί σε. καὶ ἔδωκεν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τέρας, λέγων, τοῦτο τὸ ῥῆμα ὃ ἐλάλησε κύριος, λέγων, ἰδοὺ, τὸ θυσιαστήριον ῥήγνυται, καὶ ἐκχυθήσεται ἡ πιότης ἡ οὖσα ἐπ᾽ αὐτῷ. καὶ ἐγένετο, ὡς ἤκουσεν ὁ βασιλεὺς ἰεροβοὰμ τῶν λόγων τοῦ ἀνθρώπου τοῦ θεοῦ, τοῦ ἐπικαλεσαμένου ἐπὶ τὸ θυσιαστήριον, τὸ ἐν βαιθὴλ, καὶ ἐξέτεινεν ὁ βασιλεὺς τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον, λέγων, συλλάβετε αὐτόν. καὶ ἰδοὺ, ἐξηράνθη ἡ χεὶρ αὐτοῦ, ἣν ἐξέτεινεν ἐπ᾽ αὐτὸν, καὶ οὐκ ἐδυνήθη ἐπιστρέψαι αὐτὴν πρὸς ἑαυτόν. καὶ τὸ θυσιαστήριον ἐῤῥάγη, καὶ ἐξεχύθη ἡ πιότης ἀπὸ τοῦ θυσιαστηρίου, κατὰ τὸ τέρας, ὃ ἔδωκεν ὁ ἄνθρωπος τοῦ θεοῦ, ἐν λόγῳ κυρίου. καὶ εἶπεν ὁ βασιλεὺς ἰεροβοὰμ τῷ ἀνθρώπῳ τοῦ θεοῦ, δεήθητι τοῦ προσώπου κυρίου τοῦ θεοῦ σου, καὶ ἐπιστρεψάτω ἡ χείρ μου πρὸς ἐμέ. καὶ ἐδεήθη ὁ ἄνθρωπος τοῦ θεοῦ τοῦ προσώπου κυρίου, καὶ ἐπι-

Cap. XIII. 4. Reg. 23.

Et ecce, homo dei aduenit de Iuda, in sermone domini, in Bæthel, & Hieroboam stetit in altari, ut sacrificaret. Et euocauit in altari dei, in sermone domini, & dixit, Altare altare, hęc dicit dominus. Ecce, filius nascitur domui Dauid, Iosias nomen ei, & immolabit in te sacerdotes sacrificantium in te, & ossa hominum incendet super te. Et dedit in die illa portentum, dicens, Hoc uerbum, quod loquutus est dominus, Ecce, altare scinditur, & effundetur pinguedo existens in eo. Et factum est, ut audiuit rex Hieroboam sermones hominis Dei, euocantis in altari, quod in Bæthel, & extendit rex manum suam in altari, dicens, Comprehendite eum. Et ecce, exaruit manus eius, quam extendit contra eum, & non potuit reflectere eam ad se. Et altare scissum est, & effusa est pinguedo ab altari, iuxta portentum, quod dedit homo dei, in sermone domini. Et dixit rex Hieroboam homini dei, Precare faciem domini dei tui, & reuertatur manus mea ad me. Et precatus ē homo dei faciē dñi, et

Inf. eod.

s reduxit

reduxit manum regis ad eum,& facta est sicut prius. Et loquutus est rex ad hominem dei, Ingredere mecum in domum,& prā de,& dabo tibi munus. Et dixit homo dei ad regem, Si dederis mihi dimidiū domus tuæ, non ingrediar tecum, neque edam panem, neq; bibā aquam in loco hoc. Quia sic præcepit mihi in sermone dominus, dicens, Non edas panem, neq; bibas aquā, neq; reuertaris in uia, qua iuisti in ea. Et abiit in uia alia,& non reuersus est in uia, qua uenerat in ea in Bæthel. Et Propheta unus senex inhabitabat in

Inf.eod. Bæthel, & ueniunt filii sui,& denarrant ei omnia opera, quę fecit homo dei in die illa, in Bæthel, & sermones, quos loquutus fuerat regi, & conuerterunt aspectum patris eorum. Et loquutus est ad eos pater eorū, dicēs, Qua uia profectus est? Et ostēdunt ei filii sui uiam, in qua abierat homo dei, egressus è Iuda. Et dixit filiis suis, Insternite mihi asinam,& instrauerunt ei asinam. Et conscendit in eam, & abiit post hominem dei, & inuenit eū cōsidētē sub quercu. Et dixit ei,

ἐπέστρεψε τὴν χεῖρα τοῦ βασιλέως πρὸς αὐτὸν, καὶ ἐγένετο καθὼς τὸ πρότερον. καὶ ἐλάλησεν ὁ βασιλεὺς πρὸς τὸν ἄνθρωπον τοῦ θεοῦ, εἴσελθε μετ' ἐμοῦ εἰς οἶκον, καὶ ἀρίστησον, καὶ δώσω σοι δόμα. καὶ εἶπεν ὁ ἄνθρωπος τοῦ θεοῦ πρὸς τὸν βασιλέα, ἐὰν δῷς μοι τὸ ἥμισυ τοῦ οἴκου σου, οὐκ εἰσελεύσομαι μετὰ σοῦ, οὐδὲ μὴ φάγω ἄρτον, οὐδὲ μὴ πίω ὕδωρ ἐν τῷ τόπῳ τούτῳ. ὅτι οὕτως κύριος ἐντέταλταί μοι ἐν λόγῳ, λέγων, μὴ φάγῃς ἄρτον, καὶ μὴ πίῃς ὕδωρ, καὶ μὴ ἐπιστρέψῃς ἐν τῇ ὁδῷ, ᾗ ἐπορεύθης ἐν αὐτῇ. καὶ ἀπῆλθεν ἐν ὁδῷ ἄλλῃ, καὶ οὐκ ἀνέστρεψεν ἐν τῇ ὁδῷ, ᾗ ἦλθεν ἐν αὐτῇ εἰς βαιθήλ. καὶ προφήτης εἷς πρεσβύτης κατῴκει ἐν βαιθὴλ, καὶ ἔρχονται οἱ υἱοὶ αὐτοῦ, καὶ διηγήσαντο αὐτῷ πάντα τὰ ἔργα, ἃ ἐποίησεν ὁ ἄνθρωπος τοῦ θεοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐν βαιθὴλ, καὶ τοὺς λόγους, οὓς ἐλάλησε τῷ βασιλεῖ, καὶ ἐπέστρεψαν τὸ πρόσωπον τοῦ πατρὸς αὐτῶν. καὶ ἐλάλησε πρὸς αὐτοὺς ὁ πατὴρ αὐτῶν, λέγων, ποίᾳ ὁδῷ πεπόρευται; καὶ δεικνύουσιν αὐτῷ οἱ υἱοὶ αὐτοῦ τὴν ὁδὸν, ἐν ᾗ ἀπῆλθεν ὁ ἄνθρωπος τοῦ θεοῦ, ὁ ἐξελθὼν ἐξ ἰούδα. καὶ εἶπε τοῖς υἱοῖς αὐτοῦ, ἐπισάξατέ μοι τὴν ὄνον, καὶ ἐπέσαξαν αὐτῷ τὴν ὄνον. καὶ ἐπέβη ἐπ' αὐτὴν, καὶ ἐπορεύθη κατόπισθεν τοῦ ἀνθρώπου τοῦ θεοῦ, καὶ εὗρεν αὐτὸν καθήμενον ὑπὸ δρῦν. καὶ εἶπεν αὐτῷ.

τῷ, εἰ σὺ εἶ ὁ ἄνθρωπος τοῦ θεοῦ ὁ ἐξεληλυθὼς ἐξ Ἰούδα; καὶ εἶπεν, ἐγώ. καὶ εἶπεν αὐτῷ, δεῦρο μετ' ἐμοῦ, καὶ φάγε ἄρτον. καὶ εἶπεν, οὐ μὴ δύνωμαι ἐπιστρέψαι μετὰ σοῦ, οὐδὲ μὴ φάγωμαι ἄρτον, οὐδὲ πίωμαι ὕδωρ ἐν τῷ τόπῳ τούτῳ. ὅτι οὕτως ἐντέταλταί μοι ἐν λόγῳ κύριος, λέγων, μὴ φάγῃς ἄρτον ἐκεῖ, καὶ μὴ πίῃς ὕδωρ ἐκεῖ, καὶ μὴ ἐπιστρέψῃς ἐν τῇ ὁδῷ, ᾗ ἐπορεύθης ἐν αὐτῇ. καὶ εἶπε πρὸς αὐτὸν κἀγὼ προφήτης εἰμί, καθὼς σύ. καὶ ἄγγελος ἐλάλησε πρός με ἐν ῥήματι κυρίου, λέγων, ἐπίστρεψον αὐτὸν πρὸς σεαυτόν, εἰς τὸν οἶκόν σου, καὶ φαγέτω ἄρτον, καὶ πιέτω ὕδωρ. καὶ ἐψεύσατο αὐτῷ, καὶ ἐπέστρεψεν αὐτόν, καὶ ἔφαγεν ἄρτον, καὶ ἔπιεν ὕδωρ ἐν τῷ οἴκῳ αὐτοῦ. καὶ ἐγένετο αὐτῶν καθημένων ἐπὶ τῆς τραπέζης, καὶ ἐγένετο λόγος κυρίου πρὸς τὸν προφήτην, τὸν ἐπιστρέψαντα αὐτόν, καὶ εἶπε πρὸς τὸν ἄνθρωπον τοῦ θεοῦ, τὸν ἥκοντα ἐξ Ἰούδα, λέγων, τάδε λέγει κύριος, ἀνθ' ὧν παρεπίκρανας τὸ ῥῆμα κυρίου, καὶ οὐκ ἐφύλαξας τὴν ἐντολήν, ἣν ἐνετείλατό σοι κύριος ὁ θεός σου, καὶ ἐπέστρεψας, καὶ ἔφαγες ἄρτον, καὶ ἔπιες ὕδωρ ἐν τῷ τόπῳ τούτῳ, ᾧ ἐλάλησε πρός σε λέγων, μὴ φάγῃς ἄρτον, μηδὲ πίῃς ὕδωρ, οὐ μὴ εἰσέλθῃ τὸ σῶμά σου εἰς τὸν τάφον τῶν πατέρων σου. καὶ ἐγένετο μετὰ τὸ φαγεῖν αὐτὸν ἄρτον καὶ πιεῖν ὕδωρ, καὶ ἐπέσαξεν

αὐτῷ

ei, Num tu es homo dei, egressus è Iuda? Et dixit, Ego. Et dixit ei, Veni mecum, & ede panem. Et dixi, Non potero reuerti tecum, neq; edam panem, neq; bibam aquam in loco isto. Quia sic praecepit mihi in sermone dominus, dicens, Non edas panem ibi, & non bibas aquam ibi, & non reuertaris in uia, qua profectus es in ea. Et dixit ad eum, Et ego propheta sum, sicut tu. Et angelus loquutus est ad me in uerbo domini, dicens, Reduc eum ad teipsum, in domum tuam, & edat panem, & bibat aquam. Et mentitus est ei, & reduxit eum, & edit panem, & bibit aquā in domo eius. Et factū est, eis considentibus ad mensam, & factus est sermo domini ad prophetam, reducentem eum, & dixit ad hominem dei uenientē è Iuda, dicens, Hæc dicit dominus. Propterea quod exacerbasti uerbum domini, & non custodisti præceptum, quod præcepit tibi dominus deus tuus, & reuersus es, & edisti panē, & bibisti aquā in loco isto, de quo loquutus sum ad te, dicēs, Nō edas panē, neq; bibas aquā, neutiquā īgrediatur corp' tuū in sepulchrū patrū tuorū. Et factū ē, postq; edit ipse panē, et bibit aquā, et ist. auit

ipsi

ipsi asinum prophetæ, & reuersus est, & abiit. Et inuenit eum leo in uia, & occidit eum. Et erat corpus eius proiectũ in uia, & asinus stetit iuxta illũ, & leo stetit iuxta corpus. Et ecce uiri transeuntes, & uiderunt morticinium proiectum in uia, & leo stetit prope morticinium, & intrarunt, & locuti sunt in ciuitate, ubi propheta senex habitabat in ea. Et audiuit reducens eum è uia, & dixit, Homo dei iste est, qui exacerbauit uerbum domini, & dedit eum dominus leoni, & confregit eum, & occidit eum, iuxta uerbum domini, quod locutus est ei. Et loquutus est ad filios suos, dicens, Insternite mihi asinum, & instrauerũt. Et abiit, & inuenit corpus eius proiectum in uia, & asinus & leo steterunt iuxta corpus. Et non edit leo corpus hominis Dei, & non confregit asinum. Et tulit propheta corpus hominis dei, & imposuit illud in asinum, & reduxit eum Propheta. Et uenit in urbem ad sepeliendum eum, et posuit corpus eius in sepulchro suo, & planxerunt eum, Heu frater. Et factum est postq̃ planxerunt eum, & dixit filiis

αὐτῷ τὸν ὄνον τῷ προφήτῃ, καὶ ἐπέστρεψε, καὶ ἀπῆλθε. καὶ εὗρεν αὐτὸν λέων ἐν τῇ ὁδῷ, καὶ ἐθανάτωσεν αὐτόν. καὶ ἦν τὸ σῶμα αὐτοῦ ἐῤῥιμμένον ἐν τῇ ὁδῷ, καὶ ὁ ὄνος εἱστήκει παρ᾽ αὐτῷ, καὶ ὁ λέων εἱστήκει παρὰ τὸ σῶμα. καὶ ἰδοὺ ἄνδρες παραπορευόμενοι, καὶ εἶδον τὸ θνησιμαῖον ἐῤῥιμμένον ἐν τῇ ὁδῷ, καὶ ὁ λέων εἱστήκει ἐχόμενα τοῦ θνησιμαίου, καὶ εἰσῆλθον, καὶ ἐλάλησαν ἐν τῇ πόλει, οὗ ὁ προφήτης ὁ πρεσβύτης κατῴκει ἐν αὐτῇ. καὶ ἤκουσεν ὁ ἐπιστρέψας αὐτὸν ἐκ τῆς ὁδοῦ, καὶ εἶπεν, ὁ ἄνθρωπος τοῦ θεοῦ οὗτός ἐστιν, ὃς παρεπίκρανε τὸ ῥῆμα κυρίου, καὶ ἔδωκεν αὐτὸν ὁ κύριος τῷ λέοντι, καὶ συνέτριψεν αὐτόν, καὶ ἐθανάτωσεν αὐτόν, κατὰ τὸ ῥῆμα κυρίου, ὃ ἐλάλησεν αὐτῷ. καὶ ἐλάλησε πρὸς υἱοὺς αὐτοῦ, λέγων, ἐπισάξατέ μοι τὸν ὄνον, καὶ ἐπέσαξαν. καὶ ἐπορεύθη, καὶ εὗρε τὸ σῶμα αὐτοῦ ἐῤῥιμμένον ἐν τῇ ὁδῷ, καὶ ὁ ὄνος καὶ ὁ λέων εἱστήκεισαν παρὰ τὸ σῶμα. καὶ οὐκ ἔφαγον ὁ λέων τὸ σῶμα τοῦ ἀνθρώπου τοῦ θεοῦ, καὶ οὐ συνέτριψε τὸν ὄνον. καὶ ἦρεν ὁ προφήτης τὸ σῶμα τοῦ ἀνθρώπου τοῦ θεοῦ, καὶ ἐπέθηκεν αὐτὸ ἐπὶ τὸν ὄνον, καὶ ἐπέστρεψεν αὐτὸν ὁ προφήτης. καὶ ἦλθον εἰς τὴν πόλιν τοῦ θάψαι αὐτόν, καὶ ἔθηκε τὸ σῶμα αὐτοῦ ἐν τῷ τάφῳ αὐτοῦ, καὶ ἐκόψαντο αὐτόν, οὐαὶ ἀδελφέ. καὶ ἐγένετο μετὰ τὸ κόψασθαι αὐτόν, καὶ εἶπε τοῖς υἱοῖς

υἱοῖς αὐτοῦ, λέγων, ἐὰν ἀποθάνω, θάψατέ με ἐν τῷ τάφῳ τούτῳ, οὗ ὁ ἄνθρωπος τοῦ θεοῦ τέθαπται ἐν αὐτῷ. παρὰ τὰ ὀστᾶ αὐτοῦ θέτε με, ἵνα σωθῶσι τὰ ὀστᾶ μου μετὰ τῶν αὐτοῦ. ὅτι γινόμενον ἔσται τὸ ῥῆμα, ὃ ἐλάλησεν ἐν λόγῳ κυρίου, ἐπὶ τοῦ θυσιαστηρίου ἐν βαιθὴλ, καὶ ἐπὶ τοὺς οἴκους τοὺς ὑψηλοὺς τοὺς ἐν σαμαρείᾳ. καὶ μετὰ τὸ ῥῆμα τοῦτο, οὐκ ἐπέστρεψεν ἱεροβοὰμ ἀπὸ τῆς κακίας αὐτοῦ, καὶ ἐπέστρεψεν, καὶ ἐποίησεν ἐκ μέρους τοῦ λαοῦ ἱερεῖς ὑψηλῶν. ὁ βουλόμενος ἐπλήρου τὴν χεῖρα αὐτοῦ, καὶ ἐγένετο ἱερεὺς εἰς τὰ ὑψηλά. καὶ ἐγένετο τὸ ῥῆμα τοῦτο εἰς ἁμαρτίαν τῷ οἴκῳ ἱεροβοὰμ, καὶ εἰς ὄλεθρον καὶ εἰς ἀφανισμὸν, ἀπὸ προσώπου τῆς γῆς.

filiis suis, dicens, Si mortuus fuero, sepelite me in sepulchro isto, in quo homo dei sepultus est in eo. Iuxta ossa eius ponite me, ut saluentur ossa mea cum ossibus eius. Quia existet uerbum, quod locutus est in sermone domini, in altari in Bæthel, & contra domos excelsos, quæ in Samaria. Et post uerbum hoc non reuersus est Hieroboam de malicia sua. Et reuersus est, & fecit ex parte populi sacerdotes excelsorum. Volẽs implebat manum suam, et fiebat sacerdos in excelsa. Et factum est uerbũ hoc in peccatum domui Hieroboam, & in perniciem & in perditionem, à facie terræ.

Ἐν τῷ καιρῷ ἐκείνῳ ἠῤῥώστησεν ἀβιὰ υἱὸς ἱεροβοὰμ, καὶ τῇ γυναικὶ αὐτοῦ εἶπεν ἱεροβοὰμ, ἀνάστηθι, καὶ ἀλλοιωθήσῃ, καὶ οὐ γνώσονται, ὅτι σὺ γυνὴ ἱεροβοὰμ, καὶ πορευθήσῃ εἰς σηλώ. ἰδοὺ ἐκεῖ ἀχιὰ ὁ προφήτης, αὐτὸς ἐλάλησεν ἐπ' ἐμὲ τοῦ βασιλεῦσαι ἐπὶ τὸν λαὸν τοῦτον. καὶ λαβὲ εἰς τὴν χεῖρά σου τῷ ἀνθρώπῳ τοῦ θεοῦ ἄρτους, καὶ κολλύρια τοῖς τέκνοις αὐτοῦ, καὶ σταφύλας, καὶ στάμνον μέλιτος, καὶ ἐλεύσῃ πρὸς αὐτόν. αὐτὸς ἀναγγελεῖ σοι, τί ἔσται τῷ παιδίῳ. καὶ ἐποίησεν οὕτω γυνὴ ἱεροβοὰμ, καὶ ἀνέστη, καὶ ἐπορεύθη εἰς σηλὼ, καὶ εἰσῆλθεν εἰς τὸν οἶκον ἀχιά.

In tempore illo ægrotauit Abia filius Hieroboam, & uxori suæ dixit Hieroboam, Surge, & alienaberis, & non cognoscent, quod tu uxor Hieroboam, & uades in Selo. Ecce illic Achia propheta, ipse locutus est ad me, quod regnabo super populum hunc. Et cape in manum tuam homini Dei panes, & placentas pueris eius, & uuas, & uas mellis, & ibis ad illum. Ipse renunciabit tibi, quid erit puero. Et fecit sic uxor Hieroboam, & surrexit, & abiit in Selo, & intrauit in domum Achia.

Cap. XIIII

4. Reg. 8

Et homo senior ad uidendum, & cæcutiebant oculi eius præ senectute eius. Et dixit dominus ad Achia, Ecce, uxor Hieroboam ingreditur, ut perquirat uerbum à te super filio suo, quoniam ægrotus est, secundum hoc & secundum hoc loqueris ad eam. Et factum est, cum intraret illa, & ea abalienabatur. Et factum est, ut audiuit Achia sonitum pedum eius, ingrediente ea in ostio, & dixit, Ingredere uxor Hieroboam, quare hoc tu abalienaris? Et ego sum nuncius ad te durus. Abiens dic Hieroboam, Hæc dicit dominus deus Israel, quia quantum exaltaui te à medio populo, & dedi te ducem super populum Israel, & rupi regnũ à domo Dauid, & dedi illud tibi, & non fuisti sicut seruus meus Dauid, qui custodiuit mandata mea, & qui ambulauit post me in omni corde suo, ad faciẽdum rectum in oculis meis, & male egisti, ut faceres præter omnes, quicunque fuerant in conspectu meo, & ambulasti, & fecisti tibi ipsi deos alios, & conflatia ad iritandum me, & me abiecisti post te, proptèr hoc ecce, ego affero calamitatem in domum Hieroboam. Et pe-

rimam

καὶ ὁ ἄνθρωπος πρεσβύτερος τοῦ ἰδεῖν, καὶ ἠμβλυώπτουν οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ τοῦ γήρως αὐτοῦ. καὶ εἶπε κύριος πρὸς ἀχιᾶ, ἰδοὺ, γυνὴ ἱεροβοὰμ εἰσέρχεται, τοῦ ἐκζητῆσαι ῥῆμα παρά σου ὑπὲρ υἱοῦ αὐτῆς, ὅτι ἄρρωστός ἐστι, κατὰ τοῦτο καὶ κατὰ τοῦτο λαλήσεις πρὸς αὐτήν. καὶ ἐγένετο ἐν τῷ εἰσέρχεσθαι αὐτήν, καὶ αὕτη ἀπεξενοῦτο. καὶ ἐγένετο, ὡς ἤκουσεν ἀχιὰ τὴν φωνὴν ποδῶν αὐτῆς, εἰσερχομένης αὐτῆς ἐν τῷ ἀνοίγματι, καὶ εἶπεν, εἴσελθε γυνὴ ἱεροβοάμ, ἵνα τί τοῦτο σὺ ἀποξενοῦσαι; καὶ ἐγώ εἰμι ἀπόστολος πρός σε σκληρός. πορευθεῖσα, εἰπὸν τῷ ἱεροβοάμ, τάδε λέγει κύριος ὁ θεὸς ἰσραὴλ, ἀνθ' οὗ ὅσον ὕψωσά σε ἀπὸ μέσου τοῦ λαοῦ, καὶ ἔδωκά σε ἡγούμενον ἐπὶ τὸν λαὸν ἰσραὴλ, καὶ ἔρρηξα τὸ βασίλειον ἀπὸ οἴκου δαβίδ, καὶ ἔδωκα αὐτό σοι, καὶ οὐκ ἐγένου ὡς δοῦλός μου δαβίδ, ὃς ἐφύλαξε τὰς ἐντολάς μου, καὶ ὃς ἐπορεύθη ὀπίσω μου ἐν πάσῃ καρδίᾳ αὐτοῦ, τοῦ ποιῆσαι τὸ εὐθὲς ἐν ὀφθαλμοῖς μου, καὶ ἐπονηρεύσω τοῦ ποιῆσαι παρὰ πάντας, ὅσοι ἐγένοντο εἰς πρόσωπόν σου, καὶ ἐπορεύθης, καὶ ἐποίησας σεαυτῷ θεοὺς ἑτέρους, καὶ χωνευτὰ, τοῦ παροργίσαι με, καὶ ἐμὲ ἔρριψας ὀπίσω σου, διὰ τοῦτο ἰδοὺ, ἐγὼ ἄγω κακίαν πρὸς οἶκον ἱεροβοάμ. καὶ ὀλο-

λοθρεύσω

λουρσύσω ἱεροβοὰμ οὐροῦντα πρὸς τοῖχον, ἐπεχόμενον καὶ καταλελειμμένον ἐν ἰσραήλ. καὶ ἐπιλέξω ἱεροβοὰμ, καθὼς ἐπιλέγεται ἡ κόπρος ἕως τελειωθῆναι αὐτόν. τὸν τεθνηκότα τοῦ ἱεροβοὰμ ἐν τῇ πόλει καταφάγονται οἱ κύνες, καὶ τὸν τεθνηκότα ἐν τῷ ἀγρῷ καταφάγεται τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι κύριος ἐλάλησε. καὶ σὺ ἀνάστα, πορεύθητι εἰς οἶκόν σου. ἐν τῷ εἰσέρχεσθαι πόδας σου τὴν πόλιν, ἀποθανεῖται τὸ παιδάριον, καὶ κόψονται αὐτὸν πᾶς ἰσραήλ, καὶ θάψουσιν αὐτόν. ὅτι οὗτος μόνος εἰσελεύσεται τῷ ἱεροβοὰμ πρὸς τάφον, ὅτι εὑρέθη ἐν αὐτῷ ῥῆμα καλὸν περὶ τοῦ κυρίου θεοῦ ἰσραήλ, ἐν οἴκῳ ἱεροβοάμ. καὶ ἀναστήσει κύριος ἑαυτῷ βασιλέα ἐπὶ ἰσραήλ, ὃς πλήξει τὸν οἶκον ἱεροβοὰμ ταύτῃ τῇ ἡμέρᾳ. καὶ ἔτι, καί γε νῦν καὶ πλήξει κύριος τὸν ἰσραήλ, καθὰ κινεῖται ὁ κάλαμος ἐν τῷ ὕδατι. καὶ ἐκτιλεῖ τὸν ἰσραὴλ ἀπὸ ἄνωθεν τῆς χθονὸς τῆς ἀγαθῆς ταύτης, ἧς ἔδωκε τοῖς πατράσιν αὐτῶν, καὶ λικμήσει αὐτοὺς ἀπὸ πέραν τοῦ ποταμοῦ, ἀνθ᾽ οὗ ὅσον ἐποίησαν τὰ ἄλση αὐτῶν, παροργίζοντες τὸν κύριον. καὶ δώσει κύριος τὸν ἰσραὴλ χάριν ἁμαρτιῶν ἱεροβοάμ, ὃς ἥμαρτε, καὶ ὃς ἐξήμαρτε τὸν ἰσραήλ. καὶ ἀνέστη ἡ γυνὴ ἱεροβοάμ, καὶ ἐπορεύθη εἰς τὴν σαρειρά. καὶ ἐγένετο, ὡς εἰσῆλθεν ἐν τῷ προθύρῳ τοῦ οἴκου,

rimam Hieroboam min-
gentem ad parietē, deten-
tum & relictum in Israel.
Et colligam Hieroboam,
sicut colligitur fimus, usq;
dū cōfectus est ipse. Mor Inf.16
tuum Hieroboam in ciui- Inf.[illegible]
tate comedent canes, &
mortuum in agro come-
dent uolucres cœli, quia
dominus loquutus est. Et
tu surge, uade in domum
tuam. Cum intrabunt pe-
des tui ciuitatem, morie-
tur puer, & plangent eum
omnis Israel, & sepelient
eum. Quia iste solus ingre
dietur Hieroboam ad se-
pulchrum, quod inuen-
tum est in eo uerbum bo-
num de domino deo Isra-
el, in domo Hieroboam.
Et suscitabit dominus si-
bi ipsi regem super Israel,
qui percutiet domum Hie
roboam die hac. Et ad-
huc, utiq; nunc & percu-
tiet dominus Israel, sicut
mouetur arundo in aqua.
Et euellet Israel à summo
terræ bonæ huius, quam
dedit patribus eorum, &
uentilabit eos à regione
trans flumen, propter hoc
quod fecerunt lucos suos,
irritantes dominum. Et da-
bit dñs Israel gratia pecca
torum Hieroboā, qui pec
cauit, & qui peccare fecit
Israel. Et surrexit uxor
Hieroboā, & abiit in Sa-
rera. Et factū est, cū ingre
deretur in uestibulo domus,

& puellus mortuus est, & sepelierunt eum. Et planxerunt eum omnis Israel, secundum uerbum domini, quod loquutus est in manu serui sui Achia prophetæ. Et reliquum uerbum Hieroboã, quot bella gessit, & quot annos regnauit, ecce ea scripta in libro uerborum dierum regum Israel. Et dies, quibus regnauit Hieroboã, uiginti & duo anni, & dormiuit cum patribus suis, & regnauit Adad filius eius pro eo. Et Roboam filius Solomonis regnauit in Iuda, filius quadraginta & unius annorum Roboam, cum regnaret ipse. Et septendecim annos regnauit in Hierusalem ciuitate, quam elegit dominus, ut poneret nomen suũ ibi, ex omnibus tribubus Israel. Et nomen matris eius Nana Ammanitis. Et fecit Roboam malum corã domino, & æmulatus est eum in omnibus, quibus æmulati sunt patres sui, & in peccatis suis, quæ peccauerunt. Et ędificauerũt & ipsi sibiipsis excelsa, et statuas & lucos, super omnem collem excelsum, & subter omne lignũ umbrosum. Et cõiuratio facta est in terra, & fecerunt ab omnibus abominationibus gẽtium, quas abstulit dñs à facie filiorum Israel. Et factũ est in anno quinto, regnan-

καὶ τὸ παιδάριον ἀπέθανε, καὶ ἔθαψαν αὐτό. καὶ ἐκόψαντο αὐτὸ πᾶς ἰσραήλ, κατὰ τὸ ῥῆμα κυρίου, ὃ ἐλάλησεν ἐν χειρὶ δούλου αὐτοῦ ἀχιὰ τοῦ προφήτου. καὶ περισσὸν ῥημάτων ἱεροβοάμ, ὅσα ἐπολέμησε, καὶ ὅσα ἐβασίλευσεν, ἰδοὺ αὐτὰ γεγραμμένα ἐπὶ βιβλίου ῥημάτων τῶν ἡμερῶν τῶν βασιλέων ἰσραήλ. καὶ αἱ ἡμέραι, ἃς ἐβασίλευσεν ἱεροβοάμ, εἴκοσι καὶ δύο ἔτη, καὶ ἐκοιμήθη μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐβασίλευσεν ἀδὰδ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. καὶ ῥοβοὰμ υἱὸς σολομῶντος ἐβασίλευσεν ἐπὶ ἰούδαν, υἱὸς τεσσαράκοντα καὶ ἑνὸς ἐνιαυτῶν ῥοβοάμ, ἐν τῷ βασιλεύειν αὐτόν. καὶ ἑπτακαίδεκα ἔτη ἐβασίλευσεν ἐν ἱερουσαλὴμ τῇ πόλει, ἣν ἐξελέξατο κύριος θέσθαι τὸ ὄνομα αὐτοῦ ἐκεῖ, ἐκ πασῶν φυλῶν ἰσραήλ. καὶ τὸ ὄνομα τῆς μητρὸς αὐτοῦ νανὰ ἡ ἀμμανῖτις. καὶ ἐποίησε ῥοβοὰμ τὸ πονηρὸν ἐνώπιον κυρίου, καὶ παρεζήλωσεν αὐτὸν ἐν πᾶσιν, οἷς παρεζήλωσαν οἱ πατέρες αὐτοῦ, καὶ ἐν ταῖς ἁμαρτίαις αὐτῶν, αἷς ἥμαρτον. καὶ ᾠκοδόμησαν καὶ αὐτοὶ ἑαυτοῖς ὑψηλά, καὶ στήλας καὶ ἄλση, ἐπὶ πάντα βουνὸν ὑψηλόν, καὶ ὑποκάτω παντὸς ξύλου συσκίου. καὶ σύνδεσμος ἐγενήθη ἐν τῇ γῇ, καὶ ἐποίησαν ἀπὸ πάντων τῶν βδελυγμάτων τῶν ἐθνῶν, ὧν ἐξῆρε κύριος ἀπὸ προσώπου υἱῶν ἰσραήλ. καὶ ἐγένετο ἐν τῷ ἐνιαυτῷ τῷ πέμπτῳ βασι-

βασιλεύοντος ῥοβοὰμ, ἀνέβη σουσακὶμ βασιλεὺς αἰγύπτου ἐπὶ ἱερουσαλὴμ, καὶ ἔλαβε πάντας τοὺς θησαυροὺς οἴκου κυρίου, καὶ τοὺς θησαυροὺς οἴκου τοῦ βασιλέως, καὶ δόρατα τὰ χρυσᾶ, ἃ ἔλαβε δαβὶδ ἐκ χειρὸς τῶν παίδων ἀδραζὰρ βασιλέως σουβᾶ, καὶ εἰσήνεγκεν αὐτὰ εἰς ἱερουσαλὴμ, τὰ πάντα, ἃ ἔλαβεν, ὅπλα τὰ χρυσᾶ, ὅσα ἐποίησε σολομὼν, καὶ ἀπήνεγκεν αὐτὰ εἰς αἴγυπτον. καὶ ἐποίησε ῥοβοὰμ ὁ βασιλεὺς ὅπλα χαλκᾶ ἀντ' αὐτῶν, καὶ ἐπέθεντο ἐπ' αὐτῶ οἱ ἡγούμενοι τῶν παρατρεχόντων, οἱ φυλάσσοντες τὸν πυλῶνα οἴκου τοῦ βασιλέως. καὶ ἐγένετο, ὅτε εἰσεπορεύετο ὁ βασιλεὺς εἰς οἶκον κυρίου, καὶ ἦρον αὐτὰ οἱ παρατρέχοντες, καὶ ἀπηρείδοντο αὐτὰ εἰς τὸ θεὲ τῶν παρατρεχόντων. καὶ τὰ λοιπὰ τῶν λόγων ῥοβοὰμ, καὶ πάντα, ἃ ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσι ἰούδα; καὶ πόλεμος ἦν ἀνὰ μέσον ἱεροβοὰμ πάσας τὰς ἡμέρας. καὶ ἐκοιμήθη ῥοβοὰμ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ θάπτεται μετὰ τῶν πατέρων αὐτοῦ, ἐν πόλει δαβίδ, καὶ ἐβασίλευσεν ἀβιὰμ ὁ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

Καὶ ἐν τῷ ὀγδόῳ καὶ δεκάτῳ ἔτει βασιλεύοντος ἱεροβοὰμ υἱοῦ ναβὰτ, βασιλεύει ἀβιὰμ υἱὸς ῥοβοὰμ ἐπὶ ἰούδα, καὶ τρία ἔτη ἐβασίλευ-

σεν

regnante Roboam, ascendit Susacim rex Aegypti in Hierusalem, & cepit omnes thesauros domus domini, & thesauros domus regis, & hastas aureas, quas cepit Dauid è manu puerorum Adrazar regis Soba, & intulit ea in Hierusalem, omnia, quæ cepit scuta aurea, quotquot fecit Solomon, & abstulit ea in Aegyptum. Et fecit Roboam rex scuta ærea pro eis, & præfecti erant super ea duces iuxta currentium, custodientes portam domus regis. Et factum est, ut ingressus est rex in domū domini, portabant ea iuxta currentes, & infigebant ea in Thee iuxta currentium. Et reliqua sermonum Roboam, & omnia, quæ fecit, nonne hæc scripta in libro sermonum dierum regibus Iuda? Et bellum fuit inter Roboam & Hieroboam omnibus diebus. Et dormiuit Roboam cum patribus suis, & sepelitur cum patribus suis, in ciuitate Dauid, & regnauit Abiam filius eius pro eo.

Cap. XV

Et in octauo et decimo anno regnante Hieroboam filio Nabat, regnat Abiā filius Roboam super Iuda, & tres annos regna-

s 5 uit

uit in Hierusalem. Et nomen matris suę Maacha, filia Abessalom. Et ambulauit in omnibus peccatis patris sui, quæ fecerat coram eo. Et non erat cor eius perfectum cum domino deo suo, sicut cor Dauid patris sui. Quia propter Dauid reliquit ei dominus deus suus reliquias in Hierusalem, ut statueret filios eius post eum, & statueret Hierusalem, ut fecit Dauid rectum coram domino, & non declinauit ab omnibus quæ præceperat ei omnibus diebus uitæ suæ, præterquam in uer-
2.Par.14 bo Vriæ Chettæi. Et bellum fuit inter Roboam et inter Hieroboam omnibus diebus uitæ eius. Et reliqua sermonum Abiam, & omnia quæ fecit, nonne hæc scripta sunt in libro sermonum dierum regibus Iuda? Et bellum fuit inter Abiam & inter Hieroboam. Et dormiuit Abiam cum patribus suis, & sepelitur cum patribus eius, in ciuitate Dauid, & regnauit Asa filius eius pro eo. Et in anno uicesimo Hieroboam regis Israel regnat Asa super Iudam, & quadraginta et unũ annũ regnauit in Hie-

σεν ἐπὶ ἱερουσαλήμ. καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ μααχὰ, θυγάτηρ ἀβεσσαλώμ, καὶ ἐπορεύθη ἐν ταῖς ἁμαρτίαις τοῦ πατρὸς αὐτοῦ, αἷς ἐποίησεν ἐνώπιον αὐτοῦ. καὶ οὐκ ἦν ἡ καρδία αὐτοῦ τελεία μετὰ κυρίου θεοῦ αὐτοῦ, ὡς ἡ καρδία δαβὶδ τοῦ πατρὸς αὐτοῦ. ὅτι διὰ δαβὶδ ἐγκατέλιπεν αὐτῷ κύριος ὁ θεὸς κατάλειμμα ἐν ἱερουσαλὴμ, ἵνα στήσῃ τὰ τέκνα αὐτοῦ μετ' αὐτὸν, καὶ στήσῃ τὴν ἱερουσαλὴμ, ὡς ἐποίησε δαβὶδ τὸ εὐθὲς ἐνώπιον κυρίου, οὐκ ἐξέκλινεν ἀπὸ πάντων, ὧν ἐνετείλατο αὐτῷ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ, ἐκτὸς ἐν ῥήματι οὐρίου τοῦ χετταίου. καὶ πόλεμος ἦν μεταξὺ ῥοβοὰμ καὶ μεταξὺ ἱεροβοὰμ, πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ. καὶ τὰ λοιπὰ τῶν λόγων ἀβιὰμ, καὶ πάντα ἃ ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν ἰούδα; καὶ πόλεμος ἦν ἀνὰ μέσον ἀβιὰμ, καὶ ἀνὰ μέσον ἱεροβοάμ. καὶ ἐκοιμήθη ἀβιὰμ μετὰ τῶν πατέρων αὐτοῦ, ἐν τῷ εἰκοστῷ ἔτει τοῦ ἱεροβοὰμ, καὶ θάπτεται μετὰ τῶν πατέρων αὐτοῦ, ἐν πόλει δαβὶδ, καὶ βασιλεύει ἀσὰ ὁ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. καὶ ἐν ἔτει εἰκοστῷ τοῦ ἱεροβοὰμ βασιλέως ἰσραὴλ, βασιλεύει ἀσὰ ἐπὶ ἰούδα, καὶ τεσσαράκοντα καὶ ἓν ἔτος ἐβασίλευσεν ἐν ἱερουσα-

ἱερουσαλήμ. καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ ἀννὰ, θυγάτηρ ἀβεσσαλώμ. καὶ ἐποίησεν ἀσὰ τὸ εὐθὲς ἐνώπιον κυρίου, ὡς δαβὶδ ὁ πατὴρ αὐτοῦ. καὶ ἀφεῖλε τὰς τελετὰς ἀπὸ τῆς γῆς, καὶ ἐξαπέστειλε πάντα τὰ ἐπιτηδεύματα, ἃ ἐποίησαν οἱ πατέρες αὐτοῦ. καὶ τὴν ἀννὰ τὴν μητέρα ἑαυτοῦ μετέστησε τοῦ μὴ εἶναι ἡγουμένην, καθὼς ἐποίησε σύνοδον ἐν τῷ ἄλσει αὐτῆς. καὶ ἐξέκοψεν ἀσὰ τὰς καταδύσεις αὐτῆς, καὶ ἐνέπρησε πυρὶ ἐν τῷ χειμάῤῥῳ τῶν κέδρων. τὰ δὲ ὑψηλὰ οὐκ ἐξῆρε, πλὴν ἡ καρδία ἀσὰ ἦν τελεία μετὰ κυρίου, πάσας τὰς ἡμέρας αὐτοῦ. καὶ εἰσήνεγκε τοὺς κίονας τοῦ πατρὸς αὐτοῦ, καὶ τοὺς κίονας αὐτοῦ εἰσήνεγκεν εἰς τὸν οἶκον κυρίου, ἀργυροῦς καὶ χρυσοῦς, καὶ σκεύη. καὶ πόλεμος ἦν ἀνὰ μέσον ἀσὰ καὶ ἀνὰ μέσον βαασὰ βασιλέως ἰσραὴλ, πάσας τὰς ἡμέρας αὐτῶν. καὶ ἀνέβη βαασὰ βασιλεὺς ἰσραὴλ ἐπὶ ἰούδαν, καὶ ᾠκοδόμησε τὴν ῥαμὰ, τοῦ μὴ εἶναι ἐκπορευόμενον καὶ εἰσπορευόμενον τῷ ἀσὰ βασιλεῖ ἰούδα. καὶ ἔλαβον ἀσὰ σύμπαν τὸ ἀργύριον, καὶ τὸ χρυσίον τὸ εὑρεθὲν ἐν θησαυροῖς οἴκου κυρίου, καὶ ἐν τοῖς θησαυροῖς τοῦ οἴκου τοῦ βασιλέως, καὶ ἔδωκεν αὐτὰ εἰς χεῖρας παίδων αὐτοῦ. καὶ ἐξαπέστειλεν αὐτοὺς ὁ βασιλεὺς ἀσὰ πρὸς υἱὸν ἄδερ, υἱὸν ταβὲ, ἐν ῥαμμὰν, υἱοῦ ἀζαὴλ, βασιλέως συρίας, τοῦ κατοικοῦντος ἐν δαμασκῷ. λέγων,

Hierusalem. Et nomen matris eius Anna, filia Abessalom. Et fecit Asa rectum coram domino, ut Dauid pater eius. Et abstulit sacrificia à terra, & expulit omnes superstitiones, quas fecerunt patres eius. Et Annam matrem suam transtulit, ut non esset princeps, sicut fecit synodum in luco eius. Et exscidit Asa omnia lustra eius, & incendit igne in torrente Cedron. At excelsa non abstulit, alioqui cor Asa erat perfectum cum domino omnibus diebus suis. Et intulit columnas patris sui, & columnas eius intulit in domum domini argenteas et aureas, & uasa. Et bellum erat inter Asa & inter Baasa regem Israel, omnibus diebus eorum. Et ascendit Baasa rex Israel in Iudam, & aedificauit Rama, ut non esset egrediens & ingrediens Asa regi Iuda. Et cepit Asa uniuersum argentum, & aurum inuentum in thesauris domus domini, & in thesauris domus regis, & dedit ea in manus seruorum suorum. Et ablegauit eos rex Asa ad filiū Ader, filiū Tabe, in Rhāman, filii Azael, regis Syriae, habitātis i Damasco, dicens,

dicens, Paciſcere pactionem inter me & inter te, & inter patrem meum & inter patrem tuum. Ecce dimiſi tibi munera, argentum & aurum, age, diſsipa pactionem tuam ad Baaſa regem Iſrael, & aſcendet à me. Et audiuit filius Ader regem Aſa, & dimiſit principes exercituũ eius urbibus Iſrael, & percuſsit Ain & Adan & Abel domus Maacha, & omnem Chennereth uſq; ad omnem terram Nephthalim. Et factum eſt, ut audiuit Baaſa, & intermiſit ædificare Rama, & reuerſus eſt in Therſa. Et rex Aſa annunciauit omni Iuda in Enacim, & tollunt lapides Rama, & ligna eius, quæ ædificauit Baaſa, & ædificauit in eis rex Aſa omnem collẽ Beniamin, & ſpeculam. Et reliqua ſermonum Aſa, & omnis potentia eius, & omnia, quæ fecit, & urbes, quas ædificauit, nonne hæc ſcripta ſunt in libro ſermonum dierum regibus Iuda? Sed in tempore ſenectutis ſuæ laborauit pedibus eius. Et dormiuit Aſa cum patribus ſuis, & ſepelitur cum patribus ſuis, in ciuitate Dauid patris ſui, & regnat Ioſaphat filius eius pro eo. Et Nabat

filius

λέγων, διάθου διαθήκην ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον σοῦ, καὶ ἀνὰ μέσον τοῦ πατρός μου καὶ τοῦ πατρός σου. ἰδοὺ, ἐξαπέσταλκά σοι δῶρα, ἀργύριον καὶ χρυσίον, δεῦρο διασκέδασον τὴν διαθήκην σου τὴν πρὸς βαασὰ βασιλέα ἰσραὴλ, καὶ ἀναβήσεται ἀπ' ἐμοῦ. καὶ ἤκουσεν υἱὸς ἄδερ τοῦ βασιλέως ἀσὰ, καὶ ἀπέστειλε τοὺς ἄρχοντας τῶν δυνάμεων αὐτοῦ ταῖς πόλεσι τοῦ ἰσραὴλ, καὶ ἐπάταξε τὴν αἲν, καὶ τὴν ἀδὰν, καὶ τὴν ἀβὲλ οἴκου μααχὰ, καὶ πᾶσαν τὴν χεννερὲθ, ἕως πάσης τῆς γῆς νεφθαλείμ. καὶ ἐγένετο, ὡς ἤκουσε βαασὰ, καὶ διέλιπε τοῦ οἰκοδομεῖν τὴν ῥαμὰ, καὶ ἀνέστρεψεν εἰς θερσά. καὶ ὁ βασιλεὺς ἀσὰ παρήγγειλε παντὶ ἰούδα εἰς ἐνακείμ, καὶ αἴρουσι τοὺς λίθους τῆς ῥαμὰ, καὶ τὰ ξύλα αὐτῆς, ἃ ᾠκοδόμησε βαασὰ, καὶ ᾠκοδόμησεν ἐν αὐτοῖς ὁ βασιλεὺς ἀσὰ πάντα βουνὸν βενιαμὶν, καὶ τὴν σκοπιάν. καὶ τὰ λοιπὰ τῶν λόγων ἀσὰ, καὶ πᾶσα ἡ δυναστεία αὐτοῦ, καὶ πάντα, ἃ ἐποίησε, καὶ τὰς πόλεις, ἃς ᾠκοδόμησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐστὶν ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν ἰούδα; πλὴν ἐν τῷ καιρῷ τοῦ γήρως αὐτοῦ, ἐπόνεσε τοὺς πόδας αὐτοῦ. καὶ ἐκοιμήθη ἀσὰ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ θάπτεται μετὰ τῶν πατέρων αὐτοῦ, ἐν πόλει δαβὶδ πατρὸς αὐτοῦ, καὶ βασιλεύει ἰωσαφὰτ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. καὶ ναβὰτ

υἱὸς

υἱὸς ἱεροβοὰμ βασιλεύει ἐπὶ ἰσραὴλ, ἐν ἔτει δευτέρῳ τοῦ ἀσὰ βασιλέως ἰούδα. καὶ ἐβασίλευσεν ἐπὶ ἰσραὴλ ἔτη δύο, καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου, καὶ ἐπορεύθη ἐν ὁδῷ τοῦ πατρὸς αὐτοῦ, καὶ ταῖς ἁμαρτίαις αὐτοῦ, αἷς ἐξήμαρτε τὸν ἰσραήλ. καὶ περιεκάθισεν αὐτὸν βαασὰ υἱὸς ἀχιὰ, ἐπὶ τὸν οἶκον βεελὰν υἱοῦ ἀχιὰ, καὶ ἐπάταξεν αὐτὸν ἐν γαβαθὼν τῇ τῶν ἀλλοφύλων, καὶ ναβὰτ, καὶ πᾶς ἰσραὴλ περιεκάθηντο ἐπὶ γαβαθὼν, καὶ ἐθανάτωσεν αὐτὸν βαασὰ ἐν ἔτει τρίτῳ τοῦ ἀσὰ υἱοῦ ἀβιὰμ βασιλέως ἰούδα, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ. καὶ ἐγένετο, ὡς ἐβασίλευσε, καὶ ἐπάταξεν ὅλον τὸν οἶκον ἱεροβοὰμ, καὶ οὐχ ὑπελείπετο πᾶσαν πνοὴν τοῦ ἱεροβοὰμ, ἕως τοῦ ἐξολοθρεῦσαι αὐτὸν, κατὰ τὸ ῥῆμα κυρίου, ὃ ἐλάλησεν ἐν χειρὶ δούλου αὐτοῦ τοῦ ἀχιὰ τοῦ σηλωνίτου, περὶ τῶν ἁμαρτιῶν ἱεροβοὰμ, ὃς ἐξήμαρτε τὸν ἰσραὴλ, καὶ ἐν τῷ παροργισμῷ αὐτοῦ, ᾧ παρώργισε τὸν κύριον θεὸν τοῦ ἰσραήλ. καὶ τὰ λοιπὰ τῶν λόγων ναβὰτ, καὶ πάντα, ὅσα ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐστὶν ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν ἰσραήλ;

Καὶ ἐν τῷ ἔτει τῷ τρίτῳ τοῦ ἀσὰ βασιλέως ἰούδα βασιλεύει βαασὰ υἱὸς ἀχιὰ ἐπὶ πάντα ἰσραὴλ, ἐν θερσᾶ, εἴκοσι καὶ τέσσαρα ἔτη. καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου,

καὶ

filius Hieroboam regnat super Israel, in anno secundo Asa regis Iuda. Et regnauit Nabat super Israel annos duos, & fecit malum corā domino, & ambulauit in uia patris sui, et in peccatis eius, quibus peccare fecit Israel. Et obsedit eum Baasa filius Achia, contra domum Beelan filii Achia, & percussit eum in Gabathon quę est alienigenarum. Et Nabad & omnis Israel obsidebant in Gabathon, & interfecit eum Baasa in anno tertio Asa filii Abiam regis Iuda, & regnauit pro eo. Et factum est, ut regnauit, & percussit totam domum Hieroboam, & non reliquit omnem spiritum Hieroboam, donec deleret eum, iuxta uerbum domini, quod loquutus est in manu serui sui Achia Selonitæ, de peccatis Hieroboam, qui peccare fecit Israel, & in irritatione sua, in qua irritauerat dominum deum Israel. Et reliqua sermonum Nabat, & omnia, quæ fecit, nonne hęc scripta sunt in libro sermonum dierū regibus Israel?

Cap. XVI.

Et in anno tertio Asa regis Iuda regnat Baasa filius Achia super omnem Israel, in Thersa, uiginti & quatuor annos. Et fecit malum corā domino,

&

& ambulauit in uia Hieroboam filii Nabat, & in peccatis eius, quibus peccare fecit Israel. Et factus est sermo domini in manu Iu filii Anani ad Baasa, dicens, Propterea quod exaltaui te de terra, & dedi te ducem super populum meum Israel, & ambulasti in uia Hieroboam, & peccare fecisti populum meum Israel, ut incitares me in uanitatibus eorum, ecce, ego excitabo post Baasa & post domum eius, & dabo domum eius ut domum Hieroboam filii Nabat. Mortuum Baasa in ciuitate, comedent eum canes, & mortuum eius in agro, comedent eum uolucres cœli. Et reliqua sermonum Baasa, & omnia, quæ fecit, & potentiæ eius, nonne hæc scripta sunt in libro sermonum dierũ regum Israel? Et dormiuit Baasa cum patribus suis, & sepelitur in Thersa, & regnauit Ela filius eius pro eo. In anno uicesimo & octauo Asa regis Iuda, & in manu Iu, filii Anani prophetæ, locutus est dominus cõtra Baasa, & cõtra domũ eius, oẽm maliciam, quam fecit coram domino ad incitandum eum in operibus manuum suarum, ut esset ipse, sicut domus Hieroboã, & pro eo q́d percussit eũ Et Ela

filius

καὶ ἐπορεύθη ἐν ὁδῷ ἱεροβοὰμ υἱοῦ ναβὰτ, καὶ ἐν ταῖς ἁμαρτίαις αὐτοῦ, αἷς ἐξήμαρτε τὸν ἰσραήλ. καὶ ἐγένετο λόγος κυρίου ἐν χειρὶ ἰοῦ υἱοῦ ἀνανὶ πρὸς βαασὰ, λέγων, ἀνθ' ὧν ὕψωσά σε ἀπὸ τῆς γῆς, καὶ ἔδωκά σε ἡγούμενον ἐπὶ τὸν λαόν μου ἰσραὴλ, καὶ ἐπορεύθης ἐν τῇ ὁδῷ ἱεροβοὰμ, καὶ ἐξήμαρτες τὸν λαόν μου τὸν ἰσραὴλ, τοῦ παροργίσαι με ἐν τοῖς ματαίοις αὐτῶν, ἰδοὺ ἐγὼ ἐξεγείρω ὀπίσω βαασὰ, καὶ ὄπισθεν τοῦ οἴκου αὐτοῦ, καὶ δώσω τὸν οἶκόν σου ὡς τὸν οἶκον ἱεροβοὰμ υἱοῦ ναβάτ. τὸν τεθνηκότα τοῦ βαασὰ ἐν τῇ πόλει καταφάγονται αὐτὸν οἱ κύνες, καὶ τὸν τεθνηκότα αὐτοῦ ἐν τῷ πεδίῳ καταφάγονται τὰ πετεινὰ τοῦ οὐρανοῦ. καὶ τὰ λοιπὰ τῶν λόγων βαασὰ, καὶ πάντα ἃ ἐποίησε; καὶ αἱ δυναστεῖαι αὐτοῦ, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τῶν βασιλέων ἰσραήλ; καὶ ἐκοιμήθη βαασὰ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ θάπτεται ἐν θαρσᾶ, καὶ βασιλεύει ἠλὰ υἱὸς αὐτοῦ ἀνθ' αὐτοῦ. ἐν ἔτει εἰκοστῷ καὶ ὀγδόῳ τοῦ ἀσὰ βασιλέως ἰούδα, καὶ ἐν χειρὶ ἰοῦ, υἱοῦ ἀνανὶ τοῦ προφήτου, ἐλάλησε κύριος ἐπὶ βαασὰ καὶ ἐπὶ τὸν οἶκον αὐτοῦ, πᾶσαν τὴν κακίαν, ἣν ἐποίησεν ἐνώπιον κυρίου, τοῦ παροργίσαι αὐτὸν ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ, τοῦ εἶναι αὐτὸν καθὼς ὁ οἶκος ἱεροβοὰμ. καὶ ὑπὲρ τοῦ πατάξαι αὐτόν. καὶ ἠλὰ

υἱὸς

υἱὸς Βαασὰ ἐβασίλευσεν ἐπὶ Ἰσραὴλ δύο ἔτη ἐν Θερσᾷ, καὶ συνέστρεψεν ἐφ' ἑαυτὸν τοὺς παῖδας αὐτοῦ. καὶ Ζαμβρὶ ὁ ἄρχων τῆς ἡμίσεως τῆς ἵππου. καὶ αὐτὸς ἦν ἐν Θερσᾷ πίνων καὶ μεθύων ἐν τῷ οἴκῳ Ὠσᾶ, τοῦ οἰκονόμου ἐν Θερσᾷ, καὶ εἰσῆλθε Ζαμβρὶ, καὶ ἐπάταξεν αὐτὸν, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ, καὶ ἐγενήθη ἐν τῷ βασιλεῦσαι αὐτὸν, ἐν τῷ καθίσαι αὐτὸν ἐπὶ τοῦ θρόνου αὐτοῦ, καὶ ἐπάταξεν ὅλον τὸν οἶκον Βαασὰ, κατὰ τὸ ῥῆμα κυρίου, ὃ ἐλάλησεν ἐπὶ τὸν οἶκον Βαασὰ, καὶ πρὸς Ἠλιοὺ τὸν προφήτην, περὶ πασῶν τῶν ἁμαρτιῶν Βαασὰ, καὶ Ἠλὰ τοῦ υἱοῦ αὐτοῦ, ὡς ἐξήμαρτε τὸν Ἰσραὴλ τοῦ παροργίσαι κύριον τὸν θεὸν Ἰσραὴλ, ἐν τοῖς ματαίοις αὐτῶν. καὶ τὰ λοιπὰ τῶν λόγων Ἠλὰ, καὶ πάντα, ἃ ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τῶν βασιλέων Ἰσραήλ; καὶ Ζαμβρὶ ἐβασίλευσεν ἐν Θερσᾷ ἡμέρας ἑπτὰ, καὶ ἡ παρεμβολὴ Ἰσραὴλ ἐπὶ Γαβαθὼν τὴν τῶν ἀλλοφύλων. καὶ ἤκουσεν ὁ λαὸς ἐν τῇ παρεμβολῇ λεγόντων, συνεστράφη Ζαμβρὶ, καὶ ἔπαισε τὸν βασιλέα, καὶ ἐβασίλευσαν ἐν Ἱερουσαλὴμ τὸν Ζαμβρὶ, τὸν ἡγούμενον τῆς στρατιᾶς ἐπὶ Ἰσραὴλ, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐν τῇ παρεμβολῇ. καὶ ἀνέβη Ζαμβρὶ καὶ πᾶς Ἰσραὴλ μετ' αὐτοῦ ἐκ Γαβαθὼν, καὶ περιεκάθισαν ἐπὶ Θερσᾶ. καὶ ἐγενήθη, ὡς εἶδε Ζαμβρὶ, ὅτι προκατείληπται ἡ πόλις,

filius Baasa regnauit super Israel, duos annos, in Thersa, & conuertit in seipsum pueros eius. Et Zambri princeps dimidiæ partis equitatus. Et ipse erat in Thersa bibēs & inebrians in domo Osa, præfecti domus in Thersa, & ingressus est Zambri, & percussit eum, & regnauit pro eo. Et factū est, cū regnasset ipse, cum consedisset ipse in solio eius, & percussit totam domum Baasa, iuxta uerbum domini, quod loquutus est dominus contra domum Baasa & ad Eliu prophetam, de omnibus peccatis Baasa & Ela filii eius, quomodo peccare fecit Israel ad incitandum ad iram dominum deum Israel in uanitatibus suis. Et reliqua sermonum Ela, & omnia, quæ fecit, nonne hæc scripta sunt in libro sermonum dierum regum Israel? Et Zambri regnauit in Thersa septē dies, & castra Israel in Gabathon alienigenarū. Et audiuit populus in castris dicentes, Rebellauit Zābri, & percussit regem, et cōstituerūt regē in Hierusalē Zābri, præfectū militiæ in Israel, in die illa, in castris. Et ascendit Zābri et oīs Israel cū eo, de Gabathō, et obsedit in Thersa. Et factū est, ut uidit Zābri, quod præoccupata est ciuitas

ciuitas eius, & ingreditur in antrum domus regis, & incendit super se domum regis in igne. Et mortuus est pro peccatis suis, quæ fecit, cum faceret malum coram domino, cum ambularet in uia Hieroboam filii Nabat, & in peccatis eius, quæ fecit, ut peccare fecit Israel. Et reliqua sermonum Zambri, & coniurationes eius quas coniurauit, nonne hęc scripta sunt in libro sermonum dierū regum Israel? Tunc diuiditur populus Israel. Dimidium populi est post Thamni filium Gonath, ut cōstitueret regem ipsum, & dimidium populi est post Zambri. Populus existēs post Zābri superauit populum post Thamni filiū Gonath. Et mortuus est Thamni & Ioram frater eius in tempore illo. Et regnauit Zambri cum Thamni. In anno trigesimo & primo regis Asa regnat Zambri super Israel duodecim annos, in Thersa regnat sex annos. Et possedit Zābri montē Semerō à Sēmer dño mōtis, duob. talētis argenti. Et ædificauit montē, & cognominauit nomē mōtis, quē ædificauit, in nomine Semmer domini montis Semeron. Et fecit Zambri malum coram domino, & male egit super omnes qui fuerunt

ἡ πόλις αὐτοῦ, καὶ εἰσπορεύεται εἰς ἄντρον τοῦ οἴκου βασιλέως, καὶ ἐνεπύρισεν ἐπ᾽ αὐτὸν τὸν οἶκον τοῦ βασιλέως ἐν πυρί. καὶ ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν αὐτοῦ, ὧν ἐποίησε, τοῦ ποιῆσαι τὸ πονηρὸν ἐνώπιον κυρίου, τοῦ πορευθῆναι ἐν ὁδῷ ἱεροβοὰμ υἱοῦ ναβὰτ, καὶ ἐν ταῖς ἁμαρτίαις αὐτοῦ, αἷς ἐποίησεν, ὡς ἐξήμαρτε τὸν ἰσραήλ. καὶ τὰ λοιπὰ τῶν λόγων ζαμβρὶ, καὶ τὰς συνάψεις αὐτοῦ, ἃς συνῆψεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τῶν βασιλέων ἰσραήλ; τότε μερίζεται ὁ λαὸς ἰσραήλ. τὸ ἥμισυ τοῦ λαοῦ γίνεται ὀπίσω θαμνὶ υἱοῦ γωνὰθ τοῦ βασιλεῦσαι αὐτὸν, καὶ τὸ ἥμισυ τοῦ λαοῦ γίνεται ὀπίσω ζαμβρί. ὁ λαὸς ὁ ὢν ὀπίσω ζαμβρὶ ὑπερεκράτησε τὸν λαὸν τὸν ὀπίσω θαμνὶ υἱοῦ γωνάθ. καὶ ἀπέθανε θαμνὶ καὶ ἰωρὰμ ὁ ἀδελφὸς αὐτοῦ ἐν τῷ καιρῷ ἐκείνῳ. καὶ ἐβασίλευσε ζαμβρὶ μετὰ θαμνί. ἐν τῷ ἔτει τῷ τριακοστῷ καὶ πρώτῳ τοῦ βασιλέως ἀσὰ, βασιλεύει ζαμβρὶ ἐπὶ ἰσραὴλ δώδεκα ἔτη, ἐν θερσᾶ βασιλεύει ἓξ ἔτη. καὶ ἐκτήσατο ζαμβρὶ τὸ ὄρος τὸ σεμηρὼν, παρὰ σεμμὴρ τοῦ κυρίου τοῦ ὄρους, δύο ταλάντων ἀργυρίου. καὶ ᾠκοδόμησε τὸ ὄρος, καὶ ἐπεκάλεσε τὸ ὄνομα τοῦ ὄρους, οὗ ᾠκοδόμησεν, ἐπὶ τῷ ὀνόματι σεμμὴρ τοῦ κυρίου τοῦ ὄρους σεμηρών. καὶ ἐποίησε ζαμβρὶ τὸ πονηρὸν ἐνώπιον κυρίου, καὶ ἐπονηρεύσατο ὑπὲρ πάντας τοὺς γενομένους

μένες ἔμπροσθεν αὐτοῦ. καὶ ἐπορεύθη ἐν πάσῃ ὁδῷ ἱεροβοὰμ υἱοῦ ναβὰτ, καὶ ἐν ταῖς ἁμαρτίαις αὐτοῦ, αἷς ἐξήμαρτε τὸν ἰσραὴλ, τοῦ παροργίσαι τὸν κύριον θεὸν ἰσραὴλ ἐν τοῖς ματαίοις αὐτῶν. καὶ τὰ λοιπὰ τῶν λόγων ζαμβρὶ, καὶ πάντα, ἃ ἐποίησε, καὶ πᾶσα ἡ δυναστεία αὐτοῦ, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τῶν βασιλέων ἰσραήλ; καὶ ἐκοιμήθη ζαμβρὶ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ θάπτεται ἐν σαμαρείᾳ, καὶ βασιλεύει ἀχαὰβ ὁ υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ. ὁ δὲ ἀχαὰβ υἱὸς ζαμβρὶ ἐβασίλευσεν ἐπὶ ἰσραὴλ, ἐν ἔτει τριακοστῷ καὶ ὀγδόῳ τοῦ ἀσὰ βασιλέως ἰούδα. βασιλεύει δὲ ἀχαὰβ υἱὸς ζαμβρὶ ἐπὶ ἰσραήλ. καὶ ἐν τῷ ἐνιαυτῷ τῷ ἑνδεκάτῳ τοῦ ζαμβρὶ βασιλεύς ἰωσαφὰτ υἱὸς ἀσὰ, ἐτῶν τριάκοντα καὶ πέντε ἐν τῇ βασιλείᾳ αὐτοῦ, καὶ εἴκοσι πέντε ἔτη ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ γαζουβᾶ, θυγάτηρ σελεί. καὶ ἐπορεύθη ἐν τῇ ὁδῷ ἀσὰ τοῦ πατρὸς αὐτοῦ, καὶ οὐκ ἐξέκλινεν ἀπ᾽ αὐτοῦ τοῦ ποιεῖν τὸ εὐθὲς ἐνώπιον κυρίου. πλὴν τῶν ὑψηλῶν οὐκ ἐξῇρεν, ἔθυον ἐν τοῖς ὑψηλοῖς, καὶ ἐθυμίων. καὶ ἃ συνέθετο ἰωσαφὰτ μετὰ βασιλέως ἰσραὴλ, καὶ πᾶσα ἡ δυναστεία αὐτοῦ, ἣν ἐποίησε, καὶ οὓς ἐπολέμησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τῶν βασιλέων ἰούδα; καὶ τὰ

runt ante eum. Et ambulauit in omni uia Hieroboam filii Nabat, & in peccatis eius, quibus peccare fecit Israel, ut irritaret dominum deum Israel in uanitatibus suis. Et reliqua sermonum Zambri, & omnia, quæ fecit, & omnis potentia eius, nonne hæc scripta sunt in libro uerborum dierum regum Israel? Et dormiuit Zambri cum patribus suis, et sepelitur in Samaria, & regnat Achaab filius eius pro eo. At Achaab filius Zambri regnauit super Israel, in anno tricesimo & octauo Asa regis Iuda. Regnat autem Achaab filius Zambri super Israel. Et in anno undecimo Zambri regnat Iosaphat filius Asa, annorum triginta & quinque in regno eius, & uiginti quinque annos regnauit in Hierusalem. Et nomẽ matris eius Gazuba, filia Sele. Et iuit in uia Asa patris eius, & non declinauit ab eo facere rectum coram Domino. Sed excelsa non euertit, sacrificabant in excelsis, & adolebant. Et quæ pactus est Iosaphat cum rege Israel, & omnis potentia eius, quam fecit, & quos debellauit, nonne hæc scripta sunt in libro sermonũ dierum regum Iuda? Et

t reliqua

reliqua concertationum,
quæ erant in diebus Asa
patris eius, sustulit à ter-
ra. Et rex non erat in Sy
ria Nasch, & rex Iosa-
phat fecit nauem in Thar
sis, ut iret in Sophira, pro-
pter aurum, & non iuit,
quia confracta est nauis
in Gasion Gabe. Tunc di-
xit rex Israel ad Iosa-
phat, Ablegabo pueros
meos cum pueris in naui,
et non noluit Iosaphat. Et
dormiuit Iosaphat cũ pa-
tribus eius, & sepelitur cũ
patribus eius, in urbe Da-
uid, & regnauit Ioram fi-
lius eius pro eo. In anno
secundo Iosaphat regis Iu
da, Achaab filius Zam-
bri regnauit super Israel
in Samaria, uiginti & du-
os annos. Et fecit Acha-
ab malum coram domi-
no, & malè egit super o-
mnes, qui fuerunt ante e-
um. Et non erat ei suffici-
ens, ut ambularet in pec-
catis Hieroboam filii Na-
bat, & duxit uxorem Ie-
zabel, filiam Iethebaal re
gis Sidoniorum. Et abiit,
& seruiuit Baal, & adora
3.Re.10 uit eum. Et statuit aram
Baal in domo offensio-
num eius, quam ædifi-
cauerat in Samaria. Et fe
fecit Achaab lucum.
Et addidit Achaab ut
faceret iritationes, ut
irita-

τὰ λοιπὰ τῶν συμπλοκῶν, ἃ ἦν ἐν
ταῖς ἡμέραις ἀσὰ τοῦ πατρὸς αὐ-
τοῦ, ἐξῆρεν ἀπὸ τῆς γῆς. καὶ βασι-
λεὺς οὐκ ἦν ἐν συρίᾳ νασὴβ, καὶ ὁ
βασιλεὺς ἰωσαφὰτ ἐποίησε ναῦν
εἰς θαρσεῖς, πορεύεσθαι εἰς σωφα-
ρὰ, ἐπὶ τὸ χρυσίον, καὶ οὐκ ἐπορεύθη,
ὅτι συνετρίβη ἡ ναῦς ἐν γασιὼν γα-
βέ. τότε εἶπεν ὁ βασιλεὺς ἰσραὴλ
πρὸς ἰωσαφὰτ, ἐξαποστελῶ τοὺς παῖ-
δάς μου μετὰ τῶν παίδων σου ἐν τῇ
νηΐ, καὶ οὐκ ἠβουλήθη ἰωσαφάτ. καὶ
ἐκοιμήθη ἰωσαφὰτ μετὰ τῶν πατέ-
ρων αὐτοῦ, καὶ θάπτεται μετὰ τῶν
πατέρων αὐτοῦ, ἐν πόλει δαβὶδ,
καὶ ἐβασίλευσεν ἰωρὰμ υἱὸς αὐτοῦ
ἀντ' αὐτοῦ. ἐν ἔτει δευτέρῳ τοῦ ἰω-
σαφὰτ βασιλέως ἰούδα, ἀχαὰβ υἱ-
ὸς ζαμβρὶ ἐβασίλευσεν ἐπὶ ἰσραὴλ
ἐν σαμαρείᾳ, εἴκοσι καὶ δύο ἔτη.
καὶ ἐποίησεν ἀχαὰβ τὸ πονηρὸν
ἐνώπιον κυρίου, καὶ ἐπονηρεύσατο ὑ-
πὲρ πάντας τοὺς ἔμπροσθεν αὐτοῦ.
καὶ οὐκ ἦν αὐτῷ ἱκανὸν τοῦ πορεύε-
σθαι ἐν ταῖς ἁμαρτίαις ἱεροβοὰμ
υἱοῦ ναβὰτ, καὶ ἔλαβε γυναῖκα τὴν ἰε-
ζαβὲλ, θυγατέρα ἰεθεβαὰλ βασιλέως
σιδωνίων. καὶ ἐπορεύθη, καὶ ἐδούλευ-
σε τῷ βάαλ, καὶ προσεκύνησεν αὐτῷ.
καὶ ἔστησε θυσιαστήριον τῷ βάαλ ἐν
οἴκῳ τῶν προσοχθισμάτων αὐτοῦ, ὃν ᾠ-
κοδόμησεν ἐν σαμαρείᾳ. καὶ ἐποίη-
σεν ἀχαὰβ ἄλσος. καὶ προσέθηκεν
ἀχαὰβ τοῦ ποιῆσαι παροργίσματα,
τοῦ

τοῦ παροργίσαι τὸν κύριον θεὸν τοῦ ἰσραὴλ, καὶ τὴν ψυχὴν αὐτοῦ τοῦ ἐξολοθρευθῆναι. ἐκακοποίησεν ὑπὲρ πάντας τοὺς βασιλεῖς τοὺς γενομένους ἔμπροσθεν αὐτοῦ. καὶ ἐν ταῖς ἡμέραις αὐτοῦ ᾠκοδόμησεν ἀχιὴλ ὁ βεθηλίτης τὴν ἱεριχώ. ἐν τῷ ἀβειρὼν πρωτοτόκῳ αὐτοῦ ἐθεμελίωσεν αὐτὴν, καὶ τῷ σεγοὺβ τῷ νεωτέρῳ αὐτοῦ ἐπέστησε τὰς θύρας αὐτῆς, κατὰ τὸ ῥῆμα κυρίου, ὃ ἐλάλησεν ἐν χειρὶ ἰησοῦ υἱοῦ ναυῆ.

Καὶ εἶπεν ἠλιοὺ ὁ προφήτης ὁ ἐκ θεσβῶν τῆς γαλαὰδ πρὸς ἀχαάβ, ζῇ κύριος ὁ θεὸς τῶν δυνάμεων, ὁ θεὸς ἰσραὴλ, ᾧ παρέστην ἐνώπιον αὐτοῦ, εἰ ἔσται τὰ ἔτη ταῦτα δρόσος καὶ ὑετὸς, ὅτι εἰ μὴ διὰ στόματος λόγου μου. καὶ ἐγένετο ῥῆμα κυρίου πρὸς ἠλιοὺ, πορεύου ἐντεῦθεν κατὰ ἀνατολὰς, καὶ κρύβηθι ἐν τῷ χειμάῤῥῳ χοῤῥὰθ, τῷ ἐπὶ προσώπου τοῦ ἰορδάνου. καὶ ἔσται, ἐκ τοῦ χειμάῤῥου πίεσαι ὕδωρ, καὶ τοῖς κόραξιν ἐντελοῦμαι διατρέφειν σε ἐκεῖ. καὶ ἐποίησεν ἠλιοὺ κατὰ τὸ ῥῆμα κυρίου, καὶ ἐκάθισεν ἐν τῷ χειμάῤῥῳ χοῤῥὰθ, ἐπὶ προσώπου τοῦ ἰορδάνου. καὶ οἱ κόρακες ἔφερον αὐτῷ ἄρτους τὸ πρωῒ, καὶ κρέας τὸ δείλης, καὶ ἐκ τοῦ χειμάῤῥου ἔπινεν ὕδωρ. καὶ ἐγένετο μεθ' ἡμέρας, καὶ ἐξηράνθη ὁ χειμάῤῥους, ὅτι οὐκ ἐγένετο ὑετὸς ἐπὶ τῆς γῆς. καὶ ἐγένετο ῥῆμα κυρίου πρὸς ἠλιοὺ,

iritaret dominum deum Israel, & animam eius ut disperderet. Male fecit super omnes reges, qui fuerunt ante eum. Et in diebus eius ædificauit Achiel Bethelites in Hiericho. In Aberon primogenito suo fundauit eam, & in Segub iuniore suo imposuit portas eius, iuxta uerbum domini, quod loquutus fuerat in manu Iesu filii Naue.

Et dixit Eliu uates ex Thesbon Galaad ad Achaab, Viuit dominus deus exercituum, deus Israel, cui adstiti coram eo, si erit annis his ros & pluuia, nisi per os sermonis mei. Et factum est uerbum domini ad Eliu, Vade hinc contra Orientem, & abscondere in torrente Chorrath, qui est in conspectu Iordanis. Et erit, de torrente bibes aquam, & coruis præcipiam, ut enutriant te ibi. Et fecit Eliu iuxta uerbum domini, & consedit in torrentē Chorrath in cōspectu Iordanis. Et corui ferebant ei panes mane, & carnem uesperi, & de torrente bibebat aquam. Et factum est post dies, & exsiccatus est torrens, quia non erat pluuia super terram. Et factū est uerbū dñi ad Cap. XVII

Eliu, dicens, Surge, & uade in Sarephtha Sidoniæ, ecce, præcepi ibi mulieri uiduæ, ut enutriat te. Et surrexit, & abiit in Sarephtha, & uenit in portam ciuitatis, & ecce, ibi mulier uidua colligebat ligna. Et clamauit post eam Eliu, & dixit ei, Accipe iam mihi paululum aquæ in uase, & bibam, & profecta est, ut acciperet. Et clamauit post ipsam Eliu, & dixit ei, Accipies iam mihi & buccellam panis
Iud.4 in manu tua, & edam. Et
Eccl.48 dixit mulier, Viuit dominus deus tuus, si est mihi subcinericius, nisi quantum pugillus farinæ in hydria, & parum olei in dolio. Et ecce, ego colligo duo ligna, & ingrediar, & faciam illud mihi & liberis meis, & edemus, & moriemur. Et dixit ei Eliu, Confide, ingredere, & fac secundum uerbum tuum. Sed fac mihi paruum subcinericium inde, & afferes mihi in primis, tibiipsi autem & liberis tuis facies in ultimo. Quia hæc dicit dominus deus Israel, Hydria farinæ non deficiet, & doliũ olei non minuetur usq; in diem, qua dabit dominus pluuiam super terram. Et abiit mulier, & fecit iuxta uerbũ Eliu, & dedit ei, et edit ipsa et ipse et liberi

ἠλιοὺ, ἀνάστηθι, καὶ πορεύθητι εἰς σαρεφθὰ τῆς σιδωνίας, ἰδοὺ, ἐντέταλμαι ἐκεῖ γυναικὶ χήρᾳ τοῦ διατρέφειν σε. καὶ ἀνέστη, καὶ ἐπορεύθη εἰς σαρεφθὰ, καὶ ἦλθεν εἰς τὸν πυλῶνα τῆς πόλεως, καὶ ἰδοὺ, ἐκεῖ γυνὴ χήρα συνέλεγε ξύλα. καὶ ἐβόησεν ὀπίσω αὐτῆς ἠλιοὺ, καὶ εἶπεν αὐτῇ, λαβὲ δή μοι ὀλίγον ὕδωρ εἰς ἄγγος, καὶ πίομαι, καὶ ἐπορεύθη λαβεῖν. καὶ ἐβόησεν ὀπίσω αὐτῆς ἠλιοὺ, καὶ εἶπεν αὐτῇ, λήψῃ δή μοι καὶ ψωμὸν ἄρτου ἐν τῇ χειρί σου, καὶ φάγομαι. καὶ εἶπεν ἡ γυνὴ, ζῇ κύριος ὁ θεός σου, εἰ ἔστι μοι ἐγκρυφίας, ἀλλ' ἢ ὅσον δρὰξ ἀλεύρου ἐν τῇ ὑδρίᾳ, καὶ ὀλίγον ἔλαιον ἐν τῷ καψάκῃ. καὶ ἰδοὺ, ἐγὼ συλλέξω δύο ξυλάρια, καὶ εἰσελεύσομαι, καὶ ποιήσω αὐτὸ ἐμαυτῇ καὶ τοῖς τέκνοις μου, καὶ φαγόμεθα, καὶ ἀποθανούμεθα. καὶ εἶπε πρὸς αὐτὴν ἠλιοὺ, θάρσει, εἴσελθε, καὶ ποίησον κατὰ τὸ ῥημά σου. ἀλλὰ ἐποίησόν μοι ἐγκρυφίαν μικρὸν ἐκεῖθεν, καὶ ἐξοίσεις μοι ἐν πρώτοις, σαυτῇ δὲ καὶ τοῖς τέκνοις σου ποιήσεις ἐπ' ἐσχάτῳ. ὅτι τάδε λέγει κύριος ὁ θεὸς ἰσραὴλ, ἡ ὑδρία τοῦ ἀλεύρου οὐκ ἐκλείψει, καὶ ὁ καψάκης τοῦ ἐλαίου οὐκ ἐλαττονήσει, ἕως ἡμέρας τοῦ δοῦναι κύριον ὑετὸν ἐπὶ τῆς γῆς. καὶ ἐπορεύθη ἡ γυνὴ, καὶ ἐποίησε κατὰ τὸ ῥῆμα ἠλιοὺ, καὶ ἔδωκεν αὐτῷ, καὶ ἤσθιεν αὐτὴ καὶ αὐτὸς, καὶ τὰ τέ-

κνα αὐτῆς. καὶ ἡ ὑδρία τοῦ ἀλεύρου οὐκ ἐξέλιπε, καὶ ὁ καψάκης τοῦ ἐλαίου οὐκ ἠλαττονήθη, κατὰ τὸ ῥῆμα κυρίου, ὃ ἐλάλησεν ἐν χειρὶ ἠλιοῦ. καὶ ἐγένετο μετὰ ταῦτα, καὶ ἠῤῥώστησεν ὁ υἱὸς τῆς γυναικὸς τῆς κυρίας τοῦ οἴκου, καὶ ἦν ἡ ἀῤῥωστία αὐτοῦ κραταιὰ σφόδρα, ἕως οὗ οὐχ ὑπελείφθη ἐν αὐτῷ πνεῦμα. καὶ εἶπε πρὸς ἠλιοῦ, τί ἐμοὶ καὶ σοὶ, ἄνθρωπε τοῦ θεοῦ. εἰσῆλθες πρός με τοῦ ἀναμνῆσαι τὰς ἀδικίας μου, καὶ θανατῶσαι τὸν υἱόν μου; καὶ εἶπεν ἠλιοῦ πρὸς τὴν γυναῖκα, δός μοι τὸν υἱόν σου. καὶ ἔλαβεν αὐτὸν ἐκ τοῦ κόλπου αὐτῆς, καὶ ἀνήνεγκεν αὐτὸν εἰς τὸ ὑπερῷον, ἐν ᾧ αὐτὸς ἐκάθητο ἐκεῖ, καὶ ἐκοίμισεν αὐτὸν ἐπὶ τῆς κλίνης αὐτοῦ. καὶ ἀνεβόησεν ἠλιοῦ, καὶ εἶπεν, οἴμοι κύριε ὁ μάρτυς τῆς χήρας, μεθ' ἧς ἐγὼ κατοικῶ μετ' αὐτῆς, σὺ ἐκάκωσας τοῦ θανατῶσαι τὸν υἱὸν αὐτῆς; καὶ ἐνεφύσησε τῷ παιδαρίῳ τρίς, καὶ ἐπεκαλέσατο τὸν κύριον. καὶ εἶπε, κύριε ὁ θεός μου, ἐπιστραφήτω δὴ ἡ ψυχὴ τοῦ παιδαρίου τούτου εἰς αὐτόν. καὶ ἐγένετο οὕτως, καὶ ἀνεβόησε τὸ παιδάριον, καὶ κατήγαγεν αὐτὸ ἀπὸ τοῦ ὑπερῴου εἰς τὸν οἶκον, καὶ ἔδωκεν αὐτὸ τῇ μητρὶ αὐτοῦ. καὶ εἶπεν ἠλιοῦ, βλέπε, ζῇ ὁ υἱός σου. καὶ εἶπεν ἡ γυνὴ πρὸς ἠλιοῦ, ἰδοὺ, ἔγνωκα, ὅτι ἄνθρωπος τοῦ θεοῦ εἶ σύ, καὶ ῥῆμα κυρίου ἐν τῷ στόματί σου ἀληθινόν.

beri eius. Et hydria farinæ non defecit, & dolium olei non imminutum est, iuxta uerbum domini, quod locutus est in manu Eliu. Et factum est post hæc, & ægrotauit filius mulieris dominæ domus, & erat ægrotatio eius uehemens ualde, usquequo non relictus est in eo spiritus. Et dixit ad Eliu, Quid mihi & tibi homo dei? Ingressus es ad me, ut rememorares iniquitates meas, & interficeres filium meum? Et dixit Eliu ad mulierem, Da mihi filium tuum. Et accepit eum de sinu eius, & sustulit eum in cœnaculum, in quo ipse consederat ibi, & sopiuit eum in lecto suo. Et exclamauit Eliu, & dixit, Heu mihi, domine testis uiduæ, cum qua ego habito cum ea, tu afflixisti, ut interficeres filium eius? Et insflauit puero ter, & inuocauit dominum. & dixit, Domine deus meus, reuertatur iam anima pueri huius in eum. Et factum est sic, & exclamauit puer, & deduxit eum de cœnaculo in domum, & dedit eum matri suæ. Et dixit Eliu, Vide, uiuit filius tuus. Et dixit, mulier ad Eliu, Ecce, cognoui, quod homo dei es tu, & uerbum domini in ore tuo uerum.

Cap.XVIII Et factum est post dies multos, & uerbum domini factum est ad Eliu, in anno tertio, dicens, Vade, et ostende te Achaab, & dabo pluuiam super faciem terræ. Et iuit Eliu, ut conspiceretur Achaab, & erat fames uehemens in Samaria. Et uocauit Achaab Abdiu dispensatorem domus. Et Abdiu erat timens dominum ualde. Et factum est, cum percuteret Iezabel prophetas domini, et tulit Abdiu centum prophetas, & abscondit eos per quinquagenos in duabus speluncis, & enutriuit eos in pane & aqua. Et dixit Achaab ad Abdiu, Age, & transeamus per terram, ad fontes aquarum, & ad omnes torrentes, si forte inueniamus herbam, & sustentemus equos & mulos, & non disperdentur ex iumentis. Et diuiserunt sibi uiam, ut transirent in ea. Achaab iuit in uia una solus, & Abdiu iuit in uia alia solus. Et erat Abdiu in uia solus, & uenit Eliu in occursum eius. Et Abdiu festinauit, & cecidit in faciem suam, & dixit, An tu es ipse domine mi Eliu? Et dixit Eliu Abdiu, Ego sum. Vade, dic domino tuo, ecce Eliu. Et dixit Abdiu, Quid peccaui,

Καὶ ἐγένετο μεθ' ἡμέρας πολλὰς, καὶ ῥῆμα κυρίου ἐγένετο πρὸς ἠλιοὺ, ἐν τῷ ἐνιαυτῷ τῷ τρίτῳ, λέγων, πορεύθητι, καὶ ὄφθητι τῷ ἀχαὰβ, καὶ δώσω ὑετὸν ἐπὶ πρόσωπον τῆς γῆς. καὶ ἐπορεύθη ἠλιοὺ τοῦ ὀφθῆναι τῷ ἀχαὰβ, καὶ ἦν λιμὸς κραταιὸς ἐν σαμαρείᾳ. καὶ ἐκάλεσεν ἀχαὰβ τὸν ἀβδιοῦ τὸν οἰκονόμον. καὶ ἀβδιοῦ ἦν φοβούμενος τὸν κύριον σφόδρα. καὶ καὶ ἐγένετο ἐν τῷ τύπτειν τὴν ἰεζαβὲλ τοὺς προφήτας κυρίου, καὶ ἔλαβεν ἀβδιοῦ ἑκατὸν ἄνδρας προφήτας, καὶ κατέκρυψεν αὐτοὺς ἀνὰ πεντήκοντα ἐν δυσὶ σπηλαίοις, καὶ διέτρεφεν αὐτοὺς ἐν ἄρτῳ καὶ ὕδατι. καὶ εἶπεν ἀχαὰβ πρὸς ἀβδιοῦ, δεῦρο, καὶ διέλθωμεν ἐπὶ τὴν γῆν, καὶ ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, καὶ ἐπὶ πάντας χειμάῤῥους, ἐάν πως εὕρωμεν βοτάνην, καὶ περιποιησώμεθα ἵππους καὶ ἡμιόνους, καὶ οὐκ ἐξολοθρευθήσονται ἀπὸ τῶν κτηνῶν. καὶ ἐμέρισαν ἑαυτοῖς τὴν ὁδὸν τοῦ διελθεῖν ἐν αὐτῇ, ἀχαὰβ ἐπορεύθη ἐν ὁδῷ μιᾷ μόνος, καὶ ἀβδιοῦ ἐπορεύθη ἐν ὁδῷ ἄλλῃ μόνος. καὶ ἦν ἀβδιοῦ ἐν τῇ ὁδῷ, καὶ ἦλθεν ἠλιοὺ εἰς συνάντησιν αὐτοῦ. καὶ ἀβδιοῦ ἔσπευσε, καὶ ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ, καὶ εἶπεν, εἰ σὺ εἶ αὐτὸς κύριέ μου ἠλιού; καὶ εἶπεν ἠλιοὺ τῷ ἀβδιοῦ, ἐγώ εἰμι. πορεύου, λέγε τῷ κυρίῳ σου, ἰδοὺ ἠλιού. καὶ εἶπεν ἀβδιοῦ, τί ἡμάρτηκα,

τηκα, ὅτι δίδως τὸν δοῦλόν σου εἰς χεῖρας ἀχαὰβ τοῦ θανατῶσαί με; ζῇ κύριος ὁ θεός σου, εἰ ἔστιν ἔθνος ἢ βασιλεία, οὗ οὐκ ἀπέσταλκεν ὁ κύριός μου ζητεῖν σε. καὶ εἶπον, οὐκ ἔστι, καὶ ἐνέπρησε τὴν βασιλείαν καὶ τὰς χώρας αὐτῆς, ὅτι οὐχ εὕρηκέ σε, καὶ νῦν σὺ λέγεις, πορεύου, ἀνάγγελλε τῷ κυρίῳ σου, ἰδοὺ, ἠλιού. καὶ ἔσται, ἐὰν ἐγὼ ἀπέλθω ἀπό σου, καὶ πνεῦμα κυρίου ἀρεῖ σε εἰς γῆν, ἣν οὐκ οἶδα, καὶ εἰσελεύσομαι ἀπαγγεῖλαι τῷ ἀχαὰβ, καὶ οὐχ εὑρήσει σε, καὶ ἀποκτενεῖ με, καὶ ὁ δοῦλός σου ἐστὶ φοβούμενος τὸν κύριον ἐκ νεότητος αὐτοῦ. ἢ οὐκ ἀπηγγέλη σοὶ τῷ κυρίῳ μου, οἷα πεποίηκα ἐν τῷ ἀποκτείνειν τὴν ἰεζαβὲλ τοὺς προφήτας κυρίου, καὶ ἔλαβον ἐκ τῶν προφητῶν κυρίου ἑκατὸν ἄνδρας, καὶ ἔκρυψα αὐτοὺς ἐν τοῖς σπηλαίοις ἀνὰ πεντήκοντα, καὶ ἔθρεψα αὐτοὺς ἐν ἄρτοις καὶ ὕδατι; καὶ νῦν σὺ λέγεις μοι, πορεύου, λέγε τῷ κυρίῳ σου, ἰδοὺ ἠλιοὺ, καὶ ἀποκτενεῖ με. καὶ εἶπεν ἠλιοὺ, ζῇ κύριος τῶν δυνάμεων, ᾧ παρέστην ἐνώπιον αὐτοῦ, ὅτι σήμερον ὀφθήσομαι αὐτῷ. καὶ ἐπορεύθη ἀβδιοὺ εἰς συνάντησιν τῷ ἀχαὰβ, καὶ ἀπήγγειλεν αὐτῷ. καὶ ἐξέδραμεν ἀχαὰβ, καὶ ἐπορεύθη εἰς συνάντησιν ἠλιού. καὶ ἐγένετο, ὡς εἶδεν ἀχαὰβ τὸν ἠλιοὺ, καὶ εἶπεν ἀχαὰβ πρὸς ἠλιοὺ, εἰ σὺ εἶ αὐτὸς ὁ διαστρέφων τὸν ἰσραήλ; καὶ εἶπεν ἠλιοὺ, οὐ διαστρέφω τὸν ἰσραὴλ,

caui, qđ tradis seruũ tuũ in manus Achaab, ut interficiat me? Viuit dñs deus tuus, si est gens aut regnũ, quò nõ dimisit dñs meus ad quærendũ te. Et dixerunt, Non est. & incendit regnum & regiones eius, quia non inuenit te, & nunc tu dicis, Vade, & renuncia domino tuo, ecce Eliu. Et erit, si ego abeã à te, et spiritus dñi feret te in terrã, quã non noui, & ingrediar, ut renunciem Achaab, & non inueniet te, & interficiet me, & seruus tuus est timens dominum à iuuentute sua. An non renunciatum est domino meo, quæ feci, cum interficeret Iezabel prophetas domini? Et accepi de prophetis domini centum uiros, & abscõdi eos in speluncis per quinquagenos, & alui eos in panibus & aquis. Et nunc tu dicis, Vade, & dic domino tuo, Ecce Eliu, & interficiet me. Et dixit Eliu, Viuit dominus exercituum, cui astiti in cõspectu eius, quia hodie uidebor ei. Et profectus est Abdiu in occursum Achaab, & renunciauit ei. Et excurrit Achaab, & profectus est in occursum Eliu. Et factum est, ut uidit Achaab Eliu, & dixit Achaab ad Eliu, An tu es ipse peruertens Israel? Et dixit Eliu. Non peruerto

Sup. 17
4. Reg. 4

Israel, sed tu & domus patris tui, cum dereliquistis uos dominum deum uestrum, et profectus es post Baalim. Et nunc dimitte, & congrega ad me omnem Israel in montē Carmelium, et uates Baal quadringentos quinquaginta, & uates turpitudinis quadringentos & quinquaginta, & uates lucorum quadringentos, edentes mensam Iezabel. Et dimisit Achaab in omnē Israel, & congregauit omnes prophetas in montem Carmelium, & adduxit Eliu ad omnes. Et dixit eis Eliu, Vsquequo uos claudicabitis in ambob. poplitibus? Si est dominus deus, ite post eum, si autem Baal ipse, ite post eum. Et non respondit populus uerbum. Et dixit Eliu ad populum, Ego relictus sum uates domini solissimus, & uates Baal, quadringenti & quinquaginta uiri, & uates luci quadringenti. Dent nobis duos boues, & eligant sibi ipsis unum, & membratim diuidant, & imponant super ligna, & ignem non imponant, & ego faciam bouem alium, & ignem non imponam. Et clamate in nomine deorum uestrorum, & ego inuocabo in nomine

ἰσραὴλ, ὅτι ἀλλ' ἢ σὺ καὶ οἶκος τοῦ πατρός σου, ἐν τῷ καταλιμπάνειν ὑμᾶς κύριον τὸν θεὸν ὑμῶν, καὶ ἐπορεύθης ὀπίσω τῶν βααλίμ. καὶ νῦν ἀπόστειλον, καὶ συνάθροισον πρός με πάντα ἰσραὴλ εἰς ὄρος τὸ καρμήλιον, καὶ τοὺς προφήτας τοῦ βάαλ τετρακοσίους καὶ πεντήκοντα, καὶ τοὺς προφήτας τῆς αἰσχύνης τετρακοσίους καὶ πεντήκοντα, καὶ τοὺς προφήτας τῶν ἀλσῶν τετρακοσίους, ἐσθίοντας τράπεζαν ἰεζάβελ. καὶ ἀπέστειλεν ἀχαὰβ εἰς πάντα ἰσραὴλ, καὶ ἐπισυνήγαγε πάντας τοὺς προφήτας εἰς τὸ ὄρος τὸ καρμήλιον, καὶ προσήγαγεν ἠλιοὺ πρὸς πάντας. καὶ εἶπεν αὐτοῖς ἠλιοὺ, ἕως πότε ὑμεῖς χωλανεῖτε ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις; εἰ ἔστι κύριος ὁ θεὸς, πορεύεσθε ὀπίσω αὐτοῦ, εἰ δὲ ὁ βάαλ αὐτὸς, πορεύεσθε ὀπίσω αὐτοῦ. καὶ οὐκ ἀπεκρίθη ὁ λαὸς λόγον. καὶ εἶπεν ἠλιοὺ πρὸς τὸν λαὸν, ἐγὼ ὑπολέλειμμαι προφήτης τοῦ κυρίου μονώτατος, καὶ οἱ προφῆται τοῦ βάαλ τετρακόσιοι καὶ πεντήκοντα ἄνδρες, καὶ οἱ προφῆται τοῦ ἄλσους τετρακόσιοι. δότωσαν ἡμῖν δύο βόας, καὶ ἐκλεξάσθωσαν ἑαυτοῖς τὸν ἕνα, καὶ μελισάτωσαν, καὶ ἐπιθέτωσαν ἐπὶ τῶν ξύλων, καὶ πῦρ μὴ ἐπιθέτωσαν, καὶ ἐγὼ ποιήσω τὸν βοῦν τὸν ἄλλον, καὶ πῦρ οὐ μὴ ἐπιθῶ. καὶ βοᾶτε ἐν ὀνόματι θεῶν ὑμῶν, καὶ ἐγὼ ἐπικαλέσομαι ἐν τῷ ὀνόματι

ματι κυρίου τοῦ θεοῦ μου, καὶ ἔσται ὁ
θεός, ὃς ἂν ἐπακούσῃ ἐν πυρί, οὗτος
θεός. καὶ ἀπεκρίθησαν πᾶς ὁ λαός, καὶ
εἶπαν, καλὸν τὸ ῥῆμα, ὃ ἐλάλησας.
καὶ εἶπεν ἠλιοὺ τοῖς προφήταις τῆς
αἰσχύνης, ἐκλέξασθε ἑαυτοῖς τὸν
μόσχον τὸν ἕνα, καὶ ποιήσατε πρῶ-
τοι, ὅτι πολλοὶ ὑμεῖς, καὶ ἐπικαλεῖ-
σθε ἐν ὀνόματι θεοῦ ὑμῶν, καὶ πῦρ
μὴ ἐπιθῆτε. καὶ ἔλαβον τὸν μόσχον,
καὶ ἐποίησαν. καὶ ἐπεκαλέσαντο ἐν
ὀνόματι τοῦ βάαλ ἐκ πρωΐθεν ἕως με
σημβρίας, καὶ εἶπον, ἐπάκουσον ἡμῶν
ὁ βάαλ, ἐπάκουσον ἡμῶν. καὶ οὐκ ἦν
φωνή, καὶ οὐκ ἦν ἀκρόασις. καὶ διέτρε
χον ἐπὶ τοῦ θυσιαστηρίου οὗ ἐποίησαν.
καὶ ἐγένετο μεσημβρία, καὶ ἐμυκτή-
ρισεν αὐτοὺς ἠλιοὺ ὁ θεσβίτης, καὶ
εἶπεν, ἐπικαλεῖσθε ἐν φωνῇ μεγά
λῃ, ὅτι ἐστὶν ἀδολεσχία αὐτῷ, καὶ
ἅμα μήποτε χρηματίζῃ αὐτός, ἢ μή
ποτε καθεύδει αὐτός, καὶ ἐξαναστή
σεται. καὶ ἐπεκαλοῦντο ἐν φωνῇ με
γάλῃ, καὶ κατετέμνοντο κατὰ τὸν
ἐθισμὸν αὐτῶν, ἐν μαχαίραις καὶ
ἐν σειρομάσταις, ἕως ἐκχύσεως αἵμα
τος ἐπ' αὐτούς, καὶ προεφήτευον, ἕως
οὗ παρῆλθε τὸ δειλινόν. καὶ ἐγένετο
ὡς ὁ καιρὸς τοῦ ἀναβῆναι τὴν θυσί
αν, καὶ οὐκ ἦν φωνή, καὶ ἐλάλησεν ἠ-
λιοὺ ὁ θεσβίτης πρὸς τοὺς προφήτας
τῶν προσοχθισμάτων, λέγων, μετά
στητε ἀπὸ τοῦ νῦν, καὶ ἐγὼ ποιήσω
τὸ ὁλοκαύτωμά μου. καὶ μετέστησαν,
καὶ

ne Domini Dei mei, &
erit deus, qui exaudie-
rit in igne, iste deus. Et re 1.Reg.9
spondit omnis populus, et Sup.2
dixerunt, Bonum uer-
bum, quod loquutus es.
Et dixit Eliu uatibus tur
pitudinis, Eligite uobis
ipsi uitulum unum, & faci
te primi, quia multi uos,
& inuocate in nomine de
orum uestrorũ, & ignem
non imponatis. Et acce-
perunt uitulum, & fece-
runt. Et inuocarunt in no
mine Baal de mane usque
ad meridiem, & dixerũt,
Exaudi nos Baal, exaudi
nos. Et non erat uox, &
non erat auditio. Et per-
currebant in altari, quod
fecerunt. Et facta est me-
ridies, & subsannauit eos
Eliu Thesbites, & di-
xit, Inuocate in uoce ma-
gna, quia negocium est ei,
& simul ne forte uaticine-
tur ipse, uel ne forte ob-
dormiat ipse, & exurget.
Et inuocabãt in uoce ma
gna, & incidebant se iu-
xta consuetudinem eo-
rum, in cultris & in lan-
ceis, usq; ad effusionẽ san-
guinis super eos, & uatici
nati sunt, usquequo trãsiit
tẽpus meridianũ. Et factũ
est circa tẽpus, ut ascende-
ret sacrificium, & non e-
rat uox, & locutus est E-
liu Thesbites ad uates of
fẽsionũ, dicẽs, Trãsite nũc,
et ego faciã holocaustum
meum. Et discesserunt,

& abierunt. Et dixit Eliu ad populum, Accedite ad me. Et accessit omnis populus ad eum. Et accepit Eliu duodecim lapides iuxta numerum tribuum Israel, ut loquutus est dominus ad eum, dicens, Israel erit nomen tuum. Et ædificauit lapides in nomine domini, & curauit altare domini effossum. Et fecit mare, comprehendens duas metretas seminis, in circuitu altaris, & stipauit ligna super altare quod fecit, & diuisit in membra holocaustum, & imposuit super ligna, & stipauit super altare. Et dixit, Accipite mihi quatuor hydrias aquæ, & infundite super holocaustum & super ligna, & fecerunt sic. Et dixit, Secundo facite, & secundo fecerunt. Et dixit, Tertio facite, & tertio fecerunt. Et transiuit aqua in circuitu altaris, et mare impleuerunt aqua.

Et exclamauit Eliu in coelum, & dixit, Domine deus Abraam & Isaac & Israel, exaudi me hodie in igne, & hodie cognoscãt omnis populus iste, quod tu es solus dominus deus Israel, & ego seruus tuus, & propter te feci opera hæc. Exaudi me domine, exaudi me in igne, & cognoscat populus iste, quia tu es dominus deus, & tu conuertisti cor

καὶ ἀπῆλθον. καὶ εἶπεν ἠλιοὺ πρὸς τὸν λαὸν, προσαγάγετε πρός με. καὶ προσήγαγε πᾶς ὁ λαὸς πρὸς αὐτόν. καὶ ἔλαβεν ἠλιοὺ δώδεκα λίθους κατὰ ἀριθμὸν φυλῶν τοῦ ἰσραὴλ, ὡς ἐλάλησε κύριος πρὸς αὐτὸν, λέγων, ἰσραὴλ ἔσται τὸ ὄνομά σου. καὶ ᾠκοδόμησε τοὺς λίθους ἐν ὀνόματι κυρίου, καὶ ἰάσατο τὸ θυσιαστήριον τὸ κατεσκαμμένον. καὶ ἐποίησε θάλασσαν, χωροῦσαν δύο μετρητὰς σπέρματος, κύκλοθεν τοῦ θυσιαστηρίου, καὶ ἐστοίβασε τὰς σχίδακας ἐπὶ τὸ θυσιαστήριον, ὃ ἐποίησε, καὶ ἐμέλισε τὸ ὁλοκαύτωμα, καὶ ἐπέθηκεν ἐπὶ τὰς σχίδακας, καὶ ἐστοίβασεν ἐπὶ τὸ θυσιαστήριον. καὶ εἶπε, λάβετέ μοι τέσσαρας ὑδρίας ὕδατος, καὶ ἐπιχέετε ἐπὶ τὸ ὁλοκαύτωμα, καὶ ἐπὶ τὰς σχίδακας, καὶ ἐποίησαν οὕτως. καὶ εἶπε, δευτερώσατε, καὶ ἐδευτέρωσαν. καὶ εἶπε, τρισσώσατε, καὶ ἐτρίσσευσαν. καὶ διεπορεύετο τὸ ὕδωρ κύκλῳ τοῦ θυσιαστηρίου, καὶ τὴν θάλασσαν ἔπλησαν ὕδατος. καὶ ἀνεβόησεν ἠλιοὺ εἰς τὸν οὐρανὸν, καὶ εἶπε, κύριε ὁ θεὸς ἀβραὰμ καὶ ἰσαὰκ καὶ ἰσραὴλ, ἐπάκουσόν μου σήμερον ἐν πυρὶ, καὶ σήμερον γνώτωσαν πᾶς ὁ λαὸς οὗτος, ὅτι σὺ εἶ κύριος ὁ θεὸς ἰσραὴλ, καὶ ἐγὼ δοῦλος σὸς, καὶ διὰ σὲ πεποίηκα τὰ ἔργα ταῦτα. ἐπάκουσόν μου κύριε, ἐπάκουσόν μου ἐν πυρὶ, καὶ γνώτω ὁ λαὸς οὗτος, ὅτι σὺ εἶ κύριος ὁ θεὸς, καὶ σὺ ἔστρεψας τὴν

τὴν καρδίαν τοῦ λαοῦ τούτου ὀπίσω σου.
καὶ ἔπεσε πῦρ παρὰ κυρίου ἐκ τοῦ οὐρα-
νοῦ, καὶ κατέφαγε τὸ ὁλοκαύτωμα, καὶ
τὰς σχίδακας, καὶ τὸ ὕδωρ τὸ ἐν τῇ
θαλάσσῃ, καὶ τοὺς λίθους, καὶ τὸν χοῦν
ἐξέλειξε τὸ πῦρ. καὶ ἔπεσε πᾶς ὁ
λαὸς ἐπὶ πρόσωπον αὐτῶν, καὶ εἶ-
πον, ἀληθῶς κύριός ἐστιν αὐτὸς θεὸς
ὁ θεός. καὶ εἶπεν ἠλιοὺ πρὸς τὸν λαὸν,
συλλάβετε τοὺς προφήτας τοῦ βάαλ,
μηδεὶς σωθήτω ἐξ αὐτῶν. καὶ συ-
νέλαβον αὐτοὺς, καὶ κατάγει αὐτοὺς
ἠλιοὺ εἰς τὸν χειμάῤῥουν κεισῶν, καὶ
ἔσφαξεν αὐτοὺς ἐκεῖ. καὶ εἶπεν ἠλιοὺ
τῷ ἀχαὰβ, ἀνάβηθι, καὶ φάγε, καὶ
πίε, ὅτι φωνὴ τῶν ποδῶν τοῦ ὑε-
τοῦ. καὶ ἀνέβη ἀχαὰβ τοῦ φαγεῖν
καὶ πιεῖν. καὶ ἠλιοὺ ἀνέβη ἐπὶ τὸν
κάρμηλον, καὶ ἔκρυψεν ἐπὶ τὴν
γῆν, καὶ ἔθηκε τὸ πρόσωπον αὐτοῦ
ἀνὰ μέσον τῶν γονάτων αὐτοῦ. καὶ
εἶπε τῷ παιδαρίῳ αὐτοῦ, ἀνάβηθι,
καὶ ἐπίβλεψον ὁδὸν τῆς θαλάσ-
σης. καὶ ἀνέβη, καὶ ἐπέβλεψε τὸ
παιδάριον, καὶ εἶπεν, οὐκ ἔστιν οὐ-
δέν. καὶ εἶπεν ἠλιοὺ, καὶ σὺ ἐπίστρεψον
ἑπτάκις. καὶ ἐπέστρεψε τὸ παιδάριον
ἑπτάκις, καὶ ἐγένετο ἐν τῷ ἑβδόμῳ, καὶ
ἰδοὺ νεφέλη μικρὰ, ὡς ἴχνος ἀνδρὸς,
ἀνάγουσα ὕδωρ ἀπὸ θαλάσσης. καὶ εἶ-
πεν, ἀνάβηθι, καὶ εἰπὸν τῷ ἀχαὰβ,
ζεῦξον τὸ ἅρμα σου, καὶ κατάβη-
θι, μὴ καταλάβῃ σε ὁ ὑετός. καὶ ἐ-
γένετο ἕως ὧδε καὶ ἕως ὧδε, καὶ
ὁ οὐρα-

cor populi hujus post te.
Et cecidit ignis à domino
de cœlo, & comedit ho-
locaustum & ligna & a-
quam, quæ erat super ip-
sum, & aquam quæ in ma
ri, & lapides, et puluerem
elinxit ignis. Et cecidit o-
mnis populus in faciē eo-
rum, & dixerunt, Vere
dominus est ipse deus de-
us. Et dixit Eliu ad popu-
lum, Comprehendite pro
phetas Baal, nullus salue-
tur ex eis. Et comprehen-
derunt eos, & deduxit
eos Eliu in torrentem Cis
son, & mactauit eos ibi.
Et dixit Eliu Achaab,
Surge, & ede, & bibe,
quia uox pedum pluuiæ.
Et ascendit Achaab, ut co Sup.17
mederet, & biberet. Et Iac.5
Eliu ascendit in Carme-
lum, & inclinauit se in ter
ram, & posuit faciem su-
am inter genua sua Et di-
xit puero suo, Ascende,
& inspice uiam maris. Et
ascendit, et inspexit puer,
& dixit, Non est quic-
quam. Et dixit Eliu, Et tu
reuertere septies. Et reuer
sus est puer septies, & fa-
ctum est in septimo, & ec
ce nubes parua, quasi ue-
stigium uiri, reducens a-
quam è mari. Et dixit, A-
scende, & dic Achaab, Iū
ge currum tuum, & de-
scende, ne occupet te
pluuia. Et factum est us
que huc & usq; huc, &
cœlum

cœlum obscurum fuit in nubibus & uento, & fuit pluuia magna. Et fleuit, & profectus est Achaab usq; Iezrael. Et manus domini fuit super Eliu, et constrinxit lumbum suum, & currebat ante Achaab, usq; Iezrael.

Cap.XIX Et renunciauit Achaab Iezabel, uxori eius omnia, quæ fecerat Eliu, & quomodo occidit
4.Reg.4 uates in gladio. Et ablegauit Iezabel, & dixit, Tu es Eliu, & ego Iezabel, hæc faciant mihi dei & hæc addant, quod hac hora cras occidam animam tuam, sicut unius ex illis. Et timuit Eliu, & surrexit, & abiit iuxta animam suam, & uenit in Bersabee, terram Iuda. Et dimisit puerum suum ibi, & profectus est in deserto uiam dei. Et uenit, & consedit subter rathmen, et petiuit animam eius mori. Et dixit, Sufficiat nunc, tolle iam animam meam à me domine, quia non melior ego sum super patrem meum. Et sopitus est, & dormiuit ibi, sub planta. Et ecce, quidam tetigit eum, et dixit illi, Surge, & ede. Et respexit Eliu, & ecce ad caput suum subcinericius panis, siligineus, & dolium aquæ. Et surrexit, & edit, & bibit, &

ὁ οὐρανὸς συνεσκότασε ἐν νεφέλαις καὶ πνεύματι, καὶ ἐγένετο ὑετὸς μέγας. καὶ ἔκλαιον, καὶ ἐπορεύετο ἀχαὰβ ἕως ἰεζράελ. καὶ χεὶρ κυρίου ἐγένετο ἐπὶ τὸν ἠλιοὺ, καὶ συνέσφιγξε τὴν ὀσφὺν αὐτοῦ, καὶ ἔτρεχον ἔμπροσθεν ἀχαὰβ, ἕως ἰεζράελ.

Καὶ ἀνήγγειλεν ἀχαὰβ τῇ ἰεζαβὲλ, τῇ γυναικὶ αὐτοῦ πάντα, ὅσα ἐποίησεν ἠλιοὺ, καὶ ὡς ἀπέκτεινε τοὺς προφήτας ἐν ῥομφαίᾳ. καὶ ἀπέστειλεν ἰεζαβὲλ, καὶ εἶπεν, σὺ εἶ ἠλιοὺ καὶ ἐγὼ ἰεζαβὲλ, τάδε ποιήσαισάν μοι οἱ θεοὶ, καὶ τάδε προσθείησαν, ὅτι ταύτην τὴν ὥραν αὔριον θήσομαι τὴν ψυχήν σου, καθὼς ἑνὸς ἐξ αὐτῶν. καὶ ἐφοβήθη ἠλιοὺ, καὶ ἀνέστη, καὶ ἀπῆλθε κατὰ τὴν ψυχὴν αὐτοῦ, καὶ ἔρχεται εἰς βηρσαβεὲ, γῆν ἰούδα. καὶ ἀφῆκε τὸ παιδάριον αὐτοῦ ἐκεῖ, καὶ αὐτὸς ἐπορεύθη ἐν τῇ ἐρήμῳ, ὁδὸν ἡμέρας. καὶ ἦλθε, καὶ ἐκάθισεν ὑπὸ κάτω ῥαθμὲν, καὶ ᾐτήσατο τὴν ψυχὴν αὐτοῦ ἀποθανεῖν. καὶ εἶπεν, ἱκανούσθω νῦν, λάβε δὴ τὴν ψυχήν μου ἀπ' ἐμοῦ κύριε, ὅτι οὐ κρείσσων ἐγώ εἰμι ὑπὲρ τοῦ πατρός μου. καὶ ἐκοιμήθη, καὶ ὕπνωσεν ἐκεῖ, ὑπὸ φυτόν. καὶ ἰδοὺ, τὶς ἥψατο αὐτοῦ, καὶ εἶπεν αὐτῷ, ἀνάστηθι, καὶ φάγε. καὶ ἐπέβλεψεν ἠλιοὺ, καὶ ἰδοὺ πρὸς κεφαλῆς αὐτοῦ ἐγκρυφίας ὀλυρίτης, καὶ καμψάκης ὕδατος. καὶ ἀνέστη, καὶ ἔφαγε, καὶ ἔπιε, καὶ

ἐπιστρέψας ἐκοιμήθη. καὶ ἐπέστρε-
ψεν ἄγγελος κυρίου ἐκ δευτέρου,
καὶ ἥψατο αὐτοῦ, καὶ εἶπεν αὐτῷ,
ἀνάστηθι, φάγε, ὅτι πολλὴ ἀπό σου
ἡ ὁδός. καὶ ἀνέστη, καὶ ἔφαγε, καὶ
ἔπιε, καὶ ἐπορεύθη ἐν ἰσχύϊ τῆς βρώ-
σεως ἐκείνης τεσσαράκοντα ἡμέρας
καὶ τεσσαράκοντα νύκτας, ἕως ὄρους
τοῦ θεοῦ χωρήβ. καὶ εἰσῆλθεν ἐκεῖ εἰς
τὸ σπήλαιον, καὶ κατέλυσεν ἐκεῖ.
καὶ ἰδοὺ ῥῆμα κυρίου πρὸς αὐτόν,
καὶ εἶπε, τί σὺ ἐνταῦθα ἠλιοῦ. καὶ εἶ-
πεν ἠλιοῦ, ζηλῶν ἐζήλωκα τῷ κυ-
ρίῳ παντοκράτορι, ὅτι ἐγκατέλιπόν
σε οἱ υἱοὶ ἰσραήλ. τὰ θυσιαστήριά σου
κατέσκαψαν, καὶ τοὺς προφήτας σου
ἀπέκτειναν ἐν ῥομφαίᾳ. καὶ ὑπο-
λέλειμμαι ἐγὼ μονώτατος, καὶ ζη-
τοῦσι τὴν ψυχήν μου λαβεῖν αὐτήν.
καὶ εἶπεν, ἐξελεύσῃ αὔριον, καὶ στή-
σῃ ἐνώπιον κυρίου, ἐν τῷ ὄρει. ἰδού,
παρελεύσεται κύριος, καὶ ἰδοὺ
πνεῦμα μέγα, κραταιόν, διαλῦον
ὄρη, καὶ συντρῖβον πέτρας, ἐνώπιον
κυρίου, ἐν τῷ ὄρει, οὐκ ἐν τῷ πνεύμα-
τι κύριος. καὶ μετὰ τὸ πνεῦμα συσ-
σεισμός, οὐκ ἐν τῷ συσσεισμῷ κύρι-
ος. καὶ μετὰ τὸν συσσεισμὸν πῦρ, οὐκ
ἐν τῷ πυρὶ κύριος. καὶ μετὰ τὸ
πῦρ φωνὴ αὔρας λεπτῆς, κἀκεῖ κύ-
ριος. καὶ ἐγένετο, ὡς ἤκουσεν ἠ-
λιού, καὶ ἐπεκάλυψε τὸ πρόσωπον
αὐτοῦ ἐν τῇ μηλωτῇ αὐτοῦ, καὶ ἐξ-
ῆλθε, καὶ ἔστη ὑπὸ τὸ σπήλαιον.

καὶ

reuertẽs ſopitus eſt. Et re-
uerſus eſt angel[9] dñi ſecũ-
do, & tetigit eũ, & dixit
ei, Surge, & ede, quia
multa à te uia. Et ſurre-
xit, & edit, & bibit, &
profectus eſt in robore ci-
bi illius, quadraginta dies
& quadraginta noctes, uſ
que ad montem dei, Cho
reb. Et ingreſſus eſt illic
in ſpeluncam, & diuertit
ibi. Et ecce uerbum domi
ni ad eum, & dixit, Quid
tibi hic Eliu. Et dixit E- Inf. eod.
liu, Aemulans æmulatus
ſum domino omnipoten-
ti, quia dereliquerunt te fi
lii Iſrael. Altaria tua de-
ſtruxerunt, & prophetas
tuos occiderunt in gla-
dio. Et relictus ſum ego ſo
liſsimus, & quærunt ani-
mam meam, ut auferant
eam. Et dixit, Egredieris
cras, & ſtabis coram do-
mino, in monte. Ecce, tran
ſibit dominus, & ecce ſpi
ritus magnus, fortis, diſſol
uens montes, et contereris
petras, coram domino, in
monte, non in ſpiritu do-
minus. Et poſt ſpiritum
concuſsio, non in concuſ-
ſione dominus. Et poſt
concuſsionem ignis, non
in igne dominus. Et poſt
ignem uox auræ tenuis, et
ibi dominus. Et factũ eſt,
ut audiuit Eliu, operuit
uultum ſuum in pallio
ſuo, & egreſſus eſt,
& ſtetit ſub ſpelunca.

Et

Et ecce ad eum uox, & di
xit, Quid tu hic Eliu. Et
dixit Eliu, Aemulans æ-
mulatus sum domino om-
nipotenti, quia derelique-
runt pactum tuum filii Is-
rael. Altaria tua destruxe
runt, et prophetas tuos oc
Rom. 11 ciderunt in gladio. Et reli
Eccl. 48 ctus sum ego solissimus, &
quærunt animam meam,
ut auferant eam. Et dixit
dominus ad eum, Vade,
& reuertere in uiā tuam.
Et uenies in uiam deserti
Damasci, & unges Azael
in regem Syriæ. Et Ieu
filium Namessi unges in
regem super Israel. Et He-
lissæe filium Saphat de A-
belmaula unges in pro-
phetam pro te. Et erit, qui
saluatus fuerit de gladio
Azael, occidet Ieu. Et qui
saluatus fuerit de gladio
Ieu, interficiet Helissæe.
Et relinquam in Israel se-
ptem millia uirorum, om-
nia genua, quæ non flexe
runt genu Baal, & omne
os, quod non adorauit eū.
Et profectus est inde, &
inuenit Helissæe filium Sa
phat. Et ipse arabat in bo-
bus, & duodecim iuga co
ram eo, & ipse in duode-
cim. Et abiit Eliu ad eum,
& iniecit pallium suum su
per eum. Et reliquit Helis
sæe boues, & cucurrit
post Eliu, & dixit, De-
osculabor patrē meum &
matrem

καὶ ἰδοὺ πρὸς αὐτὸν φωνὴ, καὶ εἶπε, τί σὺ ἐνταῦθα ἠλιού. καὶ εἶπεν ἠλιοὺ, ζηλῶν ἐζήλωκα τῷ κυρίῳ παντοκράτορι, ὅτι ἐγκατέλιπον τὴν διαθήκην σου οἱ υἱοὶ ἰσραήλ. τὰ θυσιαστήριά σου καθεῖλον, καὶ τοὺς προφήτας σου ἀπέκτειναν ἐν ῥομφαίᾳ. καὶ ὑπολέλειμμαι ἐγὼ μονώτατος, καὶ ζητοῦσι τὴν ψυχήν μου λαβεῖν αὐτήν. καὶ εἶπε κύριος πρὸς αὐτὸν, πορεύου, ἀνάστρεφε εἰς τὴν ὁδόν σου, καὶ ἥξεις εἰς τὴν ὁδὸν ἐρήμου δαμασκοῦ, καὶ χρίσεις τὸν ἀζαὴλ εἰς βασιλέα τῆς συρίας, καὶ τὸν ἰοὺ υἱὸν ναμεσσὶ χρίσεις εἰς βασιλέα ἐπὶ ἰσραήλ. καὶ τὸν ἐλισσαιὲ υἱὸν σαφὰτ ἀπὸ ἀβελμαουλὰ χρίσεις εἰς προφήτην ἀντί σου. καὶ ἔσται, τὸν σωζόμενον ἐκ ῥομφαίας ἀζαὴλ θανατώσει ἰού. καὶ τὸν σωζόμενον ἐκ ῥομφαίας ἰοὺ θανατώσει ἐλισσαιέ. καὶ καταλείψω ἐν ἰσραὴλ ἑπτὰ χιλιάδας ἀνδρῶν, πάντα γόνατα, ἃ οὐκ ἔκαμψαν γόνυ τῇ βάαλ, καὶ πᾶν στόμα, ὃ οὐ προσεκύνησεν αὐτῷ. καὶ ἀπῆλθεν ἐκεῖθεν, καὶ εὑρίσκει τὸν ἐλισσαιὲ υἱὸν σαφάτ. καὶ αὐτὸς ἠροτρία ἐν βουσί, καὶ δώδεκα ζεύγη ἐνώπιον αὐτοῦ, καὶ αὐτὸς ἐν τοῖς δώδεκα. καὶ ἀπῆλθεν ἠλιοὺ ἐπ' αὐτὸν, καὶ ἐπέρριψε τὴν μηλωτὴν αὐτοῦ ἐπ' αὐτόν. καὶ κατέλιπεν ἐλισσαιὲ τὰς βόας, καὶ ἔδραμεν ὀπίσω ἠλιοὺ, καὶ εἶπε, καταφιλήσω τὸν πατέρα μου καὶ τὴν μητέρα

μητέρα μου, καὶ ἀκολουθήσω ὀπίσω σου. καὶ εἶπεν αὐτῷ, πορεύου, ἀνάστρεφε, ὅτι πεποίηκά σοι. καὶ ἀνέστρεψεν ὄπισθεν αὐτοῦ, καὶ ἔλαβε τὸ ζεῦγος τῶν βοῶν, καὶ ἔθυσε. καὶ ἥψησεν αὐτὰ ἐν τοῖς σκεύεσι τῶν βοῶν, καὶ ἔδωκε τῷ λαῷ, καὶ ἔφαγον. καὶ ἀνέστη, καὶ ἐπορεύθη ὀπίσω ἠλιοὺ, καὶ ἐλειτούργει αὐτῷ.

Καὶ υἱὸς ἄδερ, βασιλεὺς συρίας, συνήθροισε πᾶσαν τὴν δύναμιν αὐτοῦ, καὶ ἀνέβη, καὶ ἐκάθισαν ἐπὶ τὴν σαμάρειαν. καὶ τριάκοντα δύο βασιλεῖς μετ' αὐτοῦ, καὶ πᾶς ἵππος καὶ ἅρματα. καὶ ἀνέβησαν, καὶ περιεκάθισαν ἐπὶ σαμάρειαν, καὶ ἐπολέμησαν ἐπ' αὐτήν. καὶ ἀπέστειλεν ἀγγέλους πρὸς ἀχαὰβ βασιλέα ἰσραὴλ, εἰς τὴν πόλιν, καὶ εἶπε πρὸς αὐτὸν, τάδε λέγει υἱὸς ἄδερ. τὸ ἀργύριόν σου καὶ τὸ χρυσίον σου ἐμόν ἐστι, καὶ αἱ γυναῖκές σου, καὶ τὰ τέκνα σου τὰ καλὰ, ἐμά ἐστι. καὶ ἀπεκρίθη ὁ βασιλεὺς ἰσραὴλ, καὶ εἶπε, καθὼς ἐλάλησας κύριέ μου βασιλεῦ, σός ἐγώ εἰμι, καὶ πάντα τὰ ἐμά. καὶ ἀνέστρεψαν οἱ ἄγγελοι, καὶ εἶπαν, τάδε λέγει ὁ υἱὸς ἄδερ, ἐγὼ ἀπέστειλα πρός σε, λέγων, τὸ ἀργύριόν καὶ τὸ χρυσίον σου, καὶ τὰς γυναῖκας καὶ τὰ τέκνα σου δώσεις ἐμοί. ὅτι ταύτην τὴν ὥραν αὔριον ἀποστελῶ τοὺς παῖδάς μου πρός σε, καὶ ἐρευνήσουσι τὸν οἶκόν σου,

καὶ

matrem meam, & sequar post te. Et dixit ei, Vade, reuertere, quia feci tibi. Et reuersus est à tergo eius, & tulit iuga boum, & mactauit, & coxit ea in instrumentis boum, & dedit populo, & ederunt. Et surrexit, & abiit post Elìu, & publice ministrabat ei.

Et filius Ader rex Syriç cõgregauit omnem exercitum suum, & ascendit, et consedit ad Samariam. Et triginta duo reges secum, & omnis equitatus, & currus. Et ascenderãt, & obsederunt contra Samariam, & belligerabant contra eam. Et dimisit nũcios ad Achaab regem Israel, in ciuitatem, & dixit ad eum, Hæc dicit filius Ader. Argentum tuum & aurum tuum meum est, & uxores tuæ & liberi tui pulchri mei sunt. Et respõdit rex Israel, & dixit, Sicut locutus es domine mi rex, tuus ego sum, et omnia mea. Et reuersi nuncii, et dixerunt, Hæc dicit filius Ader, ego dimisi ad te, dicens, Argentũ tuum et aurum tuum, et uxores tuas et liberos tuos dabis mihi. Quia hac hora cras dimittã seruos meos ad te, et scrutabuntur domũ tuã, Cap.XX.

et

& domus seruorum tuorum, & erunt omnia desideria oculorum suorum, super quae iniecerint manus suas, & capient. Et uocauit rex Israel omnes seniores terrae, & dixit, Cognoscite iam, & uidete, quia malitiam hic quaerit. Quoniam dimisit ad me pro uxoribus meis & pro filiis meis, & pro filiabus meis, argentum meum & aurum meum non prohibui ab eo. Et dixerunt ei seniores, & omnis populus, Non audias, & non uelis. Et dixit nunciis filii Ader, Dicite domino uestro, omnia, quae ablegasti ad seruum tuum in primis, faciam, at uerbum hoc non potero facere.

Et abierunt uiri, & retribuerunt ei sermonem. Et rursus ablegauit ad eum filius Ader, dicēs, Hæc faciant mihi dii, et hęc addāt, si suffecerit puluis Samariæ uulpib. omni populo, peditibus meis. Et respondit rex Israel, & dixit, Sufficiat nunc non glorietur gibbosus, ut rectus. Et factum est, quando respondit ei sermonem hunc, bibens erat ipse & omnes reges qui cum eo in tabernaculis. Et dixit seruis suis, Aedificate uallum. Et posue-

καὶ τοὺς οἴκους τῶν παίδων σου, καὶ ἔσται πάντα τὰ ἐπιθυμήματα τῶν ὀφθαλμῶν αὐτῶν, ἐφ᾽ ἃ ἂν ἐπιβάλωσι τὰς χεῖρας αὐτῶν, καὶ λήψονται. καὶ ἐκάλεσεν ὁ βασιλεὺς ἰσραὴλ πάντας τοὺς πρεσβυτέρους τῆς γῆς, καὶ εἶπε, γνῶτε δὴ, καὶ ἴδετε, ὅτι κακίαν οὗτος ζητεῖ. ὅτι ἀπέσταλκε πρός με περὶ τῶν γυναικῶν μου, καὶ περὶ τῶν υἱῶν μου, καὶ περὶ τῶν θυγατέρων μου, τὸ ἀργύριόν μου καὶ τὸ χρυσίον μου οὐκ ἀπεκώλυσα ἀπ᾽ αὐτοῦ. καὶ εἶπον αὐτῷ οἱ πρεσβύτεροι, καὶ πᾶς ὁ λαὸς, μὴ ἀκούσῃς, καὶ μὴ θελήσῃς. καὶ εἶπε τοῖς ἀγγέλοις υἱοῦ ἄδερ, λέγετε τῷ κυρίῳ ὑμῶν, πάντα, ὅσα ἀπέσταλκας πρὸς τὸν δοῦλόν σου ἐν πρώτοις, ποιήσω, τὸ δὲ ῥῆμα τοῦτο οὐ δυνήσομαι ποιῆσαι. καὶ ἀπῆραν οἱ ἄνδρες, καὶ ἀπέστρεψαν αὐτῷ λόγον. καὶ ἀνταπέστειλε πρὸς αὐτὸν υἱὸς ἄδερ, λέγων, τάδε ποιήσαισάν μοι οἱ θεοὶ, καὶ τάδε προσθείησαν, εἰ ἐκποιήσει ὁ χοῦς σαμαρείας ταῖς ἀλώπεξι, παντὶ τῷ λαῷ, τοῖς πεζοῖς μου. καὶ ἀπεκρίθη ὁ βασιλεὺς ἰσραὴλ, καὶ εἶπεν, ἱκανούσθω νῦν, μὴ καυχάσθω ὁ κυρτὸς, ὡς ὀρθός. καὶ ἐγένετο, ὅτι ἀπεκρίθη αὐτῷ τὸν λόγον τοῦτον, πίνων ἦν αὐτὸς καὶ πάντες οἱ βασιλεῖς οἱ μετ᾽ αὐτοῦ ἐν σκηναῖς. καὶ εἶπε τοῖς παισὶν αὐτοῦ, οἰκοδομήσατε χάρακα. καὶ ἔθεντο

θεντο χάρακα ἐπὶ τὴν πόλιν. καὶ ἰδοὺ, προφήτης εἷς προσῆλθε τῷ ἀχαὰβ βασιλεῖ ἰσραὴλ, καὶ εἶπε, τάδε λέγει κύριος. εἰ ἑώρακας πάντα τὸν ὄχλον τὸν μέγαν τοῦτον; ἰδοὺ, ἐγὼ δίδωμι αὐτὸν σήμερον εἰς χεῖράς σου, καὶ γνώσῃ, ὅτι ἐγὼ κύριος. καὶ εἶπεν ἀχαὰβ, ἐν τίνι; καὶ εἶπε, τάδε λέγει κύριος, ἐν τοῖς παιδαρίοις τῶν ἀρχόντων τῶν χωρῶν. καὶ εἶπεν ἀχαὰβ, τίς συνάψει τὸν πόλεμον; καὶ εἶπεν, σύ. καὶ ἐπεσκέψατο ἀχαὰβ τοὺς παῖδας τῶν ἀρχόντων τῶν χωρῶν, καὶ ἐγένοντο διακόσιοι τριάκοντα δύο. καὶ μετὰ ταῦτα ἐπεσκέψατο τὸν λαὸν, πάντα υἱὸν δυνάμεως, ἑξήκοντα ἑπτὰ χιλιάδας. καὶ ἐξῆλθε μεσημβρίας, καὶ υἱὸς ἄδερ πίνων καὶ μεθύων ἐν σοκχὼθ, αὐτὸς καὶ οἱ βασιλεῖς τριάκοντα, καὶ δύο βασιλεῖς συμβοηθοὶ αὐτοῦ. καὶ ἐξῆλθον τὰ παιδάρια ἀρχόντων τῶν χωρῶν ἐν πρώτοις. καὶ ἀπέστειλεν υἱὸς ἄδερ, καὶ ἀνήγγειλαν τῷ βασιλεῖ συρίας, λέγοντες, ἄνδρες ἐξεληλύθασιν ἐκ σαμαρείας. καὶ εἶπεν αὐτοῖς, εἰ εἰς εἰρήνην ἐκπορεύονται, συλλάβετε αὐτοὺς ζῶντας. καὶ εἰ εἰς πόλεμον ἐξῆλθον, ζῶντας συλλάβετε αὐτοὺς, καὶ μὴ ἐξελθέτωσαν ἐκ τῆς πόλεως. καὶ οὗτοι ἐξῆλθον ἐκ τῆς πόλεως, τὰ παιδάρια ἀρχόντων τῶν χωρῶν, καὶ ἡ δύναμις ὀπίσω αὐτῶν. ἐπάταξεν ἕκαστος τὸν παρ᾽ αὐτοῦ, καὶ ἐδευτέρωσεν ἕκαστος τὸν παρ᾽ αὐτοῦ. καὶ

ἔφυγε

posuerunt uallum ad ciuitatem. Et ecce, propheta unus aduenit Achaab regi Israel, et dixit, Hæc dicit dominus. An uidisti omnem turbam magnam hanc? Ecce, ego trado eã hodie in manus tuas, & cognosces, quod ego dominus. Et dixit Achaab, In quo? Et dixit, Hæc dicit dominus, in puellis principum regionum. Et dixit Achaab, Quis connectet bellum? Et dixit, Tu. Et recensuit Achaab pueros principum regionum, & fuerunt trecenti triginta duo. Et post hæc recensuit populum, omnẽ filium potentiæ, sexaginta septem milia. Et egressus est meridie, & filius Ader bibens & inebriãs in Socchoth ipse & reges triginta, & duo reges adiutores eius. Et egressi sunt pueri principum prouinciarum in primis. Et dimisit filius Ader, & renunciauerunt regi Syriæ, dicentes, Viri egressi sunt de Samaria. Et dixit eis, Si in pace egrediũtur, cõprehendite eos uiuos. Et si in bellum egressi sunt, cõprehẽdite eos uiuos, & nõ egrediantur ex urbe. Et hi egressi sunt de ciuitate, pueri principum prouinciarum, & exercitus post eos. Percussit unusquisq; eum qui iuxta se, & repetiit quilibet eum qui iuxta se. Et

fugit,et p̄sequutus est eos
Israel. Et saluatur filius A-
der, rex Syriæ, in equo e-
quitis. Et egressus est rex
Israel, et cepit equos et cur
rus, & percussit plagā ma
gnam in Syria. Et adue-
nit uates ad regem Israel,
dicens. Roborare, & co-
gnosce, & uide, quid facies,
es, quia reuertente anno fi
lius Ader rex Syriæ ascē-
dit contra te. Et serui re-
gis Syriæ dixerunt ad e-
um, Deus montium, deus
Israel, & non deus uallīū,
propter hoc uicit super
nos. Si autem oppugnaue
rimus eos in plano, profe-
cto obtinebim⁹ super eos.
Et uerbum hoc fac. Able
ga reges, unumquenq; in
locum suum, & pone pro
eis principes. Et mutabi-
mus tibi exercitum, iuxta
exercitum deficientem à
te, & equitatum iuxta e-
quitatum, & currus iuxta
currus, & pugnabimus
contra eos in plano, et ob
tinebimus super eos. Et au
diuit uocem eorum, & fe
cit ita. Et factum est reuer-
tente anno, & lustrauit fi-
lius Ader Syriam, & ascē
dit in Aphecca, in bellum
contra Israel. Et filii Isra-
el recensiti sunt, & adue-
nerunt in occursum eorū,
& castra fixit Israel ex ad
uerso eorum, quasi duo
greges

ἔφυγε συρία, καὶ κατεδίωξεν αὐτοὺς
ἰσραήλ. καὶ σώζεται υἱὸς ἄδερ, βασι-
λεὺς συρίας, ἐφ' ἵππου ἱππέως. καὶ ἐξ-
ῆλθεν ὁ βασιλεὺς ἰσραὴλ, καὶ ἔλαβε
πάντας τοὺς ἵππους καὶ τὰ ἅρματα,
καὶ ἐπάταξε πληγὴν μεγάλην ἐν συ-
ρίᾳ. καὶ προσῆλθε προφήτης πρὸς βα-
σιλέα ἰσραὴλ, καὶ εἶπε, κραταιοῦ, καὶ
γνῶθι, καὶ ἴδε, τί ποιήσεις, ὅτι ἐπι-
στρέφοντος τοῦ ἐνιαυτοῦ; υἱὸς ἄδερ
βασιλεὺς συρίας ἀναβαίνει ἐπί σε.
καὶ οἱ παῖδες βασιλέως συρίας εἶ-
πον πρὸς αὐτὸν, θεὸς ὀρέων, θεὸς ἰσ-
ραὴλ, καὶ οὐ θεὸς κοιλάδων, διὰ τοῦτο
ἐκραταίωσεν ὑπὲρ ἡμᾶς. ἐὰν δὲ πο-
λεμήσωμεν αὐτοὺς κατ' εὐθὺ, εἰ μὴν
κραταιώσομεν ὑπὲρ αὐτούς. καὶ τὸ ῥῆ-
μα τοῦτο ποίησον. ἀπόστειλον τοὺς βασι-
λεῖς, ἕκαστον εἰς τὸν τόπον αὐτοῦ, καὶ θὲς
ἀντ' αὐτῶν σατράπας. καὶ ἀλλάξομέν
σοι δύναμιν, κατὰ τὴν δύναμιν τὴν
πεσοῦσαν ἀπὸ σοῦ, καὶ ἵππον κατὰ τὴν
ἵππον, καὶ ἅρματα κατὰ τὰ ἅρμα-
τα, καὶ πολεμήσομεν πρὸς αὐτοὺς
κατ' εὐθὺ, καὶ κραταιώσομεν ὑ-
πὲρ αὐτούς. καὶ ἤκουσε τῆς φωνῆς αὐ-
τῶν, καὶ ἐποίησεν οὕτως. καὶ ἐγένε-
το ἐπιστρέψαντος τοῦ ἐνιαυτοῦ, καὶ
ἐπεσκέψατο υἱὸς ἄδερ τὴν συρίαν,
καὶ ἀνέβη εἰς ἀφεκκὰ, εἰς πόλεμον
ἐπὶ ἰσραήλ. καὶ οἱ υἱοὶ ἰσραὴλ ἐπε-
σκέπησαν, καὶ παρεγένοντο εἰς ἀπάν-
τησιν αὐτῶν, καὶ παρενέβαλεν
ἰσραὴλ ἐξεναντίας αὐτῶν, ὡσεὶ δύο
ποίμ

ποίμνια αἰγῶν. καὶ συρία ἔπλησεν τὴν γῆν. καὶ προσῆλθεν ὁ ἄνθρωπος τοῦ θεοῦ, καὶ εἶπε τῷ βασιλεῖ ἰσραὴλ, τάδε λέγει κύριος. ἀνθ᾽ ὧν εἶπε συρία, θεὸς ὀρέων, κύριος ὁ θεὸς ἰσραὴλ, καὶ ὁ κύριος κοιλάδων αὐτὸς, καὶ δώσω τὴν δύναμιν τὴν μεγάλην ταύτην εἰς χεῖρα σὴν, καὶ γνώσῃ, ὅτι ἐγὼ κύριος. καὶ παρεμβάλλουσιν οὗτοι ἀπέναντι τούτων ἑπτὰ ἡμέρας. καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ προσήγαγον ὁ πόλεμος. καὶ ἐπάταξεν ἰσραὴλ τὴν συρίαν, ἑκατὸν καὶ εἴκοσι χιλιάδας πεζῶν, ἐν ἡμέρᾳ μιᾷ. καὶ ἔφυγον οἱ κατάλοιποι εἰς ἀφεκὰ, εἰς τὴν πόλιν, καὶ ἔπεσε τὸ τεῖχος ἐπὶ εἴκοσι καὶ ἑπτὰ χιλιάδας ἀνδρῶν τῶν καταλοίπων. καὶ υἱὸς ἄδερ ἔφυγε, καὶ εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ κοιτῶνος, εἰς τὸ ταμεῖον. καὶ εἶπον πρὸς αὐτὸν οἱ παῖδες αὐτοῦ, ἰδοὺ δὴ, οἴδαμεν, ὅτι βασιλεῖς οἴκου ἰσραὴλ, βασιλεῖς ἐλέους εἰσίν. ἐπιθώμεθα δὴ σάκκους ἐπὶ τὰς ὀσφύας ἡμῶν, καὶ σχοινία ἐπὶ τὰς κεφαλὰς ἡμῶν, καὶ ἐξέλθωμεν πρὸς βασιλέα ἰσραὴλ, ὅπως ζωογονήσει τὰς ψυχὰς ἡμῶν. καὶ περιεζώσαντο σάκκους ἐπὶ τὰς ὀσφύας αὐτῶν, καὶ ἔθεντο σχοινία ἐπὶ τὰς κεφαλὰς αὐτῶν. καὶ εἶπον τῷ βασιλεῖ ἰσραὴλ, ὁ δοῦλός σου, υἱὸς ἄδερ λέγει, ζησάτω δὴ ἡ ψυχή μου. καὶ εἶπεν, εἰ ἔτι ζῇ, ἀδελφός μού ἐστι. καὶ οἱ ἄνδρες οἰωνίσαντο,

καὶ

greges caprarum. Et Syria repleuit terram. Et aduenit homo dei, & dixit regi Israel, Hæc dicit dominus. Propterea quod dixit Syria, Deus montiū, dominus deus Israel, & non deus uallium ipse, & dabo exercitum magnum hunc in manum tuam, & cognosces, quod ego dominus. Et castrafigunt isti coram his septem dies. Et factum est die septima, & appropinquauit bellum. Et percussit Israel Syriā, centum & uiginti milia peditum, una die. Et fugerunt reliqui in Aphecca, in ciuitatem, & cecidit murus super uiginti & septem milia uirorum reliquorum. Et filius Ader fugit, & ingressus est in domum cubiculi, in penetrale. Et dixerunt ad eum serui eius, Ecce iam, nouimus, quod reges domus Israel, reges misericordiæ sunt. Imponamus iam saccos in lumbos nostros, & funiculos in capita nostra, & exeamus ad regē Israel, si forte uiuificabit animas nostras. Et accinxerunt saccos in lumbos suos, & posuerunt funiculos in capita sua. Et dixerunt regi Israel, Seruus tuus, filius Ader dicit, Viuat iam aia mea. Et dixit, Si adhuc uiuit, frater meus est. Et uiri augurati sunt.

& auſi ſunt, & elegerunt
ſermonem ex ore eius, &
dixerunt, Frater tuus, fili-
us Ader? Et dixit, Ingre-
dimini, & capite eum. Et
egreſſus eſt ad eum filius
Ader, & tollunt eum ad
eum, in currum. Et dixit
ad eum, Ciuitates, quas tu
lit pater meus à patre tuo,
reddam tibi. Et exitus po
nes tibiipſi in Damaſco, ſi
cut poſuit pater meus in
Samaria. Et ego in fœde-
re dimittam te, & pepigit
ei fœdus, & dimiſit eum.
Et homo unus de filiis
prophetarũ dixit ad pro-
pinquum ſuum, In ſermo-
ne domini percute me iã.
Et non uoluit homo per-
cutere eum. Et dixit ad
eum, propterea quod non
audiſti uocem domini, ec-
ce, tu decurris à me, &
percutiet te leo. Et abiit
ab eo, & inuenit eum leo,
& percuſsit eum. Et inue
nit hominem alium, & di
cit ei, Percute me iam. Et
percuſsit eum homo, &
percutiens contriuit. Et
abiit propheta, & ſtetit
regi Iſrael in uia, & liga-
uit in uitta oculos ſuos.
Et factum eſt, cum rex
tranſiret, & is clamabat
ad regem. Et dixit, Ser-
uus tuus egreſſus eſt ad ex
ercitum belli, & ecce,
uir

καὶ ἐπείσαντο, καὶ ἀνελέξαντο τὸν λόγον
ἐκ τοῦ στόματος αὐτοῦ, καὶ εἶπον, ἀ-
δελφός σου, υἱὸς ἄδερ; καὶ εἶπεν, εἰσέλ-
θετε, καὶ λάβετε αὐτόν. καὶ ἐξῆλθε πρὸς
αὐτὸν υἱὸς ἄδερ, καὶ ἀναβιβάζου-
σιν αὐτὸν πρὸς αὐτὸν, ἐπὶ τὸ ἅρμα. καὶ
εἶπε πρὸς αὐτὸν, τὰς πόλεις, ἃς ἔλα-
βεν ὁ πατήρ μου παρὰ τοῦ πατρός σου,
ἀποδώσω σοι. καὶ ἐξόδους θήσεις σε-
αυτῷ ἐν δαμασκῷ, καθὼς ἔθετο ὁ
πατήρ μου ἐν σαμαρείᾳ. καὶ ἐγὼ ἐν
διαθήκῃ ἐξαποστελῶ σε, καὶ διέθε-
το αὐτῷ διαθήκην, καὶ ἐξαπέστειλεν
αὐτόν. καὶ ἄνθρωπος εἷς ἐκ τῶν υἱ-
ῶν τῶν προφητῶν, εἶπε πρὸς τὸν
πλησίον αὐτοῦ, ἐν λόγῳ κυρίου πά-
ταξόν με δή. καὶ οὐκ ἠθέλησεν ὁ ἄν-
θρωπος πατάξαι αὐτόν. καὶ εἶπε
πρὸς αὐτὸν, ἀνθ' ὧν οὐκ εἰσήκουσας
τῆς φωνῆς κυρίου, ἰδοὺ, σὺ ἀποτρέ-
χεις ἀπ' ἐμοῦ, καὶ πατάξει σε λέ-
ων. καὶ ἀπῆλθεν ἀπ' αὐτοῦ, καὶ εὑρί-
σκει αὐτὸν λέων, καὶ ἐπάταξεν αὐ-
τόν. καὶ εὑρίσκει ἄνθρωπον ἄλλον, καὶ
εἶπε, πάταξόν με δή. καὶ ἐπάταξεν
αὐτὸν ὁ ἄνθρωπος, καὶ πατάξας συ-
νέτριψε. καὶ ἐπορεύθη ὁ προφήτης,
καὶ ἔστη τῷ βασιλεῖ ἰσραὴλ ἐπὶ τῆς ὁ-
δοῦ, καὶ κατεδήσατο ἐν τελαμῶνι
τοὺς ὀφθαλμοὺς αὐτοῦ. καὶ ἐγένετο, ὡς
ὁ βασιλεὺς παρεπορεύετο, καὶ οὗ-
τος ἐβόα πρὸς τὸν βασιλέα. καὶ εἶ-
πεν, ὁ δοῦλός σου ἐξῆλθεν ἐπὶ τὴν
στρατιὰν τοῦ πολέμου, καὶ ἰδοὺ,
ἀνὴρ

ἀνὴρ εἰσήγαγέ πρός με ἄνδρα, καὶ εἶπε πρός με, φύλαξον τοῦτον τὸν ἄνδρα. ἐὰν δὲ ἐκπηδῶν ἐκπηδήσῃ, καὶ ἔσται ἡ ψυχή σου ἀντὶ τῆς ψυχῆς αὐτοῦ, ἢ τάλαντον ἀργυρίου τίσεις. καὶ ἐγενήθη, ὡς περιεβλέπετο ὁ δοῦλός σου ὧδε καὶ ὧδε, καὶ οὗτος οὐκ ἦν. καὶ εἶπεν πρὸς αὐτὸν ὁ βασιλεὺς ἰσραὴλ, ἰδοὺ, τὰ ἔνεδρα παρ' ἐμοὶ ἐφόνευσας. καὶ ἔσπευσε, καὶ ἀφεῖλε τὸν τελαμῶνα ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ. καὶ ἐπέγνω αὐτὸν ὁ βασιλεὺς ἰσραὴλ, ὅτι ἐκ τῶν προφητῶν οὗτος. καὶ εἶπεν πρὸς αὐτὸν, τάδε λέγει κύριος, ἀνθ' ὧν ἐξήνεγκας σὺ ἄνδρα ὀλέθριον ἐκ τῆς χειρός σου, καὶ ἔσται ἡ ψυχή σου ἀντὶ τῆς ψυχῆς αὐτοῦ, καὶ ὁ λαός σου ἀντὶ τοῦ λαοῦ αὐτοῦ. καὶ ἀπῆλθεν ὁ βασιλεὺς ἰσραὴλ συγκεχυμένος καὶ ἐκλιλυμένος.

uir introduxit ad me uirum, & dixit ad me, Custodi mihi hunc uirum. Si uero exſiliens exſiliet, & erit anima tua pro anima eius, uel talentum argenti ſolues. Et factum eſt, ut ſeruus tuus circumſpexit huc & illuc, & iſte non erat. Et dixit ad eum rex Iſrael, Ecce, inſidias apud me necaſti. Et feſtinauit, & abſtulit uittam de oculis ſuis. Et cognouit eum rex Iſrael, quod è prophetis iſte. Et dixit ad eum, Hæc dicit dominus, Propterea quod emiſiſti tu uirum perniciosum de manu tua, & erit anima tua pro anima eius, & populus tuus pro populo eius. Et abiit rex Iſrael confuſus & ſolutus.

Cap. XXI

Καὶ ἐγένετο, μετὰ τὰ ῥήματα ταῦτα, καὶ ἀμπελὼν εἷς ἦν τῷ ναβουθαὶ τῷ ἰεζραηλίτῃ, παρὰ τῇ ἅλῳ ἀχαὰβ βασιλέως σαμαρείας. καὶ ἐλάλησεν ἀχαὰβ πρὸς ναβουθαὶ, λέγων, δός μοι τὸν ἀμπελῶνά σου, καὶ ἔσται μοι εἰς κῆπον λαχάνων, ὅτι ἐγγίζων οὗτος τῷ οἴκῳ μου, καὶ δώσω σοὶ ἀμπελῶνα ἄλλον ἀγαθὸν ὑπὲρ αὐτόν. εἰ δὲ ἀρέσκει ἐνώπιόν σου, δώσω ἀργύριον, ἀντάλλαγμα τοῦ ἀμπελῶνός τούτου, καὶ ἔσται μοι εἰς κῆπον λαχάνων. καὶ εἶπε ναβουθαὶ πρὸς ἀχαὰβ, μή

Et factum eſt poſt uerba hæc, & uinea una erat Nabuthæ Iezraelitæ, iuxta domum Achaab regis Samariæ. Et loquutus eſt Achaab ad Nabuthæ, dicens, Da mihi uineam tuam, & erit mihi in hortum olerum, quia uicina hæc domui meæ, & dabo tibi pro ea uineam aliam bonam ſuper hanc. Si autem placet coram te, dabo tibi argentum, commutationē pro uinea hac, & erit mihi in hortum olerum. Et dixit Nabuthæ ad Achaab, Non

μοι mihi

mihi fiat à Deo meo, ut
dem hæreditatem patrum
meorum. Et uenit Acha-
ab ad domum suam con-
fusus, & solutus ob sermo-
nem, quem locutus est ad
eum Nabuthæ Iezraeli-
tes, & dixit, non dabo ti-
bi hæreditatem patrũ me-
orum. Et fuit spiritus A-
chaab turbatus, & dormi
uit in lecto suo, & conte-
xit faciem suam, & non
edit panem. Et intrauit Ie
zabel uxor sua ad eum, et
locuta est ad eum, Quid
spiritus tuus turbatus est,
& non es tu edēs panem?
Et dixit ad eam, Quoni-
am loquutus sum ad Na-
buthæ Iezraelitem, di-
cens, Da mihi uineam tu-
am argento, si autem non,
uelis tibi uineam aliã pro
ea, & dixit, non dabo ti-
bi hæreditatem patrum
meorum. Et dixit ad eum
Iezabel uxor eius, Tu
nunc sic facis rex Israel?
Consurge, & ede, & tui
ipsius sis, ego uerò dabo
tibi uineam Nabuthæ Ie
zraelitæ. Et scripsit libel-
lum in nomine Achaab.
& signauit sigillum eius.
Et dimisit libellum ad se-
niores & liberos habitan
tes cum Nabuthæ. Et in-
scriptum erat in libello, di
cens, Ieiunate ieiunium,
& collocate Nabuthæ
in principio populi. Et
collocate duos uiros filios
ini-

μοι γένοιτο παρὰ θεοῦ μου δοῦναι κλη-
ρονομίαν πατέρων μου. καὶ ἦλθεν ἀχα-
αὰβ εἰς οἶκον αὐτοῦ συγκεχυμένος, καὶ ἐκ-
λελυμένος ἐπὶ τῷ λόγῳ, ᾧ ἐλάλησε
πρὸς αὐτὸν ναβουθαὶ ὁ ἰεζραηλίτης, καὶ
εἶπεν, οὐ δώσω σοὶ τὴν κληρονομίαν
πατέρων μου. καὶ ἐγένετο τὸ πνεῦμα
ἀχαὰβ τεταραγμένον, καὶ ἐκοιμήθη
ἐπὶ τῆς κλίνης αὐτοῦ, καὶ συνεκάλυψε
τὸ πρόσωπον αὐτοῦ, καὶ οὐκ ἔφαγεν ἄρ-
τον. καὶ εἰσῆλθεν ἰεζαβὲλ ἡ γυνὴ αὐ-
τοῦ πρὸς αὐτὸν, καὶ ἐλάλησε πρὸς
αὐτὸν, τί τὸ πνεῦμά σου τεταραγμέ-
νον, καὶ οὐκ εἶ σὺ ἐσθίων ἄρτον; καὶ
εἶπε πρὸς αὐτὴν, ὅτι ἐλάλησα πρὸς
ναβουθαὶ τὸν ἰεζραηλίτην, λέγων,
δός μοι τὸν ἀμπελῶνά σου ἀργυρίου,
εἰ δὲ μὴ βούλοιό σοι ἀμπελῶνα ἄλ-
λον ἀντ' αὐτοῦ, καὶ εἶπεν, οὐ δώσω
σοὶ κληρονομίαν πατέρων μου. καὶ
εἶπεν πρὸς αὐτὸν ἰεζαβὲλ ἡ γυνὴ
αὐτοῦ, σὺ νῦν οὕτω ποιεῖς βασιλεὺς
ἰσραήλ; ἀνάστηθι, καὶ φάγε ἄρτον,
καὶ σεαυτοῦ γενοῦ, ἐγὼ δὲ δώσω σοὶ
τὸν ἀμπελῶνα ναβουθαὶ τοῦ ἰεζραηλί-
του. καὶ ἔγραψε βιβλίον ἐπὶ τῷ ὀνόμα-
τι ἀχαὰβ, καὶ ἐσφραγίσατο τὴν σφρα-
γίδα αὐτοῦ. καὶ ἀπέστειλε τὸ βιβλίον
πρὸς τοὺς πρεσβυτέρους, καὶ τοὺς ἐ-
λευθέρους τοὺς κατοικοῦντας μετὰ να-
βουθαί. καὶ ἐγέγραπτο ἐν τῷ βιβλίῳ,
λέγων, νηστεύσατε νηστείαν, καὶ κα-
θίσατε τὸν ναβουθαὶ ἐν ἀρχῇ τοῦ λαοῦ.
καὶ ἐγκαθίσατε δύο ἄνδρας, υἱοὺς
παρανό-

παρανόμων, ἐξεναντίας αὐτοῦ, καὶ καταμαρτυρησάτωσαν αὐτοῦ, λέγοντες, ηὐλόγησας θεὸν καὶ βασιλέα, καὶ ἐξαγέτωσαν αὐτὸν, καὶ λιθοβολησάτωσαν αὐτὸν, καὶ ἀποθανέτω. καὶ ἐποίησαν οἱ ἄνδρες τῆς πόλεως αὐτοῦ, οἱ πρεσβύτεροι, καὶ οἱ ἐλεύθεροι οἱ κατοικοῦντες ἐν τῇ πόλει αὐτοῦ, καθὼς ἀπέστειλε πρὸς αὐτοὺς ἰεζαβὲλ, καὶ καθὰ ἐγγέγραπτο ἐν τοῖς βιβλίοις, οἷς ἀπέστειλε πρὸς αὐτούς. καὶ ἐκάλεσαν νηστείαν, καὶ ἐκάθισαν τὸν ναβουθαὶ ἐν ἀρχῇ τοῦ λαοῦ. καὶ εἰσῆλθον δύο ἄνδρες, υἱοὶ παρανόμων, καὶ ἐκάθισαν ἐξεναντίας αὐτοῦ, καὶ κατεμαρτύρησαν αὐτοῦ ἄνδρες τῆς ἀποστασίας τοῦ ναβουθαὶ, κατενάντι τοῦ λαοῦ, λέγοντες, εὐλόγησε θεὸν, καὶ βασιλέα. καὶ ἐξήγαγον αὐτὸν ἔξω τῆς πόλεως, καὶ ἐλιθοβόλησαν αὐτὸν ἐν λίθοις, καὶ ἀπέθανε. καὶ ἀπέστειλαν πρὸς ἰεζαβὲλ, λέγοντες, λελιθοβόληται ναβουθαὶ, καὶ τέθνηκε. καὶ ἐγένετο, ὡς ἤκουσεν ἰεζαβὲλ λεγόντων, λελίθωται ναβουθαὶ, καὶ ἀπέθανε, καὶ εἶπε, πρὸς ἀχαὰβ, ἀνάστα, κληρονόμει τὸν ἀμπελῶνα ναβουθαὶ τοῦ ἰεζραηλίτου, ὃς οὐκ ἔδωκέ σοι ἀργυρίου, ὅτι οὐκ ἔστιν ναβουθαὶ ζῶν, ὅτι τέθνηκε. καὶ ἐγένετο, ὡς ἤκουσεν ἀχαὰβ, ὅτι τέθνηκε ναβουθαὶ ὁ ἰεζραηλίτης, καὶ διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ, καὶ περιεβάλλετο σάκκον. καὶ ἐγένετο μετὰ ταῦτα, καὶ ἀνέστη, καὶ κατέβη

iniquorum, ex aduerso eius, & testificentur cõtra eum, dicentes, Benedixisti deo & regi, & educant eum, & lapidibus obruant eum, & moriatur. Et fecerunt uiri ciuitatis eius, seniores, & liberi habitantes in urbe eius, sicut dimisit ad eos Iezabel, & sicut inscriptum erat in libellis. Et proclamarunt ieiunium, & collocarunt Nabuthę in principio populi. Et intrauerunt duo uiri, filii iniquorũ, et collocarunt se ex aduerso eius, & testificati sunt contra eum uiri rebellionis Nabuthæ, coram populo, dicentes, Benedixit deo & regi. Et eduxerunt eum extra ciuitatem, & lapidauerunt eum in lapidibus, & mortuus est. Et dimiserunt ad Iezabel, dicentes, Lapidatus est Nabuthæ, & mortuus est. Et factum est, ut audiuit Iezabel dicentes, Obrutus est Nabuthæ, & mortuus est, dixit ad Achaab, Surge, posside uineam Nabuthæ Iezraelitæ, qui non dedit tibi argento, quia non est Nabuthæ uiuens, quia mortuus est. Et factum est, ut audiuit Achaab, quod mortuus esset Nabuthæ Iezraelites, & discinpit uestes eius, & circumtegebatur sacco. Et factum est post hæc, & surrexit, & descendit

Achaab uineā Nabuthæ Iezraelitæ, ut posſideret eam. Et dixit dominus ad Eliu Thesbitem, dicens, Surge, & deſcende in occurſum Achaab regis Iſrael, qui in Samaria. Ecce hic in uinea Nabuthę, quia deſcendit eò, ut poſſideat eam. Et loqueris ad eum, dicens, Hęc dicit dominus, Quomodo tu occidiſti, & poſſediſti? Propter hoc hæc dicit dominus, In loco, quo linxerūt ſues & canes ſanguinem Nabuthæ, ibi lambent canes ſanguinem tuū, & meretrices lauabunt in ſanguine tuo. Et dixit Achaab ad Eliu, An inueniſti me inimice mi? Et dixit Eliu, Inueni, quia fruſtra tentaſti facere malum in conſpectu domini, ut irritares eum. Hæc dicit dominus, Ecce ego induco ſuper te mala. Et exuram poſt te, & diſperdam Achaab mingentem ad parietem, & detentum & relictum in Iſrael. Et dabo domum tuam, ſicut domū Hieroboam filii Nabat, & ſicut domum Baaſa filii Achia, pro irritationibus, quibus irritaſti, et peccare feciſti Iſrael. Et Iezabel locutus eſt dominus, dicens, Canes comedent eam in pomœriis Iezrael. Mortuum Achaab in ciuitate edent canes, & mortuum

ἀχαὰβ εἰς τὸν ἀμπελῶνα ναβουθαὶ τοῦ ἰεζραηλίτου, κληρονομῆσαι αὐτόν. καὶ εἶπε κύριος πρὸς ἠλιοὺ τὸν θεσβίτην, λέγων, ἀνάστηθι, καὶ κατάβηθι εἰς ἀπαύτησιν ἀχαὰβ βασιλέως ἰσραὴλ τοῦ ἐν σαμαρείᾳ. ἰδοὺ οὗτος ἐν ἀμπελῶνι ναβουθαὶ, ὅτι κατέβη ἐκεῖ κληρονομῆσαι αὐτόν. καὶ λαλήσεις πρὸς αὐτὸν, λέγων, τάδε λέγει κύριος, ὡς σὺ ἐφόνευσας, καὶ ἐκληρονόμησας; διὰ τοῦτο τάδε λέγει κύριος, ἐν τῷ τόπῳ ᾧ ἔλειξαν αἱ ὕες καὶ οἱ κύνες τὸ αἷμα ναβουθαὶ, ἐκεῖ λείξουσιν αἱ κύνες τὸ αἷμά σου, καὶ αἱ πόρναι λούσονται ἐν τῷ αἵματί σου. καὶ εἶπεν ἀχαὰβ πρὸς ἠλιοὺ, εἰ εὕρηκάς με ὁ ἐχθρός μου; καὶ εἶπεν, εὕρηκα, διότι μάτην πεπείρασαι ποιῆσαι τὸ πονηρὸν ἐνώπιον κυρίου, παροργίσαι αὐτόν. τάδε λέγει κύριος, ἰδοὺ, ἐγὼ ἐπάγω ἐπί σε κακά. καὶ ἐκκαύσω ὀπίσω σου, καὶ ἐξολοθρεύσω τοῦ ἀχαὰβ οὐροῦντα πρὸς τοῖχον, καὶ συνεχόμενον καὶ ἐγκαταλελειμμένον ἐν ἰσραήλ. καὶ δώσω τὸν οἶκόν σου ὡς τὸν οἶκον ἱεροβοὰμ υἱοῦ ναβὰτ, καὶ ὡς τὸν οἶκον βαασὰ υἱοῦ ἀχιὰ, περὶ τῶν παροργισμάτων, ὧν παρώργισας, καὶ ἐξήμαρτες τὸν ἰσραήλ. καὶ τῇ ἰεζαβὲλ ἐλάλησε κύριος, λέγων, οἱ κύνες καταφάγονται αὐτὴν ἐν τῷ προτειχίσματι τοῦ ἰεζραὲλ. τὸν τεθνηκότα τοῦ ἀχαὰβ ἐν τῇ πόλει φάγονται οἱ κύνες, καὶ τὸν τεθνηκότα

τεθνηκότα αὐτοῦ ἐν τῷ πεδίῳ φάγονται τὰ πετεινὰ τοῦ οὐρανοῦ. πλὴν ματαίως ἀχαὰβ, ὃς ἐπράθη ποιῆσαι τὸ πονηρὸν ἐνώπιον κυρίου, ὡς μετέθηκεν αὐτὸν ἰεζάβελ ἡ γυνὴ αὐτοῦ. καὶ ἐβδελύχθη σφόδρα, πορευθῆναι ὀπίσω τῶν βδελυγμάτων, κατὰ πάντα, ἃ ἐποίησεν ὁ ἀμοῤῥαῖος, ὃν ἐξωλόθρευσε κύριος ἀπὸ προσώπου υἱῶν ἰσραήλ. καὶ ὑπὲρ τοῦ λόγου ὡς κατενύγη ἀχαὰβ, ἀπὸ προσώπου κυρίου, καὶ ἐπορεύετο κλαίων, καὶ διέῤῥηξε τὸν χιτῶνα αὐτοῦ, καὶ ἐζώσατο σάκκον ἐπὶ τὸ σῶμα αὐτοῦ, καὶ ἐνήστευσεν. καὶ περιεβάλετο σάκκον ἐν τῇ ἡμέρᾳ, ᾗ ἐπάταξεν ναβουθαὶ τὸν ἰεζραηλίτην, καὶ ἐπορεύθη κεκλιμένος. καὶ ἐγένετο ῥῆμα κυρίου ἐν χειρὶ δούλου αὐτοῦ ἠλιοὺ, περὶ ἀχαάβ. καὶ εἶπε κύριος, ἑώρακας, ὡς κατενύγη ἀχαὰβ ἀπὸ προσώπου μου; ἀνθ᾽ οὗ ὅτι ἐκωλύθη ἀπὸ προσώπου μου, οὐκ ἐπάξω τὴν κακίαν ἐν ταῖς ἡμέραις αὐτοῦ, ἀλλ᾽ ἐν ταῖς ἡμέραις τοῦ υἱοῦ αὐτοῦ ἐπάξω τὴν κακίαν, ἐπὶ τὸν οἶκον αὐτοῦ.

Καὶ ἔρχεται εἰς σαμάρειαν, καὶ ἐκάθισε τὰ τρία ἔτη, καὶ οὐκ ἦν πόλεμος ἀνὰ μέσον συρίας καὶ ἀνὰ μέσον ἰσραήλ. καὶ ἐγενήθη ἐν τῷ τρίτῳ ἐνιαυτῷ, καὶ κατέβη ἰωσαφὰτ βασιλεὺς ἰούδα, πρὸς βασιλέα ἰσραήλ. καὶ εἶπε βασιλεὺς ἰσραὴλ πρὸς τοὺς παῖδας αὐτοῦ, εἰ οἴδατε, ὅτι

ἡμῖν

mortuum eius in campo edent uolucres cœli. Verùm uanè Achaab, qui uenundatus est, ut faceret malum coram domino, ut trãstulit eũ Iezabel uxor sua. Et abominabilis factus est ualde, ambulando post abominationes, secũdum omnia, quæ fecit Amorrhæus, quem perdidit dominus à facie filiorum Israel. Et super sermone ut compunctus est Achaab, à facie domini, & proficiscebatur flens, & disrupit tunicam eius, & cinxit saccum in corpus eius, & ieiunauit. Et circumtegebat saccũ in die, qua percussit Nabuthæ Iezraelitem, & profectus est inclinatus. Et fuit uerbum domini in manu serui eius Eliu, de Achaab. Et dixit dominus, Vidisti, ut compunctus est Achaab à facie mea? Pro eo quod prohibitus est à facie mea, non inducam calamitatem in diebus eius, sed in diebus filii sui inducam, super domum eius.

Cap. XXII

Et proficiscitur in Samariam, & consedit tres annos, & non erat bellum inter Syriam & inter Israel. Et factum est in tertio anno, & descendit Iosaphat rex Iuda ad regẽ Israel. Et dixit rex Israel ad seruos suos, An nostis, q̃d

nobis

nobis Rhemmath Galaad, & nos tacemus capere eam è manu regis Syriæ: Et dixit rex Israel ad Iosaphat, An ascendes nobiscum in bellum, in Rhemmath Galaad? Et dixit Iosaphat, Sicut ego, ita & tu. Sicut populus meus, populus tuus. Sicut equi mei, equi tui. Et dixit Iosaphat rex Iuda ad regem Israel, Interrogemus iam hodie dominū.
Et congregauit rex Israel omnes uates, circiter quadringentos uiros. Et dixit, An proficiscar in Rhemmath Galaad, in bellum, aut contineo? Et dixerunt, Ascende, & dās dabit dominus in manus regis. Et dixit Iosaphat ad regem Israel, Non est hic uates domini, & interrogabimus dominum per eum? Et dixit rex Israel ad Iosaphat, Adhuc unus est uir ad interrogandum dominum per eum. Et ego odi eum, quia non loquitur de me bona, sed mala, Michæas filius Iemblaa. Et dixit Iosaphat, Ne dicat rex sic. Et uocauit rex Israel eunuchū unum, & dixit, Velociter Michæam filium Iemblaa. Et rex Israel & rex Iuda Iosaphat confederāt, uir in solio suo,

arma

ἡμῖν ῥεμμὰθ γαλαὰδ, καὶ ἡμεῖς σιωπῶμεν λαβεῖν αὐτὴν, ἐκ χειρὸς βασιλέως συρίας; καὶ εἶπε βασιλεὺς ἰσραὴλ πρὸς ἰωσαφὰτ, εἰ ἀναβήσῃ μεθ' ἡμῶν εἰς πόλεμον, εἰς ῥεμμὰθ γαλαάδ; καὶ εἶπεν ἰωσαφὰτ, καθὼς ἐγὼ, οὕτως καὶ σύ. καθὼς ὁ λαός μου, ὁ λαός σου. καθὼς οἱ ἵπποι μου, οἱ ἵπποί σου. καὶ εἶπεν ἰωσαφὰτ βασιλεὺς ἰούδα πρὸς βασιλέα ἰσραὴλ, ἐπερωτήσατε δὴ σήμερον τὸν κύριον. καὶ συνήθροισεν ὁ βασιλεὺς ἰσραὴλ πάντας τοὺς προφήτας, ὡς τετρακοσίους ἄνδρας. καὶ εἶπεν αὐτοῖς ὁ βασιλεὺς, εἰ πορευθῶ εἰς ῥεμμὰθ γαλαὰδ, εἰς πόλεμον, ἢ ἐπισχῶ; καὶ εἶπον, ἀνάβαινε, καὶ διδοὺς δώσει κύριος εἰς χεῖρας τοῦ βασιλέως. καὶ εἶπεν ἰωσαφὰτ πρὸς τὸν βασιλέα ἰσραὴλ, οὐκ ἔστιν ὧδε προφήτης τοῦ κυρίου, καὶ ἐπερωτήσομεν τὸν κύριον δι' αὐτοῦ; καὶ εἶπεν ὁ βασιλεὺς ἰσραὴλ πρὸς ἰωσαφὰτ, ἔτι εἷς ἐστιν ἀνὴρ εἰς τὸ ἐπερωτῆσαι δι' αὐτοῦ τὸν κύριον. καὶ ἐγὼ μεμίσηκα αὐτὸν, ὅτι οὐ λαλεῖ περὶ ἐμοῦ καλὰ, ἀλλὰ κακὰ, μιχαίας υἱὸς ἰεμβλαά. καὶ εἶπεν ἰωσαφὰτ βασιλεὺς ἰούδα, μὴ λεγέτω ὁ βασιλεὺς οὕτως. καὶ ἐκάλεσεν ὁ βασιλεὺς ἰσραὴλ εὐνοῦχον ἕνα, καὶ εἶπε, τὸ τάχος μιχαίαν υἱὸν ἰεμβλαά. καὶ ὁ βασιλεὺς ἰσραὴλ καὶ βασιλεὺς ἰούδα ἰωσαφὰτ ἐκάθηντο, ἀνὴρ ἐπὶ τοῦ θρόνου αὐτοῦ,

ἔνοπλοι

ἔνοπλοι ἐν ταῖς πύλαις σαμαρείας.
καὶ πάντες οἱ προφῆται προεφήτευον
ἐνώπιον αὐτῶν. καὶ ἐποίησεν ἑαυτῷ σε-
δεκίας υἱὸς χαναὰν κέρατα σιδηρᾶ,
καὶ εἶπε, τάδε λέγει κύριος. ἐν τούτοις
κερατιεῖς τὴν συρίαν, ἕως συντελε-
σθῇ. καὶ πάντες οἱ προφῆται προεφή-
τευον, οὕτως λέγοντες, ἀνάβαινε εἰς
ῥεμμὰθ γαλαάδ, καὶ εὐοδώσεις. καὶ
δώσει κύριος εἰς χεῖρά σου τὸν βασι-
λέα συρίας. καὶ ὁ ἄγγελος ὁ πορευ-
θεὶς καλέσαι τὸν μιχαίαν, ἐλάλη-
σεν αὐτῷ, λέγων, ἰδοὺ δὴ, πάντες
οἱ προφῆται ἐν στόματι ἑνὶ λαλοῦσι
καλὰ περὶ τοῦ βασιλέως, γενοῦ δὴ
καὶ σὺ εἰς τοὺς λόγους σου, κατὰ τοὺς
λόγους ἑνὸς τούτων, καὶ λάλησον καλά.
καὶ εἶπε μιχαίας, ζῇ κύριος, ὅτι ἃ
ἐὰν εἴπῃ κύριος πρός με, ταῦτα λα-
λήσω. καὶ ἦλθε πρὸς τὸν βασιλέα,
καὶ εἶπεν αὐτῷ ὁ βασιλεὺς, μιχαία,
εἰ ἀναβῶ εἰς ῥεμμὰθ γαλαὰδ, εἰς
πόλεμον, ἢ ἐπίσχω; καὶ εἶπεν, ἀνάβαι-
νε, καὶ εὐοδώσεις, καὶ δώσει κύριος εἰς
χεῖρας τοῦ βασιλέως. καὶ εἶπεν αὐ-
τῷ ὁ βασιλεὺς, ἔτι δὶς ἐγὼ ὁρκίζω
σε, ὅπως λαλήσῃς πρός με ἀλήθειαν,
ἐν ὀνόματι κυρίου. καὶ εἶπε μιχαίας,
οὐχ οὕτως, ἑώρακα πάντα τὸν ἰσρα-
ὴλ διεσπαρμένον ἐν τοῖς ὄρεσιν,
ὡς ποίμνιον, ᾧ οὐκ ἔστι ποιμήν; καὶ εἶ-
πε κύριος, οὐ κύριος τούτοις εἰς θεόν;
ἀναστρεφέτω ἕκαστος εἰς τὸν οἶκον αὐ-
τοῦ, ἐν εἰρήνῃ. καὶ εἶπε βασιλεὺς ἰσραὴλ
πρὸς

armati in portis Samarię.
Et omnes uates uaticina-
bant̃ corã eis. Et fecit sibi
ipsi Sedecias filius Cha-
naan cornua ferrea, & di
xit, Hæc dicit dominus.
In his cornu feries Syriã,
donec confecta fuerit. Et
omnes uates uaticinaban
tur, sic dicentes, Ascende
in Rhemmath Galaad, et
prosperum iter facies. Et
dabit dominus in manum
tuam regem Syriæ. Et nũ
cius profectus, ut uocaret
Michæam, loquutus est
ei, dicens, Ecce iam, om-
nes uates ore uno loquun
tur bona de rege, fias
iam & tu in sermonibus
tuis secundum sermones
unius horum, & loquere
bona. Et dixit Michęas,
Viuit dominus, quia quę
cunque dixerit dominus
ad me, hæc loquar. Et ue-
nit ad regem, & dixit ei
rex, Michæa, ascendam
in Rhemmath Galaad in
bellum, aut contineo? Et
dixit ei, Ascende, & pro-
sperũ iter facies, & dabit
dñs in manus regis. Et di
xit ei rex, Adhuc bis ego
adiuro te, ut loquaris ad
me ueritatẽ, i nomine dñi.
Et dixit Michęas, Nõ sic,
uidi oẽm Israel dispsum in
mõtibus, quasi gregẽ, cui
nõ ẽ pastor? Et dixit dñs,
Nõ dñs his i Deũ? Reuer-
tat̃ unusq́sq; in domũ eiꝰ,
in pace. Et dixit rex Israel
ad

ad Iosaphat regem Iuda.
Non dixi ad te, quod nō
uaticinatur hic mihi bo-
na, sed mala? Et dixit Mi
chæas, Non sic, non ego?
Audi uerbū domini. Non
sic, uidi dominum deum
Israel considentem in solio
suo? Et omnis exercitus
cœli constiterat circa eū,
à dextris eius & à sini-
stris eius. Et dixit domi-
nus, Quis decipiet Acha-
ab regem Israel, & ascen-
det, & cadet in Rhem-
math Galaad? Et dixit i-
ste sic, & iste dixit sic. Et
2. Para. 18 egressus est spiritus, & ste
tit coram domino, & di-
xit, Ego decipiam illum.
Et dixit ad eum domi-
nus, In quo? Et dixit, E-
grediar, & ero spiritus
mendax in ore omnium
uatum eius. Et dixit, De-
cipies, & sanè poteris. E-
gredere, & fac ita. Et nūc
ecce, dedit dominus spiri-
tum mendacem in ore om
nium uatum tuorum isto-
rum. Et dominus loqu-
tus est contra te mala. Et
accessit Sedecias filius
Chanaan, & percussit Mi
chæam, in maxillam. Et
dixit, Qualis spiritus do-
mini locutus est in te? Et
dixit Michæas, Ecce tu
uidebis in die illa, quando
ingressus fueris in cubicu
lum de cubiculo, ut abscō
daris ibi. Et dixit rex Isra
el, Capite Michæam, &
abducite eum ad Am-
mon.

πρὸς ἰωσαφὰτ βασιλέως ἰούδα, οὐκ
εἶπα πρός σε, ὅτι οὐ προφητεύει οὗ-
τός μοι καλὰ, ἀλλ᾽ ἢ κακά; καὶ εἶπε
μιχαίας, οὐχ οὕτως, οὐκ ἐγώ; ἄκουε ῥῆ-
μα κυρίου. οὐχ οὕτως, εἶδον τὸν κύριον
θεὸν ἰσραὴλ καθήμενον ἐπὶ θρόνου
αὐτοῦ; καὶ πᾶσα ἡ στρατιὰ τοῦ οὐρανοῦ
εἱστήκει περὶ αὐτὸν, ἐκ δεξιῶν αὐτοῦ
καὶ ἐξ εὐωνύμων αὐτοῦ. καὶ εἶπε κύριος,
τίς ἀπατήσει τὸν ἀχαὰβ βασιλέα
ἰσραὴλ, καὶ ἀναβήσεται, καὶ πεσεῖ-
ται ἐν ῥεμμὰθ γαλαάδ; καὶ εἶπεν
οὗτος οὕτως, καὶ οὗτος εἶπεν οὕτως.
καὶ ἐξῆλθε πνεῦμα, καὶ ἔστη ἐνώ-
πιον κυρίου, καὶ εἶπον, ἐγὼ ἀπα-
τήσω αὐτόν. καὶ εἶπε πρὸς αὐτὸν
κύριος, ἐν τίνι; καὶ εἶπον, ἐξε-
λεύσομαι, καὶ ἔσομαι πνεῦμα ψευ-
δὲς ἐν στόματι πάντων τῶν προφη-
τῶν αὐτοῦ, καὶ εἶπον, ἀπατήσεις,
καί γε δυνήσῃ. ἔξελθε, καὶ ποίησον
οὕτως. καὶ νῦν ἰδοὺ, ἔδωκε κύριος
πνεῦμα ψευδὲς ἐν στόματι πάν-
των τῶν προφητῶν σου τούτων. καὶ
κύριος ἐλάλησεν περὶ σοῦ κακά. καὶ
προσῆλθε σεδεκίας υἱὸς χαναὰν, καὶ
ἐπάταξε τὸν μιχαίαν, ἐπὶ τὴν σια-
γόνα. καὶ εἶπε, ποῖον πνεῦμα κυ-
ρίου τὸ λαλῆσαν ἐν σοί; καὶ εἶπε μι-
χαίας, ἰδοὺ, σὺ ὄψει ἐν τῇ ἡμέρᾳ ἐ-
κείνῃ, ὅταν εἰσέλθῃς εἰς τὸ ταμεῖον
ἐκ τοῦ ταμείου τοῦ κρυβῆναι ἐκεῖ. καὶ
εἶπε βασιλεὺς ἰσραὴλ, λάβετε τὸν μι-
χαίαν, καὶ ἀποστρέψατε αὐτὸν πρὸς ἀμ-
μών.

μὼν, τὸν ἄρχοντα τῆς πόλεως, καὶ πρὸς ἰωὰς υἱὸν τοῦ βασιλέως. εἶπον, θέσθε τοῦτον ἐν φυλακῇ, καὶ ἐσθιέιν αὐτὸν ἄρτον θλίψεως καὶ ὕδωρ θλίψεως, ἕως τοῦ ἐπιστρέψαι με ἐν εἰρήνῃ. καὶ εἶπε μιχαίας, ἐὰν ἐπιστρέφων ἐπιστρέψης ἐν εἰρήνῃ, οὐκ ἐλάλησε κύριος ἐν ἐμοί. καὶ ἀνέβη βασιλεὺς ἰσραὴλ, καὶ ἰωσαφὰτ βασιλεὺς ἰούδα μετ' αὐτοῦ, εἰς ῥεμμὰθ γαλαάδ. καὶ εἶπε βασιλεὺς ἰσραὴλ πρὸς ἰωσαφὰτ βασιλέα ἰούδα, συγκάλυψόν με, καὶ εἰσελεύσομαι εἰς τὸν πόλεμον, καὶ σὺ ἔνδυσαι τὸν ἱματισμόν μου. καὶ συνεκαλύψατο ὁ βασιλεὺς ἰσραὴλ, καὶ εἰσῆλθον εἰς τὸν πόλεμον. καὶ ὁ βασιλεὺς συρίας ἐνετείλατο τοῖς ἄρχουσι τῶν ἁρμάτων αὐτοῦ, τριάκοντα καὶ δύο, λέγων, μὴ πολεμεῖτε μικρὸν ἢ μέγαν, ἀλλ' ἢ τὸν βασιλέα ἰσραὴλ μονώτατον. καὶ ἐγένετο, ὡς εἶδον οἱ ἄρχοντες τῶν ἁρμάτων τὸν ἰωσαφὰτ βασιλέα, καὶ αὐτοὶ εἶπαν, φαίνεται βασιλεὺς ἰσραὴλ οὗτος, καὶ ἐκύκλωσαν αὐτὸν πολεμῆσαι, καὶ ἀνεβόησεν ἰωσαφάτ. καὶ ἐγένετο, ὡς εἶδον οἱ ἄρχοντες τῶν ἁρμάτων, ὅτι οὐκ ἔστι βασιλεὺς ἰσραὴλ οὗτος, καὶ ἀπέστρεψαν ἀπ' αὐτοῦ. καὶ ἐνέτεινεν εἰς τὸ τόξον εὐστόχως, καὶ ἐπάταξε τὸν βασιλέα ἰσραὴλ, ἀνὰ μέσον τοῦ πνεύμονος καὶ ἀνὰ μέσον τοῦ θώρακος. καὶ εἶπε τῷ ἡνιόχῳ αὐτοῦ, ἐπί-

mon, principem ciuitatis, & ad Ioas filium regis. Dixi, Ponite hunc in custodia, & edat panem afflictionis, & aquam afflictionis, donec reuertar ego in pace. Et dixit Michæas, Si reuertens reuersus fueris in pace, non locutus est dominus in me. Et ascendit rex Israel, & Iosaphat rex Iuda cum eo, in Remmath Galaad. Et dixit rex Israel ad Iosaphat regem Iuda, Contege me, & ingrediar in bellum, & tu indue te uestitum meum. Et contegebatur rex Israel, & ingressus est in bellum. Et rex Syriæ præcepit principibus curruum eius, triginta & duobus, dicens, Non bello impetite paruum uel magnum, nisi regem Israel solissimum. Et factum est, ut uiderunt principes curruum Iosaphat regem Iuda, & ipsi dixerunt, Apparet rex Israel iste, & circundederunt eum bello impetere, & exclamauit Iosaphat. Et factum est, ut uiderunt principes curruum, quod non est rex Israel iste, & reuersi sunt ab eo. Et tetendit unus arcum attentè, & percussit regē Israel, inter pulmonem & inter pectus. Et dixit aurigæ suo, Con-

Conuerte manus tuas, & educ me de bello, quia uulneratus sum. Et conuersum est bellum in die illa. Et rex erat stans in curru, ex aduerso Syriæ, à mane usque ad uesperam. Et influebat sanguis plagæ in sinum currus, & mortuus est uesperi. Et egrediebatur sanguis ex strage, usque ad sinum currus. Et stetit exercitus præco in castris, occidente sole, dicens, Vnusquisque in suam ipsius ciuitatem, & in suam ipsius terrã, quia mortuus est rex. Et uenerunt in Samariam, & sepelierunt regem in Samaria. Et abluerunt sanguinem ad fontem Samariæ, & linxerunt sues & canes sanguinem. Et meretrices lauabantur in sanguine, iuxta uerbum domini, quod loquutus fuit. Et reliqua sermonum Achaab, & omnia, quæ fecit, & domum eburneã, quam ædificauit, & omnes urbes, quas fecit, nonne hæc scripta sunt in libro sermonum dierum regum Israel? Et dormiuit Achaab cum patribus suis, & regnauit Ochozias filius eius pro eo. Et Iosaphat filius Asa regnauit in Iuda: In anno quarto Achaab regis Israel regnauit Iosaphat filius Asa, triginta et quinque annorũ cũ regna-

ἐπίστρεψον τὰς χεῖράς σου, καὶ ἐξάγαγέ με ἐκ τοῦ πολέμου, ὅτι τέτρωμαι. καὶ ἐτροπώθη ὁ πόλεμος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ ὁ βασιλεὺς ἦν ἑστηκὼς ἐπὶ τοῦ ἅρματος, ἐξεναντίας συρίας, ἀπὸ πρωῒ ἕως ἑσπέρας. καὶ ἐπέχωννε τὸ αἷμα ἀπὸ τῆς πληγῆς, εἰς τὸν κόλπον τοῦ ἅρματος, καὶ ἀπέθανεν ἑσπέρας. καὶ ἐξεπορεύετο τὸ αἷμα ἐκ τῆς τροπῆς, ἕως τοῦ κόλπου τοῦ ἅρματος. καὶ ἔστη ὁ στρατοκῆρυξ ἐν τῇ παρεμβολῇ, δύοντος τοῦ ἡλίου, λέγων, ἕκαστος εἰς τὴν ἑαυτοῦ πόλιν καὶ εἰς τὴν ἑαυτοῦ γῆν, ὅτι τέθνηκεν ὁ βασιλεύς. καὶ ἦλθον εἰς σαμαρείαν, καὶ ἔθαψαν τὸν βασιλέα ἐν σαμαρείᾳ. καὶ ἀπένιψαν τὸ αἷμα ἐπὶ τὴν κρήνην σαμαρείας, καὶ ἐξέλειξαν αἱ ὕες καὶ οἱ κύνες τὸ αἷμα. καὶ αἱ πόρναι ἐλούσαντο ἐν τῷ αἵματι, κατὰ τὸ ῥῆμα κυρίου, ὃ ἐλάλησε. καὶ τὰ λοιπὰ τῶν λόγων ἀχαάβ, καὶ πάντα, ἃ ἐποίησε, καὶ οἶκον ἐλεφάντινον, ὃν ᾠκοδόμησε, καὶ πάσας τὰς πόλεις, ἃς ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γέγραπται ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τῶν βασιλέων ἰσραήλ; καὶ ἐκοιμήθη ἀχαὰβ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐβασίλευσεν ὀχοζίας υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. καὶ ἰωσαφὰτ υἱὸς ἀσὰ ἐβασίλευσεν ἐπὶ ἰούδαν. ἐν ἔτει τῷ τετάρτῳ τοῦ ἀχαὰβ βασιλέως ἰσραὴλ ἐβασίλευσεν ἰωσαφὰτ υἱὸς ἀσὰ, τριάκοντα καὶ πέντε ἐτῶν ἐν τῇ βασι-

βασιλεύειν αὐτοῦ, καὶ εἴκοσι καὶ πέντε ἔτη ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ, ἀζοῦκα θυγάτηρ σαλαΐ. καὶ ἐπορεύθη ἐν πάσῃ ὁδῷ ἀσὰ τοῦ πατρὸς αὐτοῦ, οὐκ ἐξέκλινεν ἀπ' αὐτῆς, τοῦ ποιῆσαι τὸ εὐθὲς ἐν ὀφθαλμοῖς κυρίου. πλὴν τῶν ὑψηλῶν οὐκ ἐξῆρεν, ἔτι ὁ λαὸς ἐθυσίαζε, καὶ ἐθυμίων ἐν τοῖς ὑψηλοῖς. καὶ εἰρήνευσεν ἰωσαφὰτ μετὰ βασιλέως ἰσραήλ. καὶ τὰ λοιπὰ τῶν λόγων ἰωσαφὰτ, καὶ αἱ δυναστεῖαι αὐτοῦ, ἃς ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν βασιλέων ἰούδα; καὶ ἐκοιμήθη ἰωσαφὰτ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐτάφη παρὰ τοῖς πατράσιν αὐτοῦ, ἐν πόλει δαβὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ ἐβασίλευσεν ἰωρὰμ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. καὶ ὀχοζίας υἱὸς ἀχαὰβ ἐβασίλευσεν ἐπὶ ἰσραὴλ, ἐν σαμαρείᾳ. ἐν ἔτει ἑπτακαιδεκάτῳ ἰωσαφὰτ βασιλέως ἰούδα, ὀχοζίας υἱὸς ἀχαὰβ ἐβασίλευσεν ἐπὶ ἰσραὴλ, ἐν σαμαρείᾳ, δύο ἔτη. καὶ ἐποίησε τὸ πονηρὸν ἐναντίον κυρίου, καὶ ἐπορεύθη ἐν ὁδῷ ἀχαὰβ τοῦ πατρὸς αὐτοῦ, καὶ ἐν ὁδῷ ἰεζάβελ τῆς μητρὸς αὐτοῦ, καὶ ἐν ταῖς ἁμαρτίαις οἴκου ἱεροβοὰμ υἱοῦ ναβὰτ, ὃς ἐξήμαρτε τὸν ἰσραήλ. καὶ ἐδούλευσε τοῖς βααλὶμ, καὶ προσεκύνησεν αὐτοῖς. καὶ παρώργισε τὸν κύριον θεὸν ἰσραὴλ, κατὰ πάντα τὰ γενόμενα ἔμπροσθεν αὐτοῦ.

Καὶ

regnaret ipſe, & uiginti & quinqꝫ annos regnauit in Hieruſalem. Et nomen matri eius Azeuca filia Salai. Et ambulauit in omni uia Aſa patris eius, non declinauit ab ea, ut faceret rectum in oculis domini. Verum excelſa non excidit, adhuc populus ſacrificabat, & adolebat in excelſis. Et pacem habuit Ioſaphat cum rege Iſrael. Et reliqua ſermonum Ioſaphat, & poteſtates eius, quas fecit, nonne hæc ſcripta in libro ſermonum dierũ regũ Iuda? Et dormiuit Ioſaphat cũ patribus ſuis, & ſepultus eſt apud patres ſuos, in ciuitate Dauid patris ſui, & regnauit Ioram filius eius pro eo.

Et Ochozias filius Achaab regnauit ſuper Iſrael, in Samaria. In anno ſeptimo & decimo Ioſaphat regis Iuda, Ochozias filius Achaab regnauit ſuper Iſrael, in Samaria, duos annos. Et fecit malum in cõſpectu domini, & ambulauit in uia Achaab patris ſui, & in uia Iezabel matris eius, & in peccatis domus Hieroboam filii Nabat, qui peccare fecit Iſrael. Et ſeruiuit Baalim, & adorauit eos. Et iritauit dominum deum Iſrael iuxta omnia facta ante eum.

Et

Caput I.



T preuaricat' est Moab in Israel, postquã mortuus est Achaab. Et cecidit Ochozias per transennam, quæ in cœnaculo suo, in Samaria, & ægrotauit. Et dimisit nuncios, & dixit ad eos, Abite, & inquirite in Baal muscam, deum Accaron, si uiuam ex ægrotatione mea hac. Et profecti sunt ad interrogãdum per eum. Et nuncius domini loquutus est ad Eliu Thesbitem, dicens, Surgẽs uade in occursum nunciorum Ochoziæ regis Samariæ. Et dices ad eos, An quia non est deus in Hierusalem, uos proficiscimini inquirere in Baal muscam, deum Accaron? Et non sic, quod hæc dicit dominus? Lectus super quem ascendisti ibi, non descendes ab eo, quia ibi morte morieris. Et profectus est Eliu, & dixit ad eos. Et reuersi sunt nuncii ad eum, & dixit ad eos, Quid, quod reuersi estis? Et dixerunt ad eum, Vir ascẽdit in occursum nobis & dixit ad nos, Agite, reuertimini ad regem, ablegantem uos. Et dicite ei, Hæc dicit dominus. An q' nõ est deus in Israel, tu

uadis



Αἱ ἠθέτησε μωὰβ ἐν ἰσραὴλ, μετὰ τὸ ἀποθανεῖν ἀχαάβ. καὶ ἔπεσεν ὀχοζίας διὰ τοῦ δικτυωτοῦ, τοῦ ἐν τῷ ὑπερῴῳ αὐτοῦ ἐν σαμαρείᾳ, καὶ ἠῤῥώστησε. καὶ ἀπέστειλεν ἀγγέλους, καὶ εἶπε πρὸς αὐτοὺς, πορεύθητε, καὶ ἐπιζητήσατε ἐν τῷ βάαλ μυῖαν, θεὸν ἀκκαρὼν, εἰ ζήσομαι ἐκ τῆς ἀῤῥωστίας μου ταύτης. καὶ ἐπορεύθησαν ἐπερωτῆσαι δι' αὐτοῦ. καὶ ἄγγελος κυρίου ἐλάλησε πρὸς ἠλιοὺ τὸν θεσβίτην, λέγων, ἀναστὰς πορεύθητι εἰς συνάντησιν τῶν ἀγγέλων ὀχοζίου βασιλέως σαμαρείας. καὶ ἐρεῖς πρὸς αὐτοὺς, εἰ παρὰ τὸ μὴ εἶναι θεὸν ἐν ἱερουσαλὴμ, ὑμεῖς πορεύεσθε ἐπιζητῆσαι ἐν τῇ βάαλ μυῖαν, θεὸν ἀκκαρών; καὶ οὐχ οὕτως, ὅτι τάδε λέγει κύριος, ἡ κλίνη, ἐφ' ἧς ἀνέβης ἐκεῖ, οὐ καταβήσῃ ἀπ' αὐτῆς, ὅτι ἐκεῖ θανάτῳ ἀποθανῇ. καὶ ἐπορεύθη ἠλιοὺ, καὶ εἶπε πρὸς αὐτούς. καὶ ἀπεστράφησαν οἱ ἄγγελοι πρὸς αὐτὸν, καὶ εἶπε πρὸς αὐτοὺς, τί ὅτι ἐπεστρέψατε; καὶ εἶπαν πρὸς αὐτὸν, ἀνὴρ ἀνέβη εἰς συνάντησιν ἡμῖν, καὶ εἶπε πρὸς ἡμᾶς, δεῦτε, ἐπιστράφητε πρὸς τὸν βασιλέα, τὸν ἀποστείλαντα ὑμᾶς. καὶ λαλήσατε πρὸς αὐτὸν, τάδε λέγει κύριος. εἰ παρὰ τὸ μὴ εἶναι θεὸν ἐν ἰσραὴλ, σὺ

πορε

ὅτι πλὴν γνῶτε δὴ, καὶ ἴδετε, ὅτι προφασίζεται οὗτός με. καὶ ἐγένετο, ὡς ἤκουσεν ἐλισαιὲ, ὅτι διέρρηξεν ὁ βασιλεὺς ἰσραὴλ τὰ ἱμάτια αὐτοῦ, καὶ ἀπέστειλε πρὸς τὸν βασιλέα ἰσραὴλ, λέγων, ἵνα τί διέρρηξας τὰ ἱμάτιά σου; ἐλθέτω δὴ πρός με νεεμὰν, καὶ γνώτω, ὅτι ἔστι προφήτης ἐν ἰσραήλ. καὶ ἦλθε νεεμὰν ἐν ἵππῳ καὶ ἅρματι, καὶ ἔστη ἐπὶ θύραις οἴκου ἐλισαιέ. καὶ ἀπέστειλεν ἐλισαιὲ ἄγγελον πρὸς αὐτὸν, λέγων, πορευθεὶς λοῦσαι ἑπτάκις ἐν τῷ ἰορδάνῃ, καὶ ἐπιστρέψει ἡ σάρξ σου σοὶ, καὶ καθαρισθήσῃ. καὶ ἐθυμώθη νεεμὰν, καὶ ἀπῆλθε. καὶ εἶπεν, ἰδοὺ δὴ, ἔλεγον, ὅτι ἐξελεύσεται πρός με, καὶ στήσεται, καὶ ἐπικαλέσεται ἐν ὀνόματι θεοῦ αὐτοῦ, καὶ ἐπιθήσει τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸν τόπον, καὶ ἀποσυνάξει τὸ λεπρόν. οὐχὶ ἀγαθοὶ ἀβανὰ καὶ φαρφὰρ, ποταμοὶ δαμασκοῦ, ὑπὲρ ἰορδάνην καὶ πάντα τὰ ὕδατα ἰσραήλ; οὐχὶ πορευθεὶς λούσομαι ἐν αὐτοῖς, καὶ καθαρισθήσομαι; καὶ ἐξέκλινε, καὶ ἀπῆλθεν ἐν θυμῷ. καὶ ἤγγισαν οἱ παῖδες αὐτοῦ, καὶ ἐλάλησαν πρὸς αὐτὸν, μέγαν λόγον ἐλάλησεν ὁ προφήτης πρός σε, οὐχὶ ποιήσεις; ὅτι εἶπε πρός σε, λοῦσαι, καὶ καθαρίσθητι. καὶ κατέβη νεεμὰν, καὶ ἐβαπτίσατο ἐν τῷ ἰορδάνῃ ἑπτάκις, κατὰ τὸ ῥῆμα ἐλισαιὲ, καὶ ἐπέστρεψεν ἡ σάρξ αὐτοῦ, ὡς σὰρξ παιδαρίου μικροῦ, καὶ ἐκαθαρίσθη. καὶ ἐπέστρεψε

πρὸς

Veruntamen cognoscite iam, et uidete, quod prętextum quærit hic me. Et factum est, ut audiuit Helissæe, quod disrupit rex Israel uestimenta sua, & dimisit ad regem Israel, dicens, Quare dirupisti uestimenta tua? Veniat iam ad me Neeman, & cognoscat, quod est propheta in Israel. Et uenit Neemã cum equitatu & curru, & stetit ad ianuas domus Helissæe. Et ablegauit Helissæe nunciũ ad eum, dicens, Vadens lauare septies in Iordane, & redibit caro tua tibi, & mundaberis. Et iratus est Neeman, & abiit. Et dixit, Ecce iã, dicebã, qd' egredieẽ ad me, & stabit, et inuocabit in nomine dei sui, et ĩponet manũ eius in locũ et absterget leprã. Nõne boni Abana et Pharphar, fluuii Damasci, super Iordanem & super omnes aquas Israel? Nonne iens lauabor in eis, & mundabor? Et declinauit, & abiit in furore. Et propinquarunt pueri eius, & locuti sunt ad eum, Magnũ sermonem locutus est uates ad te, nonne facies? Nam dixit ad te, Lauare, & mũdare. Et descẽdit Neemã, et tinctus est ĩ Iordane septies, iuxta uerbũ Helissæe, & reuersa est caro eius, ut caro pueri parui, et mũdatus ẽ. Et reuersus

Y est

est ad Helissæe ipse, & omnis expeditio eius, & uenit, & stetit coram eo. Et dixit, Ecce iam, cognoui, quod non est deus in oĩ terra, pręterq̃ in Israel. Et nũc accipe bñdictionẽ à seruo tuo. Et dixit Helissæ, Viuit dñs, cui astiti corã eo, si accipiã. Et coegit eum accipere, & non obediuit. Et dixit Neeman, Et nisi detur iam seruo tuo gomor, iugum mularum, & tu mihi dabis ex terra rufa, quod non faciet ultra seruus tuus holocaustum aut uictimam diis alienis, nisi dño soli. Verbo hoc, & de sermone isto. & propiciabitur dominus seruo tuo, quando ingredietur dominus meus in domum Rhemman, ut adoret eum, & ibi requiescet in manu mea. Et adorabo in domo Rhemman, quando adorauerit ipse in domo Rhemman, & placabitur iam dominus seruo tuo in sermone hoc. Et dixit Helissæe ad Neeman, Vade in pace. Et abiit ab eo Chabratha terræ. Et dixit Giezi puellus Helissæe, Ecce, pepercit dominus meus Neeman Syro isti, ut non acciperet de manu eius, quę tulit. Viuit dominus, qđ si nõ curram post eum, & accipiam ab eo aliquid. Et ꝑsecutus ẽ Giezi post Neeman. Et uidit eum Nee-

πρὸς ἐλισσαιὲ αὐτὸς, καὶ πᾶσα ἡ παρεμβολὴ αὐτοῦ, καὶ ἦλθε, καὶ ἔστη ἐνώπιον αὐτοῦ. καὶ εἶπεν, ἰδοὺ δὴ, ἔγνωκα, ὅτι οὐκ ἔστι θεὸς ἐν πάσῃ τῇ γῇ, ὅτι ἀλλ' ἢ ἐν τῷ ἰσραήλ. καὶ νῦν λάβε τὴν εὐλογίαν παρὰ τοῦ δούλου σου. καὶ εἶπεν ἐλισσαιὲ, ζῇ κύριος, ᾧ παρέστην ἐνώπιον αὐτοῦ, εἰ λήψομαι. καὶ παρεβιάσατο αὐτὸν λαβεῖν, καὶ ἠπείθησε. καὶ εἶπε νεεμὰν, καὶ εἰ μὴ δοθήτω δὴ τῷ δούλῳ σου γόμορ, ζεῦγος ἡμιόνων, καὶ σύ μοι δώσεις ἐκ τῆς γῆς τῆς πυῤῥᾶς, ὅτι οὐ ποιήσει ἔτι ὁ δοῦλός σου ὁλοκαύτωμα καὶ θυσίας θεοῖς ἑτέροις, ἀλλ' ἢ τῷ κυρίῳ μόνῳ. τῷ ῥήματι τούτῳ, καὶ περὶ τοῦ λόγου τούτου, καὶ ἱλάσεται ὁ κύριος τῷ δούλῳ σου, ἐν τῷ εἰσπορεύεσθαι τὸν κύριόν μου εἰς οἶκον ῥεμμὰν προσκυνῆσαι αὐτὸν, καὶ ἐκεῖ ἐπαναπαύσεται ἐπὶ τῆς χειρός μου. καὶ προσκυνήσω ἐν οἴκῳ ῥεμμὰν, ἐν τῷ προσκυνεῖν αὐτὸν ἐν οἴκῳ ῥεμμὰν, καὶ ἱλασθήσεται δὴ κύριος τῷ δούλῳ σου, ἐν τῷ λόγῳ τούτῳ. καὶ εἶπεν ἐλισσαιὲ πρὸς νεεμὰν, δεῦρο εἰς εἰρήνην. καὶ ἀπῆλθεν ἀπ' αὐτοῦ εἰς χαβραθὰ τῆς γῆς. καὶ εἶπε γιεζεὶ τὸ παιδάριον ἐλισσαιὲ, ἰδοὺ, ἐφείσατο ὁ κύριός μου τοῦ νεεμὰν τοῦ σύρου τούτου, τοῦ μὴ λαβεῖν ἐκ χειρὸς αὐτοῦ, ὧν ἐνήνοχε. ζῇ κύριος, ὅτι εἰ μὴ δραμοῦμαι ὀπίσω αὐτοῦ, καὶ λήψομαι ἀπ' αὐτοῦ τι. καὶ ἐδίωξε γιεζεὶ ὀπίσω τοῦ νεεμάν. καὶ εἶδον αὐτὸν

νεεμὰν τρέχοντα ὀπίσω αὐτοῦ, καὶ
ἐπέστρεψεν ἀπὸ τοῦ ἅρματος, εἰς ἀ-
πάντησιν αὐτοῦ. καὶ εἶπεν, εἰρήνη. ὁ
κύριός μου ἀπέστειλέ με, λέγων, ἰδοὺ,
νῦν ἦλθον πρός με δύο παιδάρια,
ἐξ ὄρους ἐφραὶμ, ἀπὸ τῶν υἱῶν τῶν
προφητῶν, δὸς δὴ αὐτοῖς τάλαν-
τον ἀργυρίου, καὶ δύο ἀλλασσομένας
στολάς. καὶ εἶπε νεεμὰν, λαβὲ δὴ τά-
λαντον ἀργυρίου, καὶ ἔλαβε δύο τά-
λαντα ἀργυρίου ἐν δυσὶ θυλακίοις,
καὶ δύο ἀλλασσομένας στολὰς ἔδω-
κεν ἐπὶ δύο παιδάρια αὐτοῦ, καὶ ἦ-
ραν ἔμπροσθεν αὐτοῦ. καὶ ἦλθον εἰς
τὸ σκοτεινὸν, καὶ ἔλαβον ἐκ τῶν χει-
ρῶν αὐτῶν, καὶ παρέθετο ἐν οἴκῳ,
καὶ ἐξαπέστειλε τοὺς ἄνδρας. καὶ αὐ-
τὸς ἦλθε, καὶ παρειστήκει πρὸς τὸν
κύριον αὐτοῦ. καὶ εἶπε πρὸς αὐτὸν ἐλισ-
σαιὲ, πόθεν γιεζεί; καὶ εἶπε γιεζεί, οὐ πε-
πόρευται ὁ δοῦλός σου ἔνθα καὶ ἔνθα.
καὶ εἶπε πρὸς αὐτὸν ἐλισσαιὲ, οὐχὶ ἡ
καρδία μου ἐπορεύθη μετά σου; καὶ
οἶδα, ὅτι ἐπέστρεψεν ὁ ἀνὴρ ἀπὸ τοῦ
ἅρματος αὐτοῦ, εἰς συνάντησίν σου.
καὶ νῦν ἔλαβες τὸ ἀργύριον, καὶ ἔλα-
βες τὰ ἱμάτια, καὶ λήψῃ ἐν αὐτῷ κή-
πους, καὶ ἐλαιῶνας καὶ ἀμπελῶνας, καὶ
πρόβατα καὶ βόας, καὶ παῖδας καὶ παι-
δίσκας, καὶ ἡ λέπρα νεεμὰν κολληθή-
σεται ἐν σοὶ, καὶ ἐν τῷ σπέρματί σου
εἰς τὸν αἰῶνα. καὶ ἐξῆλθεν ἐκ τοῦ προ-
σώπου αὐτοῦ λελεπρωμένος, ὡσεὶ
χιών.

Καὶ

Neeman currentem post
se, & reuersus est à curru
suo, in occursum eius. Et
dixit, Pax. Dominus me-
us dimisit me, dicens, Ec-
ce, nunc uenerunt ad me
duo puelli, ex monte E-
phraim, de filiis propheta-
rum, da iam eis talentū ar-
genti, & duas mutabiles
uestes. Et dixit Neeman,
Cape iam talentum argen-
ti. Et accepit duo talenta
argenti in duobus saccis,
& duo mutabilia uestimē-
ta dedit super duos pue-
ros suos, & portauerunt
ante eum. Et uenit in te-
nebrosum, & tulit è mani-
bus eorum, & reposuit in
domo, & ablegauit uiros.
Et ipse uenit, & astiterat
apud dominum eius. Et di-
xit ad eum Helissæe, Vn-
de Giezi? Et dixit Gie-
zi, Non iuit seruus tuus
huc & huc. Et dixit ei
Helissæe, Nonne cor me-
um iuit tecum? Et noui,
quod reuersus est uir à cur-
ru suo, in occursum tibi.
Et nunc accepisti argen-
tum & accepisti uestes, et
accipies in eo hortos, &
olíueta & uineas, & oues
& boues, & seruos & an-
cillas, & lepra Neeman
copulabitur in te & in se-
mine tuo in æternum. Et
egressus est à facie eius le-
pra affectus, uelut nix.

Cap. VI Et dixerunt filii prophetarum ad Helissæe, Ecce iam locus, in quo nos habitamus coram te, angustus à nobis. Eamus iam usque ad Iordanem, & tollamus inde uir unus trabē unam, & faciamus nobis ipsis locum ibi, ut habitemus ibi. Et dixit Helissæe, Agite. Et dixit unus, Age decenter, age cū seruis tuis. Et dixit, Ego ibo, et abiit cum eis. Et uenerunt ad Iordanem, & secarunt ligna, & ecce unus deiiciens trabē, & ferrum excidens è manubrio, excidit in aquam. Et exclamauit, O domine, & ipsum mutuo acceptum. Et dixit homo dei, Vbi cecidit? Et indicauit ei locum. Et abrupit lignum, & iecit illuc, & supernatauit ferrum. Et dixit, Tolle tibi ipsi. Et extendit manum suam, & accepit illud. Et rex Syriæ erat belligerans in Israel, & consultauit cum seruis suis, dicens, In locū istum quendam Elmoni castra figam. Et misit Helissæe ad regē Israel, dicēs, Attēde, ut non transeas in loco illo, quia ibi Syria abscōdita est. Et dimisit rex Israel in locum, quem dixit ei Helissæe, & custodiuit inde neque unam aut duas. Et emota est anima regis Syriæ de sermo-

Καὶ εἶπον οἱ υἱοὶ τῶν προφητῶν πρὸς ἐλισαιὲ, ἰδοὺ δὴ ὁ τόπος, ἐν ᾧ ὑμεῖς οἰκοῦμεν ἐνώπιόν σου, στενὸς ἀφ' ἡμῶν. πορευθῶμεν δὴ ἕως τοῦ ἰορδάνου, καὶ λάβωμεν ἐκεῖθεν ἀνὴρ εἷς δοκὸν μίαν, καὶ ποιήσωμεν ἑαυτοῖς τόπον ἐκεῖ τοῦ οἰκεῖν ἐκεῖ. καὶ εἶπε, δεῦτε. καὶ εἶπεν ὁ εἷς, δεῦρο ἐπιεικῶς, δεῦρο μετὰ τῶν δούλων σου. καὶ εἶπον, ἐγὼ πορεύσομαι, καὶ ἐπορεύθη μετ' αὐτῶν. καὶ ἦλθον εἰς τὸν ἰορδάνην, καὶ ἔτεμνον ξύλα, καὶ ἰδοὺ ὁ εἷς καταβάλλων τὴν δοκὸν, καὶ τὸ σιδήριον ἐκπεσὸν ἐκ τοῦ στελέχους, ἐξέπεσεν εἰς τὸ ὕδωρ. καὶ ἀνεβόησεν, ὦ κύριε, καὶ αὐτὸ κεχρησμένον. καὶ εἶπεν ὁ ἄνθρωπος τοῦ θεοῦ, ποῦ ἔπεσε; καὶ ἔδειξεν αὐτῷ τὸν τόπον. καὶ ἀπέκνισε ξύλον, καὶ ἔρριψεν αὐτὸ ἐκεῖ, καὶ ἐπεπόλασε τὸ σιδήριον. καὶ εἶπεν, ὕψωσον σεαυτῷ. καὶ ἐξέτεινε τὴν χεῖρα αὐτοῦ, καὶ ἔλαβεν αὐτό. καὶ ὁ βασιλεὺς συρίας ἦν πολεμῶν ἐν ἰσραὴλ, καὶ ἐβουλεύσατο πρὸς τοὺς παῖδας αὐτοῦ, λέγων, εἰς τὸν τόπον τὸν δεῖνα ἐλμωνὶ παρεμβαλῶ. καὶ ἀπέστειλεν ἐλισαιὲ πρὸς τὸν βασιλέα ἰσραὴλ, λέγων, φύλαξαι μὴ παρελθεῖν ἐν τῷ τόπῳ τούτῳ, ὅτι ἐκεῖ συρία κέκρυπται. καὶ ἀπέστειλεν ὁ βασιλεὺς ἰσραὴλ εἰς τὸν τόπον, ὃν εἶπεν αὐτῷ ἐλισαιὲ, καὶ ἐφυλάξατο ἐκεῖθεν οὐ μίαν ἢ δύο. καὶ ἐξεκινήθη ἡ ψυχὴ βασιλέως συρίας περὶ τοῦ λό-

λόγου τούτου. καὶ ἐκάλεσε τοὺς παῖδας αὐτοῦ, καὶ εἶπε πρὸς αὐτοὺς, οὐκ ἀπαγγελεῖτέ μοι, τίς προδίδωσί με βασιλεῖ ἰσραήλ; καὶ εἶπον εἷς τῶν παίδων αὐτοῦ, οὐχὶ κύριέ μου βασιλεῦ, ὅτι προφήτης ἐλισαιὲ ὁ ἐν ἰσραὴλ ἀναγγέλλει τῷ βασιλεῖ ἰσραὴλ πάντας τοὺς λόγους, οὓς ἐὰν λαλήσῃς ἐν τῷ ταμιείῳ τοῦ κοιτῶνός σου; καὶ εἶπε, δεῦτε, ἴδετε, ποῦ αὐτὸς, καὶ ἀποστείλας λήψομαι αὐτόν. καὶ ἀπήγγειλαν αὐτῷ λέγοντες, ἰδοὺ ἐν δωθαΐμ. καὶ ἀπέστειλεν ἐκεῖ ἵππον καὶ ἅρμα, καὶ δύναμιν βαρεῖαν, καὶ ἦλθον νυκτὸς, καὶ περιεκύκλωσαν τὴν πόλιν. καὶ ὤρθρισεν ὁ λειτουργὸς ἐλισαιὲ ἀναστῆναι, καὶ ἐξῆλθε, καὶ ἰδοὺ δύναμις κυκλοῦσα τὴν πόλιν, καὶ ἵπποι καὶ ἅρμα. καὶ εἶπε τὸ παιδάριον πρὸς αὐτόν, ὦ κύριε, πῶς ποιήσομεν; καὶ εἶπεν ἐλισαιὲ, μὴ φοβοῦ, ὅτι πλείους οἱ μεθ' ἡμῶν, ὑπὲρ τοὺς μετ' αὐτῶν. καὶ προσηύξατο ἐλισαιὲ, καὶ εἶπε, κύριε διάνοιξον δὴ τοὺς ὀφθαλμοὺς τοῦ παιδαρίου, καὶ ἰδέτω. καὶ διήνοιξε κύριος τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ εἶδε. καὶ ἰδοὺ τὸ ὄρος πλῆρες ἵππων, καὶ ἅρμα πυρὸς περικύκλῳ ἐλισαιέ. καὶ κατέβησαν πρὸς αὐτὸν, καὶ προσηύξατο ἐλισαιὲ πρὸς κύριον, καὶ εἶπε, πάταξον δὴ τὸ ἔθνος τοῦτο ἀορασίᾳ. καὶ ἐπάταξεν αὐτοὺς ἀορασίᾳ, κατὰ τὸ ῥῆμα ἐλισαιέ. καὶ εἶπε πρὸς αὐτοὺς ἐλισαιὲ, οὐχὶ

ſermone hoc. Et uocauit ſeruos ſuos, & dixit ad eos, Non renunciatis mihi, quis prodat me regi Iſrael? Et dixit unus de ſeruis eius, Nonne domine mi rex, quod uates Heliſſæe qui in Iſrael, renunciat regi Iſrael omnes ſermones, quos loquutus fueris in conclaui cubiculi tui? Et dixit, Agite, et uidete, ubi ipſe, & dimittens capiam eum. Et renunciauerunt ei dicentes, Ecce in Dothaim. Et ablegauit equitatum & currum & exercitum grauem, & uenerunt nocte, & circundederunt ciuitatem. Et egit mane miniſter Heliſſæe, ut ſurgeret, et egreſſus eſt, & ecce exercitus cingens ciuitatem, & equi & currus. Et dixit puer eius ad eum, O domine, quid faciemus? Et dixit Heliſſęe, Ne time, quia plures qui ſunt nobiſcum, ſuper eos qui ſunt cum eis. Et adorauit Heliſſæe, & dixit, Domine aperi iam oculos pueri, & uideat. Et aperuit dominus oculos pueri, & uidit. Et ecce mons plenus equorum, & currus ignis in circuitu Heliſſæe. Et deſcenderunt ad eum, & adorauit Heliſſæę ad dominum, & dixit, Percute iam gentem hanc cæcitate. Et percuſsit eos cæcitate, iuxta uerbũ Heliſſęe. Et dixit ad eos Heliſſæe,

Non hæc urbs, & non hæc uia. Venite post me, & abducam uos ad uirum, quem quæritis. Et abduxit eos in Samariam. Et factum est, ut ingressi sunt in Samariam, & dixit Helissæe, Aperi iam domine oculos istorum, et uideant. Et aperuit dominus oculos eorum, & uiderunt, & ecce, erant in medio Samariæ. Et dixit rex Israel ad Helissæe, ut uidit eos, An percutiens percutiam pater? Et dixit, Non percuties, nisi quos captiuos duxisti in gladio tuo et arcu tuo, tu percutis. Appone panes & aquam coram eis, & edant, & bibant, & abeant ad dominum suum. Et apposuit eis appositionem magnam, & ederunt, & biberunt, & dimisit eos. Et abierunt ad dominum suum, & non addiderunt ultra succincti Syriæ uenire in terram Israel.

Cap.VII Et factum est post hæc, & congregauit filius Ader rex Syriæ omnia castra sua, & ascendit, & obsedit contra Samariam. Et fuit fames magna in Samaria. Et ecce, obsederūt contra eam, usquequo consistit caput asini quinquaginta siclis argēti, et quarta pars cabi stercoris columbarū quinque siclis argenti. Et erat rex Israel perambulans

οὐχὶ αὕτη ἡ πόλις, καὶ οὐχ αὕτη ἡ ὁδός. δεῦτε ὀπίσω μου, καὶ ἀπάξω ὑμᾶς πρὸς τὸν ἄνδρα, ὃν ζητεῖτε. καὶ ἀπήγαγεν αὐτοὺς εἰς σαμάρειαν. καὶ ἐγένετο, ὡς εἰσῆλθον εἰς σαμάρειαν, καὶ εἶπεν ἐλισαιὲ, ἄνοιξον δὴ κύριε τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ ἰδέτωσαν. καὶ διήνοιξε κύριος τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ εἶδον, καὶ ἰδοὺ, ἦσαν ἐν μέσῳ σαμαρείας. καὶ εἶπεν ὁ βασιλεὺς ἰσραὴλ πρὸς ἐλισαιὲ, ὡς εἶδεν αὐτοὺς, εἰ πατάξας πατάξω πάτερ; καὶ εἶπεν, οὐ πατάξεις, εἰ μὴ οὓς ᾐχμαλώτευσας ἐν ῥομφαίᾳ σου καὶ τόξῳ σου, σὺ τύπτεις. παράθες ἄρτους καὶ ὕδωρ ἐνώπιον αὐτῶν, καὶ φαγέτωσαν, καὶ πιέτωσαν, καὶ ἀπελθέτωσαν πρὸς τὸν κύριον αὐτῶν. καὶ παρέθηκεν αὐτοῖς παράθεσιν μεγάλην, καὶ ἔφαγον, καὶ ἔπιον, καὶ ἀπέστειλεν αὐτούς. καὶ ἀπῆλθον πρὸς τὸν κύριον αὐτῶν, καὶ οὐ προσέθεντο ἔτι μονόζωνοι συρίας τοῦ ἐλθεῖν εἰς γῆν ἰσραήλ.

Καὶ ἐγένετο μετὰ ταῦτα, καὶ ἤθροισεν υἱὸς ἄδερ βασιλεὺς συρίας πᾶσαν τὴν παρεμβολὴν αὐτοῦ, καὶ ἀνέβη, καὶ περιεκάθισεν ἐπὶ σαμάρειαν. καὶ ἐγένετο λιμὸς μέγας ἐν σαμαρείᾳ. καὶ ἰδοὺ, περιεκάθηντο ἐπ' αὐτὴν, ἕως οὗ ἐγενήθη κεφαλὴ ὄνου πεντήκοντα σίκλων ἀργυρίου, καὶ τέταρτον τοῦ κάβου κόπρου περιστερῶν πέντε σίκλων ἀργυρίου. καὶ ἦν ὁ βασιλεὺς ἰσραὴλ διαπορευό-

μϑμος ἐπὶ τοῦ τείχους, καὶ γυνὴ ἐβόησε πρὸς αὐτὸν, λέγουσα, σῶσαι κύριε βασιλεῦ. καὶ εἶπεν αὐτῇ, μή σε σώσαι κύριος, πόθεν σώσω σε, μὴ ἀπὸ τῆς ἅλωνος ἢ ἀπὸ τῆς ληνοῦ; καὶ εἶπεν αὐτῇ ὁ βασιλεὺς, τί ἐστι σοί; καὶ εἶπεν ἡ γυνὴ, αὕτη εἶπεν πρός με, δὸς τὸν ὑόν σου, καὶ φαγόμεθα αὐτὸν σήμερον, καὶ τὸν ὑόν μου αὔριον. καὶ ἡψήσαμεν τὸν ὑόν μου, καὶ ἐφάγομεν αὐτὸν, καὶ εἶπον πρὸς αὐτὴν τῇ ἡμέρᾳ τῇ δευτέρᾳ, δὸς τὸν ὑόν σου, καὶ φάγωμεν αὐτὸν, καὶ ἔκρυψε τὸν ὑὸν αὐτῆς. καὶ ἐγένετο, ὡς ἤκουσεν ὁ βασιλεὺς ἰσραὴλ τοὺς λόγους τῆς γυναικὸς, διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ. καὶ αὐτὸς διεπορεύετο ἐπὶ τοῦ τείχους, καὶ εἶδεν ὁ λαὸς τὸν σάκκον ἐπὶ τῆς σαρκὸς αὐτοῦ ἔσωθεν. καὶ εἶπεν ὁ βασιλεὺς, τάδε ποιήσαι μοι ὁ θεὸς, καὶ τάδε προσθείη, εἰ στήσεται ἡ κεφαλὴ ἐλισσαιὲ ἐπ᾽ αὐτῷ σήμερον. καὶ ἐλισσαιὲ ἐκάθητο ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ οἱ πρεσβύτεροι ἐκάθηντο μετ᾽ αὐτοῦ, καὶ ἀπέστειλεν ἄνδρα πρὸ προσώπου αὐτοῦ. καὶ πρὶν ἐλθεῖν τὸν ἄγγελον πρὸς αὐτὸν, καὶ αὐτὸς εἶπε πρὸς τοὺς πρεσβυτέρους, εἰ μὴ οἴδατε, ὅτι ἀπέστειλεν ὁ ὑὸς τοῦ φονευτοῦ οὗτος ἀφελεῖν τὴν κεφαλήν μου; ἴδετε, ὡς ἂν ἔλθῃ ὁ ἄγγελος, ἀποκλείσατε τὴν θύραν, καὶ παραθλίψατε αὐτὸν ἐν τῇ θύρᾳ. οὐχὶ φωνὴ τῶν ποδῶν τοῦ κυρίου αὐτοῦ

κατό,

bulans in muro, & mulier exclamauit ad eum, dicēs, Salua domine rex. Et dixit ei, Nisi saluet te dominus, unde te saluabo, de area uel de torculari? Et dixit ei rex, Quid est tibi? Et dixit mulier, Hæc dixit ad me, da filium tuum, & edemus eum hodie, & filium meum cras. Et coximus filium meum, & edimus eum, & dixi ad eam in die secunda, da filium tuum, & edamus eum, & abscondidit filium suum.

Et factum est, ut audiuit Deut. 28
rex Israel sermones mulie Thre. 5
ris, & disrupit uestimenta sua. Et ipse trāsibat in muro, & uidit populus saccum in carne eius intus. Et dixit rex, Hæc faciat mihi deus, & hæc addat, si stabit caput Helissæ in eo hodie. Et Helissæ cō sidebat in domo sua, & seniores considebant cum eo, & dimisit uirum ante faciem eius. Et antequàm ueniret nuncius ad eum, & ipse dixit ad seniores, An non nostis, quod dimisit filius homicidæ iste, ut auferat caput meum? Videte, ut uenerit nuncius, occludite ostiū, et collidite eum in ostio. Nōne uox pedum domini eius

post eum? Adhuc ipso loquente cum eis, & ecce angelus descẽdit ad eum. Et dixit, Ecce hæc calamitas á domino, quid sustinebo domino adhuc? Et dixit Helissæe, Audi uerbum domini. Hæc dicit dominus, ut hora hæc cras, mensura similæ siclo, & duæ mensuræ ordeorum siclo, in porta Samariæ. Et respondit armiger, super quem requiescebat rex, super manum eius, ad Helissæe, & dixit, Ecce, faciet dominus cataractas in cœlo, num erit uerbum hoc? Et Helissæe dixit, Ecce, tu uidebis oculis tuis, & inde non edes. Et quatuor uiri erant leprosi iuxta ostium ciuitatis, & dixit uir ad propinquum eius. Quid nos considemꝰ hic, donec moriamur? Si dixerimus, ingrediamur in ciuitatem, & fames in ciuitate, & moriemur ibi, & si consederimus hic, & moriemur. Et nunc agite, & incidamus in castra Syriæ, si uiuos seruarint nos, & uiuemus, & si occiderint nos, & moriemur. Et surrexerũt in tenebris, ut ingrederentur in castra Syriæ, & ingressi sunt in medium castrorum Syriæ, & ecce non est uir ibi. Et dominus auditam fecit castris Syrię uocẽ currus et uocẽ equi-

equi-

κατόπισθεν αὐτοῦ; ἔτι αὐτοῦ λαλοῦντος μετ' αὐτῶν, καὶ ἰδοὺ ὁ ἄγγελος κατέβη πρὸς αὐτόμ. καὶ εἶπεν, ἰδοὺ αὕτη ἡ κακία παρὰ κυρίου, τί ὑπομείνω τῷ κυρίῳ ἔτι; καὶ εἶπεν ἐλισσαιὲ, ἄκουσομ λόγομ κυρίου. τάδε λέγει κύριος, ὡσεὶ ὥρα αὕτη αὔριομ, μέτρον σεμιδάλεως σίκλου, καὶ δίμετρομ κριθῶμ σίκλου, ἐν ταῖς πύλαις σαμαρείας. καὶ ἀπεκρίθη ὁ τριστάτης, ἐφ' ὃμ ὁ βασιλεὺς ἐπανεπαύετο, ἐπὶ τὴν χεῖρα αὐτοῦ, πρὸς τὸμ ἐλισσαιὲ, καὶ εἶπον, ἰδοὺ, ποιήσει κύριος καταρράκτας ἐν οὐρανῷ, μὴ ἔσται τὸ ῥῆμα τοῦτο; καὶ ἐλισσαιὲ εἶπον, ἰδοὺ, σὺ ὄψει τοῖς ὀφθαλμοῖς σου, καὶ ἐκεῖθεν οὐ φάγῃ. καὶ τέσσαρες ἄνδρες ἦσαν λεπροὶ παρὰ τὴν θύραν τῆς πόλεως, καὶ εἶπον ἀνὴρ πρὸς τὸμ πλησίομ αὐτοῦ, τί ἡμεῖς καθήμεθα ὧδε, ἕως ἀποθάνωμεν; ἐὰν εἴπωμεν, εἰσέλθωμεν εἰς τὴν πόλιμ, καὶ ὁ λιμὸς ἐν τῇ πόλει, καὶ ἀποθανούμεθα ἐκεῖ, καὶ ἐὰν καθίσωμεν ὧδε, καὶ ἀποθανούμεθα. καὶ νῦν δεῦτε, καὶ ἐμπέσωμεν εἰς τὴν παρεμβολὴν συρίας, ἐὰν ζωογονήσωσιμ ἡμᾶς, καὶ ζησόμεθα, καὶ ἐὰν θανατώσωσιμ ἡμᾶς, καὶ ἀποθανούμεθα. καὶ ἀνέστησαν ἐν τῷ σκότει, εἰσελθεῖμ εἰς τὴν παρεμβολὴν συρίας, καὶ εἰσῆλθομ εἰς μέσομ παρεμβολῆς συρίας, καὶ ἰδοὺ, οὐκ ἔστιμ ἀνὴρ ἐκεῖ. καὶ κύριος ἀκουστὴν ἐποίησε παρεμβολῇ συρίας φωνὴν ἅρματος καὶ φωνὴν

ἵπ-

ἵππου, καὶ φωνὴν δυνάμεως μεγάλης.
καὶ εἶπεν ἀνὴρ πρὸς τὸν ἀδελφὸν αὐτοῦ,
νῦν ἐμισθώσατο ἐφ' ἡμᾶς ἰσραὴλ
τοὺς βασιλεῖς τῶν χετταίων, καὶ τοὺς
βασιλεῖς αἰγύπτου, τοῦ ἐλθεῖν ἐφ' ἡ-
μᾶς. καὶ ἀνέστησαν, καὶ ἀπέδρασαν ἐν
τῷ σκότει. καὶ ἐγκατέλιπον τὰς σκη-
νὰς αὐτῶν, καὶ τοὺς ἵππους αὐτῶν, καὶ τοὺς ὄ-
νους αὐτῶν, ὡς ἔστιν ἐν τῇ παρεμβολῇ,
ὡς ἦσαν, καὶ ἔφυγον πρὸς τὴν ψυχὴν
ἑαυτῶν. καὶ εἰσῆλθον οἱ λεπροὶ οὗ-
τοι ἕως μέρους τῆς παρεμβολῆς, καὶ
εἰσῆλθον εἰς σκηνὴν μίαν, καὶ ἔφα-
γον, καὶ ἔπιον. καὶ ἦραν ἐκεῖθεν ἀρ-
γύριον καὶ χρυσίον καὶ ἱματισμόν,
καὶ ἐπορεύθησαν. καὶ ἐπέστρεψαν, καὶ
εἰσῆλθον εἰς σκηνὴν ἄλλην, καὶ ἔλα-
βον ἐκεῖθεν, καὶ ἐπορεύθησαν, καὶ κα-
τέκρυψαν. καὶ εἶπεν ἀνὴρ πρὸς τὸν
πλησίον αὐτοῦ, οὐχ οὕτως ἡμεῖς ποιοῦ-
μεν; ἡ ἡμέρα αὕτη, ἡμέρα εὐαγγε-
λίας ἐστί, καὶ ἡμεῖς σιωπῶμεν, καὶ
μένομεν ἕως φωτὸς τοῦ πρωί, καὶ εὑ-
ρήσομεν ἀνομίαν. καὶ νῦν δεῦρο, καὶ
εἰσέλθωμεν, καὶ ἀναγγείλωμεν εἰς τὸν
οἶκον τοῦ βασιλέως. καὶ εἰσῆλθον, καὶ
ἐβόησαν πρὸς τὴν πύλην τῆς πόλε-
ως. καὶ ἀνήγγειλαν αὐτοῖς, λέγοντες,
εἰσήλθομεν εἰς τὴν παρεμβολὴν συ-
ρίας, καὶ ἰδού, οὐκ ἔστιν ἐκεῖ ἀνήρ, καὶ φω-
νὴ ἀνθρώπου, ὅτι εἰ μὴ ἵππος δεδε-
μένος, καὶ ὄνος, καὶ αἱ σκηναὶ αὐτῶν,
ὡς εἰσί. καὶ ἐβόησαν οἱ θυρωροί, καὶ ἀν-
ήγγειλαν εἰς τὸν οἶκον τοῦ βασιλέως.

καὶ

equitatus, & uocem exer
citus magni. Et dixit uir
ad fratrem eius, Nūc mer
cede conduxit aduersum
nos Israel reges Chettæo
rum, & reges Aegypti, ut
ueniant contra nos. Et sur
rexerunt, & fugerunt in
tenebris. Et dereliquerunt
tabernacula sua, & equos
suos, & asinos suos, ut est
in castris, ut erant, & fuge
runt propter animam sui
ipsorum. Et intrarunt le-
prosi isti usq; ad partem
castrorum, & ingressi sunt
usq; ad tabernaculum u-
num, & ederunt, & bibe-
runt. Et tulerunt inde ar-
gentum & aurum et uesti
tum, & profecti sunt. Et
reuersi sunt, & intrauerūt
in tabernaculum aliud, &
ceperunt inde, & abierūt,
& absconderunt. Et dixit
uir ad propinquum suum,
Non sic nos facimus? Di-
es hæc, dies boni nuncii
est, & nos tacemu, & ma-
nemus usq; ad lucem ma-
tutinam, & inueniemus
iniquitatem. Et nunc age,
& ingrediamur, & renun
ciemus in domum regis.
Et ingressi sunt, & clama
uerunt ad portam ciuita-
tis. Et renunciauerunt eis,
dicētes, Ingressi sumus in
castra Syrię, et ecce, nō ē
ibi uir, et uox hominis, ni
si qđ equus ligatus, & asi
nus, et tētoria corū, ut sunt.
Et clamarūt ianitores, &
renūciarūt in domū regis.

 Et

Et surrexit rex nocte, & dixit seruis suis, renunciabo iam uobis, quae fecit nobis Syria. Intellexerunt, quod fame laboramus nos, & egressi sunt è castris, & absconditi sunt in agro, dicentes, quod egredientur è ciuitate, & comprehendemus eos uiuentes, & in urbem ingrediemur. Et respondens unus seruorum eius dixit, Capiant iam quinque equos relictos, qui relicti sunt hic, ecce, sunt ad omnem multitudinem Israel, quae deficit, & ablegabimus illuc, & uidebimus. Et ceperunt duos ascensores equorum, & dimisit rex Israel post Syriam, dicens, Ite, & uidete. Et profecti sunt post eum usq; ad Iordanem, & ecce omnis uia plena uestibus & uasis, quae abiecit Syria, cum stuperent ipsi. Et reuersi sunt nuncii, & renunciarunt regi Israel.

Et egressus est populus, et diripuerunt omnia castra Syriae. Et constitit mensura similae siclo, & duae mensurae ordeorũ siclo, iuxta uerbum dñi. Et rex constituit armigerũ, super quem rex requiescebat, in manu eius, & conculcauit eum populus in porta, & mortuus est, sicut locutus est homo dei, qui locutus est, cum descenderet nun-

7 καὶ ἀνέστη ὁ βασιλεὺς νυκτὸς, καὶ εἶπε τοῖς παισὶν αὐτοῦ, ἀναγγελῶ δὴ ὑμῖν, ἃ ἐποίησεν ἡμῖν συρία. ἔγνωσαν, ὅτι πεινῶμεν ἡμεῖς, καὶ ἐξῆλθον ἐκ τῆς παρεμβολῆς, καὶ ἐκρύβησαν ἐν τῷ ἀγρῷ, λέγοντες, ὅτι ἐξελεύσονται ἐκ τῆς πόλεως, καὶ συλληψόμεθα αὐτοὺς ζῶντας, καὶ εἰς τὴν πόλιν εἰσελευσόμεθα. καὶ ἀποκριθεὶς εἷς τῶν παίδων αὐτοῦ εἶπε, λαβέτωσαν δὴ πέντε τῶν ἵππων τῶν ὑπολελειμμένων, οἳ κατελείφθησαν ὧδε, ἰδοὺ, εἰσὶ πρὸς πᾶν τὸ πλῆθος ἰσραὴλ τὸ ἐκλεῖπον, καὶ ἀποστελοῦμεν ἐκεῖ, καὶ ὀψόμεθα. καὶ ἔλαβον δύο ἐπιβάτας ἵππων, καὶ ἀπέστειλεν ὁ βασιλεὺς ἰσραὴλ ὀπίσω τοῦ βασιλέως συρίας, λέγων, δεῦτε, καὶ ἴδετε, καὶ ἐπορεύθησαν ὀπίσω αὐτοῦ ἕως τοῦ ἰορδάνου, καὶ ἰδοὺ, πᾶσα ἡ ὁδὸς πλήρης ἱματίων καὶ σκευῶν, ὧν ἔρριψε συρία ἐν τῷ θαμβεῖσθαι αὐτούς. καὶ ἀπέστρεψαν οἱ ἄγγελοι, καὶ ἀνήγγειλαν τῷ βασιλεῖ ἰσραήλ. καὶ ἐξῆλθον ὁ λαὸς, καὶ διήρπασαν τὴν πᾶσαν παρεμβολὴν συρίας. καὶ ἐγένετο μέτρον σεμιδάλεως σίκλου, καὶ δίμετρον κριθῶν σίκλου, κατὰ τὸ ῥῆμα κυρίου. καὶ ὁ βασιλεὺς κατέστησε τὸν τριστάτην, ἐφ᾽ ὃν ὁ βασιλεὺς ἐπανεπαύετο, ἐπὶ τῇ χειρὶ αὐτοῦ, ἐπὶ τῆς πύλης, καὶ συνεπάτησαν αὐτὸν ὁ λαὸς ἐπὶ τῆς πύλης, καὶ ἀπέθανε, καθὰ ἐλάλησεν ὁ ἄνθρωπος τοῦ θεοῦ, ὃς ἐλάλησεν ἐν τῷ καταβαίνειν

τὸ

τὸν ἄγγελον πρὸς αὐτόν. ϗ ἐγένετο, καθὰ ἐλάλησεν Ἐλισαιὲ πρὸς τὸν βασιλέα, λέγων, δίμετρον κριθῆς σίκλου, ϗ μέτρον σεμιδάλεως σίκλου. ϗ ἔσται, ὡς ἡ ὥρα αὕτη αὔριον, ἐν τῇ πύλῃ Σαμαρείας. ϗ ἀπεκρίθη ὁ τριστάτης τῷ Ἐλισαιὲ, ϗ εἶπεν, ἰδοὺ κύριος ποιεῖ καταῤῥάκτας ἐν τῷ οὐρανῷ, μὴ ἔσται τὸ ῥῆμα τοῦτο; καὶ εἶπεν Ἐλισαιὲ, ἰδοὺ, ὄψει τοῖς ὀφθαλμοῖς σου, καὶ ἐκεῖθεν οὐ φάγῃ. καὶ ἐγένετο οὕτως, ϗ συνεπάτησαν αὐτὸν ὁ λαὸς ἐν τῇ πύλῃ, ϗ ἀπέθανε.

Καὶ Ἐλισαιὲ ἐλάλησε πρὸς τὴν γυναῖκα, ἧς ἐζωοποίησε τὸν υἱὸν, λέγων, ἀνάστηθι, ϗ δεῦρο σὺ καὶ ὁ οἶκός σου, ϗ παροίκει, οὗ ἐὰν παροικήσῃς, ὅτι κέκληκε κύριος λιμὸν ἐπὶ τὴν γῆν, καί γε ἦλθεν ἐπὶ τὴν γῆν ἑπτὰ ἔτη. ϗ ἀνέστη ἡ γυνὴ, ϗ ἐποίησε κατὰ τὸ ῥῆμα Ἐλισαιὲ, καὶ αὐτὴ καὶ ὁ οἶκος αὐτῆς, καὶ παρῴκει ἐν γῇ ἀλλοφύλων ἑπτὰ ἔτη. καὶ ἐγένετο μετὰ τὸ τέλος τῶν ἑπτὰ ἐτῶν, καὶ ἐπέστρεψεν ἡ γυνὴ ἐκ τῶν ἀλλοφύλων εἰς τὴν πόλιν, καὶ ἦλθε βοῆσαι πρὸς τὸν βασιλέα, περὶ τοῦ οἴκου αὐτῆς, καὶ περὶ τῶν ἀγρῶν αὐτῆς. καὶ ὁ βασιλεὺς ἐλάλει πρὸς Γιεζεὶ τὸ παιδάριον Ἐλισαιὲ τοῦ ἀνθρώπου τοῦ θεοῦ, λέγων, διήγησαι δὴ ἐμοὶ πάντα τὰ μεγάλα, ἃ ἐποίησεν Ἐλισαιέ. καὶ ἐγένετο αὐτοῦ ἐξηγουμένου τῷ βασιλεῖ, ὡς

ἐζωο

nuncius ad eum. Et factū eſt, ſicut loquutus eſt Heliſſæe ad regem, dicens, Menſura ſimilæ ſiclo, & duæ menſuræ ordei ſiclo. Et erit, ut dies hæc cras, in porta Samariæ. Et reſpōdit armiger Heliſſæe, & dixit, Ecce dominus facit cataractas in cœlo, num erit uerbum hoc? Et dixit Heliſſæe Ecce, uidebis oculis tuis, & inde non edes. Et factum eſt ſic, & conculcauerunt eum populus in porta, et mortuus eſt.

Cap.VIII

Et Heliſſæe loquutus eſt ad mulierem, cuius uiuere fecit filium, dicens, Surge, & age tu & domꝰ tua, & incole, ubicunque incolueris. Quia dominus uocauit famem ſuper terram, & ſane uenit ſuper terram ſeptem annos. Et ſurrexit mulier, & fecit iuxta uerbum Heliſſæe, & ipſa & domus ſua, & incoluit terra alienigēnarū ſeptem annos. Et factum eſt poſt finem ſeptem annorum, & reuerſa eſt mulier ex alienigenis in urbem, & uenit, ut clamaret ad regem, de domo ſua, et de agris ſuis. Et rex loquebatur ad Giezi puerū Heliſſæe hominis dei, dicens, Denarra iam mihi omnia magna, quæ fecit Heliſſæe. Et factum eſt, cum ipſe enarraret regi, ut

exci-

excitauit filium mortuum, & ecce mulier, cuius excitauit filium eius Helissæe, clamans ad regem de domo sua, & de agris suis. Et dixit Giezi, Domine rex, hæc mulier & iste filius eius, quē excitauit Helissæe. Et interrogauit eam rex, & denarrauit mulier ei. Et dedit ei rex eunuchum unum, dicens, Restitue omnia eius, & omnes fructus agri eius, à die, qua reliquit terram, usq; nunc. Et uenit Helissæe in Damascum. Et filius Ader rex Syriæ ægrotabat, & renūciauerunt ei, dicentes, Venit homo dei usq; huc. Et dixit rex Azael, Tolle in manu tua manaa, & uade in occursum hominis dei. Et inquire dñm per eum, dicens, An uiuam ex ægritudine mea hac. Et abiit Azael in occursum eius, & accepit manaa in manu eius, & omnia bona Damasci, onus quadraginta camelorum, & uenit, et stetit coram eo. Et dixit ad Helissæe, Filius tuus, filius Ader, rex Syriæ dimisit me ad te, dicens, An uiuam ex ęgritudine mea hac? Et dixit ad eum Helissæe, Vade, & dic ei, Vita uiues, et ostendit mihi dominus, quod morte morietur. Et astitit

facies

ἐζωπύρησεν υἱὸν τεθνηκότα, καὶ ἰδοὺ ἡ γυνή, ἧς ἐζωπύρησε τὸν υἱὸν αὐτῆς ἐλισσαιὲ, βοῶσα πρὸς τὸν βασιλέα περὶ τοῦ οἴκου αὐτῆς, καὶ περὶ τῶν ἀγρῶν αὐτῆς. καὶ εἶπε γιεζί, κύριε βασιλεῦ, αὕτη ἡ γυνὴ καὶ οὗτος ὁ υἱὸς αὐτῆς, ὃν ἐζωπύρησεν ἐλισσαιέ. καὶ ἐπηρώτησεν ὁ βασιλεὺς τὴν γυναῖκα, καὶ διηγήσατο αὐτῷ. καὶ ἔδωκεν αὐτῇ ὁ βασιλεὺς εὐνοῦχον ἕνα, λέγων, ἐπίστρεψον πάντα τὰ αὐτῆς, καὶ πάντα τὰ γεννήματα τοῦ ἀγροῦ αὐτῆς, ἀπὸ τῆς ἡμέρας, ἧς κατέλιπε τὴν γῆν, ἕως τοῦ νῦν. καὶ ἦλθεν ἐλισσαιὲ εἰς δαμασκόν. καὶ υἱὸς ἄδερ βασιλεὺς συρίας ἠῤῥώστει, καὶ ἀνήγγειλαν αὐτῷ, λέγοντες, ἥκει ὁ ἄνθρωπος τοῦ θεοῦ ἕως ὧδε. καὶ εἶπεν ὁ βασιλεὺς πρὸς ἀζαὴλ, λαβὲ ἐν τῇ χειρί σου μαναὰ, καὶ δεῦρο εἰς ἀπάντησιν τοῦ ἀνθρώπου τοῦ θεοῦ. καὶ ἐπιζήτησον τὸν κύριον δι᾽ αὐτοῦ, λέγων, εἰ ζήσομαι ἐκ τῆς ἀῤῥωστίας μου ταύτης; καὶ ἐπορεύθη ἀζαὴλ εἰς ἀπάντησιν αὐτοῦ, καὶ ἔλαβε μαναὰ ἐν τῇ χειρὶ αὐτοῦ, καὶ πάντα τὰ ἀγαθὰ δαμασκοῦ, ἄρσιν τεσσαράκοντα καμήλων, καὶ ἦλθε, καὶ ἔστη ἐνώπιον αὐτοῦ. καὶ εἶπε πρὸς ἐλισσαιὲ, ὁ υἱός σου, υἱὸς ἄδερ, βασιλεὺς συρίας ἀπέστειλέ με πρός σε, λέγων, εἰ ζήσομαι ἐκ τῆς ἀῤῥωστίας μου ταύτης; καὶ εἶπε πρὸς αὐτὸν ἐλισσαιὲ, δεῦρο, εἰπὸν αὐτῷ. ζωῇ ζήσῃ, καὶ ἔδειξέ μοι κύριος, ὅτι θανάτῳ ἀποθανεῖται. καὶ παρέστη τῷ

προ

προσώπῳ αὐτοῦ, καὶ ἔκειντο τὰ δῶρα, ἕως οὗ ἐσάπρισαν, καὶ ἔθηκεν ἕως αἰσχύνης. καὶ ἔκλαυσεν ὁ ἄνθρωπος τοῦ θεοῦ. καὶ εἶπεν ἀζαὴλ, τί, ὅτι ὁ κύριός μου κλαίει; καὶ εἶπεν, οἶδα, ὅσα ποιήσεις τοῖς υἱοῖς ἰσραὴλ κακά. τὰ ὀχυρώματα αὐτῶν ἐξαποστελεῖς ἐν πυρὶ, καὶ τοὺς ἐκλεκτοὺς αὐτῶν ἐν ῥομφαίᾳ ἀποκτενεῖς. καὶ τὰ νήπια αὐτῶν ἐνσείσεις, καὶ τὰς ἐν γαστρὶ ἐχούσας αὐτῶν ἀναῤῥήξεις. καὶ εἶπεν ἀζαὴλ, τίς ἐστιν ὁ δοῦλός σου, ὁ κύων ὁ τεθνηκὼς, ὅτι ποιήσει τὸ ῥῆμα τοῦτο; καὶ εἶπεν ἐλισαιὲ, ἔδειξέ μοι κύριος σὲ βασιλεύοντα ἐπὶ συρίαν. καὶ ἀπῆλθεν ἀπὸ ἐλισαιὲ, καὶ εἰσῆλθε πρὸς τὸν κύριον αὐτοῦ. καὶ εἶπεν αὐτῷ, τί εἶπέν σοι ἐλισαιέ; καὶ εἶπεν, εἶρηκέ μοι ἐλισαιὲ, ζωῇ ζήσῃ. καὶ ἐγένετο τῇ ἐπαύριον, καὶ ἔλαβε τὸ μαχιβὰρ, καὶ ἔβαψεν ἐν τῷ ὕδατι, καὶ περιέβαλεν ἐπὶ τὸ πρόσωπον αὐτοῦ, καὶ ἀπέθανε, καὶ ἐβασίλευσεν ἀζαὴλ ἀντ᾽ αὐτοῦ. ἐν ἔτει πέμπτῳ ἱεροβοὰμ υἱῷ ἀχαὰβ, βασιλεῖ ἰσραὴλ, ἐβασίλευσεν ἰωρὰμ υἱὸς ἰωσαφὰτ βασιλέως ἰούδα. υἱὸς τριάκοντα καὶ δύο ἐτῶν ἦν ἐν τῷ βασιλεύειν αὐτὸν, καὶ ὀκτὼ ἔτη ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ ἐπορεύθη ἐν ὁδῷ βασιλέων ἰσραὴλ, καθὼς ἐποίησεν οἶκος ἀχαὰβ, ὅτι θυγάτηρ ἀχαὰβ ἦν αὐτῷ εἰς γυναῖκα. καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου, καὶ οὐκ ἠθέλησε κύριος διαφθεῖραι τὸν ἰούδαν, διὰ δαβὶδ

faciei eius, & posuerunt munera, donec putruerunt, & posuit usque ad uerecundiam. Et fleuit homo dei. Et dixit Azael, Quid, quod dominus meus flet? Et dixit, Noui, quæcunque facies filiis Israel mala. Munimenta eorum dimittes in igne, & electos eorum in gladio interficies. Et paruulos eorum illides, et prægnantes eorum disrumpes. Et dixit Azael, Quis est seruus tuus, canis mortuus, quod faciet uerbum hoc? Et dixit Helissæe, Ostendit mihi dominus te regnantem super Syriam. Et abiit ab Helissæe, & intrauit ad dominum suum. Et dixit ei, Quid dixit tibi Helissæe? Et dixit, Narrrauit mihi Helissæe, uita uiues. Et factum est crastina die, & tulit machibar, & tinxit in aqua, & circumposuit in faciem eius, et mortuus est, & regnauit Azael pro eo. In anno quinto Ieroboam filio Achaab regi Israel, regnauit Ioram filius Iosaphat rex Iuda. Filius triginta & duorũ annorum erat, cũ regnaret ipse, & octo annos regnauit in Hierusalẽ. Et ambulauit in uia regum Israel, sicut fecit domus Achaab, quia filia Achaab erat ei in uxorem. Et fecit malũ corã dño, & non uoluit dñs disperdere Iudã, propter David

David seruum suum, sicut dixit dare ei lucernam, et filiis eius omnibus diebus. In diebus eius præuaricatus est Edom, sub manu Iuda, & constituit super seipsum regem. Et ascendit Ioram in Sior, & omnes currus cum eo. Et factum est eo surgente, & percussit Edom, cingētem eum, & principes curruū. Et fugit populus in tabernacula sua. Et præuaricatus est Edom sub manu Iuda, usque ad diem hanc. Tunc præuaricatus est Nasbana, in tempore illo. Et reliqua sermonum Ioram, & omnia, quæcunque fecit, nonne hæc scripta sunt in libro sermonum dierum regibus Iuda? Et dormiuit Ioram cum patribus suis, & sepultus est cum patribus suis in ciuitate David, & regnauit Ochozias filius eius pro eo. In anno duodecimo Ioram filio Achaab regi Israel, regnauit Ochozias filius Ioram. Viginti & duorum annorum Ochozias, cum regnaret ipse, et annum regnauit in Hierusalem. Et nomen matris eius Gotholia, filia Zambri regis Israel. Et abiit in uia domus Achaab, & fecit malum coram domino, sicut domus Achaab. Gener enim domus Achaab

δαβὶδ τοῦ δούλου αὐτοῦ, καθὼς εἶπε, δοῦναι αὐτῷ τὸ λύχνον, καὶ τοῖς υἱοῖς αὐτοῦ, πάσας τὰς ἡμέρας. ἐν ταῖς ἡμέραις αὐτοῦ ἠθέτησεν ἐδώμ, ὑπὸ κάτωθεν χειρὸς ἰούδα, καὶ ἐβασίλευσεν ἐφ᾽ ἑαυτοῦ βασιλέα. καὶ ἀνέβη ἰωρὰμ εἰς σιώρ, καὶ πάντα τὰ ἅρματα τὰ μετ᾽ αὐτοῦ. καὶ ἐγένετο αὐτοῦ ἀναστάντος, καὶ ἐπάταξεν ἐδὼμ τὸν κυκλώσαντα αὐτὸν, καὶ τοὺς ἄρχοντας τῶν ἁρμάτων. καὶ ἔφυγεν ὁ λαὸς εἰς τὰ σκηνώματα αὐτῶν. καὶ ἠθέτησεν ἐδὼμ ὑπὸ κάτωθεν χειρὸς ἰούδα, ἕως τῆς ἡμέρας ταύτης. τότε ἠθέτησεν νασβανὰ, ἐν τῷ καιρῷ ἐκείνῳ. καὶ τὰ λοιπὰ τῶν λόγων ἰωρὰμ, καὶ πάντα, ὅσα ἐποίησεν, οὐκ ἰδοὺ γέγραπται ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν ἰούδα; καὶ ἐκοιμήθη ἰωρὰμ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐτάφη μετὰ τῶν πατέρων αὐτοῦ, ἐν πόλει δαβὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ ἐβασίλευσεν ὀχοζίας υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ. ἐν ἔτει δωδεκάτῳ ἰωρὰμ υἱῷ ἀχαὰβ βασιλεῖ ἰσραὴλ, ἐβασίλευσεν ὀχοζίας υἱὸς ἰωράμ. εἴκοσι καὶ δύο ἐτῶν ὀχοζίας ἐν τῷ βασιλεύειν αὐτὸν, καὶ ἐνιαυτὸν ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ γοθολία, θυγάτηρ ζαμβρὶ βασιλέως ἰσραήλ. καὶ ἐπορεύθη ἐν ὁδῷ οἴκου ἀχαὰβ, καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου, καθὼς ὁ οἶκος ἀχαάβ. γαμβρὸς γὰρ οἴκου ἀχαά

ἀχαάβ ἐστιν. καὶ ἐπορεύθη μετὰ ἰωρὰμ υἱοῦ ἀχαάβ, εἰς πόλεμον μετὰ ἀζαὴλ βασιλέως ἀλλοφύλων, ἐν ῥαμὰ τῆς γαλαάδ. καὶ ἐπάταξαν οἱ σύροι ἰωράμ. καὶ ἀπέστρεψεν ὁ βασιλεὺς ἰωρὰμ τοῦ ἰατρευθῆναι ἐν ἰεζραὴλ, ἀπὸ τῶν πληγῶν, ὧν ἐπάταξαν αὐτὸν ἐν ῥαμὼθ, ἐν τῷ πολεμεῖν αὐτὸν μετὰ ἀζαὴλ βασιλέως συρίας. καὶ ὀχοζίας υἱὸς ἰωρὰμ, βασιλεὺς ἰούδα κατέβη, τοῦ ἰδεῖν τὸν ἰωρὰμ υἱὸν ἀχαάβ ἐν ἰεζραὴλ, ὅτι ἠῤῥώστει αὐτός.

Καὶ ἐλισσαιὲ ὁ προφήτης ἐκάλεσεν ἕνα τῶν υἱῶν τῶν προφητῶν, καὶ εἶπεν αὐτῷ. ζῶσαι τὴν ὀσφύν σου, καὶ λαβὲ τὸν φακὸν τοῦ ἐλαίου τούτου ἐν τῇ χειρί σου, καὶ δεῦρο εἰς ῥαμὼθ γαλαάδ. καὶ εἰσελεύσῃ ἐκεῖ, καὶ ὄψει ἐκεῖ υἱὸν ἰηοῦ ἰωσαφὰτ, υἱὸν ναμεσσί, καὶ εἰσελεύσῃ, καὶ ἀναστήσεις αὐτὸν ἐκ μέσου τῶν ἀδελφῶν αὐτοῦ. καὶ εἰσάξεις αὐτὸν εἰς τὸ ταμιεῖον, καὶ λήψῃ τὸν φακὸν τοῦ ἐλαίου, καὶ ἐπιχεεῖς ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. καὶ εἶπον, τάδε λέγει κύριος ὁ θεὸς ἰσραὴλ, κέχρικά σε εἰς βασιλέα ἐπὶ ἰσραήλ. καὶ ἀνοίξεις τὴν θύραν, καὶ φεύξῃ, καὶ οὐ μενεῖς. καὶ ἐπορεύθη τὸ παιδάριον ὁ προφήτης εἰς ῥαμὼθ γαλαὰδ, καὶ εἰσῆλθε, καὶ ἰδοὺ, οἱ ἄρχοντες τῆς δυνάμεως ἐκάθηντο. καὶ εἶπε, λόγος μοι πρός σε ὁ ἄρχων. καὶ εἶπεν ἰηοῦ, πρὸς τίνα ἐκ πάντων ὑμῶν; καὶ εἶπε, πρὸς σὲ, ὁ ἄρχων.

Achaab eſt. Et profectus eſt cum Ioram filio Achab, in bellum cum Azael rege alienigenarũ, in Rama Galaad. Et percuſſerunt Syri Ioram. Et reuerſus eſt rex Ioram, ut curaretur in Iezrael, à plagis, quibus percuſſerunt eum Syri in Ramath, cum belligeraret ipſe cum Azael rege Syriæ. Et Ochozias filius Ioram rex Iuda deſcendit, ut uideret Iorã filium Achaab in Iezrael, quia ægrotabat ipſe.

Et Heliſſæe uates uocauit unum filiorum prophetarum, & dixit ei, Cinge lumbum tuum, & cape lẽticulam olei huius, in manu tua, et uade in Ramoth Galaad. Et ingredieris illuc & uidebis ibi filiũ Ieu Ioſaphat, filium Nameſſi, & ingredieris, & excitabis eum de medio fratrum ſuorum. Et introduces eum in cubiculum, & accipies lenticulam olei, & infundes ſuper caput eius. Et dic, Hæc dicit dominus, Vnxi te in regem ſuper Iſrael. Et aperies oſtium, & fugies, & non manebis. Et abiit puer propheta in Ramoth Galaad, & ingreſſus eſt, & ecce, principes exercitus conſederunt. Et dixit, Sermo mihi ad te priceps. Et dixit Ieu, Ad quẽ ex oĩb. nobis? Et dixit, Ad te, prin-

Cap. IX
Sup. 14

princeps. Et surrexit, & ingressus est in domum, et infudit oleum super caput eius Et dixit ei, Hæc dicit dominus deus Israel, Vnxi te in regem super populum domini, super Israel. Et euertes domū Achaab domini tui, à facie mea. Et ulcisceris sanguines seruorum meorū, prophetarum, & sanguinem omnium seruorum domini, è manu Iezabel, & è manu totius domus Achaab. Et euertes domus Achaab mingentem ad parietem, et detentum & derelictum in Israel. Et dabo domum Achaab, ut domum Hieroboam filii Nabat, & ut domum Baasa filii Achia. Et Iezabel comedent canes in parte Iezrael, & non est sepeliens. Et aperuit ostium, & fugit. Et Ieu egressus est ad seruos domini sui, & dixerunt ei, Pax? Quid, quod ingressus est insanus iste ad te? Et dixit eis, Vos nostis uirum & eloquium eius. Et dixerūt, Iniquum, si non renuncias. Renuncia iam nobis. Et dixit Ieu ad eos. Sic & sic loquutus est ad me, dicēs, Hæc dicit dñs, Vnxi te in regem super Israel. Et audientes festinauerunt, & accepit quilibet uestem

3.Reg.21 Inf.eod.

ἄρχων. καὶ ἀνέστη, καὶ εἰσῆλθεν εἰς τὸν οἶκον, καὶ ἐπέχεεν τὸ ἔλαιον ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. καὶ εἶπεν αὐτῷ, τάδε λέγει κύριος ὁ θεὸς ἰσραὴλ, κέχρικά σε εἰς βασιλέα ἐπὶ λαὸν κυρίου, ἐπὶ τὸν ἰσραήλ. καὶ ἐξολοθρεύσεις τὸν οἶκον ἀχαὰβ τοῦ κυρίου σου, ἐκ προσώπου μου. καὶ ἐκδικήσεις τὰ αἵματα τῶν δούλων μου, τῶν προφητῶν, καὶ τὰ αἵματα πάντων τῶν δούλων κυρίου, ἐκ χειρὸς ἰεζάβελ, καὶ ἐκ χειρὸς ὅλου τοῦ οἴκου ἀχαάβ. καὶ ἐξολοθρεύσεις τοῦ οἴκου ἀχαὰβ οὐροῦντα πρὸς τοῖχον, καὶ συνεχόμενον καὶ ἐγκαταλελειμμένον ἐν ἰσραήλ. καὶ δώσω τὸν οἶκον ἀχαὰβ, ὡς τὸν οἶκον ἱεροβοὰμ υἱοῦ ναβὰτ, καὶ ὡς τὸν οἶκον βαασὰ υἱοῦ ἀχιά. καὶ τὴν ἰεζάβελ καταφάγονται οἱ κύνες ἐν τῇ μερίδι ἰεζράελ, καὶ οὐκ ἔστιν ὁ θάπτων. καὶ ἤνοιξε τὴν θύραν, καὶ ἔφυγον. καὶ ἰοὺ ἐξῆλθε πρὸς τοὺς παῖδας τοῦ κυρίου αὐτοῦ, καὶ εἶπαν αὐτῷ, εἰρήνη; τί ὅτι εἰσῆλθεν ὁ ἐπίληπτος οὗτος πρός σε; καὶ εἶπεν αὐτοῖς, ὑμεῖς οἴδατε τὸν ἄνδρα, καὶ τὴν ἀδολεσχίαν αὐτοῦ. καὶ εἶπον, ἄδικον, εἰ οὐκ ἀπαγγελεῖς. ἀπάγγειλον δὴ ἡμῖν. καὶ εἶπεν ἰοὺ πρὸς αὐτοὺς, οὕτω καὶ οὕτω ἐλάλησε πρός με, λέγων, τάδε λέγει κύριος, κέχρικά σε εἰς βασιλέα ἐπὶ ἰσραήλ. καὶ ἀκούσαντες ἔσπευσαν, καὶ ἔλαβεν ἕκαστος τὸ ἱμάτιον

ἱμάτιον αὐτοῦ, καὶ ἔθηκαν ὑπὸ κά-
τω αὐτοῦ, ἐπὶ γὰρ ἕνα τῶν ἀναβα-
θμῶν ἐκάθητο. καὶ ἐσάλπισαν ἐν
κερατίνῃ, καὶ εἶπαν, ἐβασίλευσεν ἰοῦ.
καὶ συνεστράφη ἰοῦ υἱὸς ἰωσαφὰτ υἱοῦ
ναμεσσὶ πρὸς ἰωράμ. καὶ ἰωρὰμ αὐ-
τὸς ἐφύλασσεν ἐν ῥαμὼθ γαλαάδ,
αὐτὸς καὶ πᾶς ἰσραὴλ, ἀπὸ προσώπου
ἀζαὴλ βασιλέως συρίας. καὶ ἀπέστρε-
ψεν ἰωρὰμ ὁ βασιλεὺς ἰατρευθῆναι
ἐν ἱερουσαλὴμ, ἀπὸ τῶν πληγῶν,
ὧν ἔπαισαν αὐτὸν οἱ σύροι ἐν τῷ πο-
λεμεῖν αὐτὸς μετὰ ἀζαὴλ βασιλέ-
ως συρίας. καὶ εἶπεν ἰοῦ, εἰ ἔστι
ψυχὴ ὑμῶν μετ' ἐμοῦ, μὴ ἐξελθέτω
ἐκ τῆς πόλεως διαπεφευγὼς, τοῦ
πορευθῆναι καὶ ἀπαγγεῖλαι ἐν ἰε-
ζράελ. καὶ ἔσπευσεν, καὶ ἐπορεύ-
θη ἰοῦ, καὶ κατέβη εἰς ἰεζράελ. ὅτι
ἰωρὰμ βασιλεὺς ἰσραὴλ ἐθεραπεύε-
το ἐν ἰεζράελ, ἀπὸ τῶν τοξευμάτων,
ὧν κατετόξευσαν αὐτὸν οἱ ῥαμα-
ὶμ, ἐν τῇ ῥαμμὼθ, ἐν τῷ πολέμῳ
μετὰ ἀζαὴλ βασιλέως συρίας. ὅτι
αὐτὸς δυνατὸς, καὶ ἀνὴρ δυνάμε-
ως ἐκοιμήθη ἐκεῖ. καὶ ὀχοζίας βασι-
λεὺς ἰούδα, κατέβη ἰδεῖν τὸν ἰωράμ,
καὶ ὁ σκοπὸς ἀνέβη ἐπὶ τὸν πύργον
ἐν ἰεζράελ. καὶ εἶδε τὸν κονιορτὸν
ἰοῦ, ἐν τῷ παραγίνεσθαι αὐτὸν, καὶ
εἶπε, κονιορτὸν ἐγὼ βλέπω. καὶ εἶ-
πεν ἰωράμ, λαβὲ ἐπιβάτην, καὶ
ἀπόστειλον ἔμπροσθεν αὐτῶν, καὶ
εἰπάτω, εἰρήνη; καὶ ἐπορεύθη ἐπι-
βάτης

uestem suam, & po-
suit sub eo, in uno enim
graduum consedit. Et
buccinarunt in cornu, &
dixerunt, Regnauit Ieu.
Et conuersus est Ieu filius
Iosaphat filii Namessi cō
tra Ioram. Et Ioram ipse
custodiebat in Ramoth
Galaad, ipse & omnis Is-
rael, à facie Azael regis
Syriæ. Et reuersus fuit Io
ram rex, ut curaretur in
Hierusalem, à uulneribus,
quibus percusserant eum
Syri, cum belligeraret ip-
se cum Azael rege Syrię.
Et dixit Ieu, Si est anima
uestra mecum, non egre-
diatur ex urbe effugiens,
ut uadat, & renunciet in
Iezrael. Et festinauit, &
profectus est Ieu, & descē
dit in Iezrael. Quia Iorā
rex Israel curabatur in Ie
zrael, à iaculatiōibus, qui
bus iaculati fuerant in eū
Ramaim, in Rhammoth,
in bello cum Azael rege
Syriæ. Nam ipse potens,
& uir potentiæ dormiuit
ibi. Et Ochozias rex Iu-
da descendit ad uidēdum
Ioram, & speculator ascē-
dit in turrim in Iezrael.
Et uidit puluerem Ieu, cū
adueniebat ipse, & dixit,
Puluerem ego uideo. Et
dixit Ioram, Accipe a-
scensorem equi, & able-
ga in occursum eorum,
& dicat, Pax? Et abiit a-

ſcenſor equi in occurſum
eius, & dixit, Hæc dicit
rex, An pax? Et dixit Ieu,
Quid tibi & paci? Reuer
tere in poſteriora mea. Et
renunciauit ſpeculator, di
cens, Venit nuncius uſq;
ad eos, & nõ reuerſus eſt.
Et dimiſit aſcenſorem e-
qui ſecundum, & uenit ad
eum, & dixit, Hæc dicit
rex, An pax? Et dixit Ieu,
Quid tibi & paci? Reuer
tere in poſteriora mea. Et
renunciauit ſpeculator, di
cens, Venit uſq; ad eos, et
non reuerſus eſt. Et ducẽs
duxit Ieu filium Nameſ-
ſi, quia in commutatione
fuit. Et dixit Ioram, Iun-
ge. Et iunxit currum. Et
egreſſus eſt rex Iſrael, &
Ochozias rex Iuda, uir
in curru ſuo. Et exierunt
in occurſum Ieu, & inue-
nerunt eum in parte Na-
buthæ Iezraelitæ. Et fa-
ctum eſt, ut uidit Ioram
Ieu, & dixit, An pax Ieu?
Et dixit Ieu, Quid tibi et
paci? Adhuc fornicatio-
nes Iezabel matris tuæ, &
ueneficia eius multa? Et
conuertit Ioram manus ſu
as, ut fugeret, & dixit ad
Ochoziam, Dolus Ocho
zia. Et impleuit Ieu ma-
num ſuam in arcu, & per-
cuſſit Ioram inter brachia
eius, & egreſſa eſt ſagit
ta per cor eius, & fle-
xit in genua ſua. Et
dixit

βάτης ἵππου εἰς ἀπάντησιν αὐτοῦ,
καὶ εἶπε, τάδε λέγει ὁ βασιλεύς, εἰ
εἰρήνη; καὶ εἶπεν ἰοὺ, τί σοι καὶ εἰρή-
νῃ; ἐπίστρεφε εἰς τὰ ὀπίσω μου. καὶ
ἀπήγγειλεν ὁ σκοπὸς, λέγων, ἦλθεν
ὁ ἄγγελος ἕως αὐτῶν, καὶ οὐκ ἀνέστρε-
ψεν. καὶ ἀπέστειλεν ἐπιβάτην ἵππου
δεύτερον, καὶ ἦλθε πρὸς αὐτὸν, καὶ εἶ-
πε, τάδε λέγει ὁ βασιλεύς, εἰ εἰρή-
νη; καὶ εἶπεν ἰοῦ, τί σοι καὶ εἰρήνῃ;
ἐπίστρεφε εἰς τὰ ὀπίσω μου. καὶ ἀ-
πήγγειλεν ὁ σκοπὸς, λέγων, ἦλθεν
ἕως αὐτῶν, καὶ οὐκ ἀνέστρεψεν. καὶ
ὁ ἄγων ἦγε τὸν ἰοὺ υἱὸν ναμεσσί,
ὅτι ἐν παραλλαγῇ ἐγένετο. καὶ εἶ-
πεν ἰωρὰμ ζεῦξον. καὶ ἔζευξεν ἅρ-
μα. καὶ ἐξῆλθεν βασιλεὺς ἰσραὴλ,
καὶ ὀχοζίας βασιλεὺς ἰούδα, ἀνὴρ
ἐν τῷ ἅρματι αὐτοῦ. καὶ ἐξῆλθον εἰς
ἀπάντησιν ἰοὺ, καὶ εὗρον αὐτὸν
ἐν τῇ μερίδι ναβουθαὶ τοῦ ἰεζραηλί-
του. καὶ ἐγένετο, ὡς εἶδεν ἰωρὰμ
τὸν ἰοὺ, καὶ εἶπεν, εἰ εἰρήνη ἰού;
καὶ εἶπεν ἰοῦ, τί σοι καὶ εἰρήνῃ; ἔ-
τι αἱ πορνεῖαι ἰεζάβελ τῆς μητρός
σου, καὶ τὰ φάρμακα αὐτῆς τὰ πολλά;
καὶ ἐπέστρεψεν ἰωρὰμ τὰς χεῖρας αὐ-
τοῦ τοῦ φυγεῖν, καὶ εἶπε πρὸς ὀχοζί-
αν, δόλος ὀχοζία. καὶ ἔπλησεν ἰοὺ
τὴν χεῖρα αὐτοῦ ἐν τῷ τόξῳ, καὶ ἐπά-
ταξεν τὸν ἰωρὰμ ἀνὰ μέσον τῶν
βραχιόνων αὐτοῦ. καὶ ἐξῆλθε τὸ βέ-
λος διὰ τῆς καρδίας αὐτοῦ, καὶ ἔ-
καμψεν ἐπὶ τὰ γόνατα αὐτοῦ. καὶ
εἶπε

εἶπεν ἰοὺ πρὸς βαδεκὰρ, τὸν τριστάτην αὐτοῦ, ἆρον, καὶ ῥῖψον αὐτὸν ἐν τῇ μερίδι τοῦ ἀγροῦ ναβουθαὶ τοῦ ἰεζραηλίτου. ὅτι μνημονεύω ἐγὼ καὶ σὺ ἐπιβεβηκότων ἐπὶ ζεύγη, ὀπίσω ἀχαὰβ τοῦ πατρὸς αὐτοῦ, καὶ κύριος ἐλάλησεν ἐπ' αὐτὸν τὸ λῆμμα τοῦτο, λέγων, εἰ μὴ μετὰ τῶν αἱμάτων ναβουθαὶ, καὶ τὰ αἵματα τῶν υἱῶν αὐτοῦ εἶδον ἐχθὲς, φησὶ κύριος, καὶ ἀνταποδώσω αὐτῷ ἐν τῇ μερίδι ταύτῃ, φησὶ κύριος. καὶ νῦν ἄρας δὴ, ῥῖψον αὐτὸν ἐν τῇ μερίδι, κατὰ τὸ ῥῆμα κυρίου. καὶ ὀχοζίας βασιλεὺς ἰούδα εἶδε, καὶ ἔφυγεν ὁδὸν βαιθγαύ. καὶ ἐδίωξεν ὀπίσω αὐτοῦ ἰοὺ, καὶ εἶπε, καί γε αὐτόν. καὶ ἐπάταξεν αὐτὸν ἐν τῷ ἅρματι, ἐν τῷ ἀναβαίνειν γαὶ, ὅ ἐστιν ἰεβλαάμ· καὶ ἔφυγεν εἰς μαγεδδὼ, καὶ ἀπέθανεν ἐκεῖ. καὶ ἐπεβίβασαν αὐτὸν οἱ παῖδες αὐτοῦ ἐπὶ τὸ ἅρμα, καὶ ἤγαγον αὐτὸν εἰς ἱερουσαλὴμ, καὶ ἔθαψαν αὐτὸν ἐν τῷ τάφῳ αὐτοῦ, ἐν πόλει δαβίδ. καὶ ἐν ἔτει ἑνδεκάτῳ ἰωρὰμ βασιλέως ἰσραὴλ, ἐβασίλευσεν ὀχοζίας ἐπὶ ἰούδαν. καὶ ἦλθεν ἰοὺ εἰς ἰεζραὴλ, καὶ ἰεζάβελ ἤκουσε, καὶ ἐστιβίσατο τοὺς ὀφθαλμοὺς αὐτῆς, καὶ ἠγαθύνε τὴν κεφαλὴν αὐτῆς, καὶ διέκυψε διὰ τῆς θυρίδος. καὶ ἰοὺ εἰσεπορεύετο ἐν τῇ πόλει, καὶ εἶπεν, εἰ εἰρήνη, ζαμβρὶ ὁ φονευτὴς τοῦ κυρίου αὐτοῦ; καὶ ἐπῆρε τὸ πρόσωπον αὐτοῦ εἰς τὴν θυρί-

dixit Ieu ad Badecar ar-
migerum suum, Tolle, &
proiice eum in parte agri
Nabuthæ Iezraelitæ.
Quia memini ego & tu
ascendentes super currus,
post Achaab patrem ei⁹,
& dominus locutus est in
eum sumptionem hanc, di
cens. An nõ cum sanguini
bus Nabuthæ, & sangui-
nes filiorum eius uidi he-
ri, ait dominus, & reddam
ei in parte hac, ait domi-
nus. Et nunc tollens sanè,
abiice eum in parte, iuxta
uerbum domini. Et Ocho
zias rex Iuda uidit, & fu-
git uiam Bæthgan. Et
persequutus est post eum,
Ieu, & dixit, Etiam ip-
sum. Et percussit eũ in cur
ru, cum ascenderet Gai,
quæ est Ieblaam. Et fugit
in Mageddo, & mortuus
est ibi. Et sustulerunt eum
serui eius in currum, et du
xerunt eum in Hierusa-
lem, & sepelierunt eum in
sepulchro eius, in ciuitate
Dauid. Et in anno undeci
mo Ioram regis Israel, re-
gnauit Ochozias super
Iudam. Et uenit Ieu in Ie-
zrael, & audiuit Iezabel,
& stibio depinxit oculos
suos, & ornauit caput su-
um, & inclinauit se per fe
nestram. Et Ieu ingressus
est in ciuitate, & dixit,
An pax, Zambri interfe-
ctor domini eius? Et e-
leuauit uultum eius ad

fene-

fenestram, & uidit eam, et dixit, Quis es tu? Descende mecum. Inclinauerunt se ad eum duo eunuchi, et dixit, Præcipitate eam. Et deuoluerunt eam, & aspersus est sanguis eius ad parietem, & ad equos, & conculcauerunt eam. Et ingressus est Ieu, & edit, & bibit. Et dixit, Cōsiderate iam execratam hanc. Et sepelite eam, quia filia regis est. Et abierunt, ut sepelirent eam, & non inuentum est in ea aliud quicquam, nisi caluaria, & uestigia manuum & pedes. Et reuersi sunt, & renunciauerunt ei. Et dixit, Sermo domini, quē loquutus est in manu serui sui, Eliu Thesbitæ, dicens, In parte Iezrael comedent canes carnes Iezabel. Et erit morticinium Iezabel, ut stercus super faciem agri, in parte Iezrael, ut non dicant, hæc Iezabel.

Cap.X Iud.10 Et Achaab septuaginta filii in Samaria, & scripsit Ieu libellum, & dimisit in Samaria, ad principes Samariæ ad seniores, & ad nutricios filiorum Achaab, dicens, Et nunc, ut uenerit libellus hic ad uos, uobiscum filii domini uestri, & uobiscum currus & equi, & ciuitates munitæ, & arma. Et uide-

θυρίδα, καὶ εἶδεν αὐτὴν, καὶ εἶπε, τίς εἶ σύ; κατάβηθι μετ' ἐμοῦ. κατέκυψαν πρὸς αὐτὸν δύο εὐνοῦχοι, καὶ εἶπε, κυλίσατε αὐτήν. καὶ ἐκύλισαν αὐτὴν, καὶ ἐῤῥαντίσθη τοῦ αἵματος αὐτῆς πρὸς τὸν τοῖχον, καὶ πρὸς τοὺς ἵππους, καὶ συνεπάτησαν αὐτήν. καὶ εἰσῆλθεν ἰηοὺ, καὶ ἔφαγε, καὶ ἔπιε, καὶ εἶπεν, ἐπισκέψασθε δὴ τὴν κατηραμένην ταύτην, καὶ θάψατε αὐτὴν, ὅτι θυγάτηρ βασιλέως ἐστί. καὶ ἐπορεύθησαν θάψαι αὐτὴν, καὶ οὐχ εὑρέθη ἐν αὐτῇ ἄλλο τι, ἢ τὸ κρανίον, καὶ τὰ ἴχνη τῶν χειρῶν, καὶ οἱ πόδες. καὶ ἐπέστρεψαν, καὶ ἀνήγγειλαν αὐτῷ. καὶ εἶπε, λόγος κυρίου, ὃν ἐλάλησεν ἐν χειρὶ δούλου αὐτοῦ, ἠλιοῦ τοῦ θεσβίτου, λέγων, ἐν τῇ μερίδι ἰεζράελ καταφάγονται οἱ κύνες τὰς σάρκας ἰεζάβελ. καὶ ἔσται τὸ θνησιμαῖον ἰεζάβελ, ὡς κοπρία ἐπὶ προσώπου τοῦ ἀγροῦ, ἐν τῇ μερίδι ἰεζράελ, ὥστε μὴ εἰπεῖν, αὕτη ἰεζάβελ.

Καὶ τῷ ἀχαὰβ ἑβδομήκοντα υἱοὶ ἐν σαμαρείᾳ, καὶ ἔγραψεν ἰηοὺ βιβλίον, καὶ ἀπέστειλεν ἐν σαμαρείᾳ πρὸς τοὺς ἄρχοντας σαμαρείας, πρὸς τοὺς πρεσβυτέρους, καὶ πρὸς τοὺς τιθηνοὺς τῶν υἱῶν ἀχαὰβ, λέγων, καὶ νῦν, ὡς ἂν ἔλθῃ τὸ βιβλίον τοῦτο πρὸς ὑμᾶς, μεθ' ὑμῶν οἱ υἱοὶ τοῦ κυρίου ὑμῶν, καὶ μεθ' ὑμῶν τὸ ἅρμα καὶ οἱ ἵπποι, καὶ πόλεις ὀχυραὶ, καὶ τὰ ὅπλα. καὶ

ὄψεται

ὄψεσθε τὸν ἀγαθὸν καὶ τὸν εὐθῆ ἐν τοῖς υἱοῖς τοῦ κυρίου ὑμῶν, καὶ καταστήσατε αὐτὸν ἐπὶ τὸν θρόνον τοῦ πατρὸς αὐτοῦ, καὶ πολεμεῖτε ὑπὲρ τοῦ οἴκου τοῦ κυρίου ὑμῶν. καὶ ἐφοβήθησαν σφόδρα, καὶ εἶπον, ἰδοὺ, οἱ δύο βασιλεῖς οὐκ ἔστησαν κατὰ πρόσωπον αὐτοῦ, καὶ πῶς στησόμεθα ἡμεῖς; καὶ ἀπέστειλαν οἱ ἐπὶ τοῦ οἴκου καὶ οἱ ἐπὶ τῆς πόλεως, καὶ οἱ πρεσβύτεροι, καὶ οἱ τιθηνοὶ πρὸς Ἰοὺ, λέγοντες, παῖδές σου ἡμεῖς, καὶ ὅσα ἐὰν εἴπῃς πρὸς ἡμᾶς, ποιήσομεν. οὐ βασιλεύσομεν ἄνδρα, τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς σου ποιήσομεν. καὶ ἔγραψε πρὸς αὐτοὺς Ἰοὺ βιβλίον δεύτερον, λέγων, εἰ ἐμοὶ ὑμεῖς, καὶ τῆς φωνῆς μου ὑμεῖς ἀκούετε, λάβετε τὴν κεφαλὴν ἀνδρῶν, τῶν υἱῶν τοῦ κυρίου ὑμῶν, καὶ ἐνέγκατε πρός με, ὡς ἡ ὥρα αὔριον, ἐν Ἰεζράελ. καὶ οἱ υἱοὶ τοῦ βασιλέως ἦσαν ἑβδομήκοντα ἄνδρες, οὗτοι ἁδροὶ τῆς πόλεως ἐξέτρεφον αὐτούς. καὶ ἐγένετο, ὡς ἦλθε τὸ βιβλίον πρὸς αὐτοὺς, καὶ ἔλαβον τοὺς υἱοὺς τοῦ βασιλέως, καὶ ἔσφαξαν αὐτοὺς, ἑβδομήκοντα ἄνδρας. καὶ ἔθηκαν τὰς κεφαλὰς αὐτῶν ἐν καρτάλλοις, καὶ ἀπέστειλαν αὐτὰς πρὸς αὐτὸν, εἰς Ἰεζράελ. καὶ ἦλθεν ὁ ἄγγελος, καὶ ἀπήγγειλε, λέγων, ἤνεγκαν τὰς κεφαλὰς τῶν υἱῶν τοῦ βασιλέως. καὶ εἶπε, θέτε αὐτὰς βουνοὺς δύο παρὰ τὴν θύραν τῆς πόλεως εἰς πρωΐ. καὶ ἐγένετο ἐν πρωΐ, καὶ ἐξῆλθε,

uidebitis bonum & rectum in filiis domini uestri, & constituite eum in solium patris tui, & pugnate pro domo domini uestri. Et timuerunt ualde, & dixerũt, Ecce, duo reges non steterunt contra faciem eius, & quomodo stabimus nos? Et ablegarunt, qui super domum & qui super ciuitatem, & seniores, & nutricii ad Ieu, dicentes, Serui tui nos, & omnia, quæcunque dixeris nobis, faciemus. Non regem constituemus uirum, bonum in oculis tuis faciemus. Et scripsit ad eos Ieu libellum secũdum, dicens, Si mei uos, & uocem meam uos audiris, tollite caput uirorum, filiorũ domini uestri, & afferte ad me, ut hora hæc cras, in Iezrael. Et filii regis erãt septuaginta uiri, quos magnates urbis enutriuerunt eos. Et factum est, ut uenit libellus ad eos, et ceperunt filios regis, & occiderunt eos, septuaginta uiros. Et posuerunt capita eorum in cartallis, & dimiserunt ea ad eum, in Iezrael. Et uenit nuncius, & renunciauit, dicens, Tulerunt capita filiorum regis. Et dixit, Ponite ea, aceruos duos, iuxta portam ciuitatis usque mane. Et factũ est in crastino, & egre-

egressus est, & stetit in porta ciuitatis. Et dixit ad omnem populum, Iusti uos. Ecce ego sum, cõuersus sum contra dominum meum, & interfeci eum, & quis percussit omnes istos? Videte appho, quia non cadet à uerbo domini in terram. Quia loquutus est dominus contra domum Achaab. Et dominus fecit, quæcunque locutus est in manu serui sui Eliu. Et percussit Ieu omnes relictos in domo Achaab, in Iezrael, & omnes adultos eius, & notos eius, & sacerdotes eius adeo, ut non relinqueret eius reliquias. Et surrexit, & profectus est in Samariam, ipse in Bæthacal pastorum in uia. Et Ieu inuenit fratres Ochoziæ regis Iuda, & dixit, Qui uos? Et dixerunt, Fratres Ochoziæ nos. Et descendimus in pacem filiorum regis, & filiorum imperatricis. Et dixit, Comprehendite eos uiuentes. Et mactauit eos in Bethacal, quadraginta & duos uiros, non reliquit uirum ex eis. Et abiit inde, & inuenit Ionadab filium Rechab, in uia in occursum eius, & benedixit eum.
Et dixit ad eum Ieu, An est cor tuum cum corde meo rectũ, sicut est cor meum cũ corde tuo? Et dixit

Iona-

ἐξῆλθε, καὶ ἔστη ἐν τῷ πυλῶνι τῆς πόλεως. καὶ εἶπε πρὸς πάντα τὸν λαὸν, δίκαιοι ὑμεῖς. ἰδοὺ ἐγώ εἰμι, συνεστράφην ἐπὶ τὸν κύριόν μου, καὶ ἀπέκτεινα αὐτὸν, καὶ τίς ἐπάταξε πάντας τούτους; ἴδετε ἀφφὼ, ὅτι οὐ πεσεῖται ἀπὸ τοῦ ῥήματος κυρίου εἰς τὴν γῆν. ὅτι ἐλάλησε κύριος ἐπὶ τὸν οἶκον ἀχαάβ. καὶ κύριος ἐποίησεν, ὅσα ἐλάλησεν ἐν χειρὶ δούλου αὐτοῦ ἠλιού. καὶ ἐπάταξεν ἰοὺ πάντας τοὺς καταλειφθέντας ἐν τῷ οἴκῳ ἀχαὰβ, ἐν ἰεζραὲλ, καὶ πάντας τοὺς ἁδροὺς αὐτοῦ, καὶ τοὺς γνωστοὺς αὐτοῦ, καὶ τοὺς ἱερεῖς αὐτοῦ, ὥστε μὴ καταλιπεῖν αὐτοῦ κατάλειμμα. καὶ ἀνέστη, καὶ ἐπορεύθη εἰς σαμάρειαν, αὐτὸς ἐν βαιθακὰλ τῶν ποιμένων, ἐν τῇ ὁδῷ. καὶ ἰοὺ εὗρε τοὺς ἀδελφοὺς ὀχοζίου βασιλέως ἰούδα, καὶ εἶπε, τίνες ὑμεῖς; καὶ εἶπον, ἀδελφοὶ ὀχοζίου ἡμεῖς. καὶ κατέβημεν εἰς εἰρήνην τῶν υἱῶν τοῦ βασιλέως, καὶ τῶν υἱῶν τῆς δυναστευούσης. καὶ εἶπε, συλλάβετε αὐτοὺς ζῶντας. καὶ ἔσφαξεν αὐτοὺς ἐν βαιθακὰλ, τεσσαράκοντα καὶ δύο ἄνδρας, οὐ κατέλιπεν ἄνδρα ἐξ αὐτῶν. καὶ ἐπορεύθη ἐκεῖθεν, καὶ εὗρε τὸν ἰωναδὰβ υἱὸν ῥηχὰβ, ἐν τῇ ὁδῷ εἰς ἀπάντησιν αὐτοῦ, καὶ εὐλόγησεν αὐτόν. καὶ εἶπε πρὸς αὐτὸν ἰοὺ, εἰ ἔστι καρδία σου μετὰ καρδίας μου εὐθεῖα, καθὼς ἡ καρδία μου μετὰ τῆς καρδίας σου; καὶ εἶπεν

ἰω-

ἰωναδὰβ, ἔστιν. καὶ εἶπεν ἰοὺ, καὶ ἔστι, δὸς τὴν χεῖρά σου. καὶ ἔδωκε τὴν χεῖρα αὐτοῦ, καὶ ἀνεβίβασεν αὐτὸν πρὸς αὐτὸν, ἐπὶ τὸ ἅρμα. καὶ εἶπε πρὸς αὐτὸν, δεῦρο μετ' ἐμοῦ, καὶ ἰδὲ ἐν τῷ ζηλῶσαί με τῷ κυρίῳ σαβαώθ. καὶ ἐπεκάθισεν αὐτὸν ἐν τῷ ἅρματι αὐτοῦ, καὶ εἰσῆλθον εἰς σαμάρειαν. καὶ ἐπάταξε πάντας τοὺς καταλειφθέντας τοῦ ἀχαὰβ ἐν σαμαρείᾳ, ἕως τοῦ ἀφανίσαι αὐτὸν, κατὰ τὸ ῥῆμα κυρίου, ὃ ἐλάλησεν πρὸς ἠλιού. καὶ συνήθροισεν ἰοὺ πάντα τὸν λαὸν, καὶ εἶπε πρὸς αὐτοὺς, ἀχαὰβ ἐδούλευσε τῷ βάαλ ὀλίγα, καί γε ἰοὺ δουλεύσει αὐτῷ πολλά. καὶ νῦν πάντες οἱ προφῆται τοῦ βάαλ, πάντας τοὺς δούλους αὐτοῦ καὶ τοὺς ἱερεῖς αὐτοῦ καλέσατε πρός με, ἀνὴρ μὴ ἐπισκεπήτω. ὅτι θυσία μοι μεγάλη τῷ βάαλ. πᾶς ὃς ἐὰν ἐπισκεπῇ, οὐ ζήσεται. καὶ ἰοὺ ἐποίησεν ἐν πτερνισμῷ, ἵν' ἀπολέσῃ τοὺς δούλους τοῦ βάαλ. καὶ εἶπεν ἰοὺ, ἁγιάσατε ἱερείαν τῷ βάαλ, καὶ διεγάπεισαν. καὶ ἐκήρυξαν. καὶ ἀπέστειλεν ἰοὺ ἐν παντὶ ἰσραὴλ, καὶ εἶπε λέγων, καὶ νῦν πάντες οἱ δοῦλοι τοῦ βάαλ, καὶ πάντες οἱ ἱερεῖς αὐτοῦ, καὶ πάντες οἱ προφῆται αὐτοῦ, μηδεὶς ἀπολειπέσθω. ὅτι θυσίαν μεγάλην ποιῶ. ὃς ἂν ἀπολειφθῇ, οὐ ζήσεται. καὶ ἦλθον πάντες οἱ δοῦλοι τοῦ βάαλ, καὶ πάντες οἱ ἱερεῖς αὐτοῦ, καὶ πάντες

Ionadab, Est. Et dixit Ieu Et si est, da manum tuam. Et dedit manū suam, & transtulit eum ad se, in currum. Et dixit ad eum, Veni mecum, & uide æmulantem me domino Sabbaoth. Et collocauit eum in curru suo, & ingressi sunt in Samariam. Et percussit omnes relictos Achaab in Samaria, donec deleret ipse, iuxta uerbum domini, quod loquutus est ad Eliu. Et congregauit Ieu omnem populum, & dixit ad eos, Achaab seruiuit Baal parum, & sanè Ieu seruiet ei multum. Et nunc omnes uates Baal, oēs seruos eius, & sacerdotes eius uocate ad me, uir non recenseatur. Quia sacrificium mihi magnum Baal. Omnis, qui recensitus fuerit, non uiuet. Et Ieu fecit in dolo, ut disperderet seruos Baal. Et dixit Ieu, Sanctificate sacerdotium Baal, & ministerium. Et promulgarunt. Et ablegauit Ieu in omni Israel, & dixit inquiens, Et nunc omnes serui Baal, & omnes sacerdotes eius, & omnes uates eius, nullus relinquatur. Quia sacrificium magnum facio. Quicunque relinquetur, non uiuet. Et uenerunt omnes serui Baal, & omnes sacerdotes eius, & omnes

3. Reg. 16

omnes uates eius. Non re
lictus est uir, qui non ad-
uenit. Et ingressi sunt in
domum Baal, & repleta
est domus os in os. Et di-
xit Ieu iis qui super do-
mum Mesthaal, Educite
uestimenta omnibus ser-
uis Baal. Et protulit eis
præfectus uestium. Et in-
gressus est Ieu et Ionadab
filius Rechab in domum
Baal, & dixit seruis Baal,
scrutamini, & uidete, an
est uobiscum de seruis do-
mini. Et dimittite omnes
seruos domini inuentos
ibi. Et factum est, & ut lo
cutus est Ieu, quod non e-
rat seruorum domini, præ
terquam serui Baal solissi
mi, & ingressus est, ut fa-
ceret uictimas et holocau
sta. Et Ieu destinauit sibi
ipsi extra octoginta uiros,
& dixit, Vir qui saluatus
fuerit de uiris, quos ego
adduxero in manus ue-
stras, anima eius pro ani-
ma illius. Et factũ est, ut cõ
summauit facere holocau
stũ, & dixit Ieu iuxta cur
rẽtib. & armigeris, Ingres
si percutite eos, non eua-
dat ex eis uir. Et percusse
runt eos in ore gladii, &
abiecerunt iuxta curren-
tes & armigeri. Et profe-
cti sunt usq; ad urbem do-
mus Baal, & protule-
runt statuam Baal, &
incenderunt eam. Et
dirue-

πάντες οἱ προφῆται αὐτοῦ. οὐ κατε-
λείφθη ἀνὴρ, ὃς οὐ παρεγένετο. καὶ εἰ-
σῆλθον εἰς τὸν οἶκον τοῦ βάαλ, καὶ ἐπλή-
σθη ὁ οἶκος τοῦ βάαλ στόμα εἰς στόμα.
καὶ εἶπεν ἰοὺ τοῖς ἐπὶ τοῦ οἴκου μεσθάι-
αλ, ἐξαγάγετε ἐνδύματα πᾶσι τοῖς
δούλοις τοῦ βάαλ. καὶ ἐξήνεγκεν αὐ-
τοῖς ὁ στολιστής. καὶ εἰσῆλθεν ἰοὺ καὶ ἰω-
ναδὰβ υἱὸς ῥηχὰβ εἰς οἶκον τοῦ βάαλ,
καὶ εἶπεν τοῖς δούλοις τοῦ βάαλ, ἐρευ-
νήσατε, καὶ ἴδετε, εἰ ἔστι μεθ' ὑμῶν
τῶν δούλων τοῦ κυρίου. καὶ ἐξαπο-
στείλατε πάντας τοὺς δούλους κυρίου,
τοὺς εὑρισκομένους ἐκεῖ. καὶ ἐγένε-
το, καὶ ὡς ἐλάλησεν ἰοὺ, ὅτι οὐκ ἦν
τῶν δούλων κυρίου, ὅτι ἀλλ' ἢ οἱ δοῦ-
λοι τοῦ βάαλ μονώτατοι, καὶ εἰσῆλ-
θε τοῦ ποιῆσαι τὰ θυμιάματα καὶ
τὰ ὁλοκαυτώματα. καὶ ἰοὺ ἔταξεν
ἑαυτῷ ἔξω ὀγδοήκοντα ἄνδρας, καὶ
εἶπεν, ἀνὴρ ὃς ἐὰν διασωθῇ ἀπὸ
τῶν ἀνδρῶν, ὧν ἐγὼ ἀνάγω ἐπὶ χεῖ-
ρας ὑμῶν, ἡ ψυχὴ αὐτοῦ ἀντὶ τῆς ψυ-
χῆς αὐτοῦ. καὶ ἐγένετο, ὡς συνετέλε-
σε ποιῶν τὴν ὁλοκαύτωσιν, καὶ εἶ-
πεν ἰοὺ τοῖς παρατρέχουσι καὶ τοῖς
τριστάταις, εἰσελθόντες πατάξατε
αὐτοὺς, μὴ ἐξελθέτω ἐξ αὐτῶν ἀ-
νήρ. καὶ ἐπάταξαν αὐτοὺς ἐν στόμα-
τι ῥομφαίας, καὶ ἔρριψαν οἱ παρα-
τρέχοντες καὶ οἱ τριστάται. καὶ ἐπο-
ρεύθησαν ἕως πόλεως οἴκου τοῦ βά-
αλ, καὶ ἐξήνεγκαν τὴν στήλην τοῦ
βάαλ, καὶ ἐνέπρησαν αὐτήν. καὶ
κατι

κατέσπασαν τὰς στήλας τοῦ βάαλ, καὶ
ἔταξαν αὐτὸν εἰς λυτρῶνα, ἕως τῆς ἡ-
μέρας ταύτης. καὶ ἠφάνισεν ἰοὺ τὸν
οἶκον τοῦ βάαλ ἐξ ἰσραήλ. πλὴν τῶν
ἁμαρτιῶν ἱεροβοὰμ υἱοῦ ναβὰτ, ὃς
ἐξήμαρτε τὸν ἰσραὴλ, οὐκ ἀπέστη ἰοὺ
ἀπὸ ὄπισθεν αὐτῶν. αἱ δαμάλεις
αἱ χρυσαῖ ἐν βαιθὴλ καὶ ἐν δάν. καὶ
εἶπε κύριος πρὸς ἰοὺ, ἀνθ' ὧν ὅσα
ἠγάθυνας ποιῆσαι τὸ εὐθὲς ἐν ὀφ-
θαλμοῖς μου, καὶ πάντα ὅσα ἐν τῇ
καρδίᾳ μου, ἐποίησας τῷ οἴκῳ ἀχα-
ὰβ, υἱοὶ τέταρτοί σοι καθήσονταί σοι
ἐπὶ θρόνου ἰσραήλ. καὶ ἰοὺ οὐκ ἐφύλα-
ξε πορεύεσθαι ἐν νόμῳ κυρίου θεοῦ ἰσ-
ραὴλ, ἐν ὅλῃ καρδίᾳ αὐτοῦ. οὐκ ἀπέ-
στη ἐπάνωθεν ἁμαρτιῶν ἱεροβοὰμ
υἱοῦ ναβὰτ, ὃς ἐξήμαρτε τὸν ἰσραήλ.
ἐν ταῖς ἡμέραις ἐκείναις ἤρξατο κύ-
ριος συγκόπτειν ἐν τῷ ἰσραήλ. καὶ
ἐπάταξεν αὐτοὺς ἀζαὴλ ἐν παντὶ
ὁρίῳ ἰσραὴλ, ἀπὸ τοῦ ἰορδάνου κατ'
ἀνατολὰς ἡλίου, πᾶσαν τὴν γῆν γα-
λαὰδ, τοῦ γαδδὶ καὶ τοῦ ῥουβὶν καὶ τοῦ
μανασσῆ, ἀπὸ ἀροὴρ, ἥ ἐστιν ἐπὶ τοῦ χεί-
λους χειμάῤῥου ἀρνὼν, καὶ τὴν γαλα-
ὰδ καὶ τὴν βασάν. καὶ τὰ λοιπὰ τῶν
λόγων ἰοὺ, καὶ πάντα ἃ ἐποίησε, καὶ
πᾶσα ἡ δυναστεία αὐτοῦ, καὶ τὰς
συνάψεις, ἃς συνῆψεν, οὐχὶ ἰδοὺ ταῦ-
τα γεγραμμένα ἐπὶ βιβλίου λόγων
τῶν ἡμερῶν τοῖς βασιλεῦσιν ἰσραή-
λ; καὶ ἐκοιμήθη ἰοὺ μετὰ τῶν πα-
τέρων αὐτοῦ, καὶ ἔθαψαν αὐτὸν
ἐν

diruerunt statuas Baal, &
destinarunt eum in laua-
crum usque in diem hanc.
Et deleuit Ieu domũ Ba-
al ex Israel. Sed à peccatis
Hieroboam filii Nabat,
qui peccare fecit Israel,
non destitit Ieu à tergo
eorum. Vitulæ aureæ in
Bæthel & in Dan. Et di-
xit dominus ad Ieu, Ob
ea quæ bene instituisti, ut
faceres rectum in oculis
meis, & omnia quę in cor
de meo, fecisti domui A-
chaab, filii quarti tibi cõ-
sidebunt in solio Israel.
Et Ieu non seruauit, ut am
bularet in lege domini
dei Israel, in toto corde
suo. Non destitit à pecca-
tis Hieroboam filii Na-
bat, qui peccare fecit Is-
rael. In diebus illis cœpit
dominus conterere in Is-
rael. Et percussit eos A-
zael in omni termino Is-
rael, à Iordane ad ortus so
lis, omnem terram Gala-
ad, Gaddi & Ruben &
Manasse, ab Aroer, quæ
est super labium torrentis
Arnon, & Galaad & Ba
san. Et reliqua sermonum
Ieu, & omnia, quæ fecit,
& omnis potentia eius, &
conspirationes, quas con-
spirauit, nonne hæc scri-
pta sunt in libro sermo-
num dierum regibus Isra-
el? Et dormiuit Ieu cũ pa
tribus suis, et sepelierũt eũ

in

in Samaria, & regnauit Ioachaz filius eius pro eo. Et dies, quibus regnauit Ieu super Israel, uiginti octo anni in Samaria.

Cap.XI Et Gotholia mater O-
2.Par.22 choziae uidit, quod mor-
2.Par.24 tui sunt filii eius, & disperdidit omne semen regni. Et accepit Iosabee, filia regis Ioram, soror Ochoziae, Ioas filium fratris sui, & furata est eum de medio filiorum regis qui interficiebantur, eum & nutricem eius, in conclaui lectorum. Et abscondidit eum à facie Gotholiae, & non interfectus est. Et erat cum ea absconditus in domo domini sex annos, Et Gotholia regnans in terra. Et in anno septimo ablegauit Iodae sacerdos, & assumpsit centuriones Charri & rasim, & abduxit eos ad se, in domum domini. Et pepigit eis foedus domini, & adiurauit eos coram domino. Et ostendit eis Iodae filium regis, & praecepit eis, dicens, Hic sermo, quem facietis. Tertia pars ex uobis ingrediatur sabbatū, & custodite custodiam domus regis in porta, & tertia pars in porta uiarum, & tertia pars in porta post iuxtà currentes, et custodietis custodiam domus. Et duae manus in

uobis,

ἐν σαμαρείᾳ, καὶ ἐβασίλευσεν ἰωάχαζ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. καὶ αἱ ἡμέραι, ἃς ἐβασίλευσεν ἰοὺ ἐπὶ ἰσραὴλ, εἰκοσιοκτὼ ἔτη ἐν σαμαρείᾳ.

Καὶ γοθολία ἡ μήτηρ ὀχοζίου εἶδεν, ὅτι ἀπέθανον οἱ υἱοὶ αὐτῆς, καὶ ἀπώλεσε πᾶν τὸ σπέρμα τῆς βασιλείας. καὶ ἔλαβεν ἰωσαβεὲ, θυγάτηρ τοῦ βασιλέως ἰωρὰμ, ἀδελφὴ ὀχοζίου, τὸν ἰωὰς υἱὸν ἀδελφοῦ αὐτῆς, καὶ ἔκλεψεν αὐτὸν ἐκ μέσου τῶν υἱῶν τοῦ βασιλέως τῶν θανατουμένων, αὐτὸν καὶ τὴν τροφὸν αὐτοῦ, ἐν τῷ ταμείῳ τῶν κλινῶν. καὶ ἔκρυψεν αὐτὸν ἀπὸ προσώπου γοθολίας, καὶ οὐκ ἐθανατώθη. καὶ ἦν μετ' αὐτῆς κρυβόμενος ἐν οἴκῳ κυρίου ἓξ ἔτη, καὶ γοθολία βασιλεύουσα ἐπὶ τῆς γῆς. καὶ ἐν τῷ ἔτει τῷ ἑβδόμῳ ἀπέστειλεν ἰωδαὲ ὁ ἱερεὺς, καὶ ἔλαβε τοὺς ἑκατοντάρχους τῶν χορρὶ καὶ τῶν ῥασὶμ, καὶ ἀπήγαγεν αὐτοὺς πρὸς αὐτὸν, εἰς οἶκον κυρίου. καὶ διέθετο αὐτοῖς διαθήκην κυρίου, καὶ ὥρκισεν αὐτοὺς ἐνώπιον κυρίου. καὶ ἔδειξεν αὐτοῖς ἰωδαὲ τὸν υἱὸν τοῦ βασιλέως, καὶ ἐνετείλατο αὐτοῖς, λέγων, οὗτος ὁ λόγος, ὃν ποιήσετε. τὸ τρίτον ἐξ ὑμῶν εἰσελθέτω τὸ σάββατον, καὶ φυλάξετε φυλακὴν οἴκου τοῦ βασιλέως ἐν τῷ πυλῶνι, καὶ τὸ τρίτον ἐν τῇ πύλῃ τῶν ὁδῶν, καὶ τὸ τρίτον τῆς πύλης ὀπίσω τῶν παρατρεχόντων, καὶ φυλάξετε τὴν φυλακὴν τοῦ οἴκου, καὶ δύο χεῖρες ἐν

ὑμῖν

ὑμῖν, πᾶς ὁ ἐκπορευόμενος τὸ σάββατον, καὶ φυλάξουσι τὴν φυλακὴν οἴκου κυρίου πρὸς τὸν βασιλέα. καὶ κυκλώσατε περὶ τὸν βασιλέα κύκλῳ, ἀνὴρ καὶ τὸ σκεῦος αὐτοῦ ἐν χειρὶ αὐτοῦ, καὶ ὁ εἰσπορευόμενος εἰς τὰ σαδηρὼθ ἀποθανεῖται. καὶ ἐγένετο μετὰ τοῦ βασιλέως ἐν τῷ εἰσπορεύεσθαι αὐτὸν. καὶ ἐν τῷ ἐκπορεύεσθαι αὐτόν. καὶ ἐποίησαν οἱ ἑκατόνταρχοι πάντα, ὅσα ἐνετείλατο ἰωδαὲ ὁ συνετός. καὶ ἔλαβεν ἀνὴρ τοὺς ἄνδρας αὐτοῦ, καὶ τοὺς εἰσπορευομένους τὸ σάββατον, μετὰ τῶν ἐκπορευομένων τὸ σάββατον, καὶ εἰσῆλθον πρὸς ἰωδαὲ τὸν ἱερέα. καὶ ἔδωκεν ὁ ἱερεὺς τοῖς ἑκατοντάρχοις τοὺς σειρομάστας καὶ τοὺς τρισσοὺς τοῦ βασιλέως δαβίδ, τοὺς ἐν οἴκῳ κυρίου, καὶ ἦσαν ἐν ταῖς χερσὶ τῶν χορρὶθ καὶ τῶν παρατρεχόντων. καὶ ἐποίησαν οἱ ἑκατόνταρχοι καὶ οἱ παρατρέχοντες κατὰ πάντα, ὅσα ἐνετείλατο αὐτοῖς ὁ ἱερεύς. καὶ ἐξεκκλησίασεν ὁ ἱερεὺς κυρίου πάντα τὸν λαὸν τῆς γῆς εἰς οἶκον τοῦ κυρίου. καὶ ἔστησαν οἱ παρατρέχοντες, ἀνὴρ καὶ τὸ σκεῦος αὐτοῦ ἐν τῇ χειρὶ αὐτοῦ, ἀπὸ τῆς ὠμίας τοῦ οἴκου τῆς δεξιᾶς, ἕως τῆς ὠμίας τοῦ οἴκου τῆς εὐωνύμου τοῦ θυσιαστηρίου, καὶ τοῦ οἴκου ἐπὶ τὸν βασιλέα κύκλῳ. καὶ ἐξήγαγε τὸν υἱὸν τοῦ βασιλέως, καὶ ἔδωκεν ἐπ' αὐτὸν τὸ ἔζερ καὶ τὸ μαρτύριον, καὶ ἐβασίλευσεν αὐτὸν,

uobis; omnis egrediens sabbatũ, & custodient custodiam domus domini circa regem. Et uallate circa regem in circuitu, uir & arma eius in manu ei[9]. & ingrediẽs in sa[d]eroth morietur. Et fuit cum rege, cum ingreditur ipse, & cum egreditur. Et fecerunt centuriones omnia, quæcunq; præceperat eis Iodae consultus. Et accepit uir uiros suos & ingredientes sabbatum, cum egredientibus sabbatum, & ingressi sunt ad Iodae sacerdotem. Et dedit sacerdos centurionibus pharetras & hastas Dauid regis, & erant in manibus pharetras, & hastas Dauid regis, quę erant in manibus Choreth & iuxtà currentium. Et fecerunt centuriones & iuxta currentes secundum omnia, quæ præcepit eis sacerdos. Et euocauit sacerdos domini omnem populum terræ in domum domini. Et steterunt iuxta currentes, uir in domo domini, & arma sua in manu sua, ab humero domus dextero, usq; ad humerum domus sinistrum altaris, & domus apud regem in circuitu. Et emisit filium regis, & dedit super eum ezer & testimonium, & regem constituit eum,

in Samaria, & regnauit Ioachaz filius eius pro eo. Et dies, quibus regnauit Ieu super Israel, uiginti octo anni in Samaria.

Cap.XI Et Gotholia mater Ochoziæ uidit, quod mor-
2.Par.22 tui sunt filii eius, & disper
2.Par.14 didit omne semen regni. Et accepit Iosabee, filia regis Ioram, soror Ochoziæ, Ioas filium fratris sui, & furata est eum de medio filiorum regis qui interficiebantur, eum & nutricem eius, in conclaui lectorum. Et abscondidit eum à facie Gotholiæ, & non interfectus est. Et erat cum ea absconditus in domo domini sex annos, Et Gotholia regnans in terra. Et in anno septimo ablegauit Iodae sacerdos, & assumpsit centuriones Charri & rasim, & abduxit eos ad se, in domum domini. Et pepigit eis foedus domini, & adiurauit eos coram domino. Et ostendit eis Iodae filium regis, & præcepit eis, dicens, Hic sermo, quem facietis. Tertia pars ex uobis ingrediatur sabbatū, & custodite custodiam domus regis in porta, & tertia pars in porta uiarum, & tertia pars in porta post iuxtà currentes, et custodietis custodiam domus. Et duæ manus in uobis,

ἐν σαμαρείᾳ, καὶ ἐβασίλευσεν ἰωάχαζ υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ. καὶ αἱ ἡμέραι, ἃς ἐβασίλευσεν ἰοὺ ἐπὶ ἰσραὴλ, εἰκοσιοκτὼ ἔτη ἐν σαμαρείᾳ.

ἰσραήλ, καὶ ἐσάλευσαν αὐτούς. καὶ ἔδωκεν αὐτοὺς ἐν χειρὶ διαρπαζόντων αὐτούς, ἕως οὗ ἀπέρριψεν αὐτοὺς ἀπὸ προσώπου αὐτοῦ. ὅτι πλὴν ἰσραὴλ ἐπάνωθεν οἴκου δαβίδ, ἐβασίλευσεν τὸν ἱεροβοὰμ υἱὸν ναβάτ. καὶ ἐξῶσεν ἱεροβοὰμ τὸν ἰσραὴλ ἐξόπισθεν κυρίου, καὶ ἐξήμαρτεν αὐτοὺς ἁμαρτίαν μεγάλην. καὶ ἐπορεύθησαν οἱ υἱοὶ ἰσραὴλ ἐν πάσῃ ἁμαρτίᾳ ἱεροβοάμ, ᾗ ἐποίησεν, οὐκ ἀπέστησαν ἀπ᾽ αὐτῆς, ἕως οὗ μετέστησε κύριος τὸν ἰσραὴλ ἀπὸ προσώπου αὐτοῦ, καθὼς ἐλάλησε κύριος ἐν χειρὶ πάντων τῶν δούλων αὐτοῦ, τῶν προφητῶν. καὶ ἀπῳκίσθη ἰσραὴλ ἐπάνωθεν τῆς γῆς αὐτοῦ εἰς ἀσσυρίους, ἕως τῆς ἡμέρας ταύτης. καὶ ἤγαγε βασιλεὺς ἀσσυρίων ἐκ βαβυλῶνος τὸν ἐκ χουθὰ καὶ ἀπὸ αἰᾶ, καὶ ἀπὸ αἱμὰθ καὶ σαπφαρουαίμ. καὶ κατῳκίσθησαν ἐν ταῖς πόλεσι σαμαρείας, ἀντὶ τῶν υἱῶν ἰσραήλ. καὶ ἐκληρονόμησαν τὴν σαμάρειαν, καὶ κατῳκίσθησαν ἐν ταῖς πόλεσιν αὐταῖς. καὶ ἐγένετο ἐν ἀρχῇ τῆς καθέδρας αὐτῶν, οὐκ ἐφοβήθησαν τὸν κύριον. καὶ ἀπέστειλε κύριος ἐν αὐτοῖς τοὺς λέοντας, καὶ ἦσαν ἀποκτείνοντες ἐν αὐτοῖς. καὶ εἶπαν τῷ βασιλεῖ ἀσσυρίων, λέγοντες, τὰ ἔθνη, ἃ ἀπῴκισας, καὶ ἀντεκάθισας ἐν ταῖς πόλεσι σαμαρείας, οὐκ ἔγνωσαν τὸ κρίμα τοῦ θεοῦ τῆς γῆς, καὶ ἀπέστειλεν εἰς αὐτοὺς τοὺς λέοντας, καὶ ἰδού, εἰσὶ

Iſrael, & quaſſauit eos. Et uidit eos dominus in manu diripentium eos, donec abiiceret eos à facie ſua. Veruntamen Iſrael ſupra domum Dauid, regem conſtituit Hieroboam filium Nabat. Et expulit Hieroboam Iſrael à domino, & peccare fecit eos peccatum magnum. Et ambulauerunt filii Iſrael in omni peccato Hieroboam, quod fecit, non deſtiterunt ab eo, uſquequo tranſtulit dominus Iſrael à conſpectu eius, ſicut locutus eſt dominus in manu omnium ſeruorum ſuorũ, prophetarum. Et translatus eſt Iſrael de terra ſua in Aſſyrios, uſq; in diem hanc. Et duxit rex Aſſyriorum è Babylone populum è Chutha & ab Aia, & ab Aemath & Sæpharuaim. Et collocati ſunt in ciuitatibus Samariæ, pro filiis Iſrael. Et poſſederunt Samariã, et collocati ſunt in urbibus eius. Et factum eſt in principio poſſeſsionis, non timuerũt dominum. Et dimiſit dominus in eis leones, & interficiebant in eis. Et dixerunt regi Aſſyriorum, dicentes, Gentes, quas tranſtuliſti, & uiciſsim collocaſti in ciuitatibus Samariæ, non cognouerunt iudicium dei terræ, & dimiſit in eos leones, & ecce,

B ſunt

sunt interficientes eos, & quia non nouerunt iudicium dei terræ. Et præcepit rex Assyriorum, dicens, Abducite inde, & proficiscantur, & inhabitent ibi, & illuminabunt eos iudicium dei terræ. Et duxerunt unum sacerdotum, quos abduxerunt ex Samaria, & consedit in Bæthel. Et erat illuminãs sacerdos eos, ut timerent dominum. Et erant facientes gentes deos suos, & posuerunt in domo excelsorum, quæ fecerunt Samaritæ, gentes in urbibus suis, in quibus habitabãt. Et uiri Babylonis fecerunt Socchoth Benith. Et uiri Chuth fecerũt Gigel. Et uiri Hæmath fecerunt Asemath. Et Euæi fecerunt Ablazer & Tharach. Et Sepphurim interdum comburebant filios suos in igne Andramelec & Anemelech, diis Sepharuaim, & erant timentes dominum. Et collocarunt fastidia eorum in domibus excelsorum, quę fecerunt in Samaria, gens gens in urbe, quã inhabitabant in ea, & erant timentes dominum. Et fecerunt sibiipsis sacerdotes excelsorum, & fecerunt sibiipsis in domo excelsorũ. Et dñm timebant, & simulacris suis ministrabãt iuxta iudiciũ gẽtiũ, unde transtulit eos inde, usq; in

diem

εἰσὶ θανατοῦντες αὐτοὺς, καὶ καθότι οὐκ οἴδασι τὸ κρίμα τοῦ θεοῦ τῆς γῆς. καὶ ἐνετείλατο ὁ βασιλεὺς ἀσσυρίων, λέγων, ἀπαγάγετε ἐκεῖθεν, καὶ πορευέσθωσαν, καὶ κατοικήτωσαν ἐκεῖ, καὶ φωτιοῦσιν αὐτοὺς τὸ κρίμα τοῦ θεοῦ τῆς γῆς. καὶ ἤγαγον ἕνα τῶν ἱερέων, ὧν ἀπήγαγον ἀπὸ σαμαρείας, καὶ ἐκάθεσεν ἐν βαιθήλ. καὶ ἦν φωτίζων ὁ ἱερεὺς αὐτοὺς, ὅπως φοβηθῶσι τὸν κύριον. καὶ ἦσαν ποιοῦντες ἔθνη θεοὺς αὐτῶν. καὶ ἔθηκαν ἐν οἴκῳ τῶν ὑψηλῶν, ὧν ἐποίησαν οἱ σαμαρεῖται, ἔθνη ἐν ταῖς πόλεσιν αὐτῶν, ἐν αἷς κατῴκουν. καὶ οἱ ἄνδρες βαβυλῶνος ἐποίησαν τὴν σοκχὼθ βενίθ. καὶ οἱ ἄνδρες χοὺθ ἐποίησαν τὴν γιγέλ. καὶ οἱ ἄνδρες αἱμὰθ ἐποίησαν τὴν ἀσιμάθ. καὶ οἱ εὐαῖοι ἐποίησαν τὴν ἀβλαζὲρ καὶ τὴν θαράχ. καὶ οἱ σεπφαρουεὶμ ἡνίκα κατέκαιον τοὺς υἱοὺς αὐτῶν ἐν πυρὶ, τῷ ἀνδραμέλεχ, καὶ ἀνημελὲχ, θεοῖς σεπφαρουαὶμ, καὶ ἦσαν φοβούμενοι τὸν κύριον. καὶ κατῴκισαν τὰ βδελύγματα αὐτῶν ἐν τοῖς οἴκοις τῶν ὑψηλῶν, ἃ ἐποίησαν ἐν σαμαρείᾳ, ἔθνος ἔθνος ἐν πόλει, ᾗ κατῴκουν ἐν αὐτῇ, καὶ ἦσαν φοβούμενοι τὸν κύριον. καὶ ἐποίησαν ἑαυτοῖς ἱερεῖς τῶν ὑψηλῶν, καὶ ἐποίησαν ἑαυτοῖς ἐν οἴκῳ τῶν ὑψηλῶν. καὶ τὸν κύριον ἐφοβοῦντο, καὶ τοῖς εἰδώλοις ἐλάτρευον, κατὰ τὸ κρίμα τῶν ἐθνῶν, ὅθεν ἀπῴκισαν αὐτοὺς ἐκεῖθεν, ἕως τῆς

ἡμέ

ἡμέρας ταύτης αὐτοὶ ἐποίουν κατὰ τὸ κρίμα αὐτῶν. αὐτοὶ μὴ φοβοῦνται, καὶ αὐτοὶ μὴ ποιοῦσι κατὰ τὰ δικαιώματα αὐτῶν, καὶ κατὰ τὴν κρίσιν αὐτῶν, καὶ κατὰ τὸν νόμον, καὶ κατὰ τὴν ἐντολὴν, ἣν ἐνετείλατο κύριος τοῖς υἱοῖς ἰακὼβ, οὗ ἔθηκε τὸ ὄνομα αὐτοῦ ἰσραήλ. καὶ διέθετο κύριος μετ᾽ αὐτῶν διαθήκην, καὶ ἐνετείλατο αὐτοῖς, λέγων, οὐ φοβηθήσεσθε θεοὺς ἑτέρους, καὶ οὐ προσκυνήσετε αὐτοῖς, καὶ οὐ λατρεύσετε αὐτοῖς, καὶ οὐ θυσιάσετε αὐτοῖς, ὅτι ἀλλ᾽ ἢ τῷ κυρίῳ. ὃς ἀνήγαγεν ὑμᾶς ἐκ γῆς αἰγύπτου, ἐν ἰσχύϊ μεγάλῃ, καὶ ἐν βραχίονι ὑψηλῷ, αὐτὸν φοβηθήσεσθε, καὶ αὐτῷ προσκυνήσετε, καὶ αὐτῷ θυσιάσετε. καὶ τὰ δικαιώματα αὐτοῦ καὶ τὰ κρίματα αὐτοῦ, καὶ τὸν νόμον αὐτοῦ, καὶ τὰς ἐντολὰς, ἃς ἔγραψεν ὑμῖν, φυλάσσεσθε ποιεῖν πάσας τὰς ἡμέρας. καὶ οὐ φοβηθήσεσθε θεοὺς ἑτέρους. καὶ τὴν διαθήκην, ἣν διέθετο μεθ᾽ ὑμῶν, οὐκ ἐπιλησθήσεσθε. καὶ οὐ φοβηθήσεσθε θεοὺς ἑτέρους, ὅτι ἀλλ᾽ ἢ τὸν κύριον θεὸν ὑμῶν φοβηθήσεσθε. καὶ αὐτὸς ἐξελεῖται ὑμᾶς ἐκ πάντων τῶν ἐχθρῶν ὑμῶν. καὶ οὐκ ἀκούσεσθε ἐπὶ τῷ κρίματι αὐτῶν, ἃ αὐτοὶ ποιοῦσι. καὶ ἦσαν τὰ ἔθνη ταῦτα φοβούμενοι τὸν κύριον, καὶ τοῖς γλυπτοῖς αὐτῶν ἦσαν δουλεύοντες, καί γε υἱοὶ, καί γε υἱοὶ τῶν υἱῶν αὐτῶν. καθὰ ἐποίησαν οἱ πατέρες αὐτῶν, οὕτως ποιοῦσιν ἕως τῆς ἡμέρας ταύτης.

diem hanc ipsi faciebant iuxta iudicium eorum. Ipsi non timent, & ipsi non faciunt iuxta decreta eorum, & iuxta iudicium eorum, & iuxta legē, et iuxta mandatum, quod mandauit dn̄s filiis Iacob, cuius posuit nomen eius Israel. Et pepigit dominus cum eis pactionem, et mandauit eis, dicens, Nō timebitis deos alios, & non adorabitis eos, & nō coletis eos, & non immolabitis eis, nisi domino. Qui reduxit uos è terra Aegypti, in robore magna, & in brachio excelso, eum timebitis, & eum adorabitis, & ei immolabitis. Et decreta eius, & iudicia eius, & legem eius, & mandata, quæ scripsit uobis, custodietis, ut faciatis omnibus diebus. Et nō timebitis deos alios. Et pactum, quod pepigit uobiscum, non obliuiscemini. Et non timebitis deos alios, nisi dominum deum uestrum timebitis. Et ipse eripiet uos ab omnibus hostibus uestris. Et nō audietis in iudicio eorū, quę ipsi faciūt. Et fuerūt gētes istæ timentes dominū, & sculptis suis seruiebant, etiam filii, etiam filii filiorum eorum. Sicut fecerunt patres eorum, sic faciunt usque in diem hanc.

Cap.XVIII Et factum est in anno
2.Par.29 tertio Osee filio Ela, regi
Israel, regnauit Ezecias filius Achaz regis Iuda. Filius uiginti & quinque annorum erat, cum regnaret ipse, & uiginti & nouem annos regnauit in Hierusalem. Et nomen matri eius Abutha, filia Zachariæ. Et fecit rectum in oculis domini, iuxta omnia quæcunque fecit David pater eius. Et ipse euertit excelsa, et contriuit omnes statuas. Et disperdidit lucos, & serpentem æneum, quem fecit Moyses, quia usque ad dies illos fuerunt filii Israel adolentes ei, et uocauit eum Necsthan. In domino deo Israel sperauit. Et post eum non fuit similis in regibus Iuda, & in his qui sunt ante eum. Et copulatus est domino, non destitit ab eo. Et custodiuit mandata eius, quæcunque mandauit Moyses. Et erat dominus cum eo, in omnibus, quæ fecit, intellexit. Et præuaricatus est in rege Assyriorum, & non seruiuit ei. Ipse percussit alienigenas usque Gazam, & usque ad terminum eius, a Turre custodientium, & usque ad ciuitatem munitam. Et factũ est in anno quarto, regi Ezechiæ, ipse annus septimus Osee filio Ela, regi Israel, ascendit Salmanassar

Καὶ ἐγένετο ἐν ἔτει τρίτῳ ὠσηὲ υἱῷ ἠλὰ βασιλεῖ ἰσραὴλ, ἐβασίλευσεν ἐζεκίας υἱὸς ἄχαζ βασιλέως ἰούδα. υἱὸς εἴκοσι καὶ πέντε ἐτῶν ἦν ἐν τῷ βασιλεύειν αὐτὸν, καὶ εἴκοσι καὶ ἐννέα ἔτη ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ ἀβούθα, θυγάτηρ ζαχαρίου. καὶ ἐποίησε τὸ εὐθὲς ἐν ὀφθαλμοῖς κυρίου, κατὰ πάντα, ὅσα ἐποίησε δαβὶδ ὁ πατὴρ αὐτοῦ. καὶ αὐτὸς ἐξῆρε τὰ ὑψηλὰ, καὶ συνέτριψε πάσας τὰς στήλας. καὶ ἐξωλόθρευσε τὰ ἄλση, καὶ τὸν ὄφιν τὸν χαλκοῦν, ὃν ἐποίησε μωϋσῆς, ὅτι ἕως τῶν ἡμερῶν ἐκείνων ἦσαν οἱ υἱοὶ ἰσραὴλ θυμιῶντες αὐτῷ, καὶ ἐκάλεσεν αὐτὸν νεεσθάν. ἐν κυρίῳ θεῷ ἰσραὴλ ἤλπισε. καὶ μετ᾽ αὐτὸν οὐκ ἐγενήθη ὅμοιος αὐτῷ ἐν βασιλεῦσιν ἰούδα, καὶ ἐν τοῖς γενομένοις ἔμπροσθεν αὐτοῦ. καὶ ἐκολλήθη τῷ κυρίῳ, οὐκ ἀπέστη ὄπισθεν αὐτοῦ. καὶ ἐφύλαξε τὰς ἐντολὰς αὐτοῦ, ὅσας ἐνετείλατο μωϋσῆς. καὶ ἦν κύριος μετ᾽ αὐτοῦ, ἐν πᾶσιν, οἷς ἐποίει, συνῆκε. καὶ ἠθέτησεν ἐν τῷ βασιλεῖ ἀσσυρίων, καὶ οὐκ ἐδούλευσεν αὐτῷ. αὐτὸς ἐπάταξε τοὺς ἀλλοφύλους ἕως γάζης, καὶ ἕως ὁρίου αὐτῆς, ἀπὸ πύργου φυλασσόντων, καὶ ἕως πόλεως ὀχυρᾶς. καὶ ἐγένετο ἐν τῷ ἔτει τῷ τετάρτῳ βασιλεῖ ἐζεκίᾳ, αὐτὸς ἐνιαυτὸς ὁ ἕβδομος τῷ ὠσηὲ υἱῷ ἠλὰ, βασιλεῖ ἰσραὴλ, ἀνέβη σαλαμανασσὰρ

σαρ βασιλεὺς ἀσσυρίων ἐπὶ σαμάρειαν, καὶ ἐπολιόρκει αὐτὴν, καὶ κατελάβετο αὐτὴν, ἀπὸ τέλους τριῶν ἐτῶν. ἐν ἔτει ἕκτῳ ἐζεκίου, ἔτος ἐνναυτὸς ἔνατος τῷ ὠσηὲ βασιλεῖ ἰσραὴλ, καὶ συνελήφθη σαμάρεια. καὶ ἀπῴκισεν βασιλεὺς ἀσσυρίων τὴν σαμάρειαν εἰς ἀσσυρίους, καὶ ἔθηκεν αὐτοὺς ἐν ἀλαὲ, καὶ ἐν ἀβὼρ ποταμῷ γωζὰν, καὶ ὄρη μήδων, ἀνθ' ὧν ὅτι οὐκ ἤκουσαν τῆς φωνῆς κυρίου θεοῦ αὐτῶν. καὶ παρέβησαν τὴν διαθήκην αὐτοῦ, πάντα, ὅσα ἐνετείλατο μωϋσῆς ὁ δοῦλος κυρίου, καὶ οὐκ ἤκουσαν, καὶ οὐκ ἐποίησαν. καὶ τῷ τεσσαρεσκαιδεκάτῳ ἔτει τοῦ βασιλέως ἐζεκίου, ἀνέβη σενναχηρεὶμ βασιλεὺς ἀσσυρίων ἐπὶ τὰς πόλεις ἰούδα τὰς ὀχυρὰς, καὶ συνέλαβεν αὐτάς. καὶ ἀπέστειλεν ἐζεκίας βασιλεὺς ἰούδα ἀγγέλους πρὸς βασιλέα ἀσσυρίων εἰς λάχεις, λέγων, ἡμάρτηκα. ἀποστράφηθι ἀπ' ἐμοῦ, ὃ ἐὰν ἐπιθῇς ἐπ' ἐμὲ, βαστάσω. καὶ ἐπέθηκε ὁ βασιλεὺς ἀσσυρίων ἐπὶ ἐζεκίαν βασιλέα ἰούδα, τριακόσια τάλαντα ἀργυρίου, καὶ τριάκοντα τάλαντα χρυσίου. καὶ ἔδωκεν ἐζεκίας πᾶν τὸ ἀργύριον τὸ εὑρεθὲν ἐν οἴκῳ κυρίου, καὶ ἐν θησαυροῖς οἴκου βασιλέως. ἐν τῷ καιρῷ ἐκείνῳ συνέκοψεν ἐζεκίας βασιλεὺς ἰούδα τὰς θύρας ναοῦ κυρίου, καὶ τὰ ἐστηριγμένα, ἃ ἐχρύσωσεν ἐζεκίας ὁ βασιλεὺς ἰούδα, καὶ ἔδωκεν αὐτὰ

βασιλεῖ

sar rex Assyriorum cõtra Samariam, & obsidebat eam, & occupabat eam, à fine trium annorum. In anno sexto Ezeciæ, hic annus nonus Oree regi Israel, & occupata est Samaria. Et deduxit rex Assyriorum Samariam in Assyrios, & locauit eos in Alae & in Abor fluuio Gozan, & montes Medorum, propterea quod non audierunt uocem domini dei sui. Et prætergressi sunt pactum eius, omnia quæcũq; præcepit Moyses seruus domini, & non audierunt, & non fecerũt. Et in quarto & decimo anno regis Ezeciæ, ascendit Sennacherim rex Assyriorum in ciuitates Iuda munitas, et occupauit eas. Et ablegauit Ezecias rex Iuda nuncios ad regẽ Assyriorum in Lachis, dicens, Peccaui. Abscede à me, & quodcunq; imposueris super me, feram. Et imposuit rex Assyriorum super Ezeciam regem Iuda trecenta talenta argenti, & triginta talenta auri. Et dedit Ezecias omne argentum inuentum in domo domini, & in thesauris domus regis. In tempore illo conscidit Ezecias rex Iuda ianuas templi domini, & quæ firmata erãt, quæ deaurauit Ezecias rex Iuda, & dedit ea

regi

regi Assyriorum. Et dimisit rex Assyriorum Tharthan & Rabosan & Rapsacen de Lachis in Hierusalem, ad regem Ezeciã, in exercitu graui ualde. Et ascenderunt, & uenerunt in Hierusalem, & steterunt in aquæ ductu piscinæ superioris, quæ est in uia agri fullonis, & clamauerũt ad Ezeciã. Et egressi sunt ad eũ, Eliacim filius Chelciæ domus regię magister, & Somnas scriba, & Ioas filius Saphat à commentariis. Et dixit ad eos Rapsaces, Dicite iam ad Ezeciam, Hæc dicit rex magnus, rex Assyriorum. Quę fiducia hęc, qua confisus es: Dixisti, tamẽ sermones labiorum, consilium & potentia in bellũ. Nunc igitur quo confisus præuaricatus es in me? Nunc ecce, confisus es tibiipsi in baculo arũdineo fracto hoc, in Aegypto. Quicunque innixus fuerit uir in eum, ingredietur in manum eius, & perforabit eam. Sic Pharao rex Aegypti omnibus confisis in eum. Et quando dixeris ad me, In dominum deũ confisi sumus, nonne ipse hic destruxit Ezecias excelsa eius & altaria eius: Et dixit Iuda & Hierusalem, coram altari isto adorabitis in Israel. Et nunc misceamini certè do-

βασιλεῖ ἀσσυρίων. καὶ ἀπέστειλε βασιλεὺς ἀσσυρίων τὸν θαρθὰν καὶ τὸν ῥαβσαὶν καὶ τὸν ῥαψάκην, ἐκ λάχεις εἰς ἱερουσαλὴμ, πρὸς τὸν βασιλέα ἐζεκίαν, ἐν δυνάμει βαρείᾳ σφόδρα. καὶ ἀνέβησαν, καὶ ἦλθον εἰς ἱερουσαλὴμ, καὶ ἔστησαν ἐν τῷ ὑδραγωγῷ τῆς κολυμβήθρας τῆς ἄνω, ἥ ἐστιν ἐν τῇ ὁδῷ τοῦ ἀγροῦ τοῦ γναφέως, καὶ ἐβόησαν πρὸς ἐζεκίαν. καὶ ἐξῆλθον πρὸς αὐτὸν ἐλιακὶμ τοῦ χελκίου ὁ οἰκονόμος, καὶ σωμνᾶς ὁ γραμματεὺς, καὶ ἰωὰς ὁ υἱὸς σαφὰτ ὁ ἀναμιμνήσκων. καὶ εἶπε πρὸς αὐτοὺς ῥαψάκης, εἴπατε δὴ πρὸς ἐζεκίαν, τάδε λέγει ὁ βασιλεὺς, ὁ μέγας βασιλεὺς ἀσσυρίων. τίς ἡ πεποίθησις αὕτη, ἣν πέποιθας; εἶπας, πλὴν λόγοι χειλέων, βουλὴ καὶ δύναμις εἰς πόλεμον. νῦν οὖν τίνι πεποιθὼς ἠθέτησας εἰς ἐμέ; νῦν ἰδοὺ, πέποιθας σαυτῷ ἐπὶ τὴν ῥάβδον τὴν καλαμίνην, τὴν τεθλασμένην ταύτην, ἐπ᾽ αἴγυπτον. ὃς ἂν ἐπιστηριχθῇ ἀνὴρ ἐπ᾽ αὐτὴν, καὶ εἰσελεύσεται εἰς τὴν χεῖρα αὐτοῦ, καὶ τρήσει αὐτήν. οὕτως φαραὼ βασιλεὺς αἰγύπτου, πᾶσι τοῖς πεποιθόσιν ἐπ᾽ αὐτόν. καὶ ὅτι εἶπας πρός με, ἐπὶ κύριον τὸν θεὸν πεποίθαμεν, οὐχὶ αὐτὸς οὗτος ἀπέστησεν ἐζεκίας τὰ ὑψηλὰ αὐτοῦ καὶ θυσιαστήρια αὐτοῦ; καὶ εἶπε τῷ ἰούδα, καὶ τῇ ἱερουσαλὴμ, ἐνώπιον τοῦ θυσιαστηρίου τούτου προσκυνήσετε ἐν ἰσραήλ. καὶ νῦν μίχθητε δὴ

τῷ κυρίῳ μου τῷ βασιλεῖ ἀσσυρίων, καὶ δώσω σοὶ δισχιλίους ἵππους, εἰ δυνήσῃ δοῦναι αὐτῷ ἐπιβάτας ἐπ᾽ αὐτούς. καὶ πῶς ἀποστρέψεις τὸ πρόσωπον τοπάρχου, ἑνὸς τῶν δούλων τοῦ κυρίου μου τῶν ἐλαχίστων; καὶ ἤλπισας σαυτῷ εἰς αἴγυπτον, εἰς ἅρματα καὶ ἱππεῖς; νῦν οὖν μὴ ἄνευ κυρίου ἀνέβημεν ἐπὶ τὸν τόπον τοῦτον, τοῦ διαφθεῖραι αὐτόν, κύριος εἶπε πρός με, ἀνάβηθι ἐπὶ τὴν γῆν ταύτην, καὶ διάφθειρον αὐτήν. καὶ εἶπεν ἐλιακεὶμ υἱὸς χελκίου, καὶ σομνὰς καὶ ἰωὰς, πρὸς ῥαψάκην, λάλησον δὴ πρὸς τοὺς παῖδάς σου συριστί, ὅτι ἀκούομεν ἡμεῖς, καὶ οὐ λαλήσεις πρὸς ἡμᾶς ἰουδαϊστί. καὶ ἵνα τί λαλεῖς ἐν τοῖς ὠσὶ τοῦ λαοῦ τοῦ ἐπὶ τοῦ τείχους; καὶ εἶπε πρὸς αὐτοὺς ῥαψάκης, μὴ πρὸς τὸν κύριόν σου καὶ πρός σε ἀπέστειλέ με ὁ κύριός μου λαλῆσαι τοὺς λόγους τούτους, οὐχὶ ἐπὶ τοὺς ἄνδρας τοὺς καθημένους ἐπὶ τοῦ τείχους, τοῦ φαγεῖν τὴν κόπρον αὐτῶν, καὶ πιεῖν τὸ οὖρον αὐτῶν μεθ᾽ ὑμῶν ἅμα; καὶ ἔστη ῥαψάκης, καὶ ἐβόησε φωνῇ μεγάλῃ ἰουδαϊστί. καὶ ἐλάλησε, καὶ εἶπεν, ἀκούσατε τοὺς λόγους τοῦ μεγάλου βασιλέως ἀσσυρίων. τάδε λέγει ὁ βασιλεύς, μὴ ἐπαιρέτω ὑμᾶς ἐζεκίας, ὅτι οὐ μὴ δυνήσηται ὑμᾶς ἐξελέσθαι ἐκ χειρός μου. καὶ μὴ ἐπελπιζέτω ὑμᾶς ἐζεκίας ἐπὶ κύριον, λέγων, ἐξαιρούμενος ἐξελεῖται ὑμᾶς κύριος, οὐ μὴ παραδοθῇ ἡ

πόλις

domino meo regi Assyriorum, & dabo tibi duo millia equorum, si poteris dare ei ascensores super eos. Et quomodo auertes faciem toparchæ, unius seruorum domini mei minimorum? Et sperasti tibiipsi in Aegyptum, in currū & equites? Nunc igitur non sine domo ascēdimus in locum hunc, ut demolirer eum? Dominus dixit ad me, Ascende ad terram hanc, & demolire eam. Et dixit Eliacim filius Chelciæ, & Somnas et Ioas ad Rapsacem, Loquere iam ad seruos tuos Syriacè, audimus enim nos, & ne loquaris ad nos Iudaice. Et quare loqueris in auribus populi qui super murum? Et dixit ad eos Rapsaces, Num ad dominum tuum & ad te dimisit me dominus meus, ut loquerer sermones hos, nonne ad uiros considentes in muro, ut edant stercus suum, & bibant urinam suam uobiscum simul? Et stetit Rapsaces, et clamauit uoce magna Iudaice. Et loquutus est, & dixit, Audite sermones magni regis Assyriorum. Hæc dicit rex, Ne extollat uos Ezecias, quod nequaquam poterit uos eripere è manu mea. Et non sperare faciat uos Ezecias in dominū, dicens, Eruens eripiet nos domin⁹, nequaquā tradāt

2.Par.32

ciuitas

ciuitas hæc in manu regis Assyriorum. Non audietis Ezeciam, quia hæc dicit rex Assyriorum. Facite mecum benedictionē, & egredimini ad me. Et bibet uirtutem eius, et uir ficum eius edet, & bibet aquā cisternæ suæ, donec ueniam, & capiam uos in terram ut terra uestra, terra frumenti & uini, & panum & uinearum, terra oliuæ, olei & mellis. Et uiuetis, & nequaquam moriemini. Et non audite Ezeciam, quia decipit uos, dicēs, Dominus liberabit uos. An liberantes liberarunt dii gentium, unusquisque terram suā, e manu regis Assyriorum? Vbi est deus Aemath et Arphad? Vbi est deus Sepharuaim, Ana & Aba, nūquid eripuerunt Samariā e manu mea? Quis in omnibus diis terrarū, q eripuerint terras eorū e manu mea, quod eripiet dñs Hierusalē e manu mea? Et mussitarūt, & nō respōderunt ei sermonē qa præceptū regis dicēs, Nō respōdebitis ei.

Cap. XIX Et ingressus est Eliacim filius Chelciæ domus regiæ magister, & Somnas scriba, & Ioas filius Saphat à commentariis, ad Ezeciā, disrūpētes uestes, et renunciauerūt ei sermo-

Esa. 37 nes Rapsacis. Et factū est, ut audiuit rex Ezecias, et disrupit uestimēta sua. Et cir-

πόλις αὕτη ἐν χειρὶ βασιλέως ἀσσυρίων. μὴ ἀκούσητε ἐζεκίου, ὅτι τάδε λέγει ὁ βασιλεὺς ἀσσυρίων, ποιήσατε μετ' ἐμοῦ εὐλογίαν, καὶ ἐξέλθετε πρός με. καὶ πίεται ἀνὴρ τὴν ἄμπελον αὐτοῦ, καὶ ἀνὴρ τὴν συκῆν αὐτοῦ φάγεται, καὶ πίεται ὕδωρ τοῦ λάκκου αὐτοῦ, ἕως ἔλθω, καὶ λάβω ὑμᾶς εἰς γῆν, ὡς ἡ γῆ ὑμῶν, γῆ σίτου καὶ οἴνου, καὶ ἄρτων καὶ ἀμπελώνων, γῆ ἐλαίας, ἐλαίου καὶ μέλιτος. καὶ ζήσετε, καὶ οὐ μὴ ἀποθάνητε. καὶ μὴ ἀκούετε ἐζεκίου, ὅτι ἀπατᾷ ὑμᾶς, λέγων, κύριος ῥύσεται ὑμᾶς. μὴ ῥυόμενοι ἐῤῥύσαντο οἱ θεοὶ τῶν ἐθνῶν, ἕκαστος τὴν ἑαυτοῦ χώραν, ἐκ χειρὸς βασιλέως ἀσσυρίων; ποῦ ἐστιν ὁ θεὸς αἰμὰθ καὶ ἀρφάδ; ποῦ ἐστιν ὁ θεὸς σεφαρουαίμ, ἀνὰ καὶ ἀβᾶ, μήτι ἐξείλαντο σαμάρειαν ἐκ χειρός μου; τίς ἐν πᾶσι τοῖς θεοῖς τῶν γαιῶν, οἳ ἐξείλοντο τὰς γᾶς αὐτῶν ἐκ χειρός μου, ὅτι ἐξελεῖται κύριος τὴν ἱερουσαλὴμ ἐκ χειρός μου; καὶ ἐκώφευσαν, καὶ οὐκ ἀπεκρίθησαν αὐτῷ λόγον, ὅτι ἐντολὴ τοῦ βασιλέως, λέγων, οὐκ ἀποκριθήσεσθε αὐτῷ.

Καὶ εἰσῆλθον ἐλιακεὶμ υἱὸς χελκίου ὁ οἰκονόμος, καὶ σομνᾶς ὁ γραμματεύς, καὶ ἰωὰς υἱὸς σαφὰτ ὁ ἀναμιμνήσκων, πρὸς ἐζεκίαν, διεῤῥηχότες τὰ ἱμάτια, καὶ ἀνήγγειλαν αὐτῷ τοὺς λόγους ῥαψάκου. καὶ ἐγένετο, ὡς ἤκουσεν ὁ βασιλεὺς ἐζεκίας, καὶ διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ. καὶ περιεβά-

περιεβάλλετο σάκκον, καὶ εἰσῆλθεν εἰς οἶκον κυρίου. καὶ ἀπέστειλεν ἐλιακεὶμ τὸν οἰκονόμον, καὶ σομναῦ τὸν γραμματέα, καὶ τοὺς πρεσβυτέρους τῶν ἱερέων, περιβεβλημένους σάκκους, πρὸς ἠσαΐαν υἱὸν ἀμὼς τὸν προφήτην. καὶ εἶπον πρὸς αὐτὸν, τάδε λέγει ἐζεκίας, ἡμέρα θλίψεως, καὶ ἐλεγμοῦ καὶ παροργισμοῦ, ἡ ἡμέρα αὕτη. ὅτι ἦλθον υἱοὶ ἕως ὠδίνων, καὶ ἰσχὺς οὐκ ἔστι τῇ τικτούσῃ. εἴπως εἰσακούσεται κύριος ὁ θεός σου πάντας τοὺς λόγους ῥαψάκου, ὃν ἀπέστειλεν αὐτὸν βασιλεὺς ἀσυρίων, ὁ κύριος αὐτοῦ, ὀνειδίζειν θεὸν ζῶντα, καὶ βλασφημεῖν ἐν λόγοις, οἷς ἤκουσε κύριος ὁ θεός σου, καὶ λήψῃ προσευχὴν περὶ τοῦ λείμματος τοῦ εὑρισκομένου. καὶ ἦλθον οἱ παῖδες τοῦ βασιλέως ἐζεκίου πρὸς ἠσαΐαν. καὶ εἶπεν αὐτοῖς ἠσαΐας, τάδε ἐρεῖτε πρὸς τὸν κύριον ὑμῶν, τάδε λέγει κύριος. μὴ φοβηθῇς ἀπὸ προσώπου τῶν λόγων, ὧν ἤκουσας, ὧν ἐβλασφήμησαν τὰ παιδάρια βασιλέως ἀσυρίων. ἰδοὺ, ἐγὼ δίδωμι ἐν αὐτῷ πνεῦμα, καὶ ἀκούσεται ἀγγελίαν, καὶ ἀποστραφήσεται εἰς τὴν γῆν αὐτοῦ, καὶ καταβαλῶ αὐτὸν ἐν ῥομφαίᾳ, ἐν τῇ γῇ αὐτοῦ. καὶ ἀπέστρεψε ῥαψάκης, καὶ εὗρε τὸν βασιλέα ἀσυρίων πολεμοῦντα ἐπὶ λοβνὰ, ὅτι ἤκουσεν, ὅτι ἀπῆρεν ἐκ λαχεὶς. καὶ ἤκουσε περὶ θαρακὰ βασιλέως αἰθιόπων, λέγων,

circumtegebatur sacco, et ingressus est in domũ domini. Et ablegauit Eliacim domus regiæ magistrum, et Somnam scriba, & seniores sacerdotũ circumtectos saccis ad Hesaiam filium Amos, uatem. Et dixerunt ad eum, Hæc dicit Ezecias. Dies afflictionis, & increpationis & irritationis, dies ille. Quia uenerunt filii usq; ad dolores partus, & robur non est parienti. Si forte exaudiet dominus deus tuus omnes sermones Rapsacis, quem dimisit eum rex Assyriorum, dominus suus, ad uituperandum deum uiuentem, et conuiciandum in sermonibus, quos audiuit dominus deus tuus, & accipies orationem pro reliquiis inuentis. Et uenerunt serui regis Ezeciæ ad Hesaiam. Et dixit eis Hesaias, Hęc dicite ad dominum uestrum, Hæc dicit dominus. Ne timeas à uultu sermonum, quos audisti, quibus conuiciati sunt pueri regis Assyriorum. Ecce, ego do in eũ spiritũ, & audiet nũcium, & reuertetur in terram suam, & deiiciam eũ in gladio, in terra sua. Et reuersus est Rapsaces, & inuenit regem Assyriorũ belligerantem cõtra Lobna, quia audiuit, qđ abscessit de Lachis. Et audiuit de Tharaca rege Aethiopũ, dicens,

dicens, Ecce, egressus est ad belligerandum tecum. Et reuersus est, & dimisit nuncios ad Ezeciam, dicens, Sic dicite Ezeciæ regi Iudææ. Non extollat te deus tuus, in quo tu confisus es in eo, dicēs, Nequaquam tradatur Hierusalē in manus regis Assyriorum. Ecce tu audisti omnia, quæcunque fecerunt reges Assyriorum omnibus terris, ut deuouerint eas, et tu liberaberis? Num eruentes eripuerunt eos dii gentium, quos deuastauerūt patres mei, Gozanque & Charran & Phares, et filios Adem qui in Thalasarim? Vbi est rex Hæmath, & rex Arphad? Et ubi est rex ciuitatis Sepharuaim, Ana & Aba? Et accepit Ezecias libellos è manu legatorum, & legit eos, & ascēdit in domum domini. Et explicauit eos Ezecias coram domino, et dixit, Domine deus Israel considens super Cherubim, tu es deus solus in omnibus regnis terræ. Tu fecisti coelum & terram. Inclina domine aurem tuam, & audi me. Aperi domine oculos tuos, & uide. Et audi sermones Sennacherim quos dimisit ad uituperandum deum uiuentem. Quia in ueritate dñe uastarunt reges Assyriorū gētes, et dederūt deos

λέγων, ἰδοὺ, ἐξῆλθε πολεμεῖν μετὰ σοῦ. καὶ ἐπέστρεψε, καὶ ἀπέστειλεν ἀγγέλους πρὸς ἐζεκίαν, λέγων, οὕτως ἐρεῖτε ἐζεκίᾳ βασιλεῖ τῆς ἰουδαίας, μὴ ἐπαιρέτω σε ὁ θεός σου, ἐφ' ᾧ σὺ πέποιθας ἐπ' αὐτῷ, λέγων, οὐ μὴ παραδοθῇ ἱερουσαλὴμ εἰς χεῖρας βασιλέως ἀσυρίων. ἰδοὺ, σὺ ἤκουσας πάντα, ὅσα ἐποίησαν βασιλεῖς ἀσυρίων πάσαις ταῖς γαίαις, τοῦ ἀναθεματίσαι αὐτὰς, καὶ σὺ ῥυσθήσῃ; μὴ ἐξαιρούμενοι ἐξείλαντο αὐτοὺς οἱ θεοὶ τῶν ἐθνῶν, οὓς διέφθειραν οἱ πατέρες μου, τήν τε γωζὰν καὶ τὴν χαῤῥὰν καὶ τὴν φαρὲς, καὶ υἱοὺς ἀδὲμ τοὺς ἐν θαλασαρίμ; ποῦ ἐστιν ὁ βασιλεὺς αἱμὰθ, καὶ ὁ βασιλεὺς ἀρφάδ; καὶ ποῦ ἐστιν ὁ βασιλεὺς τῆς πόλεως σεφαρουαὶμ, ἀνὰ καὶ ἀβά; καὶ ἔλαβεν ἐζεκίας τὰ βιβλία ἐκ χειρὸς τῶν ἀγγέλων, καὶ ἀνέγνω αὐτὰ, καὶ ἀνέβη εἰς οἶκον κυρίου. καὶ ἀνέπτυξεν αὐτὰ ἐζεκίας ἐναντίον κυρίου, καὶ εἶπον, κύριε ὁ θεὸς ἰσραὴλ, ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ, σὺ εἶ ὁ θεὸς μόνος ἐν πάσαις ταῖς βασιλείαις τῆς γῆς. σὺ ἐποίησας τὸν οὐρανὸν καὶ τὴν γῆν. κλῖνον κύριε τὸ οὖς σου, καὶ ἄκουσόν μου. ἄνοιξον κύριε τοὺς ὀφθαλμούς σου, καὶ ἰδέ. καὶ ἄκουσον τοὺς λόγους σενναχηρεὶμ, οὓς ἀπέστειλεν ὀνειδίζειν θεὸν ζῶντα. ὅτι ἐν ἀληθείᾳ κύριε ἠρήμωσαν βασιλεῖς ἀσυρίων τὰ ἔθνη, καὶ ἔδωκαν τοὺς θεοὺς

θεοὺς αὐτῶν εἰς τὸ πῦρ, ὅτι οὐ θεοί εἰσιν, ἀλλ' ἢ ἔργα χειρῶν ἀνθρώπων, ξύλα καὶ λίθοι, καὶ ἀπώλεσαν αὐτούς. καὶ νῦν κύριε ὁ θεὸς ἡμῶν σῶσον ἡμᾶς, ἐκ χειρὸς αὐτοῦ, καὶ γνώσονται πᾶσαι αἱ βασιλεῖαι τῆς γῆς, ὅτι σὺ εἶ κύριος ὁ θεὸς μόνος. καὶ ἀπέστειλεν ἠσαΐας υἱὸς ἀμὼς πρὸς ἐζεκίαν, λέγων, τάδε λέγει κύριος ὁ θεὸς τῶν δυνάμεων, ὁ θεὸς ἰσραήλ. ἤκουσα, ἃ προσηύξω πρός με, περὶ σενναχηρεὶμ βασιλέως ἀσσυρίων. οὗτος ὁ λόγος, ὃν ἐλάλησε κύριος περὶ αὐτοῦ. ἐξουδένωσέ σε, καὶ ἐξεμυκτήρισέ σε παρθένος. θυγάτηρ σιών, ἐπί σοι κεφαλὴν αὐτῆς ἐκίνησε, θυγάτηρ ἱερουσαλήμ. τίνα ὠνείδισας; καὶ τίνα ἐβλασφήμησας; καὶ ἐπὶ τίνα ὕψωσας φωνὴν, καὶ ἦρας εἰς ὕψος τοὺς ὀφθαλμούς σου; εἰς τὸν ἅγιον τοῦ ἰσραήλ. ἐν χειρὶ ἀγγέλων σου ὠνείδισας κύριον. καὶ εἶπας, ἐν τῷ πλήθει τῶν ἁρμάτων μου, ἐγὼ ἀναβήσομαι εἰς ὕψος ὀρέων, μέρος τοῦ λιβάνου. καὶ ἔκοψα τὸ μέγεθος τῆς κέδρου αὐτοῦ, καὶ τὰ ἐκλεκτὰ κυπαρίσσων αὐτοῦ. καὶ ἦλθον εἰς μέσον τοῦ τέλους αὐτοῦ, δρυμοῦ καρμήλου αὐτοῦ. ἐγὼ ἐφύλαξα, καὶ ἔπιον ὕδατα ἀλλότρια. καὶ ἐξερήμωσα τῷ ἴχνει τοῦ ποδός μου πάντας τοὺς ποταμοὺς περιοχῆς. μὴ οὐκ ἤκουσας, εἰς ἀπὸ μακρόθεν αὐτὴν ἐποίησα, ἐξ ἡμερῶν ἀρχῆθεν

ἔπλα-

deos eorum in ignẽ, quod non dii sunt, sed opera manuum hominum, ligna & lapides, & disperdiderũt eos. Et nunc domine deus noster salua nos, è manu eius, & cognoscent omnia regna terræ, quod tu es dominus deus solus. Et dimisit Hesaias filius Amos ad Ezeciam, dicens, Hæc dicit dominus deus potestatum, Deus Israel. Audiui, quæ deprecatus es ad me, de Sennacherim rege Assyriorum, Hic sermo, quem loquutus est dominus de eo. Nihili fecit te, & naso suspendit te uirgo. Filia Sion, in te caput suum mouit filia Hierusalem. Quem uituperasti? Cui conuiciatus es? Et contra quem exaltasti uocem, & leuasti in excelsum oculos tuos? In sanctum Israel. In manu nunciorum tuorum uituperasti dominum. Et dixisti, In multitudine curruum meorum ego ascendam in altitudinem montium, partem Libani. Et succidi magnitudinem cedri eius, electa cupressorum eius. Et ueni in partem extremitatis eius syluæ Carmeli eius. Ego custodiui, & bibi aquas alienas. Et exsiccaui uestigio pedis mei omnes fluuios munitiõis. An nõ audiuisti, à lõge eã feci, à diebus à principio

finxi

finxi eam, & duxi eam, et fuit in officia demigrationum pugnacium. Vrbes ualidæ, & inhabitantes in eis imbecilles redditi sunt manu. Timuerunt, & pudore affecti sunt. Facti sunt fœnum agri, urens gramen tectorum, & conculcationes coram stante. Et sedem tuam & egressum tuum noui, & furorē tuum, quod iratus es tu in me. Et truculentia tua ascendit in auribus meis. Et ponam hamum meum in naribus tuis, & frenum in labiis tuis. Et reducam te in uia, qua uenisti in ea. Et hoc tibi signum Edes annum hunc spōtanea, & in anno secundo nascentia, & anno tertio satio & messis, & plantatio uinearum, & edetis fructum earum. Et addet conseruatā domum domus Iuda, relictum radicem deorsum, et faciet fructū sursum. Quia ex Hierusalem egredientur reliquiæ, & conseruatus è monte Sion. Zelus domini exercituum faciet hoc. Non sic, hęc dicit dominus ad regem Assyriorum: Non ingredietur in urbem hanc, dicit dominus. Et non iaculabitur illuc sagittam, & non præuertet cōtra eam scutum. Et nequaquam egerat cōtra eam aggerē. Via qua uenit in ea, reuertetur.

Et

ἔπλασα αὐτήν, καὶ ἤγαγον αὐτήν, καὶ ἐγενήθη εἰς ἐπάρσεις ἀποικεσιῶν μαχίμων. πόλεις ὀχυραί, καὶ οἱ ἐνοικοῦντες ἐν αὐταῖς ἠσθένησαν τῇ χειρί. ἔπτηξαν, καὶ κατῃσχύνθησαν. ἐγένοντο χόρτος ἀγροῦ, ἢ χλωρὰ βοτάνη, χλόη δωμάτων, καὶ πατήματα ἀπέναντι ἑστηκότος. καὶ τὴν καθέδραν σου καὶ τὴν ἔξοδόν σου ἔγνων, καὶ τὸν θυμόν σου, διὰ τὸ ὀργισθῆναί σε ἐπ' ἐμέ. καὶ τὸ στρῆνός σου ἀνέβη ἐν τοῖς ὠσί μου. καὶ θήσω τὰ ἄγκιστρά μου ἐν τοῖς μυκτῆρσί σου, καὶ χαλινὸν ἐν τοῖς χείλεσί σου. καὶ ἀποστρέψω σε ἐν τῇ ὁδῷ, ᾗ ἦλθες ἐν αὐτῇ. καὶ τοῦτό σοι τὸ σημεῖον, φάγῃ τοῦτον τὸν ἐνιαυτὸν αὐτόματα, καὶ τῷ ἔτει τῷ δευτέρῳ τὰ ἀνατέλλοντα, καὶ τῷ ἔτει τῷ τρίτῳ σπορὰ καὶ ἀμητός, καὶ φυτεία ἀμπελώνων, καὶ φάγεσθε τὸν καρπὸν αὐτῶν. καὶ προσθήσει τὸν διασεσωσμένον οἶκον οἴκου Ἰούδα, τὸ ὑπολειφθὲν ῥίζαν κάτω, καὶ ποιήσει καρπὸν ἄνω. ὅτι ἐξ Ἱερουσαλὴμ ἐξελεύσεται κατάλειμμα, καὶ ἀνασωζόμενος ἐξ ὄρους Σιών. ὁ ζῆλος κυρίου τῶν δυνάμεων ποιήσει τοῦτο. οὐχ οὕτως, τάδε λέγει κύριος πρὸς βασιλέα Ἀσσυρίων; οὐκ εἰσελεύσεται εἰς τὴν πόλιν ταύτην, λέγει κύριος. καὶ οὐ τοξεύσει ἐκεῖ βέλος, καὶ οὐ προφθάσει ἐπ' αὐτὴν θυρεός. καὶ οὐ μὴ ἐκχέῃ ἐπ' αὐτὴν πρόσχωμα. τῇ ὁδῷ ᾗ ἦλθεν ἐν αὐτῇ, ἀποστραφήσεται.

καὶ

καὶ εἰς τὴν πόλιν ταύτην οὐκ εἰσελεύσεται, λέγει κύριος. καὶ ὑπερασπιῶ ὑπὲρ τῆς πόλεως ταύτης τοῦ σῶσαι αὐτὴν, δι᾽ ἐμὲ, καὶ διὰ Δαβὶδ τὸν δοῦλόν μου. καὶ ἐγένετο ἕως νυκτὸς, καὶ ἐξῆλθεν ἄγγελος κυρίου, καὶ ἐπάταξεν ἐν τῇ παρεμβολῇ τῶν ἀσσυρίων, ἑκατὸν ὀγδοηκονταπέντε χιλιάδας. καὶ ὤρθρισαν τὸ πρωῒ, καὶ ἰδοὺ, πάντες σώματα νεκρά. καὶ ἀπῆρε, καὶ ἀπέστρεψε. καὶ ἐπορεύθη σενναχηρεὶμ βασιλεὺς ἀσσυρίων, καὶ ᾤκησεν ἐν νινευῇ. καὶ ἐγένετο αὐτοῦ προσκυνοῦντος ἐν οἴκῳ μεσεράχ τοῦ θεοῦ αὐτοῦ, καὶ ἀδραμέλεχ καὶ σαρασὰρ, υἱοὶ αὐτοῦ ἐπάταξαν αὐτὸν ἐν μαχαίρᾳ, καὶ ἐσώθησαν εἰς γῆν ἀραράτ, καὶ ἐβασίλευσεν ἀσορδὰν υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ.

Ἐν ταῖς ἡμέραις ἐκείναις ἠῤῥώστησεν ἐζεκίας εἰς θάνατον. καὶ εἰσῆλθε πρὸς αὐτὸν ἡσαΐας υἱὸς ἀμὼς ὁ προφήτης, καὶ εἶπε πρὸς αὐτὸν, τάδε λέγει κύριος. ἔντειλαι τῷ οἴκῳ σου, ὅτι ἀποθνήσκεις σὺ, καὶ οὐ ζήσῃ. καὶ ἀπέστρεψεν ἐζεκίας τὸ πρόσωπον αὐτοῦ πρὸς τὸν τοῖχον, καὶ ηὔξατο πρὸς κύριον, λέγων, κύριε μνήσθητί μου δὴ, ὅσα περιεπάτησα ἐνώπιόν σου, ἐν ἀληθείᾳ καὶ ἐν καρδίᾳ πλήρει, καὶ τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς σου ἐποίησα. καὶ ἔκλαυσεν ἐζεκίας κλαυθμῷ μεγάλῳ. καὶ ἦν ἡσαΐας ἐν τῇ αὐλῇ τῇ μέσῃ, καὶ

ῥῆμα

Et in ciuitatem hanc non ingredietur, dicit dominus. Et propugnabo pro ciuitate hac, ut saluem eam, propter me, & propter Dauid seruū meum. Et factum est usq; ad noctē, & egressus est angelus domini, & percussit in castris Assyriorum centum octoginta quinq; millia. Et surrexerunt mane, & ecce, omnes corpora mortua. Et abscessit, & reuersus est. Et profectus est Sennacherim rex Assyriorum, et habitauit in Niniue. Et factum est, cum ipse adoraret in domo Meserach dei sui, Adramelech & Sarasar, filii sui percusserunt eum in gladio, & ipsi saluati sunt in terram Ararat, & regnauit Asordan filius eius pro eo. Eccl.48

In diebus illis ægrotauit Ezecias ad mortem. Et ingressus est ad eum Hesaias filius Amos, uates, & dixit ad eum, Hæc dicit dominus. Præcipe domui tuæ, quia moreris tu, et nō uiues. Et auertit Ezecias faciem suam ad parietem, & orauit ad dominum, dicens, Domine memento mei iam, quomodo ambulaui coram te, in ueritate & in corde pleno, & bonum in oculis tuis feci. Et fleuit Ezecias fletu magno. Et erat Hesaias in aula media, & Cap.XX 2.Par.32 Esa.38

uer-

uerbum dom ni factū est ad eum, dicens, Reuertere, & dices ad Ezeciam, ducem populi mei, Hæc dicit dominus, deus Dauid patris tui. Audiui orationem tuam, & uidi lacrymas fusas. Ecce, ego sanabo tē, & in die tertia ascendes in domum domini. Et apponam ad annos tuos, quindecim annos. Et è manu regis Assyriorum liberabo te & ciuitatem hanc. Et propugnabo pro ciuitate hac propter me, & propter Dauid seruum meum. Et dixit, Capiant massam ficorum, & imponant super hulcus, & sanus erit. Et dixit Ezecias ad Hesaiam, quod signum, quod sanabit me dominus, & ascendam in domum domini die tertia? Et dixit Hesaias, Hoc signum à domino, quod faciet dominus sermonem, quem locutus est. Ibit umbra decem gradus, cum reuertatur decē gradus. Et dixit Ezecias, Leue, umbram inclinare decem gradus, non, sed reuertatur umbra decē gradus in ea quæ retro. Et clamauit Hesaias propheta ad dñm, & reuersa est umbra in numeris in ea quæ retro. In tēpore illo dimisit Marodach Baladā filius Baladan rex Babylonis libellos

ῥῆμα κυρίου ἐγένετο πρὸς αὐτὸν, λέγον, ἐπίστρεψον, καὶ ἐρεῖς πρὸς ἐζεκίαν, τὸν ἡγούμενον τοῦ λαοῦ μου, τάδε λέγει κύριος, ὁ θεὸς δαβὶδ τοῦ πατρός σου. ἤκουσα τῆς προσευχῆς σου, καὶ εἶδον τὰ δάκρυά σου. ἰδοὺ, ἐγὼ ἰάσομαί σε, καὶ ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ ἀναβήσῃ εἰς οἶκον κυρίου. καὶ προσθήσω ἐπὶ τὰ ἔτη σου πεντεκαίδεκα ἔτη. καὶ ἐκ χειρὸς βασιλέως ἀσσυρίων σώσω σε, καὶ τὴν πόλιν ταύτην. καὶ ὑπερασπιῶ ὑπὲρ τῆς πόλεως ταύτης δι' ἐμὲ, καὶ διὰ δαβὶδ τὸν δοῦλόν μου. καὶ εἶπε, λαβέτωσαν παλάθην σύκων, καὶ ἐπιθέτωσαν ἐπὶ τὸ ἕλκος καὶ ὑγιάσει. καὶ εἶπεν ἐζεκίας πρὸς ἠσαΐαν, τί τὸ σημεῖον, ὅτι ἰάσεταί με κύριος, καὶ ἀναβήσομαι εἰς οἶκον κυρίου τῇ ἡμέρᾳ τῇ τρίτῃ; καὶ εἶπεν ἠσαΐας, τοῦτο τὸ σημεῖον παρὰ κυρίου, ὅτι ποιήσει κύριος τὸν λόγον, ὃν ἐλάλησε. πορεύσεται ἡ σκιὰ δέκα ἀναβαθμοὺς, ἐὰν ἐπιστραφῇ δέκα ἀναβαθμούς. καὶ εἶπεν ἐζεκίας, κοῦφον, τὴν σκιὰν κλῖναι δέκα ἀναβαθμοὺς, οὐχί, ἀλλ' ἐπιστραφήτω ἡ σκιὰ δέκα ἀναβαθμοὺς εἰς τὰ ὀπίσω. καὶ ἐβόησεν ἠσαΐας ὁ προφήτης πρὸς κύριον, καὶ ἐπέστρεψεν ἡ σκιὰ ἐν τοῖς ἀριθμοῖς εἰς τὰ ὀπίσω, δέκα ἀναβαθμούς. ἐν τῷ καιρῷ ἐκείνῳ ἀπέστειλε μαρωδὰχ βαλαδὰν υἱὸς βαλαδὰν, βασιλεὺς βαβυλῶνος, βιβλία

βιβλία καὶ μαναὰ πρὸς ἐζεκίαν, ὅτι ἤκουσεν, ὅτι ἠῤῥώστησεν ἐζεκίας. καὶ ἐχάρη ἐπ' αὐτοῖς ἐζεκίας, καὶ ἔδειξεν αὐτοῖς ὅλον τὸν οἶκον τοῦ νεχωθὰ, τὸ ἀργύριον καὶ τὸ χρυσίον, τὰ ἀρώματα καὶ τὸ ἔλαιον τὸ ἀγαθόν· καὶ τὸν οἶκον τῶν σκευῶν, καὶ ὅσα εὑρέθη ἐν τοῖς θησαυροῖς αὐτοῦ. οὐκ ἦν τόπος, ὃν οὐκ ἔδειξεν αὐτοῖς ἐζεκίας ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ἐν πάσῃ τῇ ἐξουσίᾳ αὐτοῦ. καὶ εἰσῆλθεν ἠσαΐας ὁ προφήτης πρὸς τὸν βασιλέα ἐζεκίαν, καὶ εἶπε πρὸς αὐτὸν, τί ἐλάλησαν οἱ ἄνδρες οὗτοι, καὶ πόθεν ἥκασι πρός σε; καὶ εἶπεν ἐζεκίας, ἐκ γῆς πόῤῥωθεν ἥκασι πρός με, ἐκ βαβυλῶνος. καὶ εἶπε, τί εἶδον ἐν τῷ οἴκῳ σου; καὶ εἶπεν ἐζεκίας, πάντα ὅσα ἐν τῷ οἴκῳ μου εἶδον, οὐκ ἦν ἐν τῷ οἴκῳ μου, ὃ οὐκ ἔδειξα αὐτοῖς, ἀλλὰ καὶ τὰ ἐν τοῖς θησαυροῖς μου εἶδον. καὶ εἶπεν ἠσαΐας πρὸς ἐζεκίαν, ἄκουσον λόγον κυρίου. ἰδοὺ ἡμέραι ἔρχονται, φησὶ κύριος, καὶ ληφθήσεται πάντα τὰ ἐν τῷ οἴκῳ σου, καὶ ὅσα ἐθησαύρισαν οἱ πατέρες σου, ἕως τῆς ἡμέρας ταύτης, εἰς βαβυλῶνα εἰσελεύσεται. καὶ οὐκ ὑπολειφθήσεται ῥῆμα, ὃ εἶπε κύριος. καὶ οἱ υἱοί σου, οἳ ἐξελεύσονται ἐκ σοῦ, οὓς γεννήσεις, ληφθήσονται, καὶ ἔσονται εὐνοῦχοι ἐν τῷ οἴκῳ τοῦ βασιλέως βαβυλῶνος. καὶ εἶπεν ἐζεκίας πρὸς ἠσαΐαν, ἀγαθὸς ὁ λόγος κυρίου, ὃν ἐλάλησε. ἔστω εἰρήνη ἐν ταῖς ἡμέραις μου. καὶ τὰ λοιπὰ

libellos & mama ad Ezeciam, quod audiuit, quod ægrotauit Ezecias. Et lætatus est in eis Ezecias, & ostendit eis totam domū nechotha, & argentum & aurum, aromata & oleum bonum, & domum uasorum, & quæcunq; inuēta sunt in thesauris eius. Non erat locus, quē non ostēdit eis Ezecias in domo sua, & in omni substātia eius. Et ingressus est Hesaias propheta ad regem Ezeciam, et dixit ei, Quid locuti sunt uiri isti, & unde uenerunt ad te? Et dixit Ezecias, E terra longè uenerunt ad me, ex Babylone. Et dixit Hesaias, Quid uiderunt in domo tua? Et dixit Ezecias, Omnia quæcunque in domo mea uiderunt. Non fuit in domo mea, quod non ostendi eis, sed et quę in thesauris meis uiderūt. Et dixit Hesaias ad Ezeciā, Audi sermonē dñi. Ecce, dies ueniūt, dicit dñs, & capiētur omnia, quę in domo tua, & quæcūq; reposuerūt patres tui, usq; in diē hanc, in Babylonē ingredietur. Et nō relinquetur uerbū, quod dixit dñs. Et filii tui, qui egredientur ex te, quos generabis, capiētur, et erūt eunuchi in domo regis Babylōis. Et dixit Ezecias ad Hesaiā, Bonus sermo dñi, quē locutus est sit pax in dieb. meis. Et reli-

reliqua sermonum Ezeciæ & omnis potentia, & quæcunque fecit, fontem & aquæ ductum, & introduxit aquam in ciuitatem, nonne hæc scripta sunt in libro sermonum dierum regibus Iuda? Et dormiuit Ezecias cum patribus suis, & sepultus est in ciuitate Dauid, & regnauit Manasses filius eius pro eo.

Cap.XXI 2.Par.33 Filius duodecim annorum Manasses, cum regnaret ipse, & quinquaginta & quinque annos regnauit in Hierusalem. Et nomen matri eius Ophobia. Et fecit malum in oculis domini, & profectus est iuxta fastidia gentium, quas euertit dominus à conspectu filiorum Israel. Et reuersus est, & ædificauit excelsa, quæ dissipauit Ezecias pater eius. Et erexit altare Baal, & fecit lucos, sicut fecit Achaab rex Israel. Et adorauit omnem potentiam cœli, & seruiuit eis. Et ædificauit altare in domo domini, ut dixit dominus, In Hierusalem ponam nomē meum. Et ædificauit altare omni potentiæ cœli, in duobus atriis domus domini. Et traduxit filios suos in igne. Et sortitus est, & auguratus est. Et fecit uoluntariam, & coniecto-

λοιπὰ τῶν λόγων ἐζεκίου, καὶ πᾶσα ἡ δυναστεία αὐτοῦ, καὶ ὅσα ἐποίησε, τὴν κρήνην καὶ τὸν ὑδραγωγὸν, καὶ εἰσήγαγε τὸ ὕδωρ εἰς τὴν πόλιν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν ἰούδα; καὶ ἐκοιμήθη ἐζεκίας μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐτάφη ἐν πόλει δαβὶδ, καὶ ἐβασίλευσε μανασσῆς υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

Υἱὸς δώδεκα ἐτῶν μανασσῆς ἐν τῷ βασιλεύειν αὐτὸν, καὶ πεντήκοντα καὶ πέντε ἔτη ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ ὀφοβία. καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου, καὶ ἐπορεύθη κατὰ τὰ βδελύγματα τῶν ἐθνῶν, ὧν ἐξῆρε κύριος ἀπὸ προσώπου τῶν υἱῶν ἰσραήλ. καὶ ἐπέστρεψε, καὶ ᾠκοδόμησε τὰ ὑψηλὰ, ἃ κατέσπασεν ἐζεκίας ὁ πατὴρ αὐτοῦ. καὶ ἀνέστησε θυσιαστήριον τῇ βάαλ. καὶ ἐποίησε τὰ ἄλση, καθὼς ἐποίησεν ἀχαὰβ βασιλεὺς ἰσραήλ. καὶ προσεκύνησε πάσῃ τῇ δυνάμει τοῦ οὐρανοῦ, καὶ ἐδούλευσεν αὐτοῖς. καὶ ᾠκοδόμησε θυσιαστήριον ἐν οἴκῳ κυρίου, ὡς εἶπε κύριος, ἐν ἱερουσαλὴμ θήσω τὸ ὄνομά μου. καὶ ᾠκοδόμησε θυσιαστήριον πάσῃ τῇ δυνάμει τοῦ οὐρανοῦ, ἐν ταῖς δυσὶν αὐλαῖς οἴκου κυρίου. καὶ διῆγε τοὺς υἱοὺς αὐτοῦ ἐν πυρί. καὶ ἐκληδονίζετο, καὶ οἰωνίζετο. καὶ ἐποίησε θελητὴν, καὶ γνώ-

στας

ὗσε ἐπλήθυνε τοῦ ποιῆσαι τὸ πονη-
ρὸν ἐν ὀφθαλμοῖς κυρίου, παροργίσαι
αὐτόν. καὶ ἔθηκε τὸ γλυπτὸν τοῦ ἄλσους
ἐν τῷ οἴκῳ, ᾧ εἶπε κύριος πρὸς δα-
βὶδ καὶ πρὸς σολομῶντα τὸν υἱὸν αὐ-
τοῦ, ἐν τῷ οἴκῳ τούτῳ, καὶ ἐν ἱερουσα-
λὴμ, ἣ ἐξελεξάμην ἐκ πασῶν φυ-
λῶν τοῦ ἰσραὴλ, καὶ θήσω τὸ ὄνομά
μου ἐκεῖ εἰς τὸν αἰῶνα. καὶ οὐ προσθή-
σω τοῦ σαλεῦσαι τὸν πόδα ἰσραὴλ ἀ-
πὸ τῆς γῆς, ἧς ἔδωκα τοῖς πατράσιν
αὐτῶν, οἵτινες φυλάξουσι πάντα,
ὅσα ἐνετειλάμην, κατὰ πᾶσαν τὴν
ἐντολὴν, ἣν ἐνετείλατο αὐτοῖς ὁ δοῦ-
λός μου μωϋσῆς. καὶ οὐκ ἤκουσαν,
καὶ ἐπλάνησεν αὐτοὺς μανασσῆς τοῦ
ποιῆσαι τὸ πονηρὸν ἐν ὀφθαλμοῖς
κυρίου, ὑπὲρ τὰ ἔθνη, ἃ ἠφάνισε
κύριος ἐκ προσώπου υἱῶν ἰσραήλ.
καὶ ἐλάλησε κύριος ἐν χειρὶ τῶν
δούλων αὐτοῦ τῶν προφητῶν, λέ-
γων, ἀνθ' ὧν ὅσα ἐποίησε μανασ-
σῆς βασιλεὺς ἰούδα τὰ βδελύγμα-
τα ταῦτα τὰ πονηρὰ ἀπὸ πάντων,
ὧν ἐποίησεν ὁ ἀμορραῖος ὁ ἔμπρο-
σθεν, καὶ ἐξήγαγε τὸν ἰούδαν ἐν τοῖς
εἰδώλοις αὐτῶν, οὐχ οὕτως, τάδε λέγει
κύριος ὁ θεὸς ἰσραήλ; ἰδοὺ, ἐγὼ φέ-
ρω κακὰ ἐπὶ ἱερουσαλὴμ καὶ ἰούδαν,
ἕως τοῦ παντὸς ἀκούοντος ἠχήσει
ἀμφότερα τὰ ὦτα αὐτοῦ. καὶ ἐκτε-
νῶ ἐπὶ ἱερουσαλὴμ τὸ μέτρον σαμα-
ρείας, καὶ τὸ στάθμιον οἴκου ἀχα-
άβ. καὶ ἀπαλείψω τὴν ἱερουσα-
λὴμ,

ctores multiplicauit, ut fa-
ceret malum in oculis do-
mini, ut irritaret eum. Et
posuit sculptum luci in do-
mo, quam dixit dominus
ad Dauid & ad Solomo-
nem filium eius, In domo
hac & in Hierusalē, quam
elegi omnibus tribubus Is-
rael, & ponam nomen me-
um ibi in seculum. Et non
addam commouere pedē
Israel à terra, quam dedi
patribus suis, quicunque cu-
stodient omnia, quæcun-
que præcepi, iuxta omne
præceptum, quod præce-
pit eis seruus meus Moy-
ses. Et non audierunt, &
seduxit eos Manasses, ut
facerent malum in oculis
domini, super gentes, quas
deleuit dominus à conspe-
ctu filiorum Israel. Et lo-
quutus est dominus in ma-
nu seruorum suorum pro-
phetarum, dicens: Pro-
pterea quæcūque fecit Ma-
nasses rex Iuda fastidia
hęc mala ex omnibus, quę-
cunque fecit Amorrhæus
qui antè, & eduxit Iudā
in simulacris eorum, non
sic, hæc dicit dominus de-
us Israel? Ecce, ego fero
mala super Hierusalem, et
Iudam, donec omnis audi-
entis sonabunt ambæ au-
res eius. Et extendam su-
per Hierusalē mensurā Sa-
mariæ, & pōdus dom⁹ A-
chaab. Et delebo Hierusa-
C lem,

lem, sicut deletur alabaster deletus, & conuertitur à conspectu eius. Et amouebo reliquias hæreditatis meæ, & tradam eos in manus inimicorum suorum, & erunt in direptionem, & prædam omnibus inimicis suis, propterea quod fecerunt malum in oculis meis, & fuerunt irritantes à die, qua eduxi patres eorum ex Aegypto, & usque ad diem hanc. Et sanè sanguinem innoxium effudit Manasses multum ualde, quousque impleuit Hierusalem, os in os, præter peccata eius, quibus peccare fecit Iuda, ut faceret malum in oculis domini. Et reliqua sermonum Manasses, & omnia quæcunque fecit, & peccatum eius, quod peccauit, nonne hæc scripta sunt in libro sermonũ dierum regibus Iuda? Et dormiuit Manasses cum patribus suis, & sepultus est in horto domus suæ, in horto Oza, & regnauit Amos filius eius pro eo. Filius uiginti & duorum annorum Amos cum regnaret ipse, & duos annos regnauit in Hierusalem. Et nomen matri eius Messolaam filia Arus ex Iteba. Et fecit malũ in oculis dñi, sicut fecit Manasses pater ei⁹. Et ambulauit in omni

λὴμ, καθὼς ἀπαλείφεται ὁ ἀλάβαστρος ὁ ἀπαλειφόμενος, καὶ καταστρέφεται ἀπὸ προσώπου αὐτοῦ. καὶ ἀπώσομαι τὸ ὑπόλειμμα τῆς κληρονομίας μου, καὶ παραδώσω αὐτοὺς εἰς χεῖρας ἐχθρῶν αὐτῶν, καὶ ἔσονται εἰς διαρπαγὴν καὶ προνομὴν πᾶσι τοῖς ἐχθροῖς αὐτῶν, ἀνθ' ὧν ὅτι ἐποίησαν τὸ πονηρὸν ἐν ὀφθαλμοῖς μου, καὶ ἦσαν παροργίζοντές με ἀπὸ τῆς ἡμέρας, ἧς ἐξήγαγον τοὺς πατέρας αὐτῶν ἐξ αἰγύπτου, καὶ ἕως τῆς ἡμέρας ταύτης. καίγε αἷμα ἀθῶον ἐξέχει μανασσῆς πολὺ σφόδρα, ἕως οὗ ἔπλησε τὴν ἱερουσαλὴμ, στόμα εἰς στόμα, πλὴν τῶν ἁμαρτιῶν αὐτοῦ, ὧν ἐξήμαρτε τὸν ἰούδα, τοῦ ποιῆσαι τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου. καὶ τὰ λοιπὰ τῶν λόγων μανασσῆς, καὶ πάντα ὅσα ἐποίησε, καὶ ἡ ἁμαρτία αὐτοῦ, ἣν ἥμαρτεν, οὐχὶ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν ἰούδα; καὶ ἐκοιμήθη μανασσῆς μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐτάφη ἐν τῷ κήπῳ τοῦ οἴκου αὐτοῦ, ἐν κήπῳ ὀζὰ, καὶ ἐβασίλευσεν ἀμὼς υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. υἱὸς εἴκοσι καὶ δύο ἐτῶν ἀμὼς ἐν τῷ βασιλεύειν αὐτὸν, καὶ δύο ἔτη ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ μεσολλὰμ, θυγάτηρ ἀροὺς ἐξ ἰετεβά. καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου, καθὼς ἐποίησε μανασσῆς ὁ πατὴρ αὐτοῦ. καὶ ἐπορεύθη ἐν πάσῃ

πάσῃ ὁδῷ, ᾗ ἐπορεύθη ὁ πατὴρ αὐτοῦ, καὶ ἐλάτρευσε τοῖς εἰδώλοις, οἷς ἐλάτρευσεν ὁ πατὴρ αὐτοῦ, καὶ προσεκύνησεν αὐτοῖς, καὶ ἐγκατέλιπε τὸν κύριον, θεὸν τῶν πατέρων αὐτοῦ, καὶ οὐκ ἐπορεύθη ἐν ὁδῷ κυρίου. καὶ συνεστράφησαν οἱ παῖδες ἀμὼς πρὸς αὐτὸν, καὶ ἐθανάτωσαν τὸν βασιλέα ἐν τῷ οἴκῳ αὐτοῦ. καὶ ἐπάταξε πᾶς ὁ λαὸς τῆς γῆς τοὺς συστραφέντας ἐπὶ τὸν βασιλέα ἀμώς. καὶ ἐβασίλευσεν ὁ λαὸς τῆς γῆς τὸν ἰωσίαν υἱὸν αὐτοῦ ἀντ' αὐτοῦ. καὶ τὰ λοιπὰ τῶν λόγων ἀμὼς, ὅσα ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν ἰούδα; καὶ ἔθαψαν αὐτὸν ἐν τῷ τάφῳ αὐτοῦ, ἐν τῷ κήπῳ ὀζᾶ, καὶ ἐβασίλευσεν ἰωσίας υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

Υἱὸς ὀκτὼ ἐτῶν ἰωσίας ἐν τῷ βασιλεύειν αὐτὸν, καὶ τριάκοντα καὶ ἓν ἔτος ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ ἰεδιδία, θυγάτηρ ἐδεϊὰ ἐκ βασουρώθ. καὶ ἐποίησε τὸ εὐθὲς ἐν ὀφθαλμοῖς κυρίου. καὶ ἐπορεύθη ἐν πάσῃ ὁδῷ δαβὶδ τοῦ πατρὸς αὐτοῦ, οὐκ ἀπέστη δεξιὰ, οὐδὲ ἀριστερά. καὶ ἐγενήθη ἐν τῷ ὀκτωκαιδεκάτῳ ἔτει τῷ βασιλεῖ ἰωσίᾳ, ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ, ἀπέστειλεν ὁ βασιλεὺς τὸν σαπφὰν υἱὸν ἐσελίου, υἱὸν μεσσολὰμ, τὸν γραμματέα οἴκου κυρίου, λέγων, ἀνάβηθι πρὸς χελκίαν

τὸν

omni uia, qua ambulauit pater eius. Et seruiuit simulacris, quibus seruiuit pater eius, & adorauit ea. Et dereliquit dominū, deum patrum suorum, & nō ambulauit in uia domini. Et conuersi sunt serui Amos contra eum, & interfecerunt regem in domo sua. Et percussit omnis populus terræ eos, qui conuersi sunt in regē Amos. Et regem constituit populus terræ Iosiam filium eius pro eo. Et reliqua sermonum Amos, quæcunque fecit, nonne hæc scripta sunt in libro sermonū dierum regibus Iuda? Et sepelierunt Amos in sepulchro suo, in horto Oza, & regnauit Iosias filius eius pro eo.

Cap. XXII

Filius octo annorum Iosias, cum regnaret ipse, & triginta & unum annum regnauit in Hierusalem. Et nomen matri eius Iethdia, filia Bdeia ex Basuroth. Et fecit rectum in oculis domini, & ambulauit in omni uia Dauid patris sui, non discessit ad dexteram neq; ad sinistram. Et factum est in decimooctauo anno regi Iosiæ, in mense septimo, ablegauit rex Sapphan filium Eseliæ filii Mossolam, scribam domus domini, dicens, Ascende ad Chelciā

sacer-

sacerdotem magnum, & signa argentum illatum in domum domini, quod intulerunt custodientes limē à populo, et dent id in manum facientium opera, cōstitutorum in domo domini. Et dedit facientibus opera in domo domini, ut sustineant bedec domus, fabris & ædificatoribus & cæmentariis ut possideant ligna, & lapides excisos, ut roborent bedec domus. Sed non æstimabāt eos argentum datum eis, qa in fide ipsi faciūt. Et dixit Chelcias sacerdos magnus ad Sapphan scribā, Librum legis reperi in domo domini. Et dedit Chelcias Sapphan uolumen, & legit illud, & intulit ad regem Iosian. Et reddidit regi sermonem, & dixit, Conflauerunt serui tui argentum inuentum in domo domini, & dederunt in manum facientium opera constitutorum in domo domini. Et dixit Sapphan scriba ad regem, dicens, Librum legis dedit mihi Chelcias sacerdos, & legit eum Sapphan coram rege. Et factū est, ut audiuit rex sermones libri legis, disrupit uestimēta sua. Et pręcepit rex

τὸν ἱερέα τὸν μέγαν, καὶ σφράγισον τὸ ἀργύριον τὸ εἰσενεχθὲν εἰς οἶκον κυρίου, ὃ εἰσήγαγον οἱ φυλάσσοντες τὸν σταθμὸν παρὰ τοῦ λαοῦ, καὶ δότωσαν αὐτὸ ἐπὶ χεῖρα ποιούντων τὰ ἔργα, τῶν καθεστηκότων ἐν οἴκῳ κυρίου. καὶ ἔδωκεν αὐτὸ τοῖς ποιοῦσι τὰ ἔργα ἐν οἴκῳ κυρίου, τοῦ κατισχῦσαι τὸ βέδεκ τοῦ οἴκου, τοῖς τέκτοσι καὶ τοῖς οἰκοδόμοις καὶ τοῖς τειχισταῖς, καὶ τοῦ κτήσασθαι ξύλα καὶ λίθους λατομητοὺς, τοῦ κραταιῶσαι τὸ βέδεκ τοῦ οἴκου. πλὴν οὐκ ἐξελογίζοντο αὐτοὺς τὸ ἀργύριον τὸ διδόμενον αὐτοῖς, ὅτι ἐν πίστει αὐτοὶ ποιοῦσι. καὶ εἶπε χελκίας ὁ ἱερεὺς ὁ μέγας πρὸς σαπφὰν τὸν γραμματέα, βιβλίον τοῦ νόμου εὗρον ἐν οἴκῳ κυρίου. καὶ ἔδωκε χελκίας τῷ σαπφὰν τὸ βιβλίον, καὶ ἀνέγνω αὐτὸ, καὶ εἰσήνεγκε πρὸς τὸν βασιλέα ἰωσίαν. καὶ ἐπέστρεψε τῷ βασιλεῖ λόγον, καὶ εἶπεν, ἐχώνευσαν οἱ δοῦλοί σου τὸ ἀργύριον τὸ εὑρεθὲν ἐν οἴκῳ κυρίου, καὶ ἔδωκαν αὐτὸ ἐπὶ χεῖρα ποιούντων τὰ ἔργα, τῶν καθεσταμένων ἐν οἴκῳ κυρίου. καὶ εἶπε σαπφὰν ὁ γραμματεὺς πρὸς τὸν βασιλέα, λέγων, βιβλίον νόμου ἔδωκέ μοι χελκίας ὁ ἱερεὺς, καὶ ἀνέγνω αὐτὸ σαπφὰν ἐνώπιον τοῦ βασιλέως. καὶ ἐγένετο, ὡς ἤκουσεν ὁ βασιλεὺς τοὺς λόγους τοῦ βιβλίου τοῦ νόμου, καὶ διέρρηξε τὰ ἱμάτια αὐτοῦ, καὶ ἐνετείλατο ὁ βασι-

βασιλεὺς τῷ χελκίᾳ τῷ ἱερεῖ, καὶ τῷ
ἀχικὰμ υἱῷ σαπφὰν, καὶ τῷ ἀχοβὼρ
υἱῷ μιχαίου, καὶ τῷ σαπφὰν τῷ γραμ-
ματεῖ, καὶ τῷ ἀσαίᾳ δούλῳ τοῦ βασι-
λέως, λέγων, δεῦτε, ἐκζητήσατε τὸν
κύριον περὶ ἐμοῦ, καὶ περὶ παντὸς
τοῦ λαοῦ μου, καὶ περὶ παντὸς τοῦ ἰούδα,
περὶ τῶν λόγων τοῦ βιβλίου τοῦ εὑρε-
θέντος τούτου. ὅτι μεγάλη ἡ ὀργὴ κυ-
ρίου ἐκκεκαυμένη ἐν ἡμῖν, ὑπὲρ οὗ
οὐκ ἤκουσαν οἱ πατέρες ἡμῶν τῶν
λόγων τοῦ βιβλίου τούτου, τοῦ ποιεῖν
κατὰ πάντα τὰ γεγραμμένα καθ'
ἡμῶν. καὶ ἐπορεύθη χελκίας ὁ ἱε-
ρεὺς, καὶ ἀχικὰμ καὶ ἀχοβὼρ, καὶ σαπ-
φὰν καὶ ἀσαίας πρὸς ὄλδαν τὴν προ-
φῆτιν, γυναῖκα σελλὴμ υἱοῦ θεκουὲ,
υἱοῦ ἀρασοῦ ἱματιοφύλακος, καὶ αὐτὴ
κατῴκει ἐν ἱερουσαλὴμ, ἐν τῇ μα-
σενεῖ, καὶ ἐλάλησαν πρὸς αὐτὴν κα-
τὰ ταῦτα. καὶ εἶπεν αὐτοῖς, τάδε λέ-
γει κύριος ὁ θεὸς ἰσραὴλ, εἴπατε τῷ
ἀνδρὶ τῷ ἀποστείλαντι ὑμᾶς πρός
με, τάδε λέγει κύριος, ἰδοὺ, ἐγὼ ἐπά-
γω κακὰ ἐπὶ τὸν τόπον τοῦτον, καὶ ἐπὶ
τοὺς ἐνοικοῦντας αὐτοῦ ἅπαντας, τοὺς
λόγους τοῦ βιβλίου, οὓς ἀνέγνω ὁ βασι-
λεὺς ἰούδα, ἀνθ' ὧν ἐγκατέλιπόν με,
καὶ ἐθυμίων θεοῖς ἑτέροις, ὅπως πα-
ροργίσωσί με ἐν τοῖς ἔργοις τῶν χειρῶν
αὐτῶν. καὶ ἐκκαυθήσεται ὁ θυμός μου ἐν τῷ
τόπῳ τούτῳ, καὶ οὐ σβεσθήσεται. καὶ
πρὸς βασιλέα ἰούδα, τὸν ἀποστείλαν-
τα ὑμᾶς ἐκζητῆσαι τὸν κύριον, τάδε

ἐρεῖτε

rex Chelciæ sacerdoti, et
Achicam filio Sapphan,
& Achobor filio Mi-
chææ, & Sapphan scri-
bæ, & Asaiæ seruo regis,
dicens, Ite, exquirite do-
minum de me, & de om-
ni populo meo, & de om-
ni Iuda, de sermonibus li-
bri inuenti istius. Quia
magna ira domini efflagrans in nobis, propter
quod non audierunt pa-
tres nostri sermones libri
huius, ut facerent iuxta o-
mnia scripta de nobis. Et
iuit Chelcias sacerdos, &
Achicam & Achobor,
& Sapphan & Asaias ad
Oldan uatem, uxorem
Sellem filii Thecue, filii
Arasti custodis uestium,
& ipsa habitabat in Hie-
rusalem in Masenne, &
loquuti sunt ad eam, iuxta
hæc. Et dixit eis, Hæc di-
cit dominus deus Israel.
Dicite uiro ableganti uos
ad me, Hæc dicit domi-
nus. Ecce, ego induco ma
la in locum hunc, & in in
habitantes eum omnes, ser
mones libri, quos legit
rex Iuda, propterea quod
dereliquerunt me, & ado
leuerunt diis aliis, ut ad i-
ram incitarent me in oper-
ribus manuum suarum. Et
efflagrabit ira mea in lo-
co isto, & non extinguetur. Et ad regem Iuda, ab-
legantem uos ad exqui-
rendum Dominum, hæc

 dicite

dicite ad eum, Hæc dicit dominus deus Israel. Sermones, quos audiuisti, propterea quod territum est cor tuum, & immutatus es à conspectu meo, ut audisti, quæcunque locutus sum contra locum istum, & contra inhabitātes eum, ut sint in interitum & in execrationem, & disrupisti uestimenta tua, & fleuisti coram me, etiam ego audiui, dicit dominus. Non sic, ego appono te ad patres tuos, & colligeris in sepulchrum tuum in pace? Et non uidebitur in oculis tuis, in omnibus malis, quæ ego induco super locum istum & super inhabitātes eum. Et retulerunt regi uerbū. Et dimisit rex, & congregauit ad eum omnes seniores Iuda & Hierusalem.

Et ascendit rex in domū domini, & omnis uir Iuda, et omnes inhabitantes in Hierusalem cum eo, & sacerdotes & uates, & omnis populus, à paruo & usque ad magnum. Et legit in auribus eorum omnes sermones libri fœderis, inuenti in domo domini. Et stetit rex ad columnā, & pepigit pactum coram domino, ut ambularent post dominum, et ut custodirent mandata eius, & testimonia eius, & decreta eius in toto corde, & in

tota

ἐρεῖτε πρὸς αὐτόν, τάδε λέγει κύριος ὁ θεὸς Ἰσραήλ. οἱ λόγοι, οὓς ἤκουσας, ἀνθ' ὧν ὅτι ἡπαλύνθη ἡ καρδία σου, καὶ ἐνετράπης ἀπὸ προσώπου μου, ὡς ἤκουσας, ὅσα ἐλάλησα ἐπὶ τὸν τόπον τοῦτον, καὶ ἐπὶ τοὺς ἐνοικοῦντας αὐτόν, τοῦ εἶναι εἰς ἀφανισμὸν καὶ εἰς κατάραν, καὶ διέρρηξας τὰ ἱμάτιά σου, καὶ ἔκλαυσας ἐνώπιόν μου, καί γε ἐγὼ ἤκουσα, λέγει κύριος. οὐχὶ οὕτως, ἐγὼ προστίθημί σε πρὸς τοὺς πατέρας σου, καὶ συναχθήσῃ εἰς τὸν τάφον σου ἐν εἰρήνῃ; καὶ οὐκ ὀφθήσεται ἐν τοῖς ὀφθαλμοῖς σου, ἐν πᾶσι τοῖς κακοῖς, οἷς ἐγώ εἰμι ἐπάγων ἐπὶ τὸν τόπον τοῦτον, καὶ ἐπὶ τοὺς κατοικοῦντας αὐτόν. καὶ ἐπέστρεψαν τῷ βασιλεῖ τὸ ῥῆμα. καὶ ἀπέστειλεν ὁ βασιλεὺς, καὶ συνήγαγε πρὸς αὐτὸν πάντας τοὺς πρεσβυτέρους Ἰούδα καὶ Ἱερουσαλήμ. καὶ ἀνέβη ὁ βασιλεὺς εἰς οἶκον κυρίου, καὶ πᾶς ἀνὴρ Ἰούδα, καὶ πάντες οἱ κατοικοῦντες ἐν Ἱερουσαλὴμ μετ' αὐτοῦ, καὶ οἱ ἱερεῖς καὶ οἱ προφῆται, καὶ πᾶς ὁ λαὸς ἀπὸ μικροῦ καὶ ἕως μεγάλου. καὶ ἀνέγνω ἐν ὠσὶν αὐτῶν πάντας τοὺς λόγους τοῦ βιβλίου τῆς διαθήκης, τοῦ εὑρεθέντος ἐν οἴκῳ κυρίου. καὶ ἀνέστη ὁ βασιλεὺς πρὸς τὸν στῦλον, καὶ διέθετο διαθήκην ἐνώπιον κυρίου, τοῦ πορεύεσθαι ὀπίσω κυρίου, καὶ τοῦ φυλάσσειν τὰς ἐντολὰς αὐτοῦ, καὶ τὰ μαρτύρια αὐτοῦ, καὶ τὰ δικαιώματα αὐτοῦ ἐν πάσῃ καρδίᾳ, καὶ ἐν

πάσῃ

πάσῃ ψυχῇ, τοῦ ἀναστῆσαι τοὺς λόγους τῆς διαθήκης ταύτης, τὰ γεγραμμένα ἐπὶ τὸ βιβλίον τοῦτο. καὶ ἔστη πᾶς ὁ λαὸς ἐν τῇ διαθήκῃ. καὶ ἐνετείλατο ὁ βασιλεὺς τῷ χελκίᾳ τῷ ἱερεῖ τῷ μεγάλῳ, καὶ τοῖς ἱερεῦσι τῆς δευτερώσεως, καὶ τοῖς φυλάσσουσι τὸν σταθμὸν, τοῦ ἐξαγαγεῖν ἐκ τοῦ ναοῦ κυρίου πάντα τὰ σκεύη τὰ πεποιημένα τῷ βάαλ καὶ ἄλσει, καὶ πάσῃ τῇ δυνάμει τοῦ οὐρανοῦ. καὶ κατέκαυσεν αὐτὰ ἔξω ἱερουσαλὴμ, ἐν σαδημὼθ κέδρων, καὶ ἔβαλε τὸν χοῦν αὐτῶν εἰς βαιθήλ. καὶ κατέκαυσε τοὺς χωμαρὶμ, οὓς ἔδωκαν βασιλεῖς ἰούδα, καὶ ἐθυμίων ἐν τοῖς ὑψηλοῖς καὶ ἐν ταῖς πόλεσιν ἰούδα, καὶ ἐν τοῖς περικύκλῳ ἱερουσαλὴμ, καὶ τοὺς θυμιῶντας καὶ τῷ ἡλίῳ καὶ τῇ σελήνῃ, καὶ τοῖς μαζουρὼθ, καὶ πάσῃ τῇ δυνάμει τοῦ οὐρανοῦ. καὶ ἐξήνεγκε τὸ ἄλσος ἐξ οἴκου κυρίου, ἔξωθεν ἱερουσαλὴμ, εἰς τὸν χειμάῤῥουν κέδρων. καὶ κατέκαυσεν αὐτὸν ἐν τῷ χειμάῤῥῳ κέδρων, καὶ ἐλέπτυνεν εἰς χοῦν, καὶ ἔῤῥιψε τὸν χοῦν αὐτοῦ εἰς τὸν τάφον τῶν υἱῶν τοῦ λαοῦ. καὶ καθεῖλε τὸν οἶκον τῶν καδησὶμ τῶν ἐν τῷ οἴκῳ κυρίου, οὗ αἱ γυναῖκες ὕφαινον ἐκεῖ χεττιὶμ τῷ ἄλσει. καὶ ἀνήνεγκε πάντας τοὺς ἱερεῖς ἐκ πόλεων ἰούδα, καὶ ἐμίανε τὰ ὑψηλὰ, οὗ ἐθυμίασαν ἐκεῖ οἱ ἱερεῖς, ἀπὸ δὰν καὶ ἕως βηρσαβεέ. καὶ καθεῖλε τὸν οἶκον τῶν πυλῶν, τῶν παρὰ τὴν θύραν τῆς

πύλης

tota anima, ut excitarent uerba fœderis huius, quæ scripta sunt in librũ istum. Et stetit omnis populus in fœdere. Et præcepit rex Chelcię sacerdoti magno, & sacerdotibus iterationis, & custodientibus limen, ut educerent è templo domini omnia uasa, facta Baal & luco, & omni potestati cœli. Et combussit ea extra Hierusalem, in Sademoth Cedron, & iecit puluerem eorum in Bęthel. Et combussit Chomarim, quos dederunt reges Iuda, & adolebant in excelsis, & in ciuitatibus Iuda, & in regionibus in circuitu Hierusalem, & adolentes & Soli & Lunæ, & Mazuroth, & omni potestati cœli. Et extulit lucũ è domo domini, extra Hierusalem, in torrentem Cedron. Et combussit eum in torrente Cedron, & cõminuit in puluerem, & iecit puluerem eius in sepulchrum filiorum populi. Et destruxit domum Cadesim, quæ in domo domini, ubi mulieres texebant ibi Chettiim luco. Et reduxit omnes sacerdotes è ciuitatibus Iuda, & temerauit excelsa, ubi adolebant ibi sacerdotes à Dan & usq; ad Bersabee. Et destruxit domũ portarũ, quę iuxta ostium

portæ

portæ Iesu principis ciuitatis, quæ à sinistris, uiri in porta ciuitatis. Sed non ascendebãt sacerdotes excelsorum ad altare domini in Hierusalem, nisi edissent azyma in medio fratrum suorum. Et temerauit Topheth quod in ualle filii Ennom, ut traduceret uir filium suum & uir filiam suam Moloch in igne. Et combussit equos, quos dederũt reges Iuda Soli, in introitu domus in Gazophylacium Nathã regis, eunuchi in Pharurim. Et currum Solis combussit in igne. Et altaria, quæ in domo cœnaculi Achaz, quæ fecerunt reges Iuda, & altaria, quæ fecit Manasses in duobus atriis domus domini, demolitus est rex, & diruit inde, & abiecit puluerem eorum in torrentem Cedron. Et domum quæ in conspectu Hierusalem, à dextris mõtis Mosthath, quam ædificauit Solomõ rex Israel Asal, fastidio Sidoniorum, & Chamos offensioni Moab, & Moloch horrori filiorum Ammon, temerauit rex. Et contriuit statuas, & succidit lucos, & impleuit loca eorum ossibus hominũ. Et sanè altare, qđ in Bethel, excelsum, qđ fecit Hieroboam

πύλης ἰησοῦ ἄρχοντος τῆς πόλεως, τῶν ἐξ ἀριστερῶν, ἀνδρὸς ἐν τῇ πύλῃ τῆς πόλεως. πλὴν οὐκ ἀνέβησαν οἱ ἱερεῖς τῶν ὑψηλῶν πρὸς τὸ θυσιαστήριον κυρίου ἐν ἱερουσαλὴμ, ὅτι εἰ μὴ φαγεῖν ἄζυμα ἐν μέσῳ τῶν ἀδελφῶν αὐτῶν. καὶ ἐμίανε τὸν τοφὲθ τὸν ἐν φάραγγι υἱοῦ ἐννὸμ, τοῦ διαγεῖν ἄνδρα τὸν υἱὸν αὐτοῦ, καὶ ἄνδρα τὴν θυγατέρα αὐτοῦ τῷ μολὸχ ἐν πυρί, καὶ κατέκαυσε τοὺς ἵππους, οὓς ἔδωκαν βασιλεῖς ἰούδα τῷ ἡλίῳ, ἐν τῇ εἰσόδῳ τοῦ οἴκου εἰς τὸ γαζοφυλάκιον ναθὰν βασιλέως, τοῦ εὐνούχου ἐν φαρουρείμ. καὶ τὸ ἅρμα τοῦ ἡλίου κατέκαυσεν ἐν πυρί. καὶ τὰ θυσιαστήρια τὰ ἐπὶ τοῦ δώματος τοῦ ὑπερῴου ἄχαζ, ἃ ἐποίησαν βασιλεῖς ἰούδα, καὶ τὰ θυσιαστήρια, ἃ ἐποίησε μανασσῆς ἐν ταῖς δυσὶν αὐλαῖς οἴκου κυρίου, καθεῖλεν ὁ βασιλεὺς, καὶ κατέσπασεν ἐκεῖθεν, καὶ ἔρριψε τὸν χοῦν αὐτῶν εἰς τὸν χειμάῤῥουν κέδρων. καὶ τὸν οἶκον τὸν ἐπὶ πρόσωπον ἱερουσαλὴμ, ἐκ δεξιῶν τοῦ ὄρους τοῦ μοσθὰθ, ὃν ᾠκοδόμησε σολομὼν βασιλεὺς ἰσραὴλ τῇ ἀσὰλ, τῷ προσοχθίσματι σιδωνίων, καὶ τῷ χαμὼς, προσοχθίσματι μωὰβ, καὶ τῷ μολὸχ βδελύγματι υἱῶν ἀμμὼν, ἐμίανεν ὁ βασιλεύς. καὶ συνέτριψε τὰς στήλας, καὶ ἐξωλέθρευσε τὰ ἄλση, καὶ ἔπλησε τοὺς τόπους αὐτῶν ὀστέων ἀνθρώπων. καί γε τὸ θυσιαστήριον τὸ ἐν βαιθὴλ, τὸ ὑψηλὸν, ὃ ἐποίησεν ἱερο-

βοὰμ υἱὸς ναβὰτ, ὃς ἐξήμαρτε τὸν ἰσραὴλ, καί γε τὸ θυσιαστήριον ἐκεῖνο καὶ τὸ ὑψηλὸν κατέσπασε, καὶ συνέτριψε τοὺς λίθους αὐτοῦ, καὶ ἐλέπτυνεν εἰς χοῦν, καὶ κατέκαυσε τὸ ἄλσος. καὶ ἐξένευσεν ἰωσίας, καὶ εἶδε τοὺς τάφους τοὺς ὄντας ἐκεῖ ἐν τῇ πόλει. καὶ ἀπέστειλε, καὶ ἔλαβε τὰ ὀστᾶ ἐκ τῶν τάφων, καὶ κατέκαυσεν ἐπὶ τὸ θυσιαστήριον, καὶ ἐμίανεν αὐτὸ, κατὰ τὸ ῥῆμα κυρίου, ὃ ἐλάλησεν ὁ ἄνθρωπος τοῦ θεοῦ, ἐν τῷ ἑστάναι ἱεροβοὰμ ἐν τῇ ἑορτῇ ἐπὶ τὸ θυσιαστήριον. καὶ ἐπιστρέψας ἦρε τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐπὶ τὸν τάφον τοῦ ἀνθρώπου τοῦ θεοῦ, τοῦ λαλήσαντος τοὺς λόγους τούτους, καὶ εἶπον, τί τὸ σκόπελον ἐκεῖνο, ὃ ἐγὼ ὁρῶ; καὶ εἶπον αὐτῷ οἱ ἄνδρες τῆς πόλεως, ὁ ἄνθρωπος τοῦ θεοῦ ἐστιν, ὁ ἐξεληλυθὼς ἐκ τοῦ ἰούδα, καὶ ἐπικαλεσάμενος τοὺς λόγους τούτους, οὓς ἐπεκαλέσατο ἐπὶ τοῦ θυσιαστηρίου βαιθήλ. καὶ εἶπεν, ἄφετε αὐτὸν, ἀνὴρ μὴ κινησάτω τὰ ὀστᾶ αὐτοῦ. καὶ εὑρέθησαν τὰ ὀστᾶ αὐτοῦ μετὰ τῶν ὀστῶν τοῦ προφήτου τοῦ ἥκοντος ἐκ σαμαρείας. καί γε εἰς πάντας τοὺς οἴκους τῶν ὑψηλῶν, τοὺς ἐν ταῖς πόλεσι σαμαρείας, οὓς ἐποίησαν βασιλεῖς ἰσραὴλ παροργίζειν κύριον, ἐπέστησεν ἰωσίας, καὶ ἐποίησεν αὐτοῖς πάντα τὰ ἔργα, ἃ ἐποίησαν ἐν βαιθήλ. καὶ ἐθυσίασε πάντας τοὺς ἱερεῖς τῶν ὑψηλῶν, τοὺς ὄντας ἐκεῖ, ἐπὶ τῶν θυσιαστη-

boam filius Nabat, qui peccare fecit Israel, & sane altare illud & excelsum destruxit, & contriuit lapides eius, & comminuit in puluerem, & combussit lucum. Et excitatus est Iosias, & uidit sepulchra, quæ erant ibi in urbe. Et ablegauit, & cepit ossa ex sepulchris, et combussit super altare, & temerauit illud iuxta uerbum domini, quod loquutus est homo dei, cum staret Hieroboam in festo super altare. Et reuersus Iosias, leuauit oculos suos super sepulchrum hominis dei, locuti sermones hos, & dixit, Quis scopulus ille, quem ego uideo? Et dixerũt ei uiri ciuitatis, Homo dei est, egressus è Iuda, & recitans sermones istos, quos recitauit in altari Bæthel. Et dixit, Dimittite eum, uir non moueat ossa eius. Et inuenta sunt ossa eius cum ossibus prophetæ, uenientis è Samaria. Et sane in omnes domos excelsorum, quæ in ciuitatibus Samariæ, quas fecerunt reges Israel, ut irritarent dominum, instituit Iosias, & fecit eis omnia opera, quæ fecerunt in Bæthel. Et mactauit omnes sacerdotes excelsorũ, qui erant ibi, super alta- 3. Reg. 13

ria eorum, & combusit
ossa hominum super ea, &
reuersus est in Hierusalē.
Et præcepit rex omni po
pulo, dicēs, Facite pascha
domino deo uestro, sicut
scriptum est in librum fœ
deris huius. Quia non fa-
ctum est pascha hoc à die
bus iudicum, qui iudicaue
runt Israel, & omnibus
diebus regum Israel, & re
gū Iuda, nisi in octauo &
decimo anno regis Iosiæ
factum est pascha domi-
no in Hierusalem. Et sanè
uoluntarios & coniecto-
res, & Theraphim & ido
la, & omnes offensiones
factas, quæ in terra Iuda
& in Hierusalem, abstulit
rex Iosias, ut statueret ser
mones legis, qui scripti
sunt in libro, quem inue-
nit Chelcias sacerdos in
domo domini. Similis nō
fuit ei ante eum rex, qui
reuersus est ad dominum
in toto corde suo, & in to
ta anima sua, & in tota
uirtute sua, iuxta omnem
legem Moysis. Et post
eum non surrexit similis
illi. Sed non auersus est do
minus ab ira furoris sui
magni, quo iratus est furo
re suo in Iuda, propter iri-
tationes, quibus iritauit
eum Manasses. Et dixit
dominus, Et sanè Iudam
amouebo à cōspectu meo
sicut amoui Israel. Et de-
pellam ciuitatem hanc,
quam

τηρίων αὐτῶν, καὶ κατέκαυσε τὰ
ὀστᾶ τῶν ἀνθρώπων ἐπ᾽ αὐτά, καὶ ἐπέ-
στρεψεν εἰς ἱερουσαλήμ. καὶ ἐνετείλατο
ὁ βασιλεὺς παντὶ τῷ λαῷ, λέγων,
ποιήσατε τὸ πάσχα τῷ κυρίῳ θεῷ ὑ-
μῶν, καθὼς γέγραπται ἐπὶ βιβλίου
τῆς διαθήκης ταύτης. ὅτι οὐκ ἐγενήθη
τὸ πάσχα τοῦτο ἀφ᾽ ἡμερῶν τῶν κρι-
τῶν, οἳ ἔκρινον τὸν ἰσραήλ, καὶ πασῶν
ἡμερῶν βασιλέων ἰσραὴλ καὶ βασιλέ-
ων ἰούδα, ὅτι ἀλλ᾽ ἢ ἐν ὀκτωκαιδεκά-
τῳ ἔτει τοῦ βασιλέως ἰωσίου ἐγενήθη
τὸ πάσχα τῷ κυρίῳ ἐν ἱερουσαλήμ.
καί γε τοὺς θελητὰς καὶ τοὺς γνώστας,
καὶ τὰ θεραφὶν καὶ τὰ εἴδωλα, καὶ πάν-
τα τὰ προσοχθίσματα γεγονότα, τὰ
ἐν τῇ γῇ ἰούδα καὶ ἐν ἱερουσαλήμ, ἐξῆ-
ρεν ὁ βασιλεὺς ἰωσίας, ἵνα στήσῃ τοὺς
λόγους τοῦ νόμου, τοὺς γεγραμμένους ἐ-
πὶ τοῦ βιβλίου, οὗ εὗρε χελκίας ὁ ἱερεὺς
ἐν οἴκῳ κυρίου. ὅμοιος οὐκ ἐγενήθη
αὐτῷ ἔμπροσθεν αὐτοῦ βασιλεύς, ὃς
ἐπέστρεψε πρὸς κύριον ἐν ὅλῃ καρ-
δίᾳ αὐτοῦ, καὶ ἐν ὅλῃ ψυχῇ αὐτοῦ, καὶ ἐν
ὅλῃ ἰσχύϊ αὐτοῦ, κατὰ πάντα τὸν νόμον
μωϋσέως. καὶ μετ᾽ αὐτὸν οὐκ ἀνέστη ὅμοι-
ος αὐτῷ. πλὴν οὐκ ἀπεστράφη κύρι-
ος ἀπὸ θυμοῦ ὀργῆς αὐτοῦ τοῦ μεγάλου,
οὗ ἐθυμώθη ὀργῇ αὐτοῦ ἐν τῷ ἰούδα, ἐπὶ
τοὺς παροργισμοὺς, οὓς παρώργισεν
αὐτὸν μανασσῆς. καὶ εἶπε κύριος, καί
γε τὸν ἰούδαν ἀποστήσω ἀπὸ τοῦ προ-
σώπου μου, καθὼς ἀπέστησα τὸν ἰσρα-
ήλ, καὶ ἀπώσομαι τὴν πόλιν ταύτην,
ἣν

ἣν ἐξελεξάμην, τὴν ἱερουσαλὴμ, καὶ τὸν οἶκον, ὃν εἶπον, ἔσται τὸ ὄνομά μου ἐκεῖ. καὶ τὰ λοιπὰ τῶν λόγων ἰωσίου, καὶ πάντα ὅσα ἐποίησεν, οὐχὶ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων ἡμερῶν τοῖς βασιλεῦσιν ἰούδα; ἐν δὲ ταῖς αὐταῖς ἡμέραις ἀνέβη φαραὼ νεχαὼ βασιλεὺς αἰγύπτου, ἐπὶ βασιλέα ἀσσυρίων, ἐπὶ ποταμὸν εὐφράτην. καὶ ἐπορεύθη ἰωσίας εἰς ἀπάντησιν αὐτοῦ, καὶ ἐθανάτωσεν αὐτὸν νεχαὼ ἐν μαγεδδῶ ἐν τῷ ἰδεῖν αὐτόν. καὶ ἐπεβίβασαν αὐτὸν οἱ παῖδες αὐτοῦ νεκρὸν ἐν μαγεδδῶ, καὶ ἤγαγον αὐτὸν εἰς ἱερουσαλὴμ, καὶ ἔθαψαν αὐτὸν ἐν τῷ τάφῳ αὐτοῦ, ἐν πόλει δαβίδ. καὶ ἔλαβον ὁ λαὸς τῆς γῆς τὸν ἰωάχαζ υἱὸν ἰωσίου, καὶ ἔχρισαν αὐτὸν, καὶ ἐβασίλευσαν αὐτὸν ἀντὶ τοῦ πατρὸς αὐτοῦ.

Υἱὸς εἴκοσι καὶ τριῶν ἐτῶν ἦν ἰωάχαζ ἐν τῷ βασιλεύειν αὐτὸν, καὶ τρεῖς μῆνας ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ, ἀμιταὶ θυγάτηρ ἱερεμίου ἐκ λοβνά. καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου κατὰ πάντα, ὅσα ἐποίησαν οἱ πατέρες αὐτοῦ. καὶ μετέστησεν αὐτὸν φαραὼ νεχαὼ ἐν ῥεφλαὰ ἐν γῇ αἰμὰθ, τοῦ μὴ βασιλεύειν ἐν ἱερουσαλήμ. καὶ ἔδωκεν ζημίαν ἐπὶ τὴν γῆν, ἑκατὸν τάλαντα ἀργυρίου, καὶ ἑκατὸν τάλαντα

χρυ

quam elegi, Hierusalem, & domum, quam dixi, Erit nomen meum ibi. Et reliqua sermonum Iosiæ, & omnia quæcunque fecit, nonne hæc scripta sunt in libro uerborum dierum regibus Iuda? In his uerò diebus ascendit Pharao Nechao rex Aegypti, in regem Assyriorum, ad flumẽ Euphraten. Et profectus est Iosias rex in occursum ei, & occidit eum Nechao in Mageddo, cum uidit eum. Et sustulerunt eum serui sui mortuum in Mageddo, & duxerunt eum in Hierusalem, & sepelierũt eum in sepulchro suo, in ciuitate Dauid. Et tulit populus terræ Ioachaz filium Iosiæ, & unxerunt eum, & constituerunt regem eum pro patre suo.

2.Par.35

2.Par.36

Cap.XXIII

Filius uiginti & trium annorum erat Ioachaz, cum regnaret ipse, & tres menses regnauit in Hierusalem. Et nomen matri eius, Amitan filia Hieremiæ de Lobna. Et fecit malum in oculis domini iuxta omnia, quæcunque fecerunt patres eius. Et trãstulit eum Pharao Nechao in Rephlaa in terra Aemath, ut non regnaret in Hierusalem. Et dedit tributũ super terrã, centũ talenta argẽti, & cẽtũ talẽta auri.

auri. Et regem constituit Pharao Nechao super eos Eliacim, filiũ Iosiæ regis Iuda, pro Iosia patre eius, & inuertit nomen eius Ioacim. Et Ioachaz tulit, et adduxit eum in Aegyptum, & mortuus est ibi. Et argentum & aurũ dedit Ioacim Pharao. Sed æstimauit terram, ut daret argẽtum in ore Pharao. Vir iuxta æstimationem eius dederunt argentum & aurum à populo terræ, ut daret illud Pharao Nechao. Filius uiginti & quinq; annorum erat Ioacim, cum regnaret ipse, & undecim annos regnauit in Hierusalem. Et nomen matri eius, Ieldaph filia Phadæl ex Ruma. Et fecit malum in oculis domini, iuxta omnia, quęcunq; fecerunt patres eius. In diebus eius ascendit Nabuchodonosor rex Babylonis, & factus est ei Ioacim seruus tres annos, & reuersus est, & præuaricatus est in eo. Et dimisit dominus ei succinctos Chaldæorum, & succinctos Syriæ, et succinctos Moab, & succinctos filiorum Ammon, & emisit eos in terra Iuda, ut deuincerent iuxta sermonem domini, quem loquutus est in manu seruorum suorum, prophetarum. Sed ad furorem domini erat in Iuda, ut amoueret eum

χρυσίου. καὶ ἐβασίλευσε φαραὼ νεχαὼ ἐπ᾽ αὐτοὺς τὸν ἐλιακεὶμ, υἱὸν ἰωσίου βασιλέως ἰούδα, ἀντὶ ἰωσίου τοῦ πατρὸς αὐτοῦ, καὶ ἐπέστρεψε τὸ ὄνομα αὐτοῦ ἰωακείμ. καὶ τὸν ἰωάχαζ ἔλαβε, καὶ εἰσήνεγκεν εἰς αἴγυπτον, καὶ ἀπέθανεν ἐκεῖ. καὶ τὸ ἀργύριον καὶ τὸ χρυσίον ἔδωκεν ἰωακεὶμ τῷ φαραώ. πλὴν ἐτιμογράφησε τὴν γῆν, τοῦ δοῦναι τὸ ἀργύριον ἐπὶ στόματος φαραώ. ἀνὴρ κατὰ τὴν συντίμησιν αὐτοῦ ἔδωκε τὸ ἀργύριον καὶ τὸ χρυσίον παρὰ τοῦ λαοῦ τῆς γῆς, τοῦ δοῦναι τῷ φαραὼ νεχαώ. υἱὸς εἴκοσι καὶ πέντε ἐτῶν ἰωακεὶμ ἐν τῷ βασιλεύειν αὐτὸν, καὶ ἕνδεκα ἔτη ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ, ἰελδὰφ, θυγάτηρ φαδαὴλ ἐκ ῥουμά. καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου, κατὰ πάντα, ὅσα ἐποίησαν οἱ πατέρες αὐτοῦ. ἐν ταῖς ἡμέραις αὐτοῦ ἀνέβη ναβουχοδονόσορ βασιλεὺς βαβυλῶνος, καὶ ἐγενήθη αὐτῷ ἰωακεὶμ δοῦλος τρία ἔτη, καὶ ἀπέστρεψε, καὶ ἠθέτησεν ἐν αὐτῷ. καὶ ἀπέστειλεν κύριος αὐτῷ τοὺς μονοζώνους τῶν χαλδαίων, καὶ τοὺς μονοζώνους συρίας, καὶ τοὺς μονοζώνους μωὰβ, καὶ τοὺς μονοζώνους υἱῶν ἀμμὼν, καὶ ἐξαπέστειλεν αὐτοὺς ἐν τῇ γῇ ἰούδα, τοῦ κατισχῦσαι κατὰ τὸν λόγον κυρίου, ὃν ἐλάλησεν ἐν χειρὶ τῶν δούλων αὐτοῦ, τῶν προφητῶν. πλὴν ἐπὶ τὸν θυμὸν κυρίου ἦν ἐν τῷ ἰούδα ἀποστῆσαι αὐτὸν

αὐτοῦ ἀπὸ προσώπου αὐτοῦ, ἐν ἁμαρτίαις μανασσῆ, κατὰ πάντα, ὅσα ἐποίησε. καί γε τὸ αἷμα ἀθῷον ἐξέχεε, καὶ ἔπλησε τὴν ἱερουσαλὴμ αἵματος ἀθῴου, καὶ οὐκ ἠθέλησε κύριος ἱλασθῆναι. καὶ τὰ λοιπὰ τῶν λόγων ἰωακείμ, καὶ πάντα ὅσα ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν ἰούδα; καὶ ἐκοιμήθη ἰωακεὶμ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐβασίλευσεν ἰεχονίας υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. καὶ οὐ προσέθετο ἔτι βασιλεὺς αἰγύπτου ἐξελθεῖν ἐκ γῆς αὐτοῦ. ὅτι ἔλαβε βασιλεὺς βαβυλῶνος ἀπὸ τοῦ χειμάρρου αἰγύπτου, ἕως τοῦ ποταμοῦ εὐφράτου, πάντα ὅσα ἦν τοῦ βασιλέως αἰγύπτου. υἱὸς ὀκτωκαίδεκα ἐτῶν ἰεχονίας ἐν τῷ βασιλεύειν αὐτόν, καὶ τρίμηνον ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ, νεεσθὰ θυγάτηρ ἐλλαναθὰν ἐξ ἱερουσαλήμ. καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου κατὰ πάντα, ὅσα ἐποίησεν ὁ πατὴρ αὐτοῦ. καὶ ἐν τῷ καιρῷ ἐκείνῳ ἀνέβη ναβουχοδονόσορ βασιλεὺς βαβυλῶνος εἰς ἱερουσαλήμ, καὶ ἦλθεν ἡ πόλις ἐν περιοχῇ. καὶ εἰσῆλθε ναβουχοδονόσορ βασιλεὺς βαβυλῶνος εἰς πόλιν τὴν ἱερουσαλήμ, καὶ οἱ παῖδες αὐτοῦ ἐπολιόρκουν ἐπ' αὐτήν. καὶ ἐξῆλθεν ἰωακεὶμ βασιλεὺς ἰούδα ἐπὶ βασιλέα βαβυλῶνος, αὐτὸς καὶ οἱ παῖδες αὐτοῦ, καὶ

ἡ μή-

eum à conspectu eius, in
peccatis Manasse, secun-
dum omnia, quæcunque fe
cit. Et sanè sanguinem
innoxium effudit, & im-
pleuit Hierusalem sangui-
ne innocenti, & non uo-
luit dominus placatus es-
se. Et reliqua sermonum
Ioacim, & omnia quæcun-
que fecit, nonne hæc scri-
pta sunt in libro sermo-
num dierum regibus Iu-
da? Et dormiuit Ioacim
cum patribus suis, & reg-
nauit Iechonias filius eius
pro eo. Et non addidit ul-
tra rex Aegypti, ut egre-
deretur de terra sua. Quia
cepit rex Babylonis à tor
rente Aegypti, usque ad flu
uium Euphraten, omnia
quæcunque erant regis Ae-
gypti. Filius octo & decē
annorum Ioacim, cum re-
gnaret ipse, & tres menses
regnauit in Hierusalem.
Et nomen matri eius, Ne
stha, filia Ellanasthan ex
Hierusalem. Et fecit malū
in oculis domini iuxta o-
mnia, quæcunque fecit pa-
ter suus. Et in tempore il- Dan. 1
lo ascendit Nabuchodo-
nosor rex Babylonis in
Hierusalem, & uenit ciui-
tas in obsidione. Et intra-
uit Nabuchodonosor rex
Babylonis in ciuitatē Hie
rusalem, & serui eius obsi
debant ad eam. Et egres- Hest. 2
sus est Ioacim rex Iu-
da ad regem Babylonis,
ipse & pueri eius, &

mater

mater ei*, et principes ei*,
& eunuchi eius. Et cepit
eos rex Babylonis in octa
uo anno regni sui, & extu
lit oēs thesauros inde qui
in domo domini, & the-
sauros domus regis. Et cō
cidit omnia uasa aurea,
quæ fecit Solomon rex Is
rael in templo domini, iu-
xta uerbum domini. Et
transtulit Hierusalem, &
omnes principes, & om-
nes potentes robore in ca
ptiuitatem decem milia, et
omnem artificem, & con
clusorem, & non relictus
est, nisi mendici terræ. Et
transtulit Iechoniam in
Babylonem, & matrem
regis, & uxores regis, &
eunuchos eius. Et fortes
terræ abduxit in demigra
tionem, ex Hierusalem in
Babylonem. Et omnes ui
ros potentiæ, septem mil-
lia, & artificem & inclu-
sorem, mille, omnes poten
tes, facientes bellum, &
duxit eos rex Babylonis
demigrationem in Baby-
lonem. Et regem consti-
tuit rex Babylonis Bat-
thanian filium eius pro
eo, & imposuit nomen e-
ius Sedecian. Filius uigin
ti & unius annorum erat
Sedecias, cum regnaret ip
se, & undecim annos reg
2.Par.36 nauit in Hierusalem. Et
Hier.52 nomē matri eius Amitaa,
filia

ἡ μήτηρ αὐτοῦ, καὶ οἱ ἄρχοντες αὐτοῦ,
καὶ οἱ εὐνοῦχοι αὐτοῦ. καὶ ἔλαβεν αὐτοὺς
βασιλεὺς βαβυλῶνος ἐν τῷ ὀγδόῳ
ἔτει τῆς βασιλείας αὐτοῦ, καὶ ἐξήνεγκε
πάντας τοὺς θησαυροὺς ἐκεῖθεν, τοὺς
ἐν τῷ οἴκῳ κυρίου, καὶ τοὺς θησαυροὺς
οἴκου τοῦ βασιλέως. καὶ συνέκοψε πάν
τα τὰ σκεύη τὰ χρυσᾶ, ἃ ἐποίησε
σολομὼν ὁ βασιλεὺς ἰσραὴλ ἐν τῷ
ναῷ κυρίου, κατὰ τὸ ῥῆμα κυρίου. καὶ
ἀπῴκισε τὴν ἱερουσαλὴμ, καὶ πάντας
τοὺς ἄρχοντας καὶ τοὺς δυνατοὺς ἰσχύϊ,
εἰς αἰχμαλωσίαν, δέκα χιλιάδας,
καὶ πάντα τέκτονα, καὶ τὸν συγκλείον
τα, καὶ οὐχ ὑπελείφθη, πλὴν οἱ πτω
χοὶ τῆς γῆς. καὶ ἀπῴκισε τὸν ἰεχονίαν
εἰς βαβυλῶνα, καὶ τὴν μητέρα τοῦ
βασιλέως, καὶ τὰς γυναῖκας τοῦ βα
σιλέως, καὶ τοὺς εὐνούχους αὐτοῦ. καὶ
τοὺς ἰσχυροὺς τῆς γῆς ἀπήγαγεν εἰς
ἀποικεσίαν, ἐξ ἱερουσαλὴμ εἰς βαβυ
λῶνα. καὶ πάντας ἄνδρας τῆς δυνά
μεως, ἑπτακισχιλίους, καὶ τὸν τέκτο
να καὶ τὸν συγκλείοντα, χιλίους, πάν
τες δυνατοὶ ποιοῦντες πόλεμον,
καὶ ἤγαγεν αὐτοὺς βασιλεὺς βαβυ
λῶνος μετοικεσίαν εἰς βαβυλῶνα.
καὶ ἐβασίλευσε βασιλεὺς βαβυλῶνος
τὸν βαθθανίαν υἱὸν αὐτοῦ ἀντ' αὐτοῦ, καὶ
ἐπέθηκε τὸ ὄνομα αὐτοῦ σεδεκίαν. υἱ-
ὸς εἴκοσι καὶ ἑνὸς ἐνιαυτῶν σεδεκίας ἐν
τῷ βασιλεύειν αὐτὸν, καὶ ἕνδεκα
ἔτη ἐβασίλευσεν ἐν ἱερουσαλήμ.
καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ ἀμιταάλ,
θυγά-

θυγάτηρ ἱερεμίου ἀπὸ λοβνά. καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου κατὰ πάντα, ὅσα ἐποίησεν ἰωακείμ. ὅτι ἐπὶ τὸν θυμὸν κυρίου ἦν ἐπὶ ἱερουσαλὴμ καὶ ἐν τῷ ἰούδα, ἕως ἀπέρριψεν αὐτοὺς ἀπὸ προσώπου αὐτοῦ.

Καὶ ἠθέτησε σεδεκίας ἐν τῷ βασιλεῖ βαβυλῶνος. καὶ ἐγένετο ἐν τῷ ἔτει ἐννάτῳ τῆς βασιλείας αὐτοῦ, ἐν τῷ μηνὶ τῷ δεκάτῳ, ἐν δεκάτῃ τοῦ μηνὸς, ἦλθε ναβουχοδονόσορ ὁ βασιλεὺς βαβυλῶνος, καὶ πᾶσα ἡ δύναμις αὐτοῦ, ἐπὶ ἱερουσαλὴμ, καὶ παρενέβαλεν ἐπ' αὐτήν. καὶ ᾠκοδόμησεν ἐπ' αὐτὴν περίτειχος κύκλῳ, καὶ ἦλθεν ἡ πόλις ἐν περιοχῇ ἕως τοῦ ἐνδεκάτου ἔτους τοῦ βασιλέως σεδεκίου, ἐννάτῃ τοῦ μηνός. καὶ ἐνίσχυσεν ὁ λιμὸς ἐν τῇ πόλει. καὶ οὐκ ἦσαν ἄρτοι τῷ λαῷ τῆς γῆς. καὶ ἐρράγη ἡ πόλις. καὶ πάντες οἱ ἄνδρες τοῦ πολέμου ἐξῆλθον νυκτὸς, ὁδὸν πύλης τῆς ἀνὰ μέσον τῶν τειχῶν, αὕτη ἐστὶ τοῦ κήπου τοῦ βασιλέως. καὶ οἱ χαλδαῖοι ἐπὶ τὴν πόλιν κύκλῳ, καὶ ἐπορεύθησαν ὁδὸν τὴν ἀραβά. καὶ ἐδίωξεν ἡ δύναμις τῶν χαλδαίων ὀπίσω τοῦ βασιλέως, καὶ κατέλαβον αὐτὸν ἐν ἀραβὼθ ἱεριχώ. καὶ πᾶσα ἡ δύναμις αὐτοῦ διεσπάρη ἐπάνωθεν αὐτοῦ, καὶ συνέλαβον τὸν βασιλέα. καὶ ἤγαγον αὐτὸν πρὸς τὸν βασιλέα βαβυλῶνος, εἰς δεβλαθὰ, καὶ ἐλάλησε μετ' αὐτοῦ κρίσιν. καὶ τοὺς

υἱοὺς

filia Hieremiæ à Lobna. Et fecit malum in oculis domini iuxta omnia, quæ fecit Ioacim. Quia ad irā domini erat in Hierusalem & in Iuda, donec abiecit eos à facie sua.

Et præuaricatus est Sedecias in rege Babylonis. Cap.XXIIII Hier. 39 & 52
Et factum est in anno nono regni eius, in mense decimo, undecima mensis, uenit Nabuchodonosor rex Babylonis, & omnis exercitus eius ad Hierusalem, & castra fixit ad eā. Et ædificauit ad eam castrum in circuitu. Et uenit ciuitas in munitione usq; ad undecimum annum regis Sedeciæ, nona mensis. Et accreuit fames in ciuitate. Et non erant panes populo terræ. Et rupta est ciuitas. Et omnes uiri belli exierunt nocte, uiam portæ, quæ per medium murorum, eā est horti regis. Et Chaldæi ad urbē circuitu, & profecti sunt uiam Araba. Et persequutus est exercitus Chaldæorum post regem, & comprehenderunt eum in Araboth Hiericho. Et omnis exercitus eius dispersus est super eum, & comprehenderunt regem. Et duxerunt eum ad regem Babylonis, in Deblatha, et locutus est cū eo iudiciū. Et

filios

filios Sedeciæ mactauit in oculis eius. Et oculos Sedeciæ excæcauit. Et uinxit eum in pedicis, & duxit eum in Babylonem. At in mense quinto, septima mensis, iste annus nonus & decimus Nabuchodonosor regi Babylonis, uenit Nauzardã princeps coquorum, stans coram rege Babylonis, in Hierusalem. Et incendit domum domini, & domum regis. Et omnes domus Hierusalem, & omnem domum magnam incendit princeps dapifer. Et murũ Hierusalem à circuitu diruit exercitus Chaldæorum, & quod supererat populi, & relictum in urbe, & deficientes, qui defecerũt ad regem Babylonis. Et reliquum fulcimenti transtulit Nauzardan princeps coquorum. Et de mendicis terræ reliquit princeps coquorum in uinitores & gabin. Et columnas æreas, quæ in domo domini, & mechonoth, & mare æreũ, quod in domo domini, contriuerunt Chaldæi, & tulerunt æs eorum in Babylonem. Et lebetes & iamin, & phialas, & mortariola, & omnia uasa ærea, in quib. ministrabãt in eis, tulit. Et thu-

υἱοὺς σεδεκίου ἔσφαξε κατ' ὀφθαλμοὺς αὐτοῦ. καὶ τοὺς ὀφθαλμοὺς σεδεκίου ἐξετύφλωσε. καὶ ἔδησεν αὐτὸν ἐν πέδαις, καὶ ἤγαγεν αὐτὸν εἰς βαβυλῶνα. ἐν δὲ τῷ μηνὶ τῷ πέμπτῳ, ἑβδόμῃ τοῦ μηνός, αὐτὸς ἐνιαυτὸς ἐννεακαιδέκατος τῷ ναβουχοδονόσορ βασιλεῖ βαβυλῶνος, ἦλθε ναβουζαρδὰν ὁ ἀρχιμάγειρος, ὁ ἑστὼς ἐνώπιον τοῦ βασιλέως βαβυλῶνος, εἰς ἱερουσαλήμ. καὶ ἐνέπρησε τὸν οἶκον κυρίου, καὶ τὸν οἶκον τοῦ βασιλέως. καὶ πάντας τοὺς οἴκους ἱερουσαλήμ, καὶ πάντα οἶκον μέγαν ἐνέπρησεν ὁ ἀρχιμάγειρος. καὶ τὸ τεῖχος ἱερουσαλὴμ κύκλοθεν κατέσπασεν ἡ δύναμις τῶν χαλδαίων, καὶ τὸ περισσὸν τοῦ λαοῦ, καὶ τὸ καταλειφθὲν ἐν τῇ πόλει, καὶ τοὺς ἐμπεπτωκότας, οἳ ἐνέπεσον πρὸς τὸν βασιλέα βαβυλῶνος. καὶ τὸ λοιπὸν τοῦ στηρίγματος μετῆρε ναβουζαρδὰν ὁ ἀρχιμάγειρος. καὶ ἀπὸ τῶν πτωχῶν τῆς γῆς ὑπέλιπεν ὁ ἀρχιμάγειρος εἰς ἀμπελουργοὺς καὶ εἰς γαβίν. καὶ τοὺς στύλους τοὺς χαλκοῦς τοὺς ἐν οἴκῳ κυρίου, καὶ τὰς μεχωνὼθ, καὶ θάλασσαν τὴν χαλκῆν τὴν ἐν οἴκῳ κυρίου, συνέτριψαν οἱ χαλδαῖοι, καὶ ἦραν τὸν χαλκὸν αὐτῶν εἰς βαβυλῶνα. καὶ τοὺς λέβητας καὶ τὰ ἰαμίν, καὶ τὰς φιάλας καὶ τὰς θυΐσκας, καὶ πάντα τὰ σκεύη τὰ χαλκᾶ, ἐν οἷς λειτουργοῦσιν ἐν αὐτοῖς, ἔλαβε. καὶ

τὰ

τὰ πυρεῖα, καὶ τὰς φιάλας τὰς χρυσᾶς καὶ τὰς ἀργυρᾶς ἔλαβεν ὁ ἀρχιμάγειρος, στύλους δύο, καὶ τὴν θάλασσαν μίαν, καὶ τὰς μεχωνώθ, ἃς ἐποίησε σολομὼν ἐν τῷ οἴκῳ κυρίου. οὐκ ἦν σταθμὸς τοῦ χαλκοῦ πάντων τῶν σκευῶν. ὀκτωκαίδεκα πήχεων τὸ ὕψος τοῦ στύλου τοῦ ἑνός. καὶ τὸ χωθαρ ἐπ᾽ αὐτοῦ τὸ χαλκοῦν, καὶ τὸ ὕψος τοῦ χωθαρ, τριῶν πήχεων σαβαχάκ. καὶ ῥοαὶ ἐπὶ τῷ χωθαρ κύκλῳ, τὰ πάντα χαλκᾶ, καὶ κατὰ ταῦτα τῷ στύλῳ τῷ δευτέρῳ. καὶ ῥοαὶ ἑκατὸν ἐπὶ τῷ σαβαχὰκ κύκλῳ. καὶ ἔλαβεν ὁ ἀρχιμάγειρος τὸν σαραίαν, τὸν ἱερέα τὸν πρῶτον, καὶ τὸν σοφονίαν ἱερέα τῆς δευτερώσεως, καὶ τοὺς τρεῖς τοὺς φυλάσσοντας τὸν σταθμόν. καὶ ἐκ τῆς πόλεως ἔλαβεν εὐνοῦχον ἕνα, ὃς ἦν ἐπιστάτης ἐπὶ τῶν ἀνδρῶν τῶν πολεμιστῶν. καὶ πέντε ἄνδρας τῶν ὁρώντων τὸ πρόσωπον τοῦ βασιλέως, τοὺς εὑρεθέντας ἐν τῇ πόλει, καὶ τὸν γραμματέα τοῦ ἄρχοντος τῆς δυνάμεως, τὸν ἐκτάσσοντα τὸν λαὸν τῆς γῆς, καὶ ἑξήκοντα ἄνδρας τοῦ λαοῦ τῆς γῆς, τοὺς εὑρεθέντας ἐν τῇ πόλει. καὶ ἔλαβεν αὐτοὺς ναυζαρδὰν ὁ ἀρχιμάγειρος, καὶ ἤγαγον αὐτοὺς πρὸς τὸν βασιλέα βαβυλῶνος εἰς δεβλαθά. καὶ ἔπαισεν αὐτοὺς ὁ βασιλεὺς βαβυλῶνος, καὶ ἐθανάτωσεν αὐτοὺς εἰς δεβλαθά, ἐν γῇ αἰμάθ. καὶ ἀπῳκίσθη ἰούδας ἐπά-

νωθεν

thuribula, & phialas aureas & argẽteas tulit princeps coquorum, columnas duas, & mare unum, & mechonoth, quas fecit Solomon in domo domini. Non erat pondus æris omnium uasorum. Octo & decem cubitorum altitudo columnæ unius. Et chothar in ea ęreum, & altitudo chothar, triũ cubitorum Sabachac. Et malogranata in chothar in circuitu, omnia ærea, & secundum hæc columnæ secundæ. Et malogranata centum in Sabachac in circuitu. Et tulit princeps coquorum Saræan, sacerdotem primum, & Sophoniam sacerdotem iterationis, & tres custodientes limen. Et de ciuitate tulit eunuchum unum, qui erat præfectus super uiros bellatores, & quinque uiros de uidentibus faciem regis, inuentos in ciuitate, & scribam principis exercitus, ordinantem populũ terræ, & sexaginta uiros de populo terræ, inuentos in ciuitate. Et cepit eos Nauzardan princeps coquorum, & duxit eos ad regem Babylonis in Deblatha. Et pcussit eos rex Babylõis, et ĩterfecit eos in Deblatha, in terra Aemath. Et trãslat' est Iudas

D de

ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνὸς, ὕψωσεν εὐιλμαρωδὰχ βασιλεὺς βαβυλῶνος, ἐν τῷ ἐνιαυτῷ τῆς βασιλείας αὐτοῦ, τὴν κεφαλὴν ἰωακὶμ βασιλέως ἰούδα. καὶ ἐξήγαγον αὐτὸν ἐξ οἴκου φυλακῆς αὐτοῦ, καὶ ἐλάλησε μετ' αὐτοῦ ἀγαθά. καὶ ἔδωκε τὸν θρόνον αὐτοῦ ἐπάνω τῶν θρόνων τῶν βασιλέων τῶν μετ' αὐτοῦ ἐν βαβυλῶνι. καὶ ἠλλοίωσε τὰ ἱμάτια τῆς φυλακῆς αὐτοῦ, καὶ ἤσθιον ἄρτον διὰ παντὸς, ἐνώπιον αὐτοῦ, πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ. καὶ ἡ ἑστιατορία αὐτοῦ ἑστιατορία διὰ παντὸς ἐδόθη αὐτῷ, ἐξ οἴκου τοῦ βασιλέως, λόγον ἡμέρας ἐν ἡμέρᾳ αὐτοῦ, πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ.

ptima et uicesima mensis, leuauit Euilmerodach rex Babylonis, in anno regni sui, caput Ioacim regis Iuda. Et eduxit eum è domo custodiæ eius, et locutus est cum eo bona. Et dedit thronum eius super thronos regum qui cum eo in Babylone. Et mutauit uestes carceris eius, et edebat panem semper, coram eo, omnes dies uitæ suæ. Et conuiuium eius conuiuium semper dabatur ei, è domo regis, rationem diei in die eius, omnes dies uitæ suæ.

FINIS.

PARALIPOMENON LI BER PRIMVS.

Cap. I Dam, Seth, Enos, Cainan, Malelael, Iareth, Enoch, Mathusala, Lamech, Noe, Sem, Cham, Iapheth. Filii Iapheth, Gamer & Magog et Madai & Ioyan, Elissa & Thobeu & Mosoch & Thiras, octo. Et filii Gamer, Achanaz & Riphath & Thogorma, tres. Et filii Ioyā, Helida et Tharsig & Chettiim et Dodanin, quatuor. Filii Chā, Chus & Mestrem, Phut & Chanaan, quatuor. Et filii Chus, Saba & Euilat & Sebata & Regmon et Sebechatha, quinqꝫ. Et filii Regma, Saba & Dadan. Et Chus genuit Nemrod. Hic cœpit esse Gigas, uenator in terra. Et Mesraim genuit Ludiim et Aenomiim & Labiim & Nephthoseim & Phatheroim & Phetrosoniim et Chasloim. Vnde egressi sunt illinc Phylistiim & Caphthoriim. Et Chanaā genuit Sidona primogenitum suum, & Chettæū & Iebusæum & Amorrhæum & Gergesæum & Euæum & Arucæū & Esennæum & Amathi. Et filii Sem, Aillam & Assur

&

Δὰμ, σὴθ, ἐνὼς, καϊνὰν, μαλελεὴλ, ἰάρεθ, ἐνὼχ, μαθουσάλα, λάμεχ, νῶε, σὴμ, χὰμ, ἰάφεθ. ὑοὶ ἰάφεθ, γάμερ καὶ μαγὼγ καὶ μαδαὶ καὶ ἰωϋὰν, ἐλισὰ καὶ θόβελ καὶ μοσὸχ καὶ θιρὰς, ὀκτώ. καὶ οἱ ὑοὶ γάμερ, ἀχανὰζ καὶ ῥιφὰθ καὶ θοργαμὰ, τρεῖς. καὶ ὑοὶ ἰωϋὰν, ἐλισὰ καὶ θαρσεῖς καὶ χετιεὶμ καὶ δωδανεὶμ, τέσσαρες. ὑοὶ χὰμ, χοὺς καὶ μεσραὶμ, φοὺτ καὶ χαναὰν, τέσσαρες. καὶ ὑοὶ χοὺς, σαβᾶ καὶ εὐιλὰτ καὶ σεβαθᾶ καὶ ῥεγμὸν καὶ σεβεχαθὰ, πέντε. καὶ ὑοὶ ῥεγμὰ, σαβὰ καὶ δάδαν. καὶ χοὺς ἐγέννησε τὸν νεβρώδ. οὗτος ἤρξατο τοῦ εἶναι γίγας, κυνηγὸς ἐν τῇ γῇ. καὶ μεσραὶμ ἐγέννησε τοὺς λουδιεὶμ καὶ τοὺς αἰνεμιεὶμ καὶ τοὺς λαβιεὶμ καὶ τοὺς νεφθωσιεὶμ καὶ τοὺς φαθρωσιεὶμ καὶ τοὺς φετροσωνιεὶμ καὶ τοὺς χασλωεὶμ. ὅθεν ἐξῆλθον ἐκεῖθεν φυλιστιεὶμ καὶ οἱ καφθοριεὶμ. καὶ χαναὰν ἐγέννησε τὸν σιδῶνα τὸν πρωτότοκον αὐτοῦ, καὶ τὸν χετταῖον καὶ τὸν ἰεβουσαῖον καὶ τὸν ἀμορραῖον καὶ τὸν γεργεσαῖον καὶ τὸν εὐαῖον καὶ τὸν ἀρουκαῖον καὶ τὸν ἀσενναῖον καὶ τὸν ἀμαθί. καὶ ὑοὶ σὴμ, αἰλὰμ καὶ ἀσσοὺρ

καὶ

καὶ ἀρφαξὰδ καὶ λοὺδ καὶ ἀρὰμ καὶ οὖζ καὶ οὐλ καὶ γεθὲρ καὶ μοσόχ. καὶ ἀρφαξὰδ ἐγέννησε καινάν. καὶ καινὰν ἐγέννησε τὸν σαλᾶ. καὶ σαλᾶ ἐγέννησε τὸν ἔβερ. καὶ τῷ ἔβερ ἐγεννήθησαν δύο ὑοί, ὄνομα τῷ ἑνὶ φάλεκ, ὅτι ἐν ταῖς ἡμέραις αὐτοῦ διεμερίσθη ἡ γῆ. καὶ ὄνομα τῷ ἀδελφῷ αὐτοῦ ἰεκτάν. καὶ ἰεκτὰν ἐγέννησε τὸν ἐλμωδὰδ καὶ τὸν σαλὲφ καὶ τὸν ἀσερμὼθ καὶ τὸν ἰαδὲρ καὶ τὸν ἰδωρὰμ καὶ τὸν οὐζὰλ καὶ τὸν δεκλὰ καὶ τὸν γαμαὰλ καὶ τὸν ἀβιμεὴλ καὶ τὸν σαβὰ καὶ τὸν οὐφὶρ καὶ τὸν εὐιλὰτ καὶ τὸν ἰωάβ. πάντες οὗτοι ὑοὶ ἰεκτάν. ὑοὶ σὴμ, ἀρφαξὰδ, καϊνὰν, σαλὰ, ἔβερ, φάλεκ, σερούχ, ναχὼρ, θάρα, ἄβραμ, αὐτὸς ἀβραάμ. υἱοὶ ἀβραὰμ, ἰσαὰκ καὶ ἰσμαήλ. αὗται δὲ αἱ γενέσεις αὐτῶν, πρωτότοκος ἰσμαὴλ, ναβαιὼθ καὶ κηδὰρ καὶ αὐβδιὴλ καὶ μαβσὰμ καὶ μασεμμὰ καὶ ἰδουμὰ καὶ μασσὰ καὶ ἀδὰδ καὶ θεμὰν καὶ ἰετοὺρ καὶ ναφὲς καὶ κεδμά. οὗτοί εἰσιν ὑοὶ ἰσμαὴλ δώδεκα. καὶ ὑοὶ χεττούρας τῆς παλλακῆς ἀβραὰμ, καὶ ἔτεκεν αὐτῷ τὸν ζεμβρὰμ καὶ τὸν ἰεξὰν καὶ μαδὰν καὶ μαδιὰν καὶ τὸν σοβὸκ καὶ σουὲ, ἕξ. καὶ ὑοὶ ἰεξὰν, σαβὰ καὶ δαιδὰν, δύο. καὶ ὑοὶ δαιδὰν, ῥαγουὴλ καὶ ναβδεὴλ καὶ ἀσσουριὶμ καὶ λατουσιεὶμ καὶ λοωμείμ, πέντε. καὶ ὑοὶ μαδιὰν, γεφὰρ καὶ ὀφὴρ καὶ ἐνὼχ καὶ ἀβιαδὰ καὶ ἐλδαάδ.

πάντες

& Arphaxad & Lud & Aram & Vz & Eul & Gether & Mosoch. Et Arphaxad genuit Caina͂. Et Cainan genuit Sala. Et Sala genuit Heber. Et Heber nati sunt duo filii, nomen uni Phalec, quia in diebus eius diuisa est terra. Et nomẽ fratri eius, Iectan. Et Iectan genuit Elmodad & Saleph et Asermoth & Iader & Idoram & Vzal & Decla, et Gamaal & Abimeel & Saba & Vphir & Euilat & Ioab. Omnes isti filii Iectan. Filii Sem, Arphaxad, Cainan, Sala, Heber, Phalec, Seruch, Nachor, Bara, Habram, iste Habraam. Filii Abraam, Isaac & Ismael. Hæ uerò generationes eorum. Primogenitus Ismael, Nabaioth et Cedar & Aubdiel et Mabsam & Massemma & Iduma & Massa & Adad & Theman & Ietur & Naphis & Cedma. Hi sunt filii Ismael duodecĩ. Et filii Chetturas concubinæ Habraam. & peperit Zembram & Iexan et Madan & Madian & Esboc & Sue, sex. Et filii Iexan, Saba et Dadan, duo. Et filii Daidan, Raguel & Nabdeel et Assuc lim & Latesim & Loomim, quinque. Et filii Madian, Gephar & Hopher & Enoch & Abiada & Eldad.

 Om-

Oēs hi filii Chetturas. Et
genuit Habraam Isaac. Fi
lii Isaac, Esau & Israel. Fi
lii Esau, Eliphaz & Ra-
guel, Iebul & Ieglom &
Core. Oēs filii Eliphaz,
Thaman & Iomar, So-
phar & Gotham, & Ce-
nez, quinq;. Thamna ue-
rò pellex Eliphaz pepe-
rit ei Amadec. Et filii Ra
guel, Nacheth & Sam-
me & Zare & Maze.
Et filii Seir, Lotan & Su
ban quatuor, & Sebegō
& Anan & Dision & A
sar & Rison, septem. Et fi-
lii Lotan, Chorri & He-
man. Et soror Lotā, Tha
mna. Filii Suban, Aduar,
& Manolath & Vbal et
Sapphi & Ionan, quinq;.
Et filii Sebegōn, Aia &
Anan, duo. Et filii Anan,
Deson, & Elibama filia
Anan, duo. Et filii Deson,
Amadam & Eseban &
Iethran & Charran, qua-
tuor. Et filii Asar, Balaam
& Zunan & Iiacan, tres.
Et filii Degon, Vs & A-
ran, duo. Et hi reges eorū,
regnantes in Edom, ante-
quam regnasset rex in fi-
liis Israel. Baal filius Sep-
phor, & nomen quidem
ciuitati eius Dennaba. Et
mortuus est Balac, & reg
nauit pro eo Iobab, filius
Zara è Bossyras. Et mor
tuus est Iobab, et regnauit
p eo Assom, è terra Thai
manō. Et mortuus est As
som, & regnauit p eo A-
dad.

πάντες οὗτοι υἱοὶ χεττούρας. καὶ ἐγέν-
νησεν ἀβραὰμ τὸν ἰσαάκ. υἱοὶ ἰσαὰκ,
ἠσαῦ καὶ ἰσραήλ. υἱοὶ ἠσαῦ, ἐλιφὰζ καὶ
ῥαγουὴλ καὶ ἰεβοὺλ καὶ ἰεγλὼμ καὶ κορέ.
πάντες υἱοὶ ἐλιφὰζ, θαιμὰν καὶ ἰω-
μὰρ, σωφὰρ καὶ γοθὰμ καὶ κενὲζ, πέν-
τε. θαμνὰ δὲ ἡ παλλακὴ ἐλιφὰζ ἔτε-
κεν αὐτῷ τὸν ἀμαδήκ. καὶ υἱοὶ ῥαγου-
ὴλ, ναχὲθ καὶ σαμμὲ καὶ ζαρὲ καὶ μαζὲ,
τέσσαρες. καὶ υἱοὶ σηείρ, λωτὰν καὶ σου-
βὰν καὶ σεβεγὼν καὶ ἀνὰν καὶ δισίων καὶ
ἀσὰρ καὶ ῥισὼν, ἑπτά. καὶ υἱοὶ λωτὰν
χορρὶ καὶ ἡμάν. καὶ ἡ ἀδελφὴ λωτὰν,
θαμνά. υἱοὶ σουβὰν, ἀδουὰρ καὶ μαναα-
λὰθ καὶ οὐβὰλ καὶ σαπφὶ καὶ ἰωνὰν,
πέντε. καὶ υἱοὶ σεβεγὼν, αἰὰ καὶ ἀ-
νὰν, δύο. καὶ υἱοὶ ἀνὰν, δησὼν, καὶ
ἐλιβαμὰ θυγάτηρ ἀνὰν, δύο. καὶ
υἱοὶ δησὼν, ἀμαδὰμ καὶ ἐσεβὰν καὶ
ἰεθρὰν καὶ χαρρὰν, τέσσαρες. καὶ υἱοὶ
ἀσὰρ, βαλαὰμ καὶ ζαυὰν καὶ ἰακὰν,
τρεῖς. καὶ υἱοὶ δαισὼν, οὖς καὶ ἀρὰν,
δύο. καὶ οὗτοι οἱ βασιλεῖς αὐτῶν, οἱ
βασιλεύσαντες ἐν ἐδὼμ, πρὸ τοῦ
βασιλεῦσαι βασιλέα ἐν τοῖς υἱοῖς
ἰσραήλ. βαλὰκ υἱὸς σεπφὼρ, καὶ ὄνο-
μα μὲν τῇ πόλει αὐτοῦ δενναβά. καὶ
ἀπέθανε βαλὰκ, καὶ ἐβασίλευσεν
ἀντ' αὐτοῦ ἰωβὰβ, υἱὸς ζαρὰ ἐκ βοσ-
σούρας. καὶ ἀπέθανεν ἰωβὰβ, καὶ ἐ-
βασίλευσεν ἀντ' αὐτοῦ ἀσὸμ ἐκ
τῆς γῆς θαιμανῶν. καὶ ἀπέθανεν
ἀσὸμ, καὶ ἐβασίλευσεν ἀντ' αὐ-
τοῦ ἀδὰδ, υἱὸς βαρὰδ, ὁ πατά-
ξας

ξας τὴν μαδιὰμ ἐν τῷ ἀγρῷ μωὰβ, καὶ ὄνομα τῇ πόλει αὐτοῦ ἐβίθ. καὶ ἀπέθανεν ἀδὰδ, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ σαμαὰ ἐκ μασρηκά. καὶ ἀπέθανε σαμαὰ, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ σαοὺλ, ἐκ ῥοβὼθ τῆς παρὰ ποταμόν. καὶ ἀπέθανε σαοὺλ, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ βαλαεννὼν υἱὸς ἀχοβώρ. καὶ ἀπέθανε βαλαεννὼν, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ ἀδὰδ βαράθ. καὶ ὄνομα τῇ πόλει αὐτοῦ φαοὺλ. καὶ ὄνομα τῇ γυναικὶ αὐτοῦ μεταβεὴλ, θυγάτηρ μεζαάδ. καὶ ἀπέθανεν ἀδάδ. καὶ ἐγένοντο ἡγεμόνες ἐδώμ, ἡγεμὼν θαιμὰν, ἡγεμὼν ἀλυὰ, ἡγεμὼν ἰεθὰρ, ἡγεμὼν ἐλιβεμὰ, ἡγεμὼν ἠλᾶ, ἡγεμὼν φινὼ, ἡγεμὼν κενὲζ, ἡγεμὼν θαιμὰν, ἡγεμὼν βαμαὴλ, ἡγεμὼν γαμεδιὴλ, ἡγεμὼν ἀρεραμάν. οὗτοι ἡγεμόνες ἐδώμ.

Οὗτοι δὲ υἱοὶ ἰσραὴλ, ῥουβὴν, συμεὼν, λευὶ, ἰούδας, ἰσάχαρ, ζαβουλὼν, δὰν, ἰωσὴφ, βενιαμὶν, νεφθαλεὶμ, γὰδ καὶ ἀσήρ. υἱοὶ ἰούδα, ἢρ καὶ αὐνὰν καὶ σηλώμ. τρεῖς οὗτοι ἐτέχθησαν αὐτῷ ἐκ τῆς θυγατρὸς σοὺε, σαύας τῆς χαναανίτιδος. καὶ ἐγένετο ἢρ ὁ πρωτότοκος ἰούδα, πονηρὸς ἐνώπιον κυρίου, καὶ ἐθανάτωσεν αὐτόν. καὶ θάμαρ ἡ νύμφη αὐτοῦ ἔτεκεν αὐτῷ τὸν φαρὲς καὶ τὸν ζαρά. πάντες οὗτοι υἱοὶ ἰούδα, πέντε. υἱοὶ φαρὲς, ἐσρὼμ καὶ ἀμουήλ.

καὶ

dad, filius Baldad, percutiens Madian in agro Moab, & nomen ciuitati eius Ebith. Et mortuus est Adad, & regnauit pro eo Samaa ex Meserica. Et mortuus est Samaa, & regnauit pro eo Saul de Roboth, quæ ad flumen. Et mortuus est Saul, & regnauit pro eo Balaenon filius Achobor. Et mortuus est Balaenon, & regnauit pro eo Adad Barath. Et nomen ciuitati eius Phaul. Et nomen uxori eius Metabel filia Mezaad. Et mortuus est Adad. Et fuerunt duces Edom, dux Thæman, dux Alua, dux Iethar, dux Elibema, dux Hela, dux Phino, dux Cryez, dux Themā, dux Bamael, dux Gamefeel, dux Areraman. Hi duces Edom.

Hi filii Israel, Ruben, Sy Cap. II
meon, Leui, Iudas, Issa Gen. 29
char, Zabulon, Dan, Io Gen. 38
seph, Beniamin, Nephtha Matth. 1
lim, Gad & Aser. Filii Iuda, Er et Anan & Selom. Tres hi nati sunt ei è filia Sur, sana Chananitide. Et fuit Er primogenitus Iuda, malus coram domino, & occidit eum. Et Thamar nurus eius peperit ei Phares & Zara. Omnes hi filii Iuda, quinque. Filii Phares, Esrom et Amuel.

Et filii Zara, Zambri & Etham & Atthã et Chalchad, & Darale. Omnes hi quinque. Et filii Charmi, Achar, qui turbauit israel, qui inique egit in abominatione. Et filii Ethã, Azarias. Et filii Esrom, qui nati sunt ei, Hieremeel & Aram & Achalobi.
Mat.1 Et Aram genuit Aminadab.
3.Reg.16 Et Aminadab genuit Naasson, principem domus Iuda. Et Naasson genuit Salmon. Et Salmon genuit Booz. Et Booz genuit Obed. Et Obed genuit Iessæ. Et Iessæ genuit primogenitum suum Eliab, & Aminadab secundus, & Samaa tertius, & Nathanael quartus, & Reela quintus, & Asam sextus, & Dauid septim⁹. Et sorores eorum, Saruia & Abigaia. Et filii Saruias, Abessai & Ioab & Asael, tres hi. Et Abigaia peperit Amessai. Et pater Amessai Iereth Ismaelites. Et Achalobi filius Esrom accepit Azuba uxorem, & Hierioth. Et hi filii eius, Iassar & Subab et Abdom. Et mortua est Azuba. Et accepit sibi Chaleb Ephrath, & peperit ei Vr. Et Vr genuit Vri. Et Vri genuit Basceel. Et post hæc ingressus est Esron ad filiam Machir, patris Galaad. Et ipse accepit eam, &

καὶ υἱοὶ ζαρὰ, ζαμβρὶ καὶ ἠθὰμ καὶ αἰθὰν καὶ χαλχὰδ καὶ δαραλέ. πάντες οὗτοι πέντε. καὶ υἱοὶ χαρμὶ, ἄχαρ, ὁ ταράξας τὸν ἰσραὴλ, ὃς ἠσυνθέτησεν εἰς τὸ ἀνάθεμα. καὶ υἱοὶ ἠθὰμ, ἀζαρίας. καὶ υἱοὶ ἐσρὼμ, οἳ ἐγεννήθησαν αὐτῷ, ὁ ἱερεμεὴλ καὶ ὁ ἀρὰμ καὶ ὁ ἀχαλωβί. καὶ ἀρὰμ ἐγέννησε τὸν ἀμιναδάβ. καὶ ἀμιναδὰβ ἐγέννησε τὸν ναασσὼν, ἄρχοντα οἴκου ἰούδα. καὶ ναασσὼν ἐγέννησε τὸν σαλμών. καὶ σαλμὼν ἐγέννησε τὸν βοόζ. καὶ βοὸζ ἐγέννησε τὸν ὠβὴδ. καὶ ὠβὴδ ἐγέννησε τὸν ἰεσσαί. καὶ ἰεσσαὶ ἐγέννησε τὸν πρωτότοκον αὐτοῦ ἐλιὰβ, καὶ ἀμιναδὰβ ὁ δεύτερος, καὶ σαμαὰ ὁ τρίτος, καὶ ναθαναὴλ ὁ τέταρτος, καὶ ῥεηλὰ ὁ πέμπτος, καὶ ἀσὰμ ὁ ἕκτος, καὶ δαβὶδ ὁ ἕβδομος. καὶ αἱ ἀδελφαὶ αὐτῶν, σαρουία καὶ ἀβιγαία. καὶ υἱοὶ σαρουίας, ἀβεσσαὶ καὶ ἰωὰβ καὶ ἀσαὴλ, τρεῖς οὗτοι. καὶ ἀβιγαία ἔτικε τὸν ἀμεσσαί. καὶ πατὴρ ἀμεσσαὶ ἰερὲθ ὁ ἰσμαηλίτης. καὶ ἀχαλωβὶ υἱὸς ἐσρὼμ ἔλαβε τὴν ἀζουβὰ γυναῖκα, καὶ τὴν ἱεριώθ. καὶ οὗτοι οἱ υἱοὶ αὐτῆς, ἰασσὰρ καὶ σουβὰβ καὶ ἀβδώμ. καὶ ἀπέθανεν ἀζουβά. καὶ ἔλαβεν ἑαυτῷ χαλὲβ τὴν ἐφρὰθ, καὶ ἔτεκεν αὐτῷ τὸν οὔρ. καὶ οὔρ ἐγέννησε τὸν οὐρί. καὶ οὐρὶ ἐγέννησε τὸν βεσελεήλ. καὶ μετὰ ταῦτα εἰσῆλθεν ἐσρὼμ πρὸς τὴν θυγατέρα μαχὶρ, πατρὸς γαλαάδ. καὶ αὐτὸς ἔλαβεν αὐτὴν, καὶ

καὶ αὐτὸς ἑξηκονταπέντε ἐτῶν ἦν, καὶ ἔτικεν αὐτῷ τὸν γεσούβ. καὶ γεσοὺβ ἐγέννησε τὸν ἰαὴρ, καὶ ἦσαν αὐτῷ εἴκοσι καὶ τρεῖς πόλεις ἐν τῇ γαλαάδ. καὶ ἔλαβε γεσοὺβ καὶ ἀρὰμ τὰς κώμας ἰαὴρ ἐξ αὐτῶν, τὴν κανὰθ καὶ τὰς κώμας αὐτῆς, ἑξήκοντα πόλεις. πᾶσαι αὗται τῶν υἱῶν μαχὶρ, πατρὸς γαλαάδ. καὶ μετὰ τὸ ἀποθανεῖν ἐσρὼν, ἦλθε χαλὲβ ἐφραθὰ, καὶ ἡ γυνὴ ἐσρὼν ἀβιὰ, καὶ ἔτεκεν αὐτῷ τὸν ἀσδὼμ, πατέρα θεκωέ. καὶ ἦσαν υἱοὶ ἱεραμεὴλ πρωτοτόκου ἐσρὼμ, ὁ πρωτότοκος ῥὰμ, καὶ βαανὰ καὶ ἀρὰμ, καὶ ἀσὸμ ἀδελφὸς αὐτοῦ. καὶ ἦν γυνὴ ἑτέρα τῷ ἱεραμεὴλ, καὶ ὄνομα αὐτῇ ἀταρά. αὕτη ἐστὶ μήτηρ ὀνάμ. καὶ ἦσαν υἱοὶ ἀρὰμ πρωτοτόκου ἱεραμεὴλ, μαὰς καὶ ἰαβὶν καὶ ἀκόρ. καὶ ἦσαν υἱοὶ ὀνὰμ, σαμμαὶ καὶ ἰεδδαΐ. καὶ υἱοὶ σαμμαὶ, ναδὰβ καὶ ἀβισούρ. καὶ ὄνομα τῆς γυναικὸς ἀβισοὺρ, ἀβιγαία, καὶ ἔτεκεν αὐτῷ τὸν ὀζβᾶ καὶ τὸν μοδδί. καὶ υἱοὶ ναδὰβ, σαλὰδ καὶ ἀφφαίμ. καὶ ἀπέθανε σαλὰδ, οὐκ ἔχων τέκνα. καὶ υἱὸς ἀφφαὶμ, ἰεσί. καὶ υἱὸς ἰεσὶ, σωσάν. καὶ υἱὸς σωσὰν, δαδαί. καὶ υἱοὶ δαδαὶ, ἀχισαμμαὶ καὶ ἰεθὲρ καὶ ἰωνάθαν. καὶ ἀπέθανεν ἰεθὲρ, οὐκ ἔχων τέκνα. καὶ υἱοὶ ἰωνάθαν, φαλὲθ καὶ ζαζά. οὗτοι ἦσαν υἱοὶ ἱεραμεήλ. καὶ οὐκ ἦσαν τῷ σωσὰν υἱοὶ, ἀλλ᾽ ἢ θυγατέρες. καὶ τῷ

& ipse filius sexaginta quinque annorum, & peperit ei Gesub. Et Gesub genuit Iair, & fuerunt ei uiginti & tres ciuitates in terra Galaad. Et accepit Gesub & Aram uicos Iair ab eis, Canath & uicos eius, sexaginta ciuitates. Oēs hę filiorū Machir, patris Galaad. Et postquam mortuus esset Esrō, uenit Chāleb Ephratha, et uxor Esrō Abia, et pepit ei Asdō, patrem Thecoe. Et fuerunt filii Hieremeel primogeniti Esrom, primogenitus Ram, & Baana & Aram, & Asom frater eius. Et fuit uxor altera Hierameel, & nomen ei Atara. Hæc mater Vnam. Et fuerunt filii Aram primogeniti Hieremeel, Maas & Iabin & Açor. Et fuerūt filii Vnam, Sammai & Ieddae. Et filii Sammai, Nadab & Abisur. Et nomen uxoris Abisur Abigaia, & peperit ei Ozba & Moddi. Et filii Nadab, Salad & Aphphain. Et mortuus est Salad, non habens liberos. Et filius Aphphain, Iesi. Et filius Iesi, Sosan. Et filius Sosan, Dadai. Et filii Dadai, Achisammai & Iether & Ionathā. Et mortuus ē Iether, nō habēs liberos. Et filii Ionathan, Phaleth et Zaza. Hi fuerūt filii Hierameel. Et non fuerunt Sosan filii, sed filiæ. Et

Sosan seruus erat Aegyptius, & nomē ei Hieraa. Et dedit Apisan filiam suā Hiera seruo suo in uxorē, & pepit ei Etthi. Et Etthi genuit Nathan. Et Nathan genuit Zabad. Et Zabad genuit Ophlad. Et Ophlad genuit Iobed. Et Iobed genuit Iu. Et Iu genuit Azarian. Et Azarias genuit Chelles. Et Chelles genuit Eleasa. Et Eleasa genuit Sosomai. Et Sosomai genuit Salum. Et Salum genuit Iecomian. Et Iecomias genuit Elisama. Filii Chaleb fratris Ierameel, Masa primogenitus eius, ipse pater Ziph. Et filii Marissa, patris Chebrō. Et filii Chebrō, Core & Taphphu & Recom & Sama. Et genuit Rhaē, patrē Hiercaan. Et Hiercaan genuit Sāmai. Et filius Sammai, Maon. Et Maon, pater Bæthsur. Et Gepha pellex Chaleb peperit Araam & Mosa & Gazer. Et filii Iaddai, Regma & Ioathā & Gersom & Phalet & Gaipha & Segaph. Et pellex Chaleb Mocha genuit Seber & Tharchana. Et genuit Seph, patrē Madmena, & Saul, patrē Madebena, et pater Agebda. Et filia Chaleb, Ascha. Hi erant filii Chaleb, filii Or primogeniti Ephratha, et

Sobal

σωσὰν παῖς ἦν αἰγύπτιος, καὶ ὄνομα αὐτῷ ἰδραά. καὶ ἔδωκεν ἀπισὰν τὴν θυγατέρα αὐτοῦ τῷ ἰδρᾶ παιδὶ αὐτοῦ εἰς γυναῖκα, καὶ ἔτικεν αὐτῷ τὸν ἐθθί. καὶ ἐθθὶ ἐγέννησε τὸν ναθάν. καὶ νάθαν ἐγέννησε τὸν ζαβάδ. καὶ ζαβὰδ ἐγέννησε τὸν ὀφλάδ. καὶ ὀφλὰδ ἐγέννησε τὸν ἰωβήδ. καὶ ἰωβὴδ ἐγέννησε τὸν ἰοῦ. καὶ ἰοῦ ἐγέννησε τὸν ἀζαρίαν. καὶ ἀζαρίας ἐγέννησε τὸν χελλής. καὶ χελλὴς ἐγέννησε τὸν ἐλεασά. καὶ ἐλεασὰ ἐγέννησε τὸν σοσομαΐ. καὶ σοσομαὶ ἐγέννησε τὸν σαλούμ. καὶ σαλοὺμ ἐγέννησε τὸν ἰεχομίαν. καὶ ἰεχομίας ἐγέννησε τὸν ἐλισαμά. οἱ υἱοὶ χαλὲβ ἀδελφοῦ ἰεραμεήλ, μασὰ ὁ πρωτότοκος αὐτοῦ, οὗτος πατὴρ ζίφ. καὶ υἱοὶ μαρισά, πατρὸς χεβρών. καὶ υἱοὶ χεβρών, κορὲ καὶ θαφφοῦ καὶ ῥεκὸμ καὶ σαμά. καὶ σαμὰ ἐγέννησε τὸν ῥαὲμ, πατέρα ἱερκαάμ. καὶ ἱερκαὰμ ἐγέννησε τὸν σαμμαΐ. καὶ υἱὸς σαμμαΐ, μαών. καὶ μαὼν, πατὴρ βαιθσούρ. καὶ γεφὰ ἡ παλλακὴ χαλὲβ ἐγέννησε τὸν ἀραὰμ καὶ τὸν μοσὰ καὶ τὸν γαζέρ. καὶ υἱοὶ ἰαδδαΐ, ῥεγμὰ καὶ ἰωαθὰμ καὶ γηρσὼμ καὶ φαλὲτ καὶ γαιφὰ καὶ σεγάφ. καὶ ἡ παλλακὴ χαλὲβ μαχὰ ἐγέννησε τὸν σεβὲρ καὶ τὸν θαρχανά. καὶ ἐγέννησε σέφ, πατέρα μαδμηνά, καὶ τὸν σαοὺλ, πατέρα μαδεβηνά, καὶ πατὴρ ἀγεβδά. καὶ θυγάτηρ χαλὲβ, ἀσχά. οὗτοι ἦσαν υἱοὶ χαλὲβ, υἱοὶ ὢρ πρωτοτόκου ἐφραθά, καὶ

σω-

σωβὰλ πατὴρ καριαθιαρὶμ, καὶ σολομὼν πατὴρ βηθλεὲμ. καὶ μαρὶ πατὴρ βεθγεδώμ. καὶ ἦσαν υἱοὶ τῷ σωβὰλ, πατρὶ καριαθιαρὶμ, ἀραὰ καὶ αἰσὶ καὶ ἀμμανὶθ καὶ ὀμασφαὶ καὶ καριαθιαρὶμ καὶ μηφιθὶμ καὶ ἰσαμαθὶμ καὶ ἰσαμαριὶμ. ἐκ τούτων ἐξῆλθον οἱ σαραθαῖοι καὶ οἱ ἐσθαωλαῖοι. καὶ υἱοὶ σαλαμὼ βηθλεὲμ, ὁ νετωφατὶ, καὶ ἀταρὼθ οἴκου ἰωὰβ, καὶ ἥμισυ τῆς μαναθυσαρὶ, πατριαὶ γραμματέων κατοικούντων ἐν ἰάβες, θαργαθιὶμ καὶ σωχαθίμ. οὗτοι οἱ κιναῖοι οἱ ἐλθόντες ἐξ αἱμὰθ, πατρὸς οἴκου ῥηχάβ. Καὶ οὗτοι ἦσαν υἱοὶ δαβὶδ, οἱ τεχθέντες αὐτῷ ἐν χεβρών. ὁ πρωτότοκος ἀμνὼν τῇ ἀχιναὰμ τῇ ἰεζραηλίτιδι. ὁ δεύτερος δαλουιὰ τῇ ἀβιγαίᾳ τῇ καρμηλίᾳ. ὁ τρίτος ἀβεσσαλὼμ, υἱὸς μααχὰ θυγατρὸς θολμαΐ, βασιλέως γεσσούρ. ὁ τέταρτος ἀδωνίας, υἱὸς ἀγγίθ. ὁ πέμπτος σαβατίας τῆς ἀβιτάλ. ὁ ἕκτος ἰεθραὰμ τῇ αἰγλὰ γυναικὶ αὐτοῦ. ἓξ ἐγεννήθησαν αὐτῷ ἐν χεβρὼν, καὶ ἐβασίλευσεν ἐκεῖ ἑπτὰ ἔτη καὶ ἑξάμηνον. καὶ τριάκοντα καὶ τρία ἔτη ἐβασίλευσεν ἐν ἱερουσαλὴμ, καὶ οὗτοι ἐτέχθησαν αὐτῷ ἐν ἱερουσαλὴμ, σαμαὰ καὶ σωβὰβ, ναθὰμ καὶ σολομὼν, τέσσαρες τῇ βηρσαβεὲ, θυγατρὶ ἀμιὴλ. καὶ ἐβαὰρ καὶ ἐλισαμὰ καὶ ἐλιφαλὲτ καὶ ναγὲθ καὶ ναφὲθ καὶ ἰαφιὲ

Sobal pater Cariathiarim, & Solomon pater Bethlecm, & Mari pater Bethgedom. Et fuerunt filii Sobal, patri Cariathiarim, Araa & Aisi & Ammanith & Vmasphae & Cariathiarim & Mephithim & Hisamathim & Hisamariim. Ex his exierunt Sarathæi & Esthaolæi. Et filii Salamo Bethleem, Netophati, et Ataroth domus Ioab, et dimidiū Manathesaari, familiæ scribarū inhabitantiū in Iabes, Thargathiim & Sochathim. Hi Cynæi, uenientes ex Hemath, patris domus Rechab. Et hi fuerūt filii Dauid, nati ei in Chebrō,
Primogenitus Amnō Achinaā Iezraelitidi. Secūdus Daluia Abigaiæ Carmeliæ. Tertius Abessalō, filius Mocha filiæ Tholmai, regis Gesur. Quartus Adonias, filius Aggith. Quintus Sabatias Abital. Sextus Iethraam Aglaa uxori eius. Sex nati sunt ei in Chebron, & regnauit ibi septem annos, & sex menses. Et triginta & tres annos regnauit in Hierusalem, et hi nati sunt ei in Hierusalem. Samaa & Sobab, Nathan & Solomon, quatuor Bersabee, filiæ Amiel. Et Sobar & & Helisama & Eliphalet & Nages & Naphet & Iaphie

2.Reg.3

&

& Helisama & Eliadac & Eliphalet, nouem, omnes filii Dauid, præter filios pellicum, & Themar
Matth. 1 soror eorũ. Filii Solomõ, Roboã, Abia filius eius, Asa filius eius, Iosaphat filius eius, Ioram filius eius, Ochozias filius eius, Ioas filius eius, Amasias filius eius, Ozias filius eius, Ioatham filius eius, Achaz filius eius, Ezecias filius eius, Manasses filius eius, Amos filius eius, Iosias filius eius. Et filii Iosiæ, primogenitus Iochanã, secũdus Ioacim, tertius Sedecias, quartus Sellum. Et filii Ioacim Iechonias filius eius, Sedecias filius eius. Et filii Iechoniæ, Aser, Salathiel filius eius, Melchirã & Phadaias, & Anesar & Iezecia & Hosamo et Sabadias. Et filii Phadaias, Zorobabel & Semei. Et filii Zorobabel, Mosollã & Anania, et Sallinim soror eorũ. Et Asubec et Oel et Barachia et Asadia et Asobed, quinq;. Et filii Ananiæ, Phaluas, et Iesias filius eius, Rapha filius eius, Orna filius ei⁹, Abdia filius eius, Sechenias filius eius. Et filius Sechenias, Samia. Et filii Samia, Lattus et Iocl et Berrhi et Noadi et Saph et Noada, sex. Et filii Nozda, Helionai, Ezecia et Esdricã, tres. Et filii Hellonai, Vadia et Heliasebõ et Phadaia et Acaũ et Ionan et Dalaia & Anan, septem.

καὶ ἐλισαμὰ καὶ ἐλιαδὰκ καὶ ἐλιφαλὶτ, ἐννέα, πάντες υἱοὶ δαβὶδ, πλὴν τῶν υἱῶν τῶν παλλακῶν, καὶ θήμαρ ἀδελφὴ αὐτῶν. υἱοὶ σολομὼν, ῥοβοὰμ, ἀβιὰ υἱὸς αὐτοῦ, ἀσὰ υἱὸς αὐτοῦ, ἰωσαφὰτ υἱὸς αὐτοῦ, ἰωρὰμ υἱὸς αὐτοῦ, ὀχοζίας υἱὸς αὐτοῦ, ἀμασίας υἱὸς αὐτοῦ, ὀζίας υἱὸς αὐτοῦ, ἰωαθὰμ υἱὸς αὐτοῦ, ἄχαζ υἱὸς αὐτοῦ, ἐζεκίας υἱὸς αὐτοῦ, μανασσῆς υἱὸς αὐτοῦ, ἀμὼς υἱὸς αὐτοῦ, ἰωσίας υἱὸς αὐτοῦ. καὶ υἱοὶ ἰωσία, ὁ πρωτότοκος ἰωχανὰν, ὁ δεύτερος ἰωακεὶμ, ὁ τρίτος σεδεκίας, ὁ τέταρτος σελλούμ. καὶ υἱοὶ ἰωακὶμ, ἰεχονίας υἱὸς αὐτοῦ, σεδεκίας υἱὸς αὐτοῦ. καὶ υἱοὶ ἰεχονία, ἀσὴρ, σαλαθιὴλ υἱὸς αὐτοῦ, μελχιρὰμ καὶ φαδαίας καὶ ἀνησὰρ καὶ ἰεζεκία καὶ ὡσαμὼ καὶ σαβαδίας. καὶ υἱοὶ φαδαίας, ζοροβάβελ καὶ σεμεΐ. καὶ υἱοὶ ζοροβάβελ, μοσολλὰμ καὶ ἀνανία, καὶ σαλλιμὶμ ἀδελφὴ αὐτῶν. καὶ ἀσουβὲ καὶ ὀὴλ καὶ βαραχία καὶ ἀσαδία καὶ ἀσοβὲδ, πέντε. καὶ υἱοὶ ἀνανία, φαλτίας, καὶ ἰωσίας ὁ υἱὸς αὐτοῦ, ῥαφὰ υἱὸς αὐτοῦ, ὀρνὰ υἱὸς αὐτοῦ, ἀβδία υἱὸς αὐτοῦ, σεχενίας υἱὸς αὐτοῦ. καὶ υἱὸς σεχονίας, σαμιά. καὶ υἱοὶ σαμιὰ, λαττοὺς καὶ ἰωὴλ καὶ βεῤῥὶ καὶ νωαδὶ καὶ σαφ καὶ νωαδὰ, ἕξ. καὶ υἱοὶ νωαδιὰ, ἐλιωναὶ, ἐζεκία καὶ ἐσδρικὰμ, τρεῖς. καὶ υἱοὶ ἐλιωναὶ, ὠδαιὰ καὶ ἐλιασεβὼν καὶ φαδαιὰ καὶ ἀκοὺμ καὶ ἰωναὰν καὶ δαλαιὰ καὶ ἀνὰν, ἑπτά.

Καὶ υἱοὶ ἰούδα, φαρὲς, ἐσρὼμ καὶ χαρμὶ καὶ ὢρ καὶ σουβὰ, καὶ σαδαίας υἱὸς αὐτοῦ. καὶ σουβὰ ἐγέννησε τὸν ἰὲθ. καὶ ἰὲθ ἐγέννησε τὸν ἀχιμαὶ καὶ τὸν λάδ. αὗται δὲ αἱ γενέσεις τοῦ ἀραθί. καὶ οὗτοι υἱοὶ αἰτὰν, ἰεσραὴλ καὶ ἰεσμαὰν καὶ ἰεβδὰν, ὄνομα δὲ ἀδελφῆς αὐτῶν ἐσιαδεσφών. καὶ φανουὴλ πατὴρ γαδὼν. καὶ ἰεζὲρ πατὴρ ὡσά. οὗτοι υἱοὶ ὢρ πρωτοτόκου ἐφραθὰ, πατρὸς βεθλεέμ. καὶ τῷ ἀσοὺρ πατρὶ θεκουὲ ἦσαν δύο γυναῖκες, χαλλὰ καὶ μααρά. καὶ ἔτεκεν αὐτῷ ἡ μααρὰ τὸν ἀχὰζ καὶ τὸν θαιμὰν καὶ τὸν ἀασθήρ. ἅπαντες οὗτοι υἱοὶ μααρᾶς. καὶ υἱοὶ χαλλὰ, σερὲθ καὶ σοὸρ καὶ ἐσθανάμ. καὶ κωὲ ἐγέννησε τὸν ἐνὼβ καὶ τὸν σωσηβά. καὶ γεννήσεις ἀδελφοῦ ῥηχὰβ, υἱοὶ ἰαρίμ. καὶ ἦν ἰαβὶς ἔνδοξος ὑπὲρ τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ ἡ μήτηρ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ ἰαβὴλ, λέγουσα, ὅτι ἔτεκον ἐν διαπλώσει. καὶ ἐπεκαλέσατο ἰαβὴλ τὸν θεὸν ἰσραὴλ, λέγων, ἐὰν εὐλογῶν εὐλογήσῃς με, καὶ πληθύνῃς τὰ ὅριά μου, καὶ ἡ χείρ σου ᾖ μετ' ἐμοῦ, καὶ ποιήσῃς γνῶσιν τοῦ μὴ ταπεινῶσαί με. καὶ ἐπήγαγεν αὐτῷ ὁ θεὸς πάντα, ὅσα ᾐτήσατο. καὶ χαλὲβ πατὴρ ἀχὰ, ἐγέννησε τὸν μαχίρ. οὗτος πατὴρ ἀσσαθών. καὶ ἀσσαθὼν ἐγέννησε τὸν σαθρεφὰ καὶ φισσὲ καὶ τὸν θανὰ, πατέρα πόλεως ναάς, ἀδελφοῦ σελὼμ τοῦ κενεζὶ, καὶ ἀχάζ.

Cap. III

Et filii Iuda, Phares, Esrõ et Charmi et Or et Suba, et Sadaias filius eius. Et Suba genuit Ieth. Et Ieth genuit Achimai et Lad. Hę uerò generatiões Arathi. Et hi filii Aitã, Iesrael et Iesman et Iebdã, nomẽ uerò sororis eorũ, Esiadesphon. Et Phanauel pater Gadon. Et Iezer pater Osa. Hi filii Or primogeniti Ephratha, patris Bethleẽ. Et Asur patri Thecue erant uxores duæ, Challa et Maara. Et peperit ei Maara, Achaz et Thaiman et Aasther. Omnes hi filii Maaras. Et filii Challa, Sereth et Soor et Esthanã. Et Coe genuit Enob et Soseba. Et generatiões fratris Rechab, filii Iarin. Et fuit Iabis gloriosus super fratres eius, et Mater uocauit nomẽ eius, Iabel, dicẽs; Quod peperi in perturbatiõe. Et inuocauit Iabes deũ Israel, dicens, Si benedicens benedixeris mihi, et multiplicaueris terminos meos, et manus tua fuerit mecũ, et feceris cognitionem, ut non opprimas me. Et adduxit ei deus omnia, quæ cunctꝙ precatus est. Et Chaleb pater Acha genuit Machir. Hic pater Asathon. Et Asathon genuit Sathrepha et Phesse et Thana, patrẽ urbis Naas, fratris Selõ Cenezi, et Achaz.

Achaz. Hi uiri Repha. Et filii Cenez, Gothoniel & Saraia. Et filii Gothoniel, Athath et Manathi. Et Manathi genuit Gophra. Et Saraia genuit Iorā, patrem Gesafarim, quoniam fabri erant. Et filii Chaleb, filii Iephthonne, Hela & Naam. Et filius Hela, Cenez. Et filii Amelē, Ziph & Zepha & Theria & Eserel. Et filii Euri, Iether, Morad & Opher & Iamon. Et genuit Iether Maron & Semai, & Iesba patrem Gedor, & patrem Esthamon. Et uxor eius, ea Aidia, peperit ei Iared patrē Gedor, & Aber patrem Socho, & Iechthiel patrem Zano. Et hi filii Beththia filiæ Pharao, quam accepit Morel, & filii mulieris Idumææ, sororis Chanaim. Et Dalia pater Caiela. Et Simeō pater Iomā. Et filii Naim patris Caiela filii Charmi, qui & Esthemoi, Machathi. Et filii Semeō, Amnō, & Rhānō filius Anā, & Thimnō, et filii Eszochath.

Cap. IIII Et filii Zochath, filii Eulo, filii Iuda. Et pater Lebac. Et Laada pater Marisa. Et cognatio domesticorū Ebdathabbus domui Esoba, & Ioacim. Et uiri Chozeba, et Ioas & Saraphi inhabitarunt Moab, & reduxit eos Abedder in Mathuciim. Hi figuli

ἄχαζ. οὗτοι ἄνδρες ῥηφά. καὶ υἱοὶ κενέζ, γοθονιὴλ καὶ σαραΐα. καὶ υἱοὶ γοθονιὴλ, ἀθὰθ καὶ μαναθί. καὶ μαναθὶ ἐγέννησε τὸν γοφρά. καὶ σαραΐα ἐγέννησε τὸν ἰωράμ, πατέρα γησαρίμ, ὅτι τέκτονες ἦσαν. καὶ υἱοὶ χάλεβ υἱοῦ ἰεφθοννὴ, ἠλὰ καὶ νοάμ. καὶ υἱοὶ ἠλὰ, κενέζ. καὶ υἱοὶ ἀμελὴλ, ζὶφ καὶ ζεφὰ καὶ θηριὰ καὶ ἐσεριήλ. καὶ υἱοὶ ἐζρί, ἰεθὲρ, μωρὰδ καὶ ὄφερ καὶ ἰαμών. καὶ ἐγέννησεν ἰεθὲρ τὸν μαρὼν καὶ τὸν σεμαΐ, καὶ τὸν ἰεσβὰ πατέρα γεδώρ, καὶ πατέρα ἐσθαμών. καὶ ἡ γυνὴ αὐτοῦ, αὕτη ἀϊδία, ἔτεκεν αὐτῷ τὸν ἰάρεδ πατέρα γεδὼρ, καὶ τὸν ἀβὲρ πατέρα σωχώ, καὶ τὸν ἰεχθιὴλ πατέρα ζανώ. καὶ οὗτοι υἱοὶ βεθθιὰ θυγατρὸς φαραὼ, ἣν ἔλαβε μωρήλ, καὶ υἱοὶ γυναικὸς τῆς ἰδουμαίας, ἀδελφῆς χαναίμ. καὶ δαλιὰ πατὴρ κεϊλά. καὶ σιμεὼν πατὴρ ἰωμάμ. καὶ οἱ υἱοὶ ναὶμ πατρὸς κεϊλὰ τοῦ χαρμὶ, καὶ ἐσθεμωΐ, μαχαθί. καὶ υἱοὶ σεμεὼν, ἀμνὼν, καὶ ῥαμνὼν υἱὸς ἀνὰμ, καὶ θιμνὼν, καὶ υἱοὶ ἐσζωχάθ.

Καὶ υἱοὶ ζωχὰθ, υἱοὶ ἐυλὼ, υἱοῦ ἰούδα. ἦν πατὴρ λεβάκ. καὶ λαδὰ πατὴρ μαρισά. καὶ γενέσεις οἰκείων ἐβδαθάββους τῷ οἴκῳ ἐσοβὰ, καὶ ἰωακείμ. καὶ ἄνδρες χωζηβὰ, καὶ ἰωὰς καὶ σαραφὶ κατῴκησαν ἐν μωὰβ, καὶ ἐπέστρεψεν αὐτοὺς ἀβεδδὴρ εἰς ματθουκιίμ. οὗτοι κεραμεῖς, οἱ κατοικοῦντες ἐν ἀταΐμ. καὶ γαδηρὰ μετὰ

quinque cubitorum altitu-
do. Et circuitus triginta
cubitorum cingebant il-
lud in circuitu. Et assimu-
latio uitulorū subter illud,
orbe cingent illud, decem
cubitus continētes peluim
à circuitu. Duo genera
conflauerunt, & uitulos in
conflatura, quam fecerunt
eos, duodecim uitulos.
Tres spectantes Aquilo-
nem, & tres spectantes oc-
casus, & tres spectantes or
tus, & mare in eis supra,
& erant posteriora ipso-
rum intus. Et crassitudo
eius, palmus. Et labium
eius, ut labium poculi ex
sculpti germinibus lilii,
capiens metretarum tria
millia, & perfecit. Et fecit
pelues decem, & posuit
quinque à dextris, et quin
que à sinistris, ut lauarent
in eis opera solidorum in-
censorum, & abluerent in
eis. Et mare, ad lauandum
sacerdotes in eo. Et fecit

 cam-

candelabra aurea decem, pro iudicio eorum, & posuit in templo quinq; à dextris, & quinque à sinistris. Et fecit mensas decem, et posuit quinq; à dextris, et quinq; à sinistris. Et fecit phialas aureas cētum. Et fecit atrium sacerdotum, & atrium magnū, & fores atrio, & ostia ipsorum ærata ære. Et mare posuit ab angulo domus, à dextris usq; ad ortus, ex aduerso. Et fecit Chiram fuscinas & thuribula, & focum aræ. & omnia uasa eius. Et cōsummauit Chiram facere omnem operationem, quā fecit rex Solomō in domo dñi dei, columnas duas, & in eis golath chotareth, in capitellis columnarum duo, et reticula duo, ut contegerent capita chotareth, quę sunt in capitibus columnarum, et malogranata aurea quadringenta in duo reticula, et duo genera malogranatorum in reticulo uno, ad contegendum duo golath chotareth, quæ sunt supra columnas. Et mechonoth fecit decem. Et pelues fecit super mechonoth, & mare unum, & uitulos duodecim sub eo, & fulcra & receptores, & lebetes &

τὰς λυχνίας τὰς χρυσᾶς δέκα, κατὰ τὸ κρίμα αὐτῶν, καὶ ἔθηκεν ἐν τῷ ναῷ πέντε ἐκ δεξιῶν, καὶ πέντε δὲ ἀριστερῶν. καὶ ἐποίησε τραπέζας δέκα, καὶ ἔθηκεν ἐν τῷ ναῷ, πέντε ἐκ δεξιῶν, καὶ πέντε δὲ εὐωνύμων. καὶ ἐποίησε τὴν αὐλὴν τῶν ἱερέων, καὶ τὴν αὐλὴν τὴν μεγάλην, καὶ θύρας τῇ αὐλῇ, καὶ τὰ θυρώματα αὐτῶν κατακεχαλκωμένα χαλκῷ. καὶ τὴν θάλασσαν ἔθηκεν ἀπὸ γωνίας τοῦ οἴκου, ἐκ δεξιῶν ἕως πρὸς ἀνατολὰς, κατέναντι. καὶ ἐποίησε Χιρὰμ τὰς κρεάγρας καὶ τὰ πύρεια, καὶ τὴν ἐσχάραν τοῦ θυσιαστηρίου, καὶ πάντα τὰ σκεύη αὐτοῦ. καὶ συνετέλεσε Χιρὰμ ποιῆσαι πᾶσαν τὴν ἐργασίαν, ἣν ἐποίησεν ὁ βασιλεὺς Σολομὼν ἐν οἴκῳ κυρίου τοῦ θεοῦ, στύλους δύο, καὶ ἐπ᾽ αὐτῶν γωλὰθ τῆς χωταρὶθ, ἐπὶ τῶν κεφαλίδων τῶν στύλων δύο, καὶ δίκτυα δύο συγκαταλύψαι τὰς κεφαλὰς τῶν χωταρὶθ, ἅ ἐστιν ἐπὶ τῶν κεφαλῶν τῶν στύλων, καὶ κώδωνας χρυσοῦς τετρακοσίους εἰς τὰ δύο δίκτυα, καὶ δύο γένη ῥοΐσκων ἐν τῷ δικτύῳ τῷ ἑνὶ, τοῦ συγκατακαλύψαι τὰ δύο γωλὰθ τῶν χωταρὶθ, ἅ ἐστιν ἐπάνω τῶν στύλων. καὶ τὰ μεχωνὼθ ἐποίησε δέκα. καὶ τοὺς λουτῆρας ἐποίησεν ἐπὶ τοὺς μεχωνώθ. καὶ τὴν θάλασσαν μίαν, καὶ τοὺς μόσχους τοὺς δώδεκα ὑποκάτω αὐτῆς, καὶ τοὺς ποδιστῆρας καὶ τοὺς ἀναλυπτῆρας, καὶ τοὺς λέβητας

καὶ

καὶ τὰς κρεάγρας, καὶ πάντα τὰ σκεύη αὐτῶν, ἃ ἐποίησε χιρὰμ, καὶ ἀνήνεγκε τῷ βασιλεῖ σολομῶντι, ἐν οἴκῳ κυρίου, χαλκοῦ καθαροῦ. ἐν τῷ περιχώρῳ τοῦ ἰορδάνου ἐχώνευσεν αὐτὰ ὁ βασιλεὺς, ἐν τῷ πάχει τῆς γῆς, ἐν οἴκῳ σοκχὼθ καὶ ἐν οἴκῳ σαρηδαθὰ, καὶ ἐποίησε σολομῶν πάντα τὰ σκεύη ταῦτα εἰς πλῆθος σφόδρα, ὅτι οὐκ ἐξέλιπον ὁλκὴ τοῦ χαλκοῦ. καὶ ἐποίησε σολομῶν πάντα τὰ σκεύη οἴκου κυρίου, καὶ τὸ θυσιαστήριον τὸ χρυσοῦν, καὶ τὰς τραπέζας, καὶ ἐπ' αὐτῶν ἄρτους προθέσεως, καὶ τὰς λυχνίας, καὶ τοὺς λύχνους τοῦ φωτὸς, κατὰ τὸ κρίμα, καὶ κατὰ τὸ πρόσωπον τοῦ δαβὶρ, χρυσίου καθαροῦ, καὶ αἱ λαβίδες αὐτῶν, καὶ οἱ λύχνοι αὐτῶν, καὶ τὰς φιάλας καὶ τὰς θυΐσκας καὶ τὰ πυρεῖα, χρυσίου καθαροῦ. καὶ ἡ θύρα τοῦ οἴκου ἡ ἐσωτέρα εἰς τὰ ἅγια τῶν ἁγίων, καὶ τὰς θύρας τοῦ οἴκου τοῦ ναοῦ χρυσᾶς. καὶ συνετελέσθη πᾶσα ἡ ἐργασία, ἣν ἐποίησε σολομῶν ἐν οἴκῳ κυρίου. καὶ εἰσήνεγκε σολομῶν τὰ ἅγια δαβὶδ τοῦ πατρὸς αὐτοῦ, τὸ ἀργύριον καὶ τὸ χρυσίον καὶ τὰ σκεύη, καὶ ἔδωκεν αὐτὰ ἐς θησαυρὸν οἴκου κυρίου.

Τότε ἐξεκκλησίασε σολομῶν πάντας τοὺς πρεσβυτέρους ἰσραὴλ, καὶ πάντας τοὺς ἄρχοντας τῶν φυλῶν, τοὺς ἡγουμένους πατριῶν υἱῶν ἰσραὴλ, εἰς ἱερουσαλὴμ, τοῦ ἀνενέγκαι

τὴν

& fuscinas. Et omnia uasa eorum, quæ fecit Chirā, & obtulit regi Solomoni, in domo domini, ex ære puro. In uicina regione Iordanis conflauit ea rex in crassitudine terrę, in domo Socchoth et in domo Saredatha. Et fecit Solomō omnia uasa hæc in copiam ualde, quoniam non defecit pondus æris. Et fecit Solomon omnia uasa domus domini, & altare aureum, & mensas, & super eas panes propositionis, & candelabra, & lucernas lucis, pro iudicio, & in conspectu dabir, ex auro puro, & forcipes eorum, & lucernæ eorum, & phialas & mortariola, & thuribula, auri puri. Et ostium domus interius, quod in sancta sanctorū, & ostia domus templi aurea. Et consummata est omnis operatio, quam fecit Solomon in domo domini. Et intulit Solomō sancta Dauid patris sui, & argentum & aurum & uasa, & dedit ea in thesaurū domus domini.

Tunc euocauit Solomō Cap. III
omnes seniores Israel, & 3. Reg. 7
omnes principes tribuum, & duces familiarum filiorum Israel, in Hierusalem, ut adducerent

arcam

arcam fœderis domini ex urbe Dauid, ea Sion. Et euocati sunt ad regem omnis uir Israel in die festo, hic mensis septimus. Et uenerunt omnes seniores Israel. Et acceperunt omnes Leuitæ arcam, & attulerunt arcam, & tabernaculum testimonii, & omnia uasa sancta quæ in tabernaculo. Et attulerunt eam sacerdotes & Leuitæ, & rex Solomon, & omnis congregatio filiorum Israel, & timentes, & collecti eorum ante arcam dei, immolantes uitulos et oues, quæ non numerabũtur, neq; æstimabũtur pre multitudine. Et intulerũt sacerdotes arcam fœderis domini in locum suum, in dabir domus, in sancta sanctorum, subter alas Cherubim. Et erant Cherubim distendentia alas suas, super locum arcæ. Et contegebant Cherubim super arcam, & super uectes eius supra. Et continebant uectes, & uidebantur capita uectium è sanctis, in conspectum dabir, non uidebantur extra, & fuerunt illic usque ad diem hanc. Non erat in arca nisi duæ tabulæ, quas posuit Moyses in Choreb, quæ disposuit dominus cum filiis Israel,

cum

τὴν κιβωτὸν διαθήκης κυρίου ἐκ πόλεως δαβὶδ, αὕτη σιών. καὶ ἐξεκκλησιάσθησαν πρὸς τὸν βασιλέα πᾶς ἀνὴρ ἰσραὴλ, ἐν τῇ ἑορτῇ, οὗτος ὁ μὴν ὁ ἕβδομος. καὶ ἦλθον πάντες οἱ πρεσβύτεροι ἰσραήλ. καὶ ἔλαβον πάντες οἱ λευῖται, καὶ ἀνήνεγκαν τὴν κιβωτὸν, καὶ τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ πάντα τὰ σκεύη τὰ ἅγια ἐν τῇ σκηνῇ. καὶ ἀνήνεγκαν αὐτὴν οἱ ἱερεῖς καὶ οἱ λευῖται, καὶ ὁ βασιλεὺς σολομὼν, καὶ πᾶσα ἡ συναγωγὴ υἱῶν ἰσραὴλ, καὶ οἱ φοβούμενοι, καὶ οἱ ἐπισυνηγμένοι αὐτῶν, ἔμπροσθεν τῆς κιβωτοῦ, θύοντες μόσχους καὶ πρόβατα, οἳ οὐκ ἀριθμηθήσονται, καὶ οἳ οὐ λογισθήσονται ἀπὸ τοῦ πλήθους. καὶ εἰσήνεγκαν οἱ ἱερεῖς τὴν κιβωτὸν διαθήκης κυρίου εἰς τὸν τόπον αὐτῆς, εἰς τὸ δαβὶρ τοῦ οἴκου, εἰς τὰ ἅγια τῶν ἁγίων, ὑποκάτω τῶν πτερύγων τῶν χερουβίμ. καὶ ἦν τὰ χερουβὶμ διαπεπτακότα τὰς πτέρυγας αὐτῶν, ἐπὶ τὸν τόπον τῆς κιβωτοῦ. καὶ συνεκάλυπτον τὰ χερουβὶμ ἐπὶ τὴν κιβωτὸν, καὶ ἐπὶ τοὺς ἀναφορεῖς αὐτῆς ἐπάνωθεν. καὶ ὑπερεῖχον οἱ ἀναφορεῖς, καὶ ἐβλέποντο αἱ κεφαλαὶ τῶν ἀναφορέων ἐκ τῶν ἁγίων, εἰς πρόσωπον τοῦ δαβὶρ, οὐκ ἐβλέποντο ἔξω, καὶ ἦσαν ἐκεῖ ἕως τῆς ἡμέρας ταύτης. οὐκ ἦν ἐν τῇ κιβωτῷ πλὴν αἱ δύο πλάκες, ἃς ἔθηκε μωϋσῆς ἐν χωρὴβ, ἃς διέθετο κύριος μετὰ τῶν υἱῶν ἰσραὴλ,

ἐν

αὐ. τῷ ἐξελθεῖν αὐτοὺς ἐκ γῆς αἰγύπτου. καὶ ἐγένετο ἐν τῷ ἐξελθεῖν τοὺς ἱερεῖς ἐκ τῶν ἁγίων, ὅτι πάντες οἱ ἱερεῖς οἱ εὑρεθέντες ἡγιάσθησαν, καὶ οὐκ ἦσαν διατεταγμένοι εἰς ἐφημερίαν. καὶ οἱ λευῖται καὶ οἱ ψαλτῳδοὶ πάντες, τοῖς υἱοῖς ἀσὰφ, τῷ αἱμὰν, τῷ ἰδιθοὺμ, καὶ τοῖς υἱοῖς αὐτῶν καὶ τοῖς ἀδελφοῖς αὐτῶν, τῶν ἐνδεδυμένων στολὰς βυσσίνας, ἐν κυμβάλοις καὶ ἐν νάβλαις καὶ ἐν κινύραις, ἑστηκότες κατέναντι τοῦ θυσιαστηρίου. καὶ μετ' αὐτῶν ἱερεῖς ἑκατὸν εἴκοσι, σαλπίζοντες ταῖς σάλπιγξι. καὶ ἐγένετο μία φωνὴ ἐν τῷ σαλπίζειν καὶ ἐν τῷ ψαλτῳδεῖν, καὶ ἐν τῷ ἀναφωνεῖν φωνῇ μιᾷ, τοῦ αἰνεῖν καὶ ἐξομολογεῖσθαι τῷ κυρίῳ. καὶ ὡς ὕψωσαν φωνὴν ἐν σάλπιγξι καὶ ἐν κυμβάλοις, καὶ ἐν ὀργάνοις τῶν ᾠδῶν, καὶ ἔλεγον, ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι ἀγαθὸν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. καὶ ὁ οἶκος ἐνεπλήσθη νεφέλης. καὶ οὐκ ἠδύναντο οἱ ἱερεῖς τοῦ στῆναι λειτουργεῖν, ἀπὸ προσώπου τῆς νεφέλης. ὅτι ἐνέπλησεν ἡ δόξα κυρίου τὸν οἶκον τοῦ θεοῦ. τότε εἶπε σολομὼν, κύριος εἶπε τοῦ κατασκηνῶσαι ἐν γνόφῳ, καὶ ἐγὼ ᾠκοδόμηκα οἶκον τῷ ὀνόματί σου, ἅγιόν σοι, καὶ ἕτοιμον τοῦ κατασκηνῶσαι εἰς τοὺς αἰῶνας. καὶ ἐπέστρεψεν ὁ βασιλεὺς τὸ πρόσωπον αὐτοῦ, καὶ εὐλόγησε τὴν πᾶσαν

ἐκ

cum exirent ipsi de terra Aegypti. Et factum est, cum egrederentur sacerdotes e sanctis, quod omnes sacerdotes inuenti, sanctificati sunt, & non fuerunt dispositi in uicē diurnam. Et Leuitæ & laudā cantores omnes, filiis Asaph, Aiman, Idithum, & filiis eorū & fratribus eorum, indutorum stolis byssinis, in cymbalis & in nablis & in citharis, stantes ex aduerso altaris. Et cū eis sacerdotes centum uiginti, buccinantes tubis. Et fuit una uox cum tuba canerent, & laudes cantarent, & resonarent uoce una, ut laudarent, & confiterentur domino. Et ut extulerunt uocem in tubis et in cymbalis, & in instrumentis carminum, & dicebāt, Cōfitemini domino. quoniam bonū, quoniam in æternum misericordia eius. Et domus impleta est nube, & non potuerunt sacerdotes stare ad ministrā dum, à conspectu nubis. Quoniam impleuit gloria domini domum dei. Tunc dixit Solomon, dominus dixit, inhabitasse in caligine, & ego ædificaui domum nomini tuo sanctam tibi, & paratam ad inhabitandum in secula. Et conuertit rex conspectum eius, & benedixit omni

concioni Israel. Et omnis concio Israel astiterat, & dixit, Benedictus dominus deus Israel, qui loquutus est in ore suo, ad Dauid patrem meum, et in manibus suis compleuit, dicens, A die, qua reduxi populum meum è terra Aegypti, non elegi in ciuitate ex omnibus tribubus Israel, ut ædificarent domū, ut esset nomen meum ibi, & non elegi in uiro, ut esset in ducem super populū meum Israel. Et elegi Hierusalē, ut sit nomen meū ibi. Et elegi Dauid, ut esset in populo meo super Israel. Et fuit in corde Dauid patris mei, ædificare domum nomini domini dei Israel. Et dixit dominus ad Dauid patrem meum, Quia fuit in corde tuo, ædificare domum nomini meo, bene fecisti, quod fuit in corde tuo. Verum tu non ædificabis mihi domum, quia filius tuus, qui egredietur ex lumbo tuo, is ædificabit domum nomini meo. Et constabiliuit dominus sermonem hunc quem loquutus est. Et factus sum pro Dauid patre meo, cō sedi super soliu m eius, sicut loquutus est dominus. Et ædificaui domum nomini domini dei Israel, & posui illic arcam, in qua est illic pactum domini, quod

ἐκκλησίαν ἰσραήλ. καὶ πᾶσα ἡ ἐκκλησία ἰσραὴλ παρειστήκει, καὶ εἶπεν, εὐλογητὸς κύριος ὁ θεὸς ἰσραὴλ, ὃς ἐλάλησεν ἐν στόματι αὐτοῦ, πρὸς δαβὶδ τὸν πατέρα μου, καὶ ἐν χερσὶν αὐτοῦ ἐπλήρωσε, λέγων, ἀπὸ τῆς ἡμέρας, ἧς ἀνήγαγον τὸν λαόν μου ἐκ γῆς αἰγύπτου, οὐκ ἐξελεξάμην ἐν πόλει ἀπὸ πασῶν φυλῶν ἰσραὴλ, τοῦ οἰκοδομῆσαι οἶκον, τοῦ εἶναι τὸ ὄνομά μου ἐκεῖ, καὶ οὐκ ἐξελεξάμην ἐν ἀνδρὶ τοῦ εἶναι εἰς ἡγούμενον ἐπὶ τὸν λαόν μου ἰσραήλ. καὶ ἐξελεξάμην τὴν ἱερουσαλὴμ γενέσθαι τὸ ὄνομά μου ἐκεῖ. καὶ ἐξελεξάμην δαβίδ, ὥστε εἶναι ἐπὶ τοῦ λαοῦ μου ἐπάνω ἰσραήλ. καὶ ἐγένετο ἐπὶ καρδίαν τοῦ πατρός μου, τοῦ οἰκοδομῆσαι οἶκον τῷ ὀνόματι κυρίου θεοῦ ἰσραήλ. καὶ εἶπε κύριος πρὸς δαβὶδ τὸν πατέρα μου, διότι ἐγένετο ἐπὶ καρδίαν σου οἰκοδομῆσαι οἶκον τῷ ὀνόματί μου, καλῶς ἐποίησας, ὅτι ἐγένετο ἐπὶ τὴν καρδίαν σου. πλὴν σὺ οὐκ οἰκοδομήσεις μοι οἶκον, ὅτι ὁ υἱός σου, ὃς ἐξελεύσεται ἐκ τῆς ὀσφύος σου, οὗτος οἰκοδομήσει οἶκον τῷ ὀνόματί μου. καὶ ἀνέστησε κύριος τὸν λόγον τοῦτον, ὃν ἐλάλησε. καὶ ἐγενήθην ἀντὶ δαβὶδ πατρός μου, καὶ ἐκάθισα ἐπὶ τὸν θρόνον αὐτοῦ, καθὼς ἐλάλησε κύριος. καὶ ᾠκοδόμησα τὸν οἶκον τῷ ὀνόματι κυρίου θεοῦ ἰσραὴλ, καὶ ἔθηκα ἐκεῖ τὴν κιβωτὸν, ἐν ᾗ ἐκεῖ διαθήκη κυρίου, ἣν

ἣν διέθετο τῷ ἰσραήλ. καὶ ἔστη κατέναντι τοῦ θυσιαστηρίου κυρίου, ἔναντι πάσης ἐκκλησίας ἰσραὴλ, καὶ διεπέτασε τὰς χεῖρας αὐτοῦ. ὅτι ἐποίησε σολομὼν βάσιν χαλκῆν, καὶ ἔθηκεν αὐτὴν ἐν μέσῳ τῆς αὐλῆς τοῦ ἱεροῦ. πέντε πήχεων τὸ μῆκος αὐτῆς, καὶ πέντε πήχεων τὸ εὖρος αὐτῆς, καὶ τριῶν πήχεων τὸ ὕψος αὐτῆς. καὶ ἔστη ἐπ᾽ αὐτὴν, καὶ ἔπεσον ἐπὶ τὰ γόνατα, ἐναντίον πάσης ἐκκλησίας ἰσραὴλ, καὶ διεπέτασε τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανόν. καὶ εἶπε, κύριος ὁ θεὸς ἰσραὴλ, οὐκ ἔστιν ὅμοιός σοι θεὸς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, φυλάσσων τὴν διαθήκην καὶ τὸ ἔλεος τοῖς παισί σου, τοῖς πορευομένοις ἐναντίον σου, ἐν ὅλῃ καρδίᾳ, ἃ ἐφύλαξας τῷ παιδί σου δαβὶδ τῷ πατρί μου, ἃ ἐλάλησας αὐτῷ λέγων. καὶ ἐλάλησας ἐν στόματί σου, καὶ ἐν χερσί σου ἐπλήρωσας, ὡς ἡ ἡμέρα αὕτη. καὶ νῦν, κύριε ὁ θεὸς ἰσραὴλ, φύλαξον τῷ παιδί σου δαβὶδ τῷ πατρί μου, ἃ ἐλάλησας αὐτῷ λέγων. καὶ ἐλάλησας ἐν στόματί σου, καὶ ἐπλήρωσας, ὡς ἡ ἡμέρα αὕτη, λέγων, οὐκ ἐκλείψει σοὶ ἀνὴρ ἀπὸ προσώπου μου, καθήμενος ἐπὶ θρόνου δαβὶδ, πλὴν ἐὰν φυλάξωσιν οἱ υἱοί σου τὴν ὁδὸν αὐτῶν, τοῦ πορεύεσθαι ἐν τῷ νόμῳ μου, ὡς ἐπορεύθης ἐναντίον μου. καὶ νῦν, κύριε ὁ θεὸς ἰσραὴλ, πι-

στωθήτω

quod disposuit cũ Israel. Et stetit ex aduerso altaris domini, corã omni concione Israel, & distendit manus suas. Quoniam fecit Solomon scalam æneã, & posuit eam in medio atrii templi. Quinque cubitorum latitudo eius, & trium cubitorum altitudo eius. Et stetit super eam, et cecidit in genua, coram omni concione Israel, & distẽdit manus suas in coelum Et dixit, Domine deus Israel, non est similis tibi deus in coelo & in terra, custodiens pactum & misericordiam seruis tuis, ambulantibus coram te, in toto corde suo, quæ custodisti seruo tuo Dauid patri meo, quæ loquutus es ei, dicens. Et loquutus es in ore tuo, & in manibus tuis compleuisti, ut dies hæc. Et nunc, domine deus Israel, custodi seruo tuo Dauid patri meo, quę loquutus es ei, dicens. Et locutus es in ore tuo, & impleuisti, ut dies hæc, dicens, Non deficiet tibi uir à conspectu meo, considens in solio Dauid, uerum si custodierint filii tui uiam eorum, ut ambulent in lege mea, ut ambulasti coram me. Et nũc, domine deus Israel, fir-

K 5 metur

metur iam uerbum tuum, quod locutus es seruo tuo Dauid, quod si uere habitabit deus cū hominibus in terra. Si coelum & coelum coeli non sufficient tibi, & quae domus haec, quam aedificaui? Et inspicies ad orationē serui tui, & ad precationem meā, domine deus, ut exaudias flagitationem meam, & orationem, quam seruus tuus orat coram te hodie, ut sint oculi tui aperti ad domum istam, die & nocte, in locum hunc, quem dixisti, ut inuocetur nomen tuum ibi, ut audires orationem, quam orat seruus tuus in loco hoc. Et audies preces serui tui & populi tui Israel, quaecunque orauerint in locum hunc. Et tu exaudies è loco habitationis tuae, de coelo, & audies, & propitius eris. Si peccauerit uir propinquo, & ceperit in eum execrationem ad execrandum eum, & ueniat, & execretur coram altari, in loco hoc, & tu exaudies de coelo, & facies, & iudicabis seruos tuos, ut reddas iniquo, & reddas uias suas in caput suū, et ut iustitiā des iusto, ut reddas cuilibet ꝑ iusti-

πιστωθήτω δὴ τὸ ῥῆμά σου, ὃ ἐλάλησας τῷ παιδί σου τῷ Δαβίδ, ὅτι εἰ ἀληθῶς κατοικήσει ὁ θεὸς μετὰ ἀνθρώπων ἐπὶ τῆς γῆς. εἰ ὁ οὐρανὸς καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ οὐκ ἀρκέσουσί σοι, καὶ τίς ὁ οἶκος οὗτος, ὃν ᾠκοδόμησα; καὶ ἐπιβλέψῃ ἐπὶ τὴν προσευχὴν τοῦ παιδός σου, καὶ ἐπὶ τὴν δέησίν μου, κύριε ὁ θεός, τοῦ ἐπακοῦσαι τῆς δεήσεώς μου, καὶ τῆς προσευχῆς, ἧς ὁ παῖς σου προσεύχεται ἐναντίον σου σήμερον, τοῦ εἶναι ὀφθαλμούς σου ἀνεῳγμένους ἐπὶ τὸν οἶκον τοῦτον, ἡμέρας καὶ νυκτός, εἰς τὸν τόπον τοῦτον, ὃν εἶπας ἐπικληθῆναι τὸ ὄνομά σου ἐκεῖ, τοῦ ἀκοῦσαι τῆς προσευχῆς, ἧς προσεύχεται ὁ παῖς σου εἰς τὸν τόπον τοῦτον. καὶ ἀκούσῃ τῆς δεήσεως τοῦ παιδός σου καὶ λαοῦ σου Ἰσραήλ, ἃ ἂν προσεύξωνται εἰς τὸν τόπον τοῦτον. καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ τόπου τῆς κατασκηνώσεώς σου, ἐκ τοῦ οὐρανοῦ, καὶ ἀκούσῃ, καὶ ἵλεως ἔσῃ. ἐὰν ἁμάρτῃ ἀνὴρ τῷ πλησίον αὐτοῦ, καὶ λάβῃ ἐπ' αὐτὸν ἀρὰν τοῦ ἀράσασθαι αὐτόν, καὶ ἔλθῃ, καὶ ἀράσηται κατέναντι τοῦ θυσιαστηρίου, ἐν τῷ οἴκῳ τούτῳ. καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ, καὶ ποιήσεις, καὶ κρινεῖς τοὺς δούλους σου, τοῦ ἀποδιδῶναι τῷ ἀνόμῳ, καὶ ἀποδοῦναι ὁδοὺς αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, καὶ τοῦ δικαιῶσαι δίκαιον, τοῦ ἀποδιδῶναι ἑκάστῳ κατὰ τὴν δικαιο-

σύνην αὐτοῦ. καὶ ἐὰν θραυσθῇ ὁ
λαός σου ἰσραὴλ, κατέναντι τοῦ ἐχθροῦ,
ἐὰν ἁμάρτωσί σοι, καὶ ἐπιστρέψωσι, καὶ
ἐξομολογήσωνται τῷ ὀνόματί σου, καὶ
προσεύξωνται, καὶ δεηθῶσιν ἐναντίον
σου, ἐν τῷ οἴκῳ τούτῳ, καὶ σὺ εἰσακούσῃ
ἐκ τοῦ οὐρανοῦ. καὶ ἵλεως ἔσῃ ταῖς ἁμαρ
τίαις τοῦ λαοῦ σου ἰσραὴλ, καὶ ἀποστρέ-
ψεις αὐτοὺς εἰς τὴν γῆν, ἣν ἔδωκας
αὐτοῖς καὶ τοῖς πατράσιν αὐτῶν. Εν τῷ
συσχεθῆναι τὸν οὐρανὸν, καὶ μὴ γενέ-
σθαι ὑετὸν, ὅτι ἁμαρτήσονταί σοι, καὶ
προσεύξονται εἰς τὸν τόπον τοῦτον, καὶ αἰ
νέσουσι τὸ ὄνομά σου, καὶ ἀπὸ τῶν ἁμαρ-
τιῶν αὐτῶν ἐπιστρέψουσιν, ὅτι ταπει-
νώσεις αὐτοὺς, καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ οὐ
ρανοῦ, καὶ ἵλεως ἔσῃ ταῖς ἁμαρτίαις
τῶν παίδων καὶ τοῦ λαοῦ σου ἰσραὴλ. ὅτι
δηλώσεις αὐτοῖς τὴν ὁδὸν τὴν ἀγα
θὴν, ἐν ᾗ πορεύσονται ἐν αὐτῇ. καὶ δώ
σεις ὑετὸν ἐπὶ τὴν γῆν σου, ἣν ἔδωκας
τῷ λαῷ σου εἰς κληρονομίαν. Λιμὸς
ἐὰν γένηται ἐπὶ τῆς γῆς, θάνατος ἐ-
ὰν γένηται, ἀνεμοφθορία καὶ ἴκτερος.
ἀκρὶς καὶ βροῦχος ἐὰν γένηται, καὶ ἐὰν
θλίψῃ αὐτὸν ὁ ἐχθρὸς κατέναντι τῶν
πόλεων αὐτῶν, κατὰ πᾶσαν πληγὴν
καὶ πάντα πόνον, καὶ πᾶσα προσευχὴ
καὶ πᾶσα δέησις ἐὰν γένηται παντὶ
ἀνθρώπῳ, καὶ παντὶ τῷ λαῷ σου ἰσρα-
ὴλ, ἐὰν γνῷ ἄνθρωπος τὴν ἁφὴν αὐ
τοῦ καὶ τὴν ἁμαρτίαν αὐτοῦ, καὶ διαπετά
σῃ τὰς χεῖρας αὐτοῦ εἰς τὸν τόπον τοῦ-
τον, καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ, ἐξ
ἑτοίμ

tia ſua. Et ſi lædatur po-
pulus tuus Iſrael corā ini-
mico, ſi peccauerint tibi,
& conuerterint, & cōfeſ-
ſi fuerint nomini tuo, &
orauerint, & precati fue-
rint corā te, in domo iſta,
et tu exaudies de cœlo. Et
propitius eris peccatis po
puli tui Iſrael, & reduces
eos in terram, quam dedi
ſti eis & patribus eorum.
Cum cohibitū fuerit cœ-
lum, & non fuerit pluuia,
quoniam peccabunt tibi,
& orabunt in loco iſto, et
laudabunt nomen tuum,
& à peccatis ſuis conuer-
tentur, quod humiliabis
eos, & tu exaudies è cœ-
lo, & propitius eris pecca
tis ſeruorum & populi tui
Iſrael. Quoniam oſtendes
eis uiam bonam, in qua
ambulabunt in ea. Et da-
bis pluuiam ſuper terram
tuam, quam dediſti popu-
lo tuo in poſſeſsionem. Fa
mes ſi fuerit in terra, mors
ſi fuerit, aeris corruptio,
icteritia, locuſta & bru-
chus ſi fuerit, & ſi læſerit
eum hoſtis eius coram ci-
uitatibus ſuis, ꝑ omni pla
ga & omni labore, & om
nis oratio & omnis pre-
catio ſi fuerit omni homi-
ni, & omni populo tuo Iſ
rael, ſi nouerit homo pla-
gam eius & peccatum e-
ius, & diſtenderit manus
eius in locum hunc, &
tu exaudies è cœlo, è
para-

parato habitaculo tuo, &
sanabis. Et dabis uiro pro
uiis eius, sicut noueris cor
suum. Quia tu solus cog-
noscis cor filiorum homi
num, ut timeant uias tuas,
omnes dies, quos ipsi ui-
uunt in conspectu terræ,
quam dedisti patribus no
stris. Et omnis alienus,
qui ex populo tuo Israel
non est ipse, & uenerit è
terra longè, propter nomē
tuum magnum, & manum
tuam robustam, & brachi
um tuum excelsum, & ue-
nerint, & adorauerint in
locū istum, & tu exaudies
è cœlo, è parato habitacu
lo tuo. Et facies secundum
omnia, quæcunque inuoca
uerit te alienus, ut cogno-
scant omnes populi terræ
nomen tuum, & ut timeāt
te, ut populus tuus Israel,
& cognoscant, quod no-
men tuum inuocatum est
super domum hanc, quam
ædificaui. Si uerò egres-
sus fuerit populus tuus in
bellum, contra inimicos
suos, in uia, qua dimittes
eos, et orauerint ad te pro
uia ciuitatis huius, quam
elegisti in ea, & domus,
quam ædificaui nomini
tuo, & audies è cœlo ob-
secrationem eorū & pre-
ces eorum. Et facies iusti
ficationem eorū, quando
peccabunt tibi, quoniam
non est homo, qui nō pec
cabit. Et percuties eos,
&

ἑτοίμου κατοικητηρίου σου, καὶ ἰάσῃ. καὶ
δώσεις ἀνδρὶ κατὰ τὰς ὁδοὺς αὐτοῦ,
ὡς ἂν γνῷς τὴν καρδίαν αὐτοῦ. ὅτι
μόνος γινώσκεις τὴν καρδίαν υἱῶν
ἀνθρώπων, ὅπως φοβῶνται τὰς ὁδοὺς
σου, πάσας τὰς ἡμέρας, ἃς αὐτοὶ ζῶ-
σιν ἐπὶ προσώπου τῆς γῆς, ἧς ἔδωκας
τοῖς πατράσιν ἡμῶν. καὶ πᾶς ἀλλότ-
ριος, ὃς ἐκ τοῦ λαοῦ σου ἰσραὴλ οὐκ ἔ-
στιν αὐτὸς, καὶ ἔλθῃ ἐκ γῆς μακρόθεν,
διὰ τὸ ὄνομά σου τὸ μέγα, καὶ τὴν
χεῖρά σου τὴν κραταιὰν, καὶ τὸν βρα-
χίονά σου τὸν ὑψηλὸν, καὶ ἔλθωσι,
καὶ προσεύξωνται εἰς τὸν τόπον τοῦ-
τον, καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ,
ἐξ ἑτοίμου κατοικητηρίου σου. καὶ
ποιήσεις κατὰ πάντα, ὅσα ἂν ἐπι-
καλέσηταί σε ὁ ἀλλότριος, ὅπως
γνῶσι πάντες οἱ λαοὶ τῆς γῆς τὸ ὄνο-
μά σου, καὶ τοῦ φοβεῖσθαί σε, ὡς ὁ λα-
ός σου ἰσραὴλ, καὶ τοῦ γνῶναι, ὅτι τὸ ὄ-
νομά σου ἐπικέκληται ἐπὶ τὸν οἶκον τοῦ-
τον, ὃν ᾠκοδόμησα. ἐὰν δὲ ἐξέλθῃ ὁ
λαός σου εἰς πόλεμον ἐπὶ τοὺς ἐχθροὺς
αὐτοῦ, ἐν ὁδῷ, ᾗ ἐξαποστελεῖς αὐτοὺς,
καὶ προσεύξωνται πρός σε, κατὰ τὴν
ὁδὸν τῆς πόλεως ταύτης, ἣν ἐξελέξω
ἐν αὐτῇ, καὶ οἴκου, οὗ ᾠκοδόμησα τῷ
ὀνόματί σου, καὶ ἀκούσῃ ἐκ τοῦ οὐρα-
νοῦ τῆς προσευχῆς αὐτῶν καὶ τῆς
δεήσεως αὐτῶν. καὶ ποιήσεις τὸ δι-
καίωμα αὐτῶν, ὅτι ἁμαρτήσονταί
σοι, ὅτι οὐκ ἔστιν ἄνθρωπος, ὃς οὐχ
ἁμαρτήσεται. καὶ πατάξεις αὐτοὺς,
καὶ

καὶ παραδώσεις αὐτοὺς εἰς χεῖρας ἐχ-
θρῶν αὐτῶν, καὶ αἰχμαλωτεύσουσιν
αὐτοὺς οἱ αἰχμαλωτεύσαντες εἰς
γῆν ἐχθρῶν, εἰς γῆν μακρὰν ἢ ἐγ-
γὺς, καὶ ἐπιστρέψωσι καρδίαν αὐτῶν
ἐν τῇ γῇ αὐτῶν, οὗ μετήχθησαν ἐκεῖ,
κἀκεῖ ἐπιστρέψωσι, καὶ δεηθῶσί σου ἐν
τῇ αἰχμαλωσίᾳ αὐτῶν, λέγοντες, ἡμάρ-
τομεν, ἠνομήσαμεν, ἠδικήσαμεν, καὶ
ἐπιστρέψουσι πρὸς σὲ, ἐν ὅλῃ καρδίᾳ
καὶ ἐν ὅλῃ ψυχῇ αὐτῶν· ἐν γῇ αἰχμαλω-
τευσάντων αὐτοὺς, ὅπου αἰχμαλώ-
τευσαν αὐτοὺς, καὶ προσεύξωνται ὁ-
δὸν γῆς αὐτῶν, ἧς ἔδωκας τοῖς πα-
τράσιν αὐτῶν, καὶ τῆς πόλεως, ἧς ἐξ-
ελέξω, καὶ τοῦ οἴκου, οὗ ᾠκοδόμησα τῷ
ὀνόματί σου, καὶ εἰσακούσῃ ἐκ τοῦ οὐ-
ρανοῦ, ἐξ ἑτοίμου κατοικητηρίου σου,
τῆς προσευχῆς αὐτῶν καὶ τῆς δεή-
σεως αὐτῶν. καὶ ποιήσεις κρίμα-
τα, καὶ ἵλεως ἔσῃ τῷ λαῷ τῷ ἁμαρ-
τόντι σοι. καὶ νῦν κύριε, ἔστωσαν οἱ
ὀφθαλμοί σου ἀνεῳγμένοι, καὶ τὰ ὦ-
τά σου ἐπήκοα εἰς τὴν δέησιν τοῦ τό-
που τούτου. καὶ νῦν ἀνάστηθι κύριε ὁ θε-
ὸς εἰς τὴν κατάπαυσίν σου, σὺ καὶ ἡ
κιβωτὸς τῆς ἰσχύος σου. οἱ ἱερεῖς σου,
κύριε ὁ θεὸς, ἐνδύσαιντο σωτηρίαν,
καὶ οἱ ὅσιοί σου εὐφρανθήτωσαν ἐν
ἀγαθοῖς. κύριε ὁ θεὸς μὴ ἀποστρέψῃς
τὸ πρόσωπον τοῦ χριστοῦ σου. μνήσθη-
τι τὰ ἐλέη δαβὶδ τοῦ δούλου σου.
καὶ ὡς συνετέλεσε σολομὼν προ-
σευχόμενος, καὶ τὸ πῦρ κατέβη
ἐκ

et trades eos in manus ho
stiũ eorũ, & captiuos du
cent eos captiuos ducen
tes in terrã hostiũ, in terrã
longe uel prope, & cõuer
terint cor eorũ in terra eo
rũ, quò translati erant il
luc, & ibi conuerterint, et
precati fuerint te, in capti
uitate eorũ, dicentes, Pec
cauimus, inique fecimus,
& iniuste egimus, & con
uertent ad te, in toto cor
de, & in tota anima sua,
in terra captiuos ducenti
um eos, quò captiuos du
xerunt eos, & orauerint
uiam terræ suæ, quam de
disti patribus eorum, &
urbis, quam elegisti, et do
mus, quam ædificaui no
mini tuo, & exaudies è
cœlo, è parato habitacu
lo tuo, orationem eorum
& precationem eorum.
Et facies iudicia, & pro
pitius eris populo peccan
ti tibi. Et nunc domine, Psal. 131
sint oculi tui aperti, & au
res tuæ auscultãtes in pre
cationem loci huius. Et
nunc consurge domine de
us in requiem tuam, tu &
arca roboris tuæ. Sacer
dotes tui, domine deus, in
duerunt salutem, & sancti
tui lętabunt in bonis. Do
mine deus ne auerteris fa
ciem Christi tui. Memen
to misericordiarum Da
uid serui tui. Et ut con
summauit Solomon ado
rans, & ignis descendit
e

parato habitaculo tuo, & sanabis. Et dabis uiro pro uiis eius, sicut noueris cor suum. Quia tu solus cognoscis cor filiorum hominum, ut timeant uias tuas, omnes dies, quos ipsi uiuunt in conspectu terræ, quam dedisti patribus nostris. Et omnis alienus, qui ex populo tuo Israel non est ipse, & uenerit è terra longe, propter nomē tuum magnum, & manum tuam robustam, & brachium tuum excelsum, & uenerint, & adorauerint in locū istum, & tu exaudies è cœlo, è parato habitaculo tuo. Et facies secundum omnia, quæcunq; inuocauerit te alienus, ut cognoscant omnes populi terræ nomen tuum, & ut timeāt te, ut populus tuus Israel, & cognoscant, quod nomen tuum inuocatum est super domum hanc, quam ædificaui. Si uerò egressus fuerit populus tuus in bellum, contra inimicos suos, in uia, qua dimittes eos, et orauerint ad te pro uia ciuitatis huius, quam elegisti in ea, & domus, quam ædificaui nomini tuo, & audies è cœlo obsecrationem eorū & preces eorum. Et facies iustificationem eorū, quando peccabunt tibi, quoniam non est homo, qui nō peccabit. Et percuties eos, &

ἑτοίμου κατοικητηρίου σου, καὶ ἰάσῃ. καὶ δώσεις ἀνδρὶ κατὰ τὰς ὁδοὺς αὐτοῦ, ὡς ἂν γνῷς τὴν καρδίαν αὐτοῦ. ὅτι μόνος γινώσκεις τὴν καρδίαν υἱῶν ἀνθρώπων, ὅπως φοβῶνται τὰς ὁδούς σου, πάσας τὰς ἡμέρας, ἃς αὐτοὶ ζῶσιν ἐπὶ πρόσωπον τῆς γῆς, ἧς ἔδωκας τοῖς πατράσιν ἡμῶν. καὶ πᾶς ἀλλότριος, ὃς ἐκ τοῦ λαοῦ σου ἰσραὴλ οὐκ ἔστιν αὐτὸς, καὶ ἔλθῃ ἐκ γῆς μακρόθεν, διὰ τὸ ὄνομά σου τὸ μέγα, καὶ τὴν χεῖρά σου τὴν κραταιὰν, καὶ τὸν βραχίονά σου τὸν ὑψηλὸν, καὶ ἔλθωσι, καὶ προσεύξωνται εἰς τὸν τόπον τοῦτον, καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ, ἐξ ἑτοίμου κατοικητηρίου σου. καὶ ποιήσεις κατὰ πάντα, ὅσα ἂν ἐπικαλέσηταί σε ὁ ἀλλότριος, ὅπως γνῶσι πάντες οἱ λαοὶ τῆς γῆς τὸ ὄνομά σου, καὶ τοῦ φοβεῖσθαί σε, ὡς ὁ λαὸς σου ἰσραὴλ, καὶ τοῦ γνῶναι, ὅτι τὸ ὄνομά σου ἐπικέκληται ἐπὶ τὸν οἶκον τοῦτον, ὃν ᾠκοδόμησα. ἐὰν δὲ ἐξέλθῃ ὁ λαός σου εἰς πόλεμον ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ, ἐν ὁδῷ, ᾗ ἐξαποστελεῖς αὐτοὺς, καὶ προσεύξωνται πρός σε, κατὰ τὴν ὁδὸν τῆς πόλεως ταύτης, ἣν ἐξελέξω ἐν αὐτῇ, καὶ οἴκου, οὗ ᾠκοδόμησα τῷ ὀνόματί σου, καὶ ἀκούσῃ ἐκ τοῦ οὐρανοῦ τῆς προσευχῆς αὐτῶν καὶ τῆς δεήσεως αὐτῶν. καὶ ποιήσεις τὸ δικαίωμα αὐτῶν, ὅτι ἁμαρτήσονταί σοι, ὅτι οὐκ ἔστιν ἄνθρωπος, ὃς οὐχ ἁμαρτήσεται, καὶ πατάξεις αὐτοὺς,

καὶ

καὶ παραδώσεις αὐτοὺς εἰς χεῖρας ἐχθρῶν αὐτῶν, καὶ αἰχμαλωτεύσουσιν αὐτοὺς οἱ αἰχμαλωτεύσαντες εἰς γῆν ἐχθρῶν, εἰς γῆν μακρὰν ἢ ἐγγὺς, καὶ ἐπιστρέψωσι καρδίαν αὐτῶν ἐν τῇ γῇ αὐτῶν, οὗ μετήχθησαν ἐκεῖ, κἀκεῖ ἐπιστρέψωσι καὶ δεηθῶσί σου ἐν τῇ αἰχμαλωσίᾳ αὐτῶν, λέγοντες, ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν, καὶ ἐπιστρέψουσι πρὸς σὲ, ἐν ὅλῃ καρδίᾳ καὶ ἐν ὅλῃ ψυχῇ αὐτῶν, ἐν γῇ αἰχμαλωτευσάντων αὐτοὺς, ὅπου αἰχμαλώτευσαν αὐτοὺς, καὶ προσεύξωνται ὁδὸν γῆς αὐτῶν, ἧς ἔδωκας τοῖς πατράσιν αὐτῶν, καὶ τῆς πόλεως, ἧς ἐξελέξω, καὶ τοῦ οἴκου, οὗ ᾠκοδόμησα τῷ ὀνόματί σου, καὶ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ, ἐξ ἑτοίμου κατοικητηρίου σου, τῆς προσευχῆς αὐτῶν καὶ τῆς δεήσεως αὐτῶν. καὶ ποιήσεις κρίματα, καὶ ἵλεως ἔσῃ τῷ λαῷ τῷ ἁμαρτάνοντί σοι. καὶ νῦν κύριε, ἔστωσαν οἱ ὀφθαλμοί σου ἀνεῳγμένοι, καὶ τὰ ὦτά σου ἐπήκοα εἰς τὴν δέησιν τοῦ τόπου τούτου. καὶ νῦν ἀνάστηθι κύριε ὁ θεὸς εἰς τὴν κατάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τῆς ἰσχύος σου. οἱ ἱερεῖς σου, κύριε ὁ θεὸς, ἐνδύσαιντο σωτηρίαν, καὶ οἱ ὅσιοί σου εὐφρανθήτωσαν ἐν ἀγαθοῖς. κύριε ὁ θεὸς μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ χριστοῦ σου. μνήσθητι τὰ ἐλέη Δαβὶδ τοῦ δούλου σου. καὶ ὡς συνετέλεσε Σολομὼν προσευχόμενος, καὶ τὸ πῦρ κατέβη

ἐκ

et trades eos in manus hostiū eorū, & captiuos ducent eos captiuos ducentes in terrā hostiū, in terrā longe uel prope, & cōuerterint cor eorū in terra eorū, quò translati erant illuc, & ibi conuerterint, et precati fuerint te, in captiuitate eorū, dicentes, Peccauimus, inique fecimus, & iniuste egimus, & conuertent ad te, in toto corde, & in tota anima sua, in terra captiuos ducentium eos, quò captiuos duxerunt eos, & orauerint uiam terræ suæ, quam dedisti patribus eorum, & urbis, quam elegisti, et domus, quam ædificaui nomini tuo, & exaudies è cœlo, è parato habitaculo tuo, orationem eorum & precationem eorum. Et facies iudicia, & propitius eris populo peccanti tibi. Et nunc domine, sint oculi tui aperti, & aures tuæ auscultātes in precationem loci huius. Psal. 131 Et nunc consurge domine deus in requiem tuam, tu & arca roboris tuæ. Sacerdotes tui, domine deus, induerunt salutem, & sancti tui lętabunt in bonis. Domine deus ne auerteris faciem Christi tui. Memento misericordiarum Dauid serui tui. Et ut consummauit Solomon adorans, & ignis descendit è

è cœlo, & comedit solida incensa & sacrificia. Et gloria domini impleuit domum. Et non poterant sacerdotes ingredi in domũ domini in tẽpore illo, quoniam impleuit gloria dei domũ domini. Et omnes filii Israel uidebãt descendentem ignem, & gloria dei super domum. Et ceciderunt in faciem, in terrã, super pauimentum lapideum, & adorauerunt dominum, quoniam bonũ, quoniã in seculũ misericordia eius. Et rex & omnis populus immolantes sacrificia coram domino. Et sacrificauit rex Solomon sacrificium uitulorum uiginti & duo millia, & pecorum centũ & uiginti millia. Et dedicauit domum rex & omnis populus, & sacerdotes ad custodias suas stantes, & Leuitæ in instrumentis carminũ domini, Dauid regis, ad confitendum coram domino, quoniam in æternum misericordia eius, in cãtibus Dauid, per manum eorũ. Et sacerdotes buccinantes tubis ante eos, & omnis Israel stans. Et consecrauit Solomon medium atrij, quod in domo domini, quoniam fecit ibi solida incensa & adipes salutarium. Quoniam altare æneũ, q̃d fecerat Solomõ nõ sufficiebat sustinere solida incensa & manaa & adipes.

ἐκ τοῦ οὐρανοῦ, καὶ κατέφαγε τὰ ὁλοκαυτώματα καὶ τὰς θυσίας. καὶ δόξα κυρίου ἔπλησε τὸν οἶκον. καὶ οὐκ ἠδύναντο οἱ ἱερεῖς εἰσελθεῖν εἰς τὸν οἶκον κυρίου ἐν τῷ καιρῷ ἐκείνῳ, ὅτι ἔπλησε δόξα θεοῦ τὸν οἶκον κυρίου, καὶ πάντες οἱ υἱοὶ ἰσραὴλ ἑώρων καταβαῖνον τὸ πῦρ, καὶ ἡ δόξα τοῦ θεοῦ ἐπὶ τὸν οἶκον. καὶ ἔπεσον ἐπὶ πρόσωπον, ἐπὶ τὴν γῆν, καὶ ἐπὶ τὸ λιθόστρωτον, καὶ προσεκύνησαν, καὶ ᾔνουν τῷ κυρίῳ, ὅτι ἀγαθόν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. καὶ ὁ βασιλεὺς καὶ πᾶς ὁ λαὸς θύοντες θύματα ἔναντι κυρίου. καὶ ἐθυσίασεν ὁ βασιλεὺς σολομὼν τὴν θυσίαν, μόσχων εἴκοσι καὶ δύο χιλιάδας, βοσκημάτων ἑκατὸν καὶ εἴκοσι χιλιάδας. καὶ ἐνεκαίνισε τὸν οἶκον τοῦ θεοῦ ὁ βασιλεὺς καὶ πᾶς ὁ λαός, καὶ οἱ ἱερεῖς ἐπὶ τὰς φυλακὰς αὐτῶν ἑστηκότες, καὶ οἱ λευῖται ἐν ὀργάνοις ᾠδῶν κυρίου, τοῦ δαβὶδ τοῦ βασιλέως, τοῦ ἐξομολογεῖσθαι ἐναντίον κυρίου, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, ἐν ὕμνοις δαβὶδ διὰ χειρὸς αὐτῶν. καὶ οἱ ἱερεῖς σαλπίζοντες ταῖς σάλπιγξιν ἐναντίον αὐτῶν, καὶ πᾶς ἰσραὴλ ἑστηκώς. καὶ ἡγίασε σολομὼν τὸ μέσον τῆς αὐλῆς τῆς ἐν οἴκῳ κυρίου, ὅτι ἐποίησεν ἐκεῖ τὰ ὁλοκαυτώματα, καὶ τὰ στέατα τῶν σωτηρίων. ὅτι τὸ θυσιαστήριον τὸ χαλκοῦν, ὃ ἐποίησε σολομών, οὐκ ἐξεποίει δέξασθαι τὰ ὁλοκαυτώματα, καὶ τὰ μαναὰ καὶ

τὰ

τὰ στέατα. καὶ ἐποίησε σολομὼν τὴν
ἑορτὴν ἐν τῷ καιρῷ ἐκείνῳ, ἑπτὰ ἡμέ
ρας, καὶ πᾶς ἰσραὴλ μετ᾽ αὐτοῦ. ἐκ
κλησία μεγάλη σφόδρα, ἀπὸ εἰσό
δου αἱμὰθ καὶ ἕως χειμάῤῥου αἰγύ
πτου. καὶ ἐποίησε τῇ ἡμέρᾳ τῇ ὀγδόῃ
ἐξόδιον, ὅτι τὸν ἐγκαινισμὸν τοῦ θυ
σιαστηρίου ἐποίησεν ἑορτὴν, ἑπτὰ ἡμέ
ρας. καὶ ἐν τῇ εἰκάδι καὶ τρίτῃ τοῦ
μηνὸς τοῦ ἑβδόμου ἀπέστειλε τὸν λα
ὸν εἰς τὰ σκηνώματα αὐτῶν εὐφραι
νομένους. καὶ ἀγαθῇ καρδίᾳ ἐπὶ
τοῖς ἀγαθοῖς, οἷς ἐποίησε κύριος
τῷ δαβὶδ καὶ τῷ σολομῶντι, καὶ τῷ ἰσ
ραὴλ λαῷ αὐτοῦ. καὶ συνετέλεσεν σολο
μὼν τὸν οἶκον κυρίου καὶ τὸν οἶκον τοῦ βα
σιλέως, καὶ πάντα, ὅσα ἠθέλησεν ἐν
τῇ ψυχῇ σολομὼν, τοῦ ποιῆσαι ἐν οἴ
κῳ κυρίου, καὶ ἐν οἴκῳ αὐτοῦ εὐωδώθη.
καὶ ὤφθη κύριος τῷ σολομῶντι τὴν
νύκτα, καὶ εἶπεν αὐτῷ, ἤκουσα τῆς προ
σευχῆς σου, καὶ ἐξελεξάμην ἐν τῷ οἴ
κῳ τούτῳ ἐμαυτῷ εἰς οἶκον θυσίας. ἐ
ὰν συσχῶ τὸν οὐρανὸν, καὶ μὴ γένηται ὑ
ετὸς, ἐὰν ἐντείλωμαι τῇ ἀκρίδι κα
ταφαγεῖν τὸ ξύλον, καὶ ἐὰν ἐξαπο
στείλω θάνατον ἐν τῷ λαῷ μου, καὶ
ἐὰν ἐντραπῇ ὁ λαός μου, ἐφ᾽ οὓς ἐπι
κέκληται τὸ ὄνομά μου ἐπ᾽ αὐτοὺς,
καὶ προσεύξονται, καὶ ζητήσουσι τὸ πρό
σωπόν μου, καὶ ἀποστρέψουσιν ἀπὸ
τῶν ὁδῶν αὐτῶν τῶν πονηρῶν, καὶ
ἐγὼ εἰσακούσομαι ἐκ τοῦ οὐρανοῦ. καὶ
ἵλεως ἔσομαι ταῖς ἁμαρτίαις αὐτῶν, καὶ
ἰάσομαι

adipes. Et fecit Solomon
diem festum in tempore,
septem dies, & omnis Isra
el cum eo. Concio magna
ualde, ab introitu Haimath
& usq; ad torrentem Ae-
gypti. Et fecit in die octa-
uo egressum, quoniam de
dicationem altaris fecit fe
stum diem, septem dies. Et
in uigesimo & tertio men
sis septimi dimisit Solomō
populum in tabernacula
eorum gaudentes. Et bo-
num cor in bonis, quæ fe
cit dominus Dauid & So
lomoni, & Israel populo
suo. Et consummauit So-
lomon domum domini &
domum regis, & omnia,
quæ uoluit in anima sua
Solomon, ut faceret in do
mo domini, & in domo
eius bono successu usus
est. Et uisus est dominus
Solomoni nocte, & dixit
ei, Audiui orationem tu-
am, & elegi in domo hac
mihi ipsi in domum sacrifi
cii. Si cohibuero cœlum,
& non fuerit pluuia, si mā
dauero locustæ comedere
terrā, & si emisero mortē
in populo meo, & conuer
tatur populus meus, super
quos inuocatum est no-
men meum super eos, &
adorabunt, & quærent
conspectum meum, & a-
uertent à uiis eorum ma-
lis, & ego exaudiam
è cœlo. Et propitius
ero peccatis eorum, &
sana-

sanabo terram eorum. Et
nunc oculi mei erunt aper
ti, et aures meæ auscultan
tes orationem loci huius.
Et nunc elegi, et consecra
ui domum hanc, ut sit no-
men meum ibi usque in æ-
ternum, et erunt oculi mei
et cor meum ibi, omnes
dies. Et tu si ambulaueris
coram me, ut ambulauit
Dauid pater tuus, & fece
ris iuxta omnia, quæ præ
cepi tibi, & præcepta mea
& iudicia mea custodiue
ris, & constabiliam soliū
regni tui, ut disposui Da-
uid patri tuo, dicens, Nō
auferetur tibi dux, uir in
Israel. Et si auerteritis uos,
& dereliqueritis præcepta
mea & mandata mea, quę
dedi coram uobis, & am-
bulaueritis, & seruieritis
diis aliis, & adoraueritis
eos, & auferā uos à terra,
quam dedi uobis, & do-
mū hanc, quam consecra-
ui nomini meo, auertam à
conspectu meo, & dabo
eam in prouerbiū et in de
narrationē in omnibus po
pulis. Et domus hæc, quæ
erat excelsa, extra se erit,
omnis pertransiens eā, &
dicet, Gratia cuius fecit
Dominus sic terrę huic &
domui huic? Et dicēt, Q̄m
dereliquerunt dominum,
deum patrum suorum edu
cētem eos de terra Aegy
pti, & amplexi sunt deos
alios, et adorauerūt eos, et
ser-

ἰάσομαι τὴν γῆν ὑμῶν. καὶ νῦν οἱ ὀ-
φθαλμοί μου ἔσονται ἀνεῳγμένοι, καὶ
τὰ ὦτά μου ἐπήκοα τῇ προσευχῇ τοῦ
τόπου τούτου. καὶ νῦν ἐξελεξάμην, καὶ ἡ-
γίακα οἶκον τοῦτον, τοῦ εἶναι ὄνομά μου
ἐκεῖ ἕως αἰῶνος, καὶ ἔσονται οἱ ὀφθαλ-
μοί μου καὶ ἡ καρδία μου ἐκεῖ, πάσας
τὰς ἡμέρας. καὶ σὺ ἐὰν πορευθῇς ἐν-
αντίον μου, ὡς Δαβὶδ ὁ πατήρ σου, καὶ
ποιήσῃς κατὰ πάντα, ἃ ἐνετειλάμην
σοί, καὶ τὰ προστάγματά μου καὶ τὰ κρί-
ματά μου φυλάξῃ, καὶ ἀναστήσω τὸν θρό-
νον τῆς βασιλείας σου, ὡς διεθέμην Δα-
βὶδ τῷ πατρί σου, λέγων, οὐκ ἐξαρθή-
σεταί σοι ἡγούμενος ἀνὴρ ἐν Ἰσρα-
ήλ. καὶ ἐὰν ἀποστρέψητε ὑμεῖς, καὶ ἐγ-
καταλείπητε τὰ προστάγματά μου καὶ
τὰς ἐντολάς μου, ἃς ἔδωκα ἐναντί-
ον ὑμῶν, καὶ πορευθῆτε, καὶ λατρεύσητε
θεοῖς ἑτέροις, καὶ προσκυνήσητε αὐ-
τοῖς, καὶ ἐξαρῶ ὑμᾶς ἀπὸ τῆς γῆς, ἧς
ἔδωκα αὐτοῖς, καὶ τὸν οἶκον τοῦτον,
ὃν ἡγίασα τῷ ὀνόματί μου, ἀποστρέ-
ψω ἐκ προσώπου μου, καὶ δώσω αὐτὸν
εἰς παραβολὴν καὶ εἰς διήγημα, ἐν
πᾶσι τοῖς ἔθνεσι. καὶ ὁ οἶκος οὗτος,
ὃς ἦν ὑψηλὸς, πᾶς ὁ διαπορευόμε-
νος αὐτὸν ἐκστήσεται, καὶ ἐρεῖ, χάριν
τίνος ἐποίησε κύριος οὕτω τῇ γῇ ταύ-
τῃ καὶ τῷ οἴκῳ τούτῳ; καὶ ἐροῦσι, διότι
ἐγκατέλιπον κύριον, τὸν θεὸν τῶν πα-
τέρων αὐτῶν, τὸν ἐξαγαγόντα αὐτοὺς ἐκ
γῆς αἰγύπτου, καὶ ἀντελάβοντο θεῶν
ἑτέρων, καὶ προσεκύνησαν αὐτοῖς, καὶ
ἐδού-

ἐδούλευσαν αὐτοῖς, καὶ διὰ τοῦτο ἐπήγαγον ἐπ' αὐτοὺς πᾶσαν τὴν κακίαν ταύτην.

Καὶ ἐγένετο μετὰ εἴκοσι ἔτη, ἐν οἷς ᾠκοδόμησε σολομὼν τὸν οἶκον κυρίου καὶ τὸν οἶκον ἑαυτοῦ, καὶ τὰς πόλεις, ἃς ἔδωκεν χιρὰμ τῷ σολομῶντι, ᾠκοδόμησεν αὐτὰς σολομὼν, καὶ κατῴκισεν ἐκεῖ τοὺς υἱοὺς ἰσραήλ. καὶ ἦλθε σολομὼν εἰς αἰμὰθ σωβὰ, καὶ κατίσχυσεν αὐτήν. καὶ ᾠκοδόμησε τὴν θεδμὼρ ἐν τῇ ἐρήμῳ, καὶ πάσας τὰς πόλεις τὰς ὀχυρὰς, ἃς ᾠκοδόμησεν ἐν αἰμάθ. καὶ ᾠκοδόμησε τὴν βαιθωρὼν τὴν ἄνω καὶ τὴν βαιθωρὼν τὴν κάτω, πόλεις ὀχυρὰς, τείχη, πύλαι καὶ μοχλοί, καὶ τὴν βαλαὰθ, καὶ πάσας τὰς πόλεις τὰς ὀχυρὰς, καὶ αἳ ἦσαν τῷ σολομῶντι, καὶ πάσας τὰς πόλεις τῶν ἁρμάτων, καὶ τὰς πόλεις τῶν ἱππέων, καὶ ὅσα ἐπεθύμησε σολομὼν κατὰ τὴν ἐπιθυμίαν τοῦ οἰκοδομῆσαι ἐν ἱερουσαλὴμ, καὶ ἐν τῷ λιβάνῳ, καὶ ἐν πάσῃ τῇ βασιλείᾳ αὐτοῦ. πᾶς ὁ λαὸς ὁ καταλειφθεὶς ἀπὸ τοῦ χετταίου καὶ τοῦ ἀμορραίου καὶ τοῦ φερεζαίου καὶ τοῦ εὐαίου καὶ τοῦ ἰεβουσαίου, οἳ οὐκ εἰσὶν ἐκ τοῦ ἰσραὴλ, ἀλλ' ἦσαν ἐκ τῶν υἱῶν αὐτῶν τῶν καταλειφθέντων μετ' αὐτοὺς ἐν τῇ γῇ, οὓς οὐκ ἐξωλόθρευσαν οἱ υἱοὶ ἰσραὴλ, καὶ ἀνήγαγεν αὐτοὺς σολομὼν εἰς φόρον, ἕως τῆς ἡμέρας ταύτης. καὶ ἐκ τῶν υἱῶν ἰσραὴλ οὐκ

seruierunt ipsis, & propter hoc induxit in eos omnem calamitatem hanc.

Cap. IIII. 3. Re. 9

Et factum est post uiginti annos, in quibus ædificauit Solomon domum domini, & domum suam, & ciuitates, quas dedit Chiram Solomoni, ædificauit eas Solomon, & deduxit ad habitandũ ibi filios Israel. Et uenit Solomon in Aimath Subaa, & occupauit eam. Et ædificauit Thedmor in deserto, & omnes ciuitates altas, quas ædificauit in Aimath. Et ædificauit Baithoron superiorem, et Baithoron inferiorem, ciuitates altas, muri, portæ & uectes, & Balaath, & omnes urbes altas, quæ fuerunt Solomoni, & omnes ciuitates curruum, & ciuitates equitum, & quæcunque desiderauit Solomon pro desiderio ædificandi in Hierusalem & in Libano, & in omni regno eius. Omnis populus relictus à Geththeo & Amorrhæo & Pherezæo & Euæo et Iebusæo, qui non sunt ex Israel, sed fuerunt è filiis eorum relictis post eos in terra, quos non disperdiderunt filii Israel, & reduxit eos Solomon in tributum, usque in diem hanc. Et ex filiis Israel non

non dedit Solomō in seruos regno suo, quoniā ipsi uiri bellatores, & principes potentes curruum & equitum. Et hi principes præfectorum regis Solomonis, quinquaginta & ducenti præfecti operum in populo. Et filiam Pharao reduxit Solomon è ciuitate Dauid in domum, quam ędificauit in ea, quoniam dixit, Non habitabit uxor mea in ciuitate Dauid regis Israel, quoniam sancta est, quò ingressa est arca domini. Tunc obtulit Solomon solida incēsa domino super altare, quod ædificauit domino, coram populo, pro sermone diei in die, ut offerret iuxta præcepta Moysis, in sabbatis & in mēsibus & in festis, tria tempora anni, in festo azymorum, & in festo hebdomadarum, & in festo tabernaculorum. Et constituit pro iudicio Dauid patris sui, diuisiones sacerdotum & pro ministeriis eorum. Et Leuitæ ad custodias eorum laudandi & ministrandi coram sacerdotibus, pro sermone diei in die. Et ianitores per diuisiones eorum in portam & portam, quoniam sic præceptum Dauid hominis dei. Non prætergressi sunt præcepta regis de

οὐκ ἔδωκε σολομὼν εἰς παῖδας τῇ βασιλείᾳ αὐτοῦ, ὅτι αὐτοὶ ἄνδρες πολεμισταί, καὶ ἄρχοντες δυνατοὶ ἁρμάτων καὶ ἱππέων. καὶ οὗτοι οἱ ἄρχοντες τῶν προστατῶν τοῦ βασιλέως σολομῶντος, πεντήκοντα καὶ διακόσιοι ἐργοδιῶκται ἐν τῷ λαῷ. καὶ τὴν θυγατέρα φαραὼ ἀνήγαγε σολομὼν ἐκ πόλεως δαβὶδ εἰς τὸν οἶκον, ὃν ᾠκοδόμησεν ἐν αὐτῇ, ὅτι εἶπεν, οὐ κατοικήσει γυνή μου ἐν πόλει δαβὶδ τοῦ βασιλέως ἰσραὴλ, ὅτι ἅγιός ἐστιν, οὗ εἰσῆλθεν ἡ κιβωτὸς κυρίου. τότε ἀνήνεγκε σολομὼν ὁλοκαυτώματα τῷ κυρίῳ ἐπὶ τὸ θυσιαστήριον, ὃ ᾠκοδόμησε κυρίῳ, ἀπέναντι τοῦ λαοῦ, κατὰ τὸν λόγον ἡμέρας ἐν ἡμέρᾳ, τοῦ ἀναφέρειν κατὰ τὰς ἐντολὰς μωϋσέως, ἐν τοῖς σαββάτοις καὶ ἐν τοῖς μησὶ καὶ ἐν ταῖς ἑορταῖς, τρεῖς καιροὺς τοῦ ἐνιαυτοῦ, ἐν τῇ ἑορτῇ τῶν ἀζύμων, καὶ ἐν τῇ ἑορτῇ τῶν ἑβδομάδων, καὶ ἐν τῇ ἑορτῇ τῶν σκηνῶν. καὶ ἔστησε κατὰ κρίσιν δαβὶδ τοῦ πατρὸς αὐτοῦ, τὰς διαιρέσεις τῶν ἱερέων, καὶ κατὰ τὰς λειτουργίας αὐτῶν. καὶ οἱ λευῖται ἐπὶ τὰς φυλακὰς αὐτῶν, τοῦ αἰνεῖν καὶ λειτουργεῖν κατέναντι τῶν ἱερέων, κατὰ τὸν λόγον ἡμέρας ἐν τῇ ἡμέρᾳ. καὶ οἱ πυλωροὶ κατὰ τὰς διαιρέσεις αὐτῶν, εἰς πύλην καὶ πύλην, ὅτι οὕτως ἐντολὴ δαβὶδ ἀνθρώπου τοῦ θεοῦ. οὐ παρῆλθον τὰς ἐντολὰς τοῦ βασιλέως

περὶ

περὶ τῶν ἱερέων καὶ τῶν λευιτῶν εἰς πάντα λόγον, καὶ εἰς τοὺς θησαυρούς. καὶ ἡτοιμάσθη πᾶσα ἡ ἐργασία, ἀφ' ἧς ἡμέρας ἐθεμελιώθη, ἕως οὗ ἐτελείωσε σολομὼν τὸν οἶκον κυρίου. τότε ᾤχετο σολομὼν εἰς γασιὼν γαβὲρ, καὶ εἰς τὴν αἰλὰθ τὴν παραθαλασσίαν, ἐν γῇ ἰδουμαίᾳ. καὶ ἀπέστειλε χιρὰμ ἐν χειρὶ παίδων αὐτοῦ πλοῖα, καὶ παῖδας εἰδότας θάλασσαν, καὶ ᾤχοντο μετὰ τῶν παίδων σολομὼν εἰς σαφιρά. καὶ ἔλαβον ἐκεῖθεν τετρακόσια καὶ πεντήκοντα τάλαντα χρυσίου, καὶ ἦλθον πρὸς τὸν βασιλέα σολομῶντα. Καὶ βασίλισσα σαβὰ ἤκουσε τὸ ὄνομα σολομῶντος, καὶ ἦλθε τοῦ πειράσαι αὐτὸν ἐν αἰνίγμασιν, εἰς ἱερουσαλὴμ, ἐν δυνάμει βαρείᾳ σφόδρα. καὶ κάμηλοι αἴρουσαι ἀρώματα εἰς πλῆθος, καὶ χρυσίον, καὶ λίθον τίμιον. καὶ ἦλθε πρὸς σολομῶντα, καὶ ἐλάλησεν αὐτῷ πάντα, ὅσα ἦν ἐν τῇ ψυχῇ αὐτῆς. καὶ ἀνήγγειλεν αὐτῇ σολομὼν πάντας τοὺς λόγους αὐτῆς, καὶ οὐ παρῆλθε λόγος ἀπὸ σολομῶντος, ὃν οὐκ ἀπήγγειλεν αὐτῇ. καὶ εἶδε βασίλισσα σαβὰ τὴν σοφίαν σολομῶντος, καὶ τὸν οἶκον, ὃν ᾠκοδόμησε, καὶ τὰ βρώματα τῶν τραπεζῶν, καὶ καθέδραν παίδων αὐτοῦ, καὶ στάσιν λειτουργῶν αὐτοῦ, καὶ ἱματισμὸν αὐτῶν καὶ στολισμὸν αὐτῶν, καὶ οἰνοχόους αὐτοῦ, καὶ τὰ ὁλοκαυτώματα, ἃ ἀνέφερεν ἐν

de sacerdotibus & Leuitis in omnem sermonē, & in thesauros. Et parata fuit omnis operatio, à quo die fundata est, usquequò perfecit Solomon domum dñi. Tunc abiit Solomon in Gasion Gaber, & in Ailath maritimam, in terra Idumæa. Et ablegauit Chirā Solomoni in manu seruorū suorum naues, & seruos sciētes mare, & abierunt cum seruis Solomonis in Saphira. Et tulerūt inde quadringēta & quinquaginta talenta auri, & uenerunt ad regem Solomonem. Et regina Saba audiuit nomē Solomonis, & uenit, ut tentaret eū in inuolucris, in Hierusalē, in potentia graui ualde. Et cameli portātes aromata in copiam, & aurū, & lapidē preciosum. Et uenit ad Solomonem, & loquuta est ei omnia, quæcūq; erāt in anima sua. Et renūciauit ei Solomon oēs sermones eius, et non præteriit sermo à Solomone, quem non enunciauit ei. Et uidit regina Saba sapientiam Solomonis, & domum, quam ædificauerat, & cibaria mensarum, & sedem seruorum eius, & stationem ministrorū eius, & uestitum eorum & ornatum eorum, & pincernas eius, & solida incensa, quæ offerebat in

3. Reg. 10
Matth. 12

domo domini, & extra se ipsam facta est. Et dixit ad regem, Verus sermo, quem audiui in terra mea, de sapiētia tua, & de sermonibus tuis. Et non credidi sermonibus, donec ueni, & uiderunt oculi mei. Et ecce, non renunciatum est mihi dimidium multitudinis sapientię tuę. Addidisti ad famā, quam audiui, Beati uiri tui. Beati serui tui, hi assistentes tibi semper, & audientes sapientiam tuam. Sit dominus deus tuus benedictus, qui uoluit in te, ut daret te in solio eius, in regem populo suo, quod diligit dominus deus tuus Israel, ut statuat eum in æternum, & dedit te super eos in regem, ut faceres iudicium & iustitiam. Et dedit regi centum uiginti talenta argenti, & aromata in copiam ualde, & lapidem preciosum, & non erant secundum aromata illa, quæ dedit regina Saba regi Solomoni. Et serui Solomon & serui Chiram ferebant ei aurum ex Suphir, & ligna pinea & lapidem preciosum. Et fecit rex ligna pinea, gradus domui domini & domui regis, & citharas & nablas cantibus, & non uisa sunt talia ante in terra Iudæ. Et rex Solomon dedit reginę Saba om-

οἴκῳ κυρίου, καὶ ἐξ ἑαυτῆς ἐγένετο. καὶ εἶπε πρὸς τὸν βασιλέα, ἀληθινὸς ὁ λόγος, ὃν ἤκουσα ἐν τῇ γῇ μου, περὶ τῆς σοφίας σου καὶ περὶ τῶν λόγων σου. καὶ οὐκ ἐπίστευσα τοῖς λόγοις, ἕως οὗ ἦλθον, καὶ εἶδον οἱ ὀφθαλμοί μου. καὶ ἰδοὺ, οὐκ ἀπηγγέλη μοι ἥμισυ τοῦ πλήθους τῆς σοφίας σου. προσέθηκας ἐπὶ τὴν ἀκοὴν, ἣν ἤκουσα. μακάριοι οἱ ἄνδρες σου. μακάριοι οἱ παῖδές σου, οὗτοι οἱ παρεστηκότες σοὶ διὰ παντὸς, καὶ ἀκούοντες τὴν σοφίαν σου. ἔστω κύριος ὁ θεός σου εὐλογημένος, ὃς ἠθέλησεν ἐν σοὶ, τοῦ δοῦναί σε ἐπὶ θρόνου αὐτοῦ εἰς βασιλέα τῷ λαῷ σου, ἐν τῷ ἀγαπῆσαι κύριον τὸν θεόν σου τὸν ἰσραὴλ, τοῦ στῆσαι αὐτὸν εἰς αἰῶνα, καὶ ἔδωκέ σε ἐπ᾽ αὐτὸν εἰς βασιλέα, τοῦ ποιῆσαι κρίσιν καὶ δικαιοσύνην. καὶ ἔδωκε τῷ βασιλεῖ ἑκατὸν εἴκοσι τάλαντα ἀργυρίου, καὶ ἀρώματα εἰς πλῆθος σφόδρα, καὶ λίθον τίμιον, καὶ οὐκ ἦν κατὰ τὰ ἀρώματα ἐκεῖνα, ἃ ἔδωκε βασίλισσα σαβὰ τῷ βασιλεῖ σολομῶντι. καὶ οἱ παῖδες σολομὼν καὶ οἱ παῖδες χιρὰμ ἔφερον αὐτῷ χρυσίον ἐκ σουφὶρ, καὶ ξύλα πεύκινα καὶ λίθον τίμιον. καὶ ἐποίησεν ὁ βασιλεὺς τὰ ξύλα τὰ πεύκινα ἀναβάσεις τῷ οἴκῳ κυρίου καὶ τῷ οἴκῳ τοῦ βασιλέως, καὶ κιθάρας καὶ νάβλας τοῖς ᾠδαῖς, καὶ οὐκ ὤφθησαν τοιαῦτα ἔμπροσθεν ἐν γῇ ἰούδα. καὶ ὁ βασιλεὺς σολομὼν ἔδωκε τῇ βασιλίσσῃ σαβὰ

πάντα

πάντα τὰ θελήματα αὐτῆς, ἃ ᾔτησεν, ἐκτὸς πάντων, ὧν ἤνεγκε τῷ βασιλεῖ σολομῶντι, καὶ ἐπέστρεψεν εἰς τὴν γῆν αὐτῆς. καὶ ἦν ὁ σταθμὸς τοῦ χρυσίου τοῦ ἐνεχθέντος αὐτῷ ἐν ἐνιαυτῷ ἑνὶ, ἑξακόσια ἑξήκοντα ἓξ τάλαντα χρυσίου, πλὴν τῶν ἀνδρῶν τῶν ὑποτεταγμένων καὶ τῶν ἐμπορευομένων, ὧν ἔφερον, καὶ πάντων τῶν βασιλέων τῆς ἀραβίας καὶ σατραπῶν τῆς γῆς, πάντες ἔφερον χρυσίον καὶ ἀργύριον τῷ βασιλεῖ σολομῶντι. καὶ ἐποίησεν ὁ βασιλεὺς σολομὼν διακοσίους θυρεοὺς χρυσοῦς, ἐλατούς. ἑξακόσιοι χρυσοῖ καθαροὶ ἐπῆσαν ἐπὶ τὸν θυρεὸν τὸν ἕνα. καὶ τριακοσίας ἀσπίδας ἐλατὰς, χρυσᾶς, τριακοσίων χρυσῶν, ἀνεφέρετο ἐπὶ τὴν ἀσπίδα ἑκάστην, καὶ ἔδωκεν αὐτὰς ὁ βασιλεὺς ἐν οἴκῳ δρυμοῦ τοῦ λιβάνου. καὶ ἐποίησεν ὁ βασιλεὺς θρόνον ἐλεφάντινον, ὀδόντων μεγάλων, καὶ κατεχρύσωσεν αὐτὸν χρυσίῳ δοκίμῳ. καὶ ἓξ ἀναβαθμοὶ τῷ θρόνῳ, ἐνδεδυμένοι χρυσίῳ. καὶ ἀγκῶνες ἔνθεν καὶ ἔνθεν, ἐπὶ τοῦ θρόνου τῆς καθέδρας. καὶ δύο λέοντες, ἑστηκότες παρὰ τοὺς ἀγκῶνας. καὶ δώδεκα λέοντες ἑστηκότες ἐκεῖ, ἐπὶ τῶν ἓξ ἀναβαθμῶν, ἔνθεν καὶ ἔνθεν. οὐκ ἐγενήθη οὕτως ἐν πάσῃ βασιλείᾳ. καὶ πάντα τὰ σκεύη τοῦ βασιλέως σολομῶντος, χρυσίου. καὶ πάντα τὰ σκεύη οἴκου τοῦ δρυμοῦ τοῦ λιβάνου, χρυσίῳ κατειλημμένα. οὐκ ἦν ἀργύ-

ριον

omnes uoluntates eius, quæ petiit, extra omnia, quæ tulit regi Solomoni, & reuersa est in terram suam. Et erat pondus auri, illati ei anno uno, sexcẽta & sexaginta & sex talenta auri, pręter uiros subditos & aduenientes, qui ferebant, & omnes reges Arabiæ & principes terræ, omnes ferebant aurum & argẽtum regi Solomoni. Et fecit rex Solomon ducenta scuta aurea ductilia. Sexaginta aurei puri inerant in scuto uno. et trecenta scuta ductilia, aurea, trecentorum aureorum, inferebantur in scutũ quodlibet, & dedit ea rex in domo saltus Libani. Et fecit rex solium elephantinum, dentium magnorũ, & deaurauit eum auro probato. Et sex gradus solio, induti auro. Et brachia hinc & hinc, in solio sedis. Et duo leones stantes iuxta brachia. Et duodecim leones stantes ibi, in sex gradibus, inde & inde. Non fuit sic in omni regno. Et omnia uasa domus regis Solomonis, auri. Et omnia uasa domus saltus Libani auro distincta. Non erat argen-

tum

tum æstimatũ in diebus Solomon in quicquam, quia nauis regi proficiscebatur in Tharsis, cũ seruis Chiram. Semel per tres annos ueniebat nauis ex Tharsis regi, referta auro & argento, & dentibus elephãtinis & simiis. Et magnus effectus est Solomõ super omnes reges, diuitiis et sapientia. Et omnes reges terræ quærebant conspectum Solomon, ad audiendum sapientiam eius, quã dedit deus in corde eius. Et ipsi ferebant, unusquisque dona eius, uasa argentea & aurea, & uestitũ et stacten & bellaria, et equos & mulos, id quotannis. Et fuerũt regi Solomõ quatuor mille fœminæ equæ in currus, & duodecim millia equitum, & posuit eos in ciuitatibus curruum, & cum rege in Hierusalem. Et fuit dux omnium regum, à flumine et usque ad terram alienigenarum, & usque ad terminum Aegypti. Et dedit rex aurũ & argentum in Hierusalem ut lapides, et cedros dedit ut sycomoros, quæ in campestri, in copiam. Et exitus equitum ex Aegypto Solomon ex omni terra. Et reliqui sermones Solomon, primi et ultimi, ecce hi scripti in sermonibus Nathan uatis, &

ειον λογιζόμενον ἐν ταῖς ἡμέραις σολομὼν εἰς οὐθέν, ὅτι ναῦς τῷ βασιλεῖ ἐπορεύετο εἰς θαρσεῖς, μετὰ τῶν παίδων χιράμ. ἅπαξ διὰ τριῶν ἐτῶν ἤρχετο πλοῖον ἐκ θαρσεῖς τῷ βασιλεῖ, γέμον χρυσίου καὶ ἀργυρίου καὶ ὀδόντων ἐλεφαντίνων καὶ πιθήκων. καὶ ἐμεγαλύνθη σολομὼν ὑπὲρ πάντας τοὺς βασιλεῖς, πλούτῳ καὶ σοφίᾳ. καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς ἐζήτουν τὸ πρόσωπον σολομών, ἀκοῦσαι τῆς σοφίας αὐτοῦ, ἧς ἔδωκεν ὁ θεὸς ἐν καρδίᾳ αὐτοῦ. καὶ αὐτοὶ ἔφερον, ἕκαστος τὰ δῶρα αὐτοῦ, σκεύη ἀργυρᾶ καὶ χρυσᾶ, καὶ ἱματισμὸν καὶ στακτὴν καὶ ἡδύσματα, καὶ ἵππους καὶ ἡμιόνους, τὸ κατ᾽ ἐνιαυτὸν ἐνιαυτόν. καὶ ἦσαν τῷ βασιλεῖ σολομὼν τέσσαρες χιλιάδες θήλειαι ἵπποι εἰς ἅρματα, καὶ δώδεκα χιλιάδες ἱππέων, καὶ ἔθετο αὐτοὺς ἐν πόλεσι τῶν ἁρμάτων, καὶ μετὰ τοῦ βασιλέως ἐν ἱερουσαλήμ. καὶ ἦν ἡγούμενος πάντων τῶν βασιλέων, ἀπὸ τοῦ ποταμοῦ καὶ ἕως τῆς γῆς ἀλλοφύλων, καὶ ἕως ὁρίου αἰγύπτου. καὶ ἔδωκεν ὁ βασιλεὺς τὸ χρυσίον καὶ τὸ ἀργύριον ἐν ἱερουσαλὴμ ὡς λίθους, καὶ τὰς κέδρους ὡς συκαμίνους τὰς ἐν τῇ πεδινῇ, εἰς πλῆθος. καὶ ἡ ἔξοδος τῶν ἱππέων ἐξ αἰγύπτου τῷ σολομὼν ἐκ πάσης τῆς γῆς. καὶ οἱ κατάλοιποι λόγοι σολομών, οἱ πρῶτοι καὶ οἱ ἔσχατοι, ἰδοὺ οὗτοι γεγραμμένοι ἐπὶ τῶν λόγων νάθαν τοῦ προφήτου,

καὶ

καὶ ἐπὶ τῶν λόγων ἀχιὰ τοῦ σηλωνίτου, καὶ ἐν ταῖς ὁράσεσιν ἰωὴλ τοῦ ὁρῶντος, περὶ ἱεροβοὰμ υἱοῦ ναβάτ. καὶ ἐβασίλευσεν σολομὼν ἐπὶ πάντα ἰσραὴλ τεσσαράκοντα ἔτη. καὶ ἐκοιμήθη σολομὼν, καὶ ἔθαψαν αὐτὸν ἐν πόλει δαβὶδ τοῦ πατρὸς αὐτοῦ. καὶ ἐβασίλευσε ῥοβοὰμ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

Καὶ ἦλθε ῥοβοὰμ εἰς συχὲμ, ὅτι εἰς συχὲμ ἤρχετο πᾶς ἰσραὴλ βασιλεῦσαι αὐτόν. καὶ ἐγένετο, ὡς ἤκουσεν ἱεροβοὰμ υἱὸς ναβὰτ, καὶ αὐτὸς ἐν αἰγύπτῳ, ὡς ἔφυγεν ἀπὸ προσώπου σολομὼν τοῦ βασιλέως, καὶ κατῴκησεν ἱεροβοὰμ ἐν αἰγύπτῳ, καὶ ἀπέστρεψεν ἱεροβοὰμ ἐξ αἰγύπτου, καὶ ἀπέστειλαν, καὶ ἐκάλεσαν αὐτόν. καὶ ἦλθεν ἱεροβοὰμ καὶ πᾶσα ἡ ἐκκλησία ἰσραὴλ πρὸς τὸν βασιλέα ῥοβοὰμ, λέγοντες, ὁ πατήρ σου ἐσκλήρυνε τὸν ζυγὸν ἡμῶν, καὶ νῦν ἄφες ἀπὸ τῆς δουλείας τοῦ πατρός σου τῆς σκληρᾶς, καὶ ἀπὸ τοῦ ζυγοῦ αὐτοῦ τοῦ βαρέος, οὗ ἔδωκεν ἐφ' ἡμᾶς, καὶ δουλεύσομέν σοι. καὶ εἶπεν αὐτοῖς, πορεύεσθε ἕως τριῶν ἡμερῶν, καὶ ἔρχεσθε πρός με. καὶ ἀπῆλθεν ὁ λαός. καὶ συνήγαγεν ὁ βασιλεὺς ῥοβοὰμ τοὺς πρεσβυτέρους, τοὺς ἑστηκότας ἐναντίον σολομὼν τοῦ πατρὸς αὐτοῦ, ἐν τῷ ζῆν αὐτὸν, λέγων, πῶς ὑμεῖς βουλεύεσθε τοῦ ἀποκριθῆναι τῷ λαῷ τούτῳ λόγον; καὶ ἐλάλησαν αὐτῷ, λέγοντες, ἐὰν ἐν τῇ

σήμερον

& in sermonibus Achiæ Selonitæ, & in uisionibus Ioel uidentis, de Hieroboam filio Nabat. Et regnauit Solomon super omnē Israel quadraginta annos. Et dormiuit Solomon, & sepelierunt eum in ciuitate Dauid patris eius. Et regnauit Roboam filius eius pro eo.

Et uenit Roboam in Sychem, quoniam in Sychē Cap. V
uenīebat omnis Israel, ut 3. Reg. 12
constituerent regem eum. Et factum est, ut audiuit Hieroboam filius Nabat, & ipse in Aegypto, ut fugit à conspectu Solomon regis, & habitauit Hieroboam in Aegypto, & reuersus est Hieroboam ex Aegypto. Et dimiserunt, & uocauerunt eum. Et uenit Hieroboam & omnis concio Israel, ad Roboam, dicentes, Pater tuus durum reddidit iugum nostrum, & nunc remitte à seruitute patris tui dura, et à iugo eius graui, quod dedit super nos, et seruiemus tibi. Et dixit eis, Ite usque in tres dies, & redite ad me. Et abiit populus. Et congregauit rex Roboā seniores, stantes corā Solomon patre eius, cum uiueret is, dicens, Quomodo uos consulitis, ut respondeam populo huic sermonem? Et loquuti sunt ei, dicentes, Si in

 hodie

hodierno fueris in bonum populo huic, & beneuolus fueris eis, & loquutus fueris eis sermones bonos & erunt tibi serui omnes dies. Et reliquit consilium seniorum, quod consuluerunt ei, & cõsultauit cum puellis, enutritis cum eo, stantibus coram eo. Et dixit eis, Quid uos consulitis, & respondebo sermonem populo huic, qui loquuti sunt ad me, dicentes, Remitte de iugo, quod dedit pater tuus super

3.Reg.12 nos. Et loquuti sunt ei puelli enutriti cum eo, dicentes, Sic loqueris populo loquenti ad te, dicenti, Pater tuus graue reddidit iugum nostrum, & tu remitte à nobis, sic dices. Paruus digitus meus crassior lumbo patris mei. Et nunc pater meus erudiuit uos iugo graui, & ego apponam ad iugum uestrũ. Pater meus erudiuit uos in flagellis, & ego erudiam uos in scorpionibus. Et uenit Hieroboam & omnis populus ad Roboam in die tertia, ut loquutus est rex, dicens, Reuertimini ad me in die tertia. Et respondit rex dura. Et reliquit rex Roboam cõsilium seniorum, & loquutus est pro consilio iuniorum. Pater meus graue

σύμφρον γενῇ εἰς ἀγαθὸν τῷ λαῷ τούτῳ, καὶ εὐδοκήσῃς, καὶ λαλήσῃς αὐτοῖς λόγους ἀγαθοὺς, καὶ ἔσονταί σοι παῖδες πάσας τὰς ἡμέρας. καὶ κατέλιπε τὴν βουλὴν τῶν πρεσβυτέρων, ἣν συνεβουλεύσαντο αὐτῷ, καὶ συνεβουλεύσατο μετὰ τῶν παιδαρίων τῶν συνεκτραφέντων μετ' αὐτοῦ, τῶν ἑστηκότων ἐναντίον αὐτοῦ. καὶ εἶπεν αὐτοῖς, τί ὑμεῖς βουλεύεσθε, καὶ ἀποκριθήσομαι λόγον τῷ λαῷ τούτῳ, οἳ ἐλάλησαν πρός με λέγοντες, ἄνες ἀπὸ τοῦ ζυγοῦ, οὗ ἔδωκεν ὁ πατήρ σου ἐφ' ἡμᾶς. καὶ ἐλάλησαν αὐτῷ τὰ παιδάρια τὰ ἐκτραφέντα μετ' αὐτοῦ, λέγοντα, οὕτως λαλήσεις τῷ λαῷ τῷ λαλήσαντι πρός σε, λέγοντι, ὁ πατήρ σου ἐβάρυνε τὸν ζυγὸν ἡμῶν, καὶ σὺ ἄφες ἀφ' ἡμῶν, οὕτως ἐρεῖς. ὁ μικρὸς δάκτυλός μου παχύτερος τῆς ὀσφύος τοῦ πατρός μου. καὶ νῦν ὁ πατήρ μου ἐπαίδευσεν ὑμᾶς ζυγῷ βαρεῖ, κἀγὼ προσθήσω ἐπὶ τὸν ζυγὸν ὑμῶν. ὁ πατήρ μου ἐπαίδευσεν ὑμᾶς ἐν μάστιξι, κἀγὼ παιδεύσω ὑμᾶς ἐν σκορπίοις. καὶ ἦλθεν Ἱεροβοὰμ καὶ πᾶς ὁ λαὸς πρὸς Ῥοβοὰμ ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ, ὡς ἐλάλησεν ὁ βασιλεὺς, λέγων, ἐπιστρέψατε πρός με ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ. καὶ ἀπεκρίθη ὁ βασιλεὺς σκληρά. καὶ ἐγκατέλιπεν ὁ βασιλεὺς Ῥοβοὰμ τὴν βουλὴν τῶν πρεσβυτέρων, καὶ ἐλάλησε κατὰ τὴν βουλὴν τῶν νεωτέρων. ὁ πατήρ μου

ἐβά-

ἐβάρυνε τὸν ζυγὸν ὑμῶν, καὶ ἐγὼ προσθήσω ἐπ᾽ αὐτόν. ὁ πατήρ μου ἐπαίδευσεν ὑμᾶς ἐν μάστιξι, καὶ ἐγὼ παιδεύσω ὑμᾶς ἐν σκορπίοις. καὶ οὐκ ἤκουσεν ὁ βασιλεὺς ῥοβοάμ, ὅτι ἦν μεταστροφὴ παρὰ τοῦ θεοῦ, λέγων, ἀνέστησε κύριος τὸν λόγον αὐτοῦ, ὃν ἐλάλησεν ἐν χειρὶ ἀχιὰ τοῦ σηλωνίτου, περὶ ἱεροβοὰμ υἱοῦ ναβὰτ, καὶ παντὸς ἰσραὴλ, ὅτι οὐκ ἤκουσεν ὁ βασιλεὺς αὐτῶν. καὶ ἀπεκρίθη ὁ λαὸς πρὸς τὸν βασιλέα, λέγοντες, τίς ἡμῖν μερὶς ἐν δαβίδ, καὶ κληρονομία ἐν υἱῷ ἰεσσαί; ἀπότρεχε εἰς τὰ σκηνώματά σου ἰσραήλ. νῦν βλέπε τὸν οἶκόν σου δαβίδ. καὶ ἐπορεύθη πᾶς ἰσραὴλ εἰς τὰ σκηνώματα αὐτοῦ. καὶ ἄνδρες ἰσραὴλ, καὶ οἱ κατοικοῦντες ἐν πόλεσιν ἰούδα ἐβασίλευσαν ἐπ᾽ αὐτῶν τὸν ῥοβοάμ. καὶ ἀπέστειλεν ἐπ᾽ αὐτοὺς ῥοβοὰμ ὁ βασιλεὺς τὸν ἀδωνιρὰμ, τὸν ἐπὶ τοῦ φόρου, καὶ ἐλιθοβόλησαν αὐτὸν οἱ υἱοὶ ἰσραὴλ λίθοις, καὶ ἀπέθανε. καὶ ἔσπευσεν ὁ βασιλεὺς ῥοβοὰμ τοῦ ἀναβῆναι εἰς τὸ ἅρμα, καὶ τοῦ φυγεῖν εἰς ἱερουσαλήμ. καὶ ἠθέτησεν ἰσραὴλ ἐν τῷ οἴκῳ δαβίδ, ἕως τῆς ἡμέρας ταύτης. Καὶ ἦλθε ῥοβοὰμ εἰς ἱερουσαλὴμ, καὶ ἐξεκκλησίασεν τὸν οἶκον ἰούδα καὶ βενιαμὶν, ἑκατὸν ὀγδοήκοντα χιλιάδας νεανίσκων ποιούντων πόλεμον. καὶ ἐπολέμει πρὸς ἰσραὴλ καὶ πρὸς ἱεροβοὰμ, τοῦ ἐπιστρέψαι τὴν βασιλείαν ἑαυτῷ.

καὶ

graue reddidit iugum uestrum, & ego apponā ad illud. Pater meus erudiuit uos in flagellis, & ego erudiam uos in scorpionibus. Et non nouerat Rex Roboam, quòd erat conuersio à Deo, dicens, Constabiliuit dominus sermonē suum, quem loquutus est in manu Achia Selonitæ, de Hieroboam filio Nabat, & omni Israel, quod non audiuit rex eos. Et respondit populus ad regē, dicentes, Quæ nobis pars in Dauid, & hæreditas in filio Iessai? Decurre in tabernacula tua Israel. Nunc uide domum tuam Dauid. Et profectus est omnis Israel in tabernacula sua. Et uiri Israel, & inhabitantes in ciuitatibus Iuda, regem crearunt super se Roboam. Et dimisit Roboam rex Adaniram, qui super tributum, & lapidauerunt eum filii Israel lapidibus, & mortuus est. Et audiuit rex Roboam, & festinauit ascendere in currum, & fugere in Hierusalem. Et præuaricatus est Israel in domo Dauid, usq; ad diem hanc. Et uenit Roboam in Hierusalem, & in concionem uocauit domum Iuda & Beniamin, centum octoginta millia iuuenū faciētiū bellū. Et bellū gerebat cōtra Israel et cōtra Hieroboā, ut cōuerteret regnū sibiipsi.

Et fuit sermo domini ad Samaiã hominem dei, dicẽs, Loquere ad Roboã filiũ Solomonis, regem Iuda, & ad oẽm Israel in Iuda & Beniamin, dicens, Hæc dicit dñs. Nõ ascendetis, neq; belligerabitis contra fratres uestros. Reuertatur unusquisq; in domum suam, quoniam à me fuit uerbum hoc. Et obedierunt sermoni dñi, & reuersi sunt, ut non irẽt cõtra Hieroboam. Et habitauit Roboam in Hierusalem. Et ædificauit ciuitates munitas in Iudæa. Et ędificauit Bethleem et Aitã & Thecue & Baithsuran & Sochoth & Odollam & Geth & Marisar & Ziph & Aduraim & Lachis & Azeca & Salaa & Ailom & Chebrõ, quæ est Iuda & Beniamin, ciuitates munitæ. Et muniuit eas muris, & dedit eis duces, & additiones ciborum, oleum & uinum per urbem, & scuta et hastas, & corroborauit eas in copiã ualde; & fuerunt Iuda & Beniamin. Et sacerdotes & Leuitæ, qui fuerunt in õmi Israel, congregati sunt ad eum, ex omnib' terminis. Quia dereliquerunt Leuitæ habitacula possessionis suę, & profecti sunt ad Iudã, in Hierusalem. Q̃m eiecit eos

καὶ ἐγένετο λόγος κυρίου πρὸς σαμαίαν ἄνθρωπον τοῦ θεοῦ, λέγων, εἶπον πρὸς ῥοβοὰμ τὸν τοῦ σολομὼν, βασιλέα ἰούδα, καὶ πρὸς πάντα ἰσραὴλ ἐν ἰούδα καὶ βενιαμὶν, λέγων, τάδε λέγει κύριος. οὐκ ἀναβήσεσθε, οὐδὲ πολεμήσεσθε πρὸς τοὺς ἀδελφοὺς ὑμῶν. ἀποστρεφέτω ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ, ὅτι παρ' ἐμοῦ ἐγένετο τὸ ῥῆμα τοῦτο. καὶ ὑπήκουσαν τοῦ λόγου κυρίου, καὶ ἀπεστράφησαν τοῦ μὴ πορευθῆναι ἐπὶ ἱεροβοάμ. καὶ κατῴκησε ῥοβοὰμ ἐν ἱερουσαλήμ. καὶ ᾠκοδόμησε πόλεις τειχήρεις ἐν τῇ ἰουδαίᾳ. καὶ ᾠκοδόμησε τὴν βηθλεὲμ καὶ τὴν αἰτὰν καὶ τὴν θεκωὲ καὶ τὴν βαιθσουρὰν καὶ τὴν σοχὼθ καὶ τὴν ὀδολλὰμ καὶ τὴν γὲθ καὶ τὴν μαρισὰρ καὶ τὴν ζὶφ καὶ τὴν ἀδωραὶμ καὶ τὴν λάχεις καὶ ἀζηκὰ καὶ τὴν σαλαὰ καὶ τὴν αἰλὼμ καὶ τὴν χεβρὼν, ἥ ἐστι τοῦ ἰούδα καὶ τοῦ βενιαμίν, πόλεις τειχήρεις. καὶ ὠχύρωσεν αὐτὰς τείχεσι, καὶ ἔδωκεν αὐταῖς ἡγουμένους, καὶ παραθέσεις βρωμάτων, ἔλαιον καὶ οἶνον κατὰ πόλιν, καὶ θυρεοὺς καὶ δόρατα, καὶ κατίσχυσεν αὐτὰς εἰς πλῆθος σφόδρα, καὶ ἦσαν τῷ ἰούδα καὶ βενιαμίν. καὶ οἱ ἱερεῖς καὶ οἱ λευῖται, οἳ ἦσαν ἐν παντὶ ἰσραὴλ, συνήχθησαν πρὸς αὐτὸν, ἐκ πάντων τῶν ὁρίων. ὅτι ἐγκατέλιπον οἱ λευῖται τὰ σκηνώματα τῆς κατασχέσεως αὐτῶν, καὶ ἐπορεύθησαν πρὸς ἰούδαν, εἰς ἱερουσαλήμ, ὅτι ἐξέβαλον αὐ-

αὐτὸς ἱεροβοὰμ καὶ οἱ υἱοὶ αὐτοῦ, τοῦ μὴ λειτουργεῖν κυρίῳ. καὶ κατέστησεν ἑαυτῷ ἱερεῖς τῶν ὑψηλῶν, καὶ τοῖς εἰδώλοις καὶ τοῖς ματαίοις καὶ τοῖς μόσχοις, ἃ ἐποίησεν ἱεροβοάμ. καὶ ἐξέβαλεν αὐτοὺς ἀπὸ φυλῶν ἰσραὴλ, οἳ ἔδωκαν τὴν καρδίαν αὐτῶν ζητῆσαι τὸν κύριον θεὸν ἰσραήλ. καὶ ἦλθον εἰς ἱερουσαλὴμ θῦσαι κυρίῳ θεῷ τῶν πατέρων αὐτῶν, καὶ κατίσχυσαν τὴν βασιλείαν ἰούδα. καὶ κατίσχυσε ῥοβοὰμ ὁ τοῦ σολομὼν εἰς ἔτη τρία, ὅτι ἐπορεύθη ταῖς ὁδοῖς δαβὶδ καὶ σολομὼν τοῦ πατρὸς αὐτοῦ ἔτη τρία. καὶ ἔλαβεν αὐτῷ ῥοβοὰμ γυναῖκα τὴν μοολὰθ, θυγατέρα ἱεριμὼθ υἱοῦ δαβὶδ, καὶ ἀβιγαίαν θυγατέρα ἐλιὰβ τοῦ ἰεσσαί. καὶ ἔτεκεν αὐτῷ υἱοὺς, τὸν ἰεοὺς καὶ τὸν σαμορία καὶ τὸν ζαάμ. καὶ μετὰ ταῦτα ἔλαβεν ἑαυτῷ τὴν μααχὰ, θυγατέρα ἀβεσσαλώμ. καὶ ἔτεκεν αὐτῷ τὸν ἀβιὰ καὶ τὸν ἰεθθὶ καὶ τὸν ζιζὰ καὶ τὸν σαλημώθ. καὶ ἠγάπησε ῥοβοὰμ τὴν μααχὰ θυγατέρα ἀβεσσαλώμ, ὑπὲρ πάσας τὰς γυναῖκας αὐτοῦ, καὶ τὰς παλλακάς. ὅτι γυναῖκας δεκαοκτὼ εἶχε, καὶ παλλακὰς ἑξήκοντα. καὶ ἐγέννησεν εἴκοσι καὶ ὀκτὼ υἱοὺς, καὶ θυγατέρας ἑξήκοντα. καὶ κατέστησεν εἰς ἄρχοντα ῥοβοὰμ τὸν ἀβιὰ, τὸν τῆς μααχὰ, καὶ εἰς ἡγούμενον ἐν τοῖς ἀδελφοῖς αὐτοῦ, ὅτι βασιλεῦσαι διενοεῖτο αὐτόν. καὶ ηὐξήθη παρὰ πάντας τοὺς ἀδελφοὺς αὐτοῦ, ἐν πᾶσι τοῖς υἱοῖς

ἰούδα

eos Hieroboam & filii eius, ne ministrarent dño. Et constituit sibiipsi sacerdotes excelsorũ, & simulacris & uanis & inutilis, quas fecit Hieroboam. Et eiecit eos e tribubus Israel, qui dederunt cor eorũ, ad quærendum dominum deum Israel. Et uenerũt in Hierusalem, ad sacrificandum domino deo patrum suorum, & corroborauerunt regnum Iuda. Et obtinuit Roboam filius Solomon in annos tres, quoniã ambulauit in uiis Dauid & Solomon patris eius, annos tres. Et accepit sibi Roboam uxorẽ Moolath, filiam Hierimuth filii David, & Abigaian filiã Eliab, filii Iessai. Et peperit ei filios Ieus & Samoria & Zaam. Et post hęc accepit sibiipsi Maacha, filiam Abessalom. Et peperit ei Abia & Ieththi et Zeza & Salemoth. Et amauit Roboã Maacha filiam Abessalom, super omnes uxores suas, & pellices. Quia uxores decẽ & octo habuit, & pellices sexaginta. Et genuit uiginti & octo filios, & filias sexaginta. Et constituit in principem Roboam Abia, filium Maacha, & in ducem in fratribus suis, quoniam regẽ creare cogitabat eum. Et auctus est super omnes fratres eius, in omnibus filiis

Iuda

Iuda & Beniamin, & in ciuitatibus munitis. Et dedit in eis escas, copiã multam, & petiuit multitudinem uxorum. Et factum est, ut paratum fuit regnũ Roboam, & ut corroboratum est, dereliquit præcepta domini, & omnis Israel cum eo. Et factũ est in anno quinto regni Roboã, ascendit Susacim rex Aegypti in Hierusalem, quia peccauerant corã domino, in mille et ducentis curribus, et sexaginta millibus equorum. Et non erat numerus multitudinis uenientis cũ eo ex Aegypto, Libyes, Troglodytę & Aethiopes. Et obtinuerunt ciuitates munitas, quæ erant in Iuda, & uenerunt in Hierusalem. Et Samaias uates uenit ad Roboam, & ad principes Iuda, congregatos in Hierusalem à conspectu Susacim. Et dixit eis, Sic dixit dominus. Vos reliquistis me, & ego relinquam uos in manu Susacim. Et uerecũdati sunt principes Israel & rex, & dixerunt, Iustus dñs. Et cum uidisset dñs, quod cõuersi fuerũt, & fuit sermo dñi ad Samaian, dicens. Conuersi sunt, non disperdam eos, & dabo eos, ut parum, in salutem. Et nequaquam stillauerit furor meus in Hierusalẽ, quoniã erũt in seruos,

&

ἰούδα καὶ βενιαμὶν, καὶ ἐν ταῖς πόλεσι ταῖς ὀχυραῖς. καὶ ἔδωκεν ἐν αὐταῖς τροφὰς, πλῆθος πολὺ, καὶ ᾐτήσατο πλῆθος γυναικῶν. Καὶ ἐγένετο, ὡς ἡτοιμάσθη ἡ βασιλεία ῥοβοὰμ, καὶ ὡς κατεκρατύνθη, ἐγκατέλιπε τὰς ἐντολὰς κυρίου, καὶ πᾶς ἰσραὴλ μετ᾽ αὐτοῦ. καὶ ἐγένετο ἐν τῷ ἔτει τῷ πέμπτῳ τῆς βασιλείας ῥοβοὰμ, ἀνέβη σουσακὶμ βασιλεὺς αἰγύπτου ἐπὶ ἱερουσαλὴμ, ὅτι ἥμαρτον ἐναντίον κυρίου, ἐν χιλίοις καὶ ὀκτακοσίοις ἅρμασι, καὶ ἑξήκοντα χιλιάσιν ἵππων. καὶ οὐκ ἦν ἀριθμὸς τοῦ πλήθους τοῦ ἐλθόντος μετ᾽ αὐτοῦ ἐξ αἰγύπτου, λίβυες, τρωγλοδύται καὶ αἰθίοπες. καὶ κατεκράτησαν τῶν πόλεων τῶν ὀχυρῶν, αἳ ἦσαν ἐν ἰούδα, καὶ ἦλθον εἰς ἱερουσαλήμ. καὶ σαμαίας ὁ προφήτης ἦλθε πρὸς ῥοβοὰμ, καὶ πρὸς τοὺς ἄρχοντας ἰούδα, τοὺς συναχθέντας εἰς ἱερουσαλὴμ ἀπὸ προσώπου σουσακίμ. καὶ εἶπεν αὐτοῖς, οὕτως εἶπε κύριος. ὑμεῖς ἐγκατελίπετέ με, καὶ ἐγὼ ἐγκαταλείψω ὑμᾶς ἐν χειρὶ σουσακίμ. καὶ ᾐσχύνθησαν οἱ ἄρχοντες ἰούδα καὶ ὁ βασιλεὺς, καὶ εἶπαν, δίκαιος ὁ κύριος. καὶ ἐν τῷ ἰδεῖν κύριον, ὅτι ἐνετράπησαν, καὶ ἐγένετο λόγος κυρίου πρὸς σαμαίαν, λέγων, ἐνετράπησαν, οὐ καταφθερῶ αὐτοὺς, καὶ δώσω αὐτοὺς, ὡς μικρὸν, εἰς σωτηρίαν. καὶ οὐ μὴ στάξῃ ὁ θυμός μου ἐπὶ ἱερουσαλὴμ, ὅτι ἔσονται εἰς παῖδας,

καὶ

καὶ γνώσονται τὴν δουλείαν μου, καὶ τὴν δουλείαν τῆς βασιλείας τῆς γῆς. καὶ ἀνέβη σουσακὶμ βασιλεὺς αἰγύπτου ἐπὶ ἱερουσαλὴμ, καὶ ἔλαβε τοὺς θησαυροὺς τοὺς ἐν οἴκῳ κυρίου, καὶ τοὺς θησαυροὺς τοὺς ἐν οἴκῳ τοῦ βασιλέως, τὰ πάντα ἔλαβε, καὶ τοὺς θυρεοὺς τοὺς χρυσοῦς, οὓς ἐποίησε σαλωμών. καὶ ἐποίησεν ὁ βασιλεὺς ῥοβοὰμ θυρεοὺς χαλκοῦς ἀντ' αὐτῶν. καὶ κατέστησεν ἐπ' αὐτὸν σουσακὶμ βασιλεὺς αἰγύπτου ἄρχοντας παρατρεχόντων, τοὺς φυλάσσοντας τὸν πυλῶνα τοῦ βασιλέως. καὶ ἐγένετο ἐν τῷ εἰσελθεῖν τὸν βασιλέα εἰς οἶκον κυρίου, εἰσεπορεύοντο οἱ φυλάσσοντες καὶ οἱ παρατρέχοντες, καὶ οἱ ἐπιστρέφοντες εἰς ἀπάντησιν τῶν παρατρεχόντων. καὶ ἐν τῷ ἐντραπῆναι αὐτὸν, ἀπεστράφη ἀπ' αὐτοῦ ὀργὴ κυρίου, καὶ οὐκ εἰς καταφθορὰν εἰς τέλος. καὶ γὰρ ἐν τῷ ἰούδα ἦσαν λόγοι ἀγαθοί. καὶ κατίσχυσεν ὁ βασιλεὺς ῥοβοὰμ ἐν ἱερουσαλὴμ, καὶ ἐβασίλευσε. καὶ υἱὸς ἐτῶν τεσσαράκοντα καὶ ἑνὸς ἦν ῥοβοὰμ ἐν τῷ βασιλεῦσαι αὐτόν. καὶ ἑπτακαίδεκα ἔτη ἐβασίλευσεν ἐν ἱερουσαλὴμ, ἐν τῇ πόλει, ᾗ ἐξελέξατο κύριος ἐπονομάσαι τὸ ὄνομα αὐτοῦ ἐκεῖ, ἐκ πασῶν φυλῶν ἰσραήλ. καὶ τὸ ὄνομα τῆς μητρὸς αὐτοῦ, νοομμὰ ἡ ἀμμανῖτις. καὶ ἐποίησε τὸ πονηρὸν, ὅτι οὐ κατεύθυνε τὴν καρδίαν αὐτοῦ ἐκζητῆσαι κύριον. καὶ

οἱ

& cognoscent seruitutem
meam, et seruitutem regni
terræ. Et ascēdit Susacim
rex Aegypti in Hierusa-
lē, & cepit thesauros, qui
erant in domo dñi, & the
sauros qui erant in domo
regis, omnia tulit, &
scuta aurea, quæ fecit So-
lomon. Et fecit rex Robo
am scuta ænea pro eis. Et
constituit super eum Susa-
cim rex Aegypti duces
accurrentium, custodiētes
uestibulum regis. Et factū
est cum ingrederetur rex
in domum domini, ingre-
diebantur custodientes et
accurrentes, & reuerten-
tes in occursum accurren
tium. Et cum conuersus es- 3. Reg. 14
set ipse, auersa est ab eo
ira domini, & non in de-
uastationem in finem. Ete
nim in Iuda fuerunt sermo
nes boni. Et obtinuit rex
Roboam in Hierusalem,
& regnauit. Et filius anno
rum quadraginta & uni-
us erat Roboam, cum reg
naret ipse. Et septem & de
cē annos regnauit in Hie-
rusalem, in ciuitate, quam
elegit dominus, ut cogno
minaret nomen suum ibi,
ex omnibus filiis Israel.
Et nomen matris eius,
Nomma Ammanitis. Et
fecit malum, quoniam nō
direxit cor suum ad quæ-
rendum dominum. Et

fer-

sermones Roboam, primi & ultimi, nonne sunt scripti in sermonibus Samaia uatis, & Addo uidentis, & actus eius: Et bello impetiit Roboam Hieroboam omnes dies. Et mortuus est Roboam cum patribus suis, & sepultus est in ciuitate David. Et regnauit Abia filius eius pro eo.

Cap. VI
3. Reg. 15

In octauo & decimo anno regni Hieroboam, regnauit Abia super Iudā, & tres annos regnauit in Hierusalem. Et nomen matri eius Maacha, filia Vriel à Gabaion. Et bellum erat inter Hieroboam & inter Abia. Et instruxit Abia bellum, in exercitu, bellatoribus exercitus, in quadringentis millibus uirorum potentium. Et Hieroboam instruxit contra eū bellum, in octingentis millibus uirorum bellatorū, exercitus robore. Et surrexit Abia à monte Somoron, qui est in monte Ephraim, & dixit, Audite Hieroboam & omnis Israel, Non uobis noscere, quod dominus deus Israel dedit regnum David super Israel in æternum, & filios ei in testamentum æternum? Et surrexit Hieroboam filius Nabat, seruus Solomon filii David, et defecit à dño suo. Et cō gregati sunt ad eum uiri pesti-

οἱ λόγοι ῥοβοὰμ, οἱ πρῶτοι καὶ ἔσχατοι, οὐκ ἰδὲ εἰσὶ γεγραμμένοι ἐν τοῖς λόγοις σαμαίου τοῦ προφήτου, καὶ ἀδδὼ τοῦ ὁρῶντος; καὶ αἱ πράξεις αὐτοῦ; καὶ ἐπολέμησε ῥοβοὰμ τὸν ἱεροβοὰμ πάσας τὰς ἡμέρας. καὶ ἀπέθανε ῥοβοὰμ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐτάφη ἐν πόλει δαβίδ. καὶ ἐβασίλευσεν ἀβιὰ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

Ἐν τῷ ὀγδόῳ καὶ δεκάτῳ ἔτει τῆς βασιλείας ἱεροβοὰμ, ἐβασίλευσεν ἀβιὰ ἐπὶ ἰούδαν, καὶ τρία ἔτη ἐβασίλευσεν ἐπὶ ἱερουσαλήμ. καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ μααχὰ, θυγάτηρ οὐριὴλ ἀπὸ γαβαών. καὶ πόλεμος ἦν ἀνὰ μέσον ἱεροβοὰμ καὶ ἀνὰ μέσον ἀβιά. καὶ παρετάξατο ἀβιὰ τὸν πόλεμον, ἐν δυνάμει, πολεμισταῖς δυνάμεως, ἐν τετρακοσίαις χιλιάσιν ἀνδρῶν δυνατῶν. καὶ ἱεροβοὰμ παρετάξατο πρὸς αὐτὸν πόλεμον, ἐν ὀκτακοσίαις χιλιάσιν ἀνδρῶν πολεμιστῶν, δυνάμεως ἰσχύι. καὶ ἀνέστη ἀβιὰ ἀπὸ τοῦ ὄρους σομόρων, ὅ ἐστιν ἐν τῷ ὄρει ἐφραὶμ καὶ εἶπεν, ἀκούσατε ἱεροβοὰμ καὶ πᾶς ἰσραήλ. οὐχ ὑμῖν γνῶναι, ὅτι κύριος ὁ θεὸς ἰσραὴλ ἔδωκε βασιλείαν τὸν δαβὶδ ἐπὶ ἰσραὴλ εἰς τὸν αἰῶνα, καὶ τοὺς υἱοὺς αὐτῷ εἰς διαθήκην αἰώνιον; καὶ ἀνέστη ἱεροβοὰμ ὁ τοῦ ναβὰτ, ὁ παῖς σολομὼν τοῦ δαβὶδ, καὶ ἀπέστη ἀπὸ τοῦ κυρίου αὐτοῦ. καὶ συνήχθησαν πρὸς αὐτὸν ἄνδρες

λοιμοί, υἱοὶ παράνομοι, καὶ ἀντέ-
στη πρὸς ῥοβοὰμ υἱὸν σολομῶν. καὶ
ῥοβοὰμ ἦν νεώτερος, καὶ δειλὸς τῇ
καρδίᾳ, καὶ οὐκ ἀντέστη κατὰ πρό-
σωπον αὐτοῦ. καὶ νῦν ὑμεῖς λέγετε
ἀντιστῆναι κατὰ πρόσωπον βασι-
λείας κυρίου, διὰ χειρὸς υἱῶν δα-
βίδ. καὶ ὑμεῖς, πλῆθος πολύ. καὶ
μεθ᾽ ὑμῶν μόσχοι χρυσοῖ, οὓς ἐποίη-
σεν ὑμῖν ἱεροβοὰμ εἰς θεούς, οἱ ἐξε-
βάλετε τοὺς ἱερεῖς κυρίου, τοὺς υἱοὺς
ἀαρὼν καὶ τοὺς λευίτας, καὶ ἐποιή-
σατε ἑαυτοῖς ἱερεῖς ἐκ τοῦ λαοῦ τῆς
γῆς πάσης. ὁ προσπορευόμενος
πληρῶσαι τας χεῖρας ἐξ μόσχοις ἐκ
βοῶν, καὶ κριοῖς ἑπτά, καὶ ἐγένε-
το εἰς ἱερέα τῷ μὴ ὄντι θεῷ. καὶ ἡ-
μεῖς κύριον τὸν θεὸν ἡμῶν οὐκ ἐγ-
κατελίπομεν, καὶ οἱ ἱερεῖς αὐτοῦ
λειτουργοῦσι τῷ κυρίῳ, υἱοὶ ἀαρὼν
καὶ οἱ λευῖται. καὶ ἐν ταῖς ἐφημερί-
αις αὐτῶν θυμιῶσι τῷ κυρίῳ ὁλο-
καυτώματα, πρωῒ καὶ δείλης, καὶ
θυμίαμα συνθέσεως, καὶ προθέσεις
ἄρτων ἐπὶ τῆς τραπέζης τῆς καθαρᾶς.
καὶ ἡ λυχνία ἡ χρυσῆ, καὶ οἱ λυχνοὶ
τῆς καύσεως ἀνάψαι δείλης. ὅτι φυ-
λάσσομεν ἡμεῖς τὰς φυλακὰς κυ-
ρίου θεοῦ τῶν πατέρων ἡμῶν, καὶ
ὑμεῖς ἐγκατελίπετε αὐτόν. καὶ
ἰδού, μεθ᾽ ἡμῶν ἐν ἀρχῇ κύριος
καὶ οἱ ἱερεῖς αὐτοῦ, καὶ αἱ σάλ-
πιγγες τῆς σημασίας τοῦ σημαί-
νειν ἐφ᾽ ὑμᾶς. καὶ οἱ υἱοὶ τοῦ ἰσραὴλ μὴ
πόλεμ

pestilentes, filii iniqui, &
restitit contra Roboam fi-
lium Solomon. Et Robo-
am erat iunior, et pauidus
corde, & non restitit con-
tra conspectũ eius. Et nũc
uos dicitis resistere contra
cõspectum regni domini,
per manum filiorum Da-
uid. Et uos, multitudo mul
ta. Et uobiscum uitulæ au
reæ, quas fecit uobis Hie-
roboam in deos, qui eiec-
stis sacerdotes domini, fili-
os Aaron & Leuitas, &
fecistis uobisipsis sacerdo
tes ex populo terræ om-
nis. Accedens ad implen-
dum manus sex uitulis è
bobus et arietibus septẽ, et
factus est in sacerdotẽ non
existenti deo. Et nos do-
minum deum nostrum nõ
reliquimus, & sacerdotes
eius ministrant domino fi-
lii Aaron & Leuitæ. Et
in uicibus diurnis eorum
adolent domino solida in
censa, mane & uespere, et
incensum compositionis,
& propositiones panũ in
mensa munda. Et candela
brum aureum, & lucernæ
incensionis ad accenden-
dum uesperi. Quia custo-
dimus nos custodiam do-
mini dei patrum nostro-
rum, & uos reliquistis eũ.
Et ecce, nobiscum in prin
cipio dominus & sacerdo
tes eius, & tubæ significa
tionis, ad significandũ su-
per nos. Et filii Israel ne-
bel-

belligeretis contra dominum, deum patrum nostrorum, quia non bonum successum habebitis. Et Hieroboam auertit insidias, ut iret ei à posterioribus. Et fuit ante Iuda, & insidiae à posterioribus. Et auertit Iudas, & ecce ei bellū ab anterioribus & à posterioribus. Et clamauerūt ad dominū, et sacerdotes buccinarunt tubis. Et clamauerunt uiri Iuda. Et factum est, cum clamaret uir Iuda, & dominus percussit Hieroboam & Israel coram Abia & Iuda. Et fugerunt filii Israel à conspectu Iuda, & tradidit eos dominus in manus eorum. Et percussit eos Abia & populus eius, plagam magnam. Et ceciderunt saucii ab Israel, quingenta millia, uiri potentes. Et humiles redditi sunt filii Israel in die illa. Et obtinuerunt filii Iuda, quoniam sperauerunt in dominum deum patrū suorum. Et persequutus est Abia post Hieroboā. Et praeoccupauit ab eo ciuitates, Bethel & uicos eius, & Iesena & uicos eius, & Ephron & uicos eius. Et non potens fuit Hieroboam ultra, omnes dies Abia. Et percussit eū dñs, & uitam finiuit. Et ob-

πολεμήσετε πρὸς κύριον, θεὸν τῶν πατέρων ὑμῶν, ὅτι οὐκ εὐοδωθήσεται. καὶ ἱεροβοὰμ ἀπέστρεψε τὸ ἔνεδρον, ἐλθεῖν αὐτῷ ἐκ τῶν ὄπισθεν. καὶ ἐγένετο ἔμπροσθεν ἰούδα, καὶ τὸ ἔνεδρον ἐκ τῶν ὄπισθεν. καὶ ἀπέστρεψεν ἰούδας, καὶ ἰδοὺ αὐτῷ ὁ πόλεμος ἐκ τῶν ἔμπροσθεν καὶ ἐκ τῶν ὄπισθεν. καὶ ἐβόησαν πρὸς κύριον, καὶ οἱ ἱερεῖς ἐσάλπισαν ταῖς σάλπιγξι. καὶ ἐβόησαν ἄνδρες ἰούδα. καὶ ἐγένετο ἐν τῷ βοᾷν ἄνδρα ἰούδα, καὶ κύριος ἐπάταξε τὸν ἱεροβοὰμ καὶ τὸν ἰσραήλ, ἐναντίον ἀβιὰ καὶ ἰούδα. καὶ ἔφυγον οἱ υἱοὶ ἰσραὴλ ἀπὸ προσώπου ἰούδα, καὶ παρέδωκεν αὐτοὺς κύριος εἰς τὰς χεῖρας αὐτῶν. καὶ ἐπάταξεν αὐτοὺς ἀβιὰ καὶ ὁ λαὸς αὐτοῦ, πληγὴν μεγάλην. καὶ ἔπεσον τραυματίαι ἀπὸ ἰσραήλ, πεντακόσιαι χιλιάδες, ἄνδρες δυνατοί. καὶ ἐταπεινώθησαν οἱ υἱοὶ ἰσραὴλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ κατίσχυσαν οἱ υἱοὶ ἰούδα, ὅτι ἤλπισαν ἐπὶ κύριον τὸν θεὸν τῶν πατέρων αὐτῶν. καὶ κατεδίωξεν ἀβιὰ ὀπίσω ἱεροβοάμ. καὶ προκατελάβετο παρ᾽ αὐτοῦ τὰς πόλεις, τὴν βαιθὴλ καὶ τὰς κώμας αὐτῆς, καὶ τὴν ἰεσανὰ καὶ τὰς κώμας αὐτῆς, καὶ τὴν ἐφρὼν καὶ τὰς κώμας αὐτῆς. καὶ οὐκ ἴσχυσεν ἱεροβοὰμ ἔτι, πάσας τὰς ἡμέρας ἀβιά. καὶ ἐπάταξεν αὐτὸν κύριος, καὶ ἐτελεύτησε. καὶ

κατίσ

κατίσχυσεν ἀβιὰ, καὶ ἔλαβεν ἑαυτῷ γυναῖκας τεσσαρεσκαίδεκα. καὶ ἐγέννησεν εἴκοσι καὶ δύο υἱοὺς, καὶ ἑξήκοντα δύο θυγατέρας. καὶ οἱ λοιποὶ λόγοι ἀβιὰ, καὶ αἱ πράξεις αὐτοῦ καὶ οἱ λόγοι αὐτοῦ, γεγραμμένοι ἐπὶ βιβλίῳ τοῦ προφήτου ἀδδώ. Καὶ ἀπέθανεν ἀβιὰ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἔθαψαν αὐτὸν ἐν πόλει δαβίδ. καὶ ἐβασίλευσεν ἀσὰ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

Ἐν ταῖς ἡμέραις ἀσὰ, ἡσύχασεν ἡ γῆ ἰούδα δέκα ἔτη. καὶ ἐποίησε τὸ καλὸν καὶ τὸ εὐθὲς ἐνώπιον κυρίου τοῦ θεοῦ ἑαυτοῦ. καὶ ἀπέστησε τὰ θυσιαστήρια τῶν ἀλλοτρίων, καὶ τὰ ὑψηλά. καὶ συνέτριψε τὰς στήλας, καὶ ἐξέκοψε τὰ ἄλση. καὶ εἶπε τῷ ἰούδα ἐκζητῆσαι κύριον, τὸν θεὸν τῶν πατέρων αὐτοῦ, καὶ ποιῆσαι τὸν νόμον αὐτοῦ, καὶ τὰς ἐντολάς. καὶ ἀπέστησαν ἀπὸ πασῶν πόλεων ἰούδα τὰ θυσιαστήρια καὶ τὰ εἴδωλα. καὶ ᾠκοδόμησαν πόλεις τειχήρεις ἐν γῇ ἰούδα, ὅτι εἰρήνευσεν ἡ γῆ. καὶ οὐκ ἦν αὐτῷ πόλεμος ἐν τοῖς ἔτεσι τούτοις, ὅτι κατέπαυσεν κύριος αὐτῷ. καὶ εἶπε τῷ ἰούδα, οἰκοδομήσωμεν τὰς πόλεις ταύτας, καὶ ποιήσωμεν τείχη καὶ πύργους, καὶ πύλας καὶ μοχλοὺς, ἐν ᾧ τῆς γῆς κυριεύομεν. ὅτι καθὼς ἐξεζητήσαμεν κύριον τὸν θεὸν ἡμῶν, ἐξεζήτησεν ἡμᾶς, καὶ κατέπαυσεν ἡμᾶς κυκλόθεν, καὶ εὐώδωσεν ἡμῖν. καὶ ἐγένετο

δύναμι

obtinuit Abia, & accepit sibi uxores quatuordecim. Et genuit uiginti & duos filios, & sexaginta duas filias. Et reliqui sermones Abia, & opera eius & sermones eius, scripti in libro uatis Addo. Et mortuus est Abia cum patribus suis, & sepelierunt eum in ciuitate Dauid. Et regnauit Asa filius eius pro eo.

Cap.VII 3.Reg.15

In diebus Asa, quieuit terra Iuda decē annos. Et fecit bonum & rectū coram domino deo suo. Et abstulit altaria alienorum & excelsa. Et cōtriuit statuas, & excidit lucos. Et dixit Iuda, ut exquireret dominum, deum patrū suorum, & faceret legē eius, & præcepta. Et abstulerunt ab omnibus urbibus Iuda altaria et simulacra. Et pacem habuerunt ciuitates munitæ in terra Iuda, quia pacem habuit terra. Et non fuit ei bellū in annis his, quoniam quietē dedit dominus ei. Et dixit Iuda, Aedificemus urbes istas, & faciamus muros & turres, & portas & uectes, in quo terræ dominamur. Quoniā sicut quęsiuimus dominum deum nostrum, quæsiuit nos, & quietos reddidit nos à circuitu, & bonum successum dedit nobis. Et fuit

M exerci-

exercitus Asa arma ferentium, & gerentium scuta et hastas, in terra Iuda, trecenta millia, et in terra Beniamin, scutati & sagittarii, ducenta & octoginta millia. Omnes hi bellatores potentiae. Et egressus est contra eos Zarai Aethiops in exercitu, in mille militibus, et curribus trecentis. & uenit usque ad Maresa. Et egressus est Asa in occursum ei, & instruxit bellum in ualle, cōtra Aquilonē Maresa. Et clamauit Asa ad dominū deum suum. Et dixit, Domine, non fieri non potest apud te saluare in multis & in paucis. Corrobora nos domine deus noster, quoniam in te confisi sumus. Et in nomine tuo uenimus ad multitudinem multā hanc. Dñs deus noster tu es, ne obtineat contra te homo. Et percussit dñs Aethiopes corā Iuda. Et fugerūt Aethiopes, & persequutus est eos Asa & populus eius usque Gedor. Et ceciderunt Aethiopes, ut non esset in eis saluatio, quoniam cōtriti sunt corā dño & corā exercitu eius. Et spoliauerūt spolia multa, & exciderūt uicos eorū, in circuitu Gedor, quia fuit horror domini in eis. Et spoliauerūt ciuitates eorū, quoniam spolia multa fuerunt eis. Et sane tabernacula structurarum & Ama-

δύναμις τῷ ἀσὰ ὁπλοφόρων, αἰρόντων θυρεὸς καὶ δόρατα, ἐν γῇ ἰούδα, τριακόσιαι χιλιάδες, καὶ ἐν γῇ βενιαμὶν, πελταταὶ καὶ τοξόται, διακόσιαι καὶ ὀγδοήκοντα χιλιάδες. πάντες οὗτοι πολεμισταὶ δυνάμεως. καὶ ἐξῆλθεν ἐπ' αὐτοὺς ζαραὶ ὁ αἰθίοψ ἐν δυνάμει, ἐν χιλίαις χιλιάσι, καὶ ἅρμασι τριακοσίοις. καὶ ἦλθεν ἕως μαρισά. καὶ ἐξῆλθεν ἀσὰ εἰς συνάντησιν αὐτῷ, καὶ παρετάξατο πόλεμον ἐν τῇ φάραγγι, κατὰ βοῤῥᾶν μαρισά. καὶ ἐβόησεν ἀσὰ πρὸς κύριον θεὸν αὐτοῦ. καὶ εἶπε, κύριε, οὐκ ἀδυνατεῖ παρά σοι σώζειν ἐν πολλοῖς καὶ ἐν ὀλίγοις. κατίσχυσον ἡμᾶς κύριε ὁ θεὸς ἡμῶν, ὅτι ἐπί σοι πεποίθαμεν. καὶ ἐπὶ τῷ ὀνόματί σου ἤλθομεν ἐπὶ τὸ πλῆθος τὸ πολὺ τοῦτο. κύριος ὁ θεὸς ἡμῶν σὺ εἶ, μὴ κατισχυσάτω πρός σε ἄνθρωπος. καὶ ἐπάταξε κύριος τοὺς αἰθίοπας ἐναντίον ἰούδα. καὶ ἔφυγον οἱ αἰθίοπες, καὶ κατεδίωξεν αὐτοὺς ἀσὰ καὶ ὁ λαὸς αὐτοῦ ἕως γεδώρ. καὶ ἔπεσον αἰθίοπες, ὥστε μὴ εἶναι ἐν αὐτοῖς περιποίησιν, ὅτι συνετρίβησαν ἐνώπιον κυρίου καὶ ἐνώπιον τῆς δυνάμεως αὐτοῦ. καὶ ἐσκύλευσαν σκῦλα πολλὰ, καὶ ἐξέκοψαν τὰς κώμας αὐτῶν, κύκλῳ γεδώρ, ὅτι ἐγενήθη ἔκστασις κυρίου ἐπ' αὐτούς. καὶ ἐσκύλευσαν πάσας τὰς πόλεις αὐτῶν, ὅτι σκῦλα πολλὰ ἐγενήθη αὐτοῖς. καί γε σκηνὰς κτήνων καὶ τοὺς ἀμαν-

ἀμαζονεῖς ἐξέκοψαν. καὶ ἔλαβον πρόβατα πολλὰ καὶ καμήλους, καὶ ἐπέστρεψαν εἰς ἱερουσαλήμ. καὶ ἀζαρίας υἱὸς ἀδὰδ, ἐγένετο ἐπ' αὐτὸν πνεῦμα κυρίου, καὶ ἐξῆλθεν εἰς ἀπάντησιν ἀσὰ, καὶ παντὶ ἰούδα καὶ βενιαμίν. καὶ εἶπεν, ἀκούσατέ μου ἀσὰ καὶ πᾶς ἰούδα καὶ βενιαμίν. κύριος μεθ' ὑμῶν ἐν τῷ εἶναι ὑμᾶς μετ' αὐτοῦ. καὶ ἐὰν ἐκζητήσητε αὐτόν, εὑρεθήσεται ὑμῖν. καὶ ἐὰν ἐγκαταλείπητε αὐτόν, ἐγκαταλείψει ὑμᾶς. καὶ ἡμέραι πολλαὶ ἰσραὴλ ἐν οὐ θεῷ ἀληθινῷ, καὶ οὐχ ἱερέως ὑποδεικνύοντος, καὶ ἐν οὐ νόμῳ, καὶ ἐπιστρέψει αὐτοὺς πρὸς κύριον θεὸν ἰσραὴλ, καὶ εὑρεθήσεται αὐτοῖς. ἐν τῷ καιρῷ ἐκείνῳ οὐκ ἔστιν εἰρήνη τῷ ἐκπορευομένῳ καὶ τῷ εἰσπορευομένῳ, ὅτι ἔκστασις κυρίου ἐπὶ πάντας τοὺς κατοικοῦντας τὰς χώρας. καὶ πολεμήσει ἔθνος πρὸς ἔθνος, καὶ πόλις πρὸς πόλιν, ὅτι ὁ θεὸς ἐξέστησεν αὐτοὺς ἐν πάσῃ θλίψει. καὶ ὑμεῖς ἰσχύσατε. καὶ μὴ ἐκλυέσθωσαν αἱ χεῖρες ὑμῶν, ὅτι ἔστι μισθὸς τῇ ἐργασίᾳ ὑμῶν. καὶ ἐν τῷ ἀκοῦσαι τοὺς λόγους τούτους, καὶ τὴν προφητείαν ἀζαρίου τοῦ προφήτου, καὶ κατίσχυσε. καὶ ἐξέβαλε πάντα τὰ βδελύγματα ἀπὸ πάσης τῆς γῆς ἰούδα καὶ βενιαμίν, καὶ ἀπὸ τῶν πόλεων, ὧν κατέσχεν ἱεροβοὰμ, ἐν ὄρει ἐφραίμ. καὶ ἐνεκαίνισε τὸ θυσιαστήριον κυρίου, ὃ ἦν ἔμπροσθεν τοῦ

Amazones exciderũt. Et tulerunt oues multas et camelos, & reuersi sunt in Hierusalem. Et Azarias filius Adad, fuit super eum spiritus domini, & egressus est in occursum Asa, et omni Iuda & Beniamin. Et dixit, Audite me Asa & Beniamin. Dominus uobiscum, cum estis uos cũ eo. Et si quæsieritis eũ, inuenietur uobis. Et si dereliqueritis eum, relinquet uos. Et dies multi Israel in non deo uero, & non sacerdote ostendente, & in non lege, & conuertet eos ad dominum deum Israel, & inuenietur eis. In tempore illo non est pax egredienti & ingrediẽti, quia horror domini super omnes inhabitantes regiones. Et belligerabit gens contra gentem, & ciuitas contra ciuitatem, quoniam deus exterruit eos in omni afflictiõe. Et uos fortes este. Et non dissoluantur manus uestræ, quoniam est merces operationi uestræ. Et cum audisset sermones hos & uaticinium Azariæ uatis, & obtinuit. Et eiecit abominationes ab omni terra Iuda & Beniamin, & ab urbibus, quas obtinuit Hieroboam, in monte Ephraim. Et dedicauit altare domini, quod erat ante

templum domini. Et in concionem euocauit Iudã & Beniamin, & aduenas accolentes cum eo, ab Ephraim & à Manasse & à Symeon. Quoniam appositi erant ad eum Israel multi, cum uiderent ipsi, quod dominus deus illius cũ eo. Et congregati sunt in Hierusalem mense tertio, in anno quinto & decimo regni Asa. Et sacrificauit domino in die illa de spoliis, quæ tulerunt, uitulos septingentos, & ouium septem millia. Et transierunt in fœdere, ut quærerent dñm. deum patrum suorum, ex toto corde suo & ex tota anima sua. Et omnis qui non quæsierit dominum deũ Israel, morietur, à iuniore usque ad seniorem, à uiro usque ad mulierẽ. Et iurauerunt in domino, in uoce magna, & in tubis & in buccinis. Et lętati sunt omnis Iuda propter iusiurandum. Quoniam ex tota anima iurauerũt, & in omni uoluntate quæsierũt eũ, & inuentus est eis. Et quietẽ dedit dñs eis per circuitũ. Et Maacha matrẽ eius trãstulit, ut nõ esset Astartę ministrãs. Et excidit simulacrum, et cõbussit illud in torrente Cedrõ. Verũ excelsa nõ euertit, quia existebant in Iuda & Israel. Sed cor Asa erat plenum om-

ναοῦ κυρίου. καὶ ἐξεκκλησίασε τὸν ἰούδαν καὶ βενιαμίν, καὶ τοὺς προσηλύτους παροικοῦντας μετ᾽ αὐτοῦ, ἀπὸ ἐφραὶμ καὶ ἀπὸ μανασσῆ καὶ ἀπὸ συμεών. ὅτι προσετέθησαν πρὸς αὐτὸν τοῦ ἰσραὴλ πολλοί, ἐν τῷ ἰδεῖν αὐτοὺς, ὅτι κύριος ὁ θεὸς αὐτοῦ μετ᾽ αὐτοῦ. καὶ συνήχθησαν εἰς ἱερουσαλὴμ ἐν τῷ μηνὶ τῷ τρίτῳ, ἐν τῷ ἔτει τῷ πεντεκαιδεκάτῳ τῆς βασιλείας ἀσά. καὶ ἔθυσε τῷ κυρίῳ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀπὸ τῶν σκύλων, ὧν ἤνεγκαν, μόσχους ἑπτακοσίους, καὶ πρόβατα ἑπτακισχίλια. καὶ διῆλθον ἐν διαθήκῃ ζητῆσαι κύριον, θεὸν τῶν πατέρων αὐτῶν, ἐξ ὅλης τῆς καρδίας καὶ ἐξ ὅλης τῆς ψυχῆς αὐτῶν. καὶ πᾶς ὃς ἐὰν μὴ ἐκζητήσῃ τὸν κύριον θεὸν τοῦ ἰσραὴλ, ἀποθανεῖται, ἀπὸ νεωτέρου ἕως πρεσβυτέρου, ἀπὸ ἀνδρὸς ἕως γυναικός. καὶ ὤμοσαν ἐν τῷ κυρίῳ, ἐν φωνῇ μεγάλῃ, καὶ ἐν σάλπιγξι καὶ ἐν κερατίναις. καὶ εὐφράνθησαν πᾶς ἰούδα περὶ τοῦ ὅρκου. ὅτι ἐξ ὅλης ψυχῆς ὤμοσαν, καὶ ἐν πάσῃ θελήσει ἐζήτησαν αὐτὸν, καὶ εὑρέθη αὐτοῖς. καὶ κατέπαυσε κύριος αὐτοῖς κυκλόθεν. καὶ τὴν μααχὰ τὴν μητέρα αὐτοῦ μετέστησε, τοῦ μὴ εἶναι τῇ ἀστάρτῃ λειτουργοῦσαν. καὶ κατέκοψε τὸ εἴδωλον, καὶ κατέκαυσεν ἐν τῷ χειμάῤῥῳ κέδρων. πλὴν τὰ ὑψηλὰ οὐκ ἐξῆρεν, ὅτι ὑπῆρχον ἐν τῷ ἰούδα καὶ ἰσραήλ. ἀλλ᾽ ἡ καρδία ἀσὰ ἐγένετο πλήρης πά-

πάσας τὰς ἡμέρας αὐτοῦ. καὶ εἰσήνεγκε τὰ ἅγια Δαβὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ τὰ ἅγια οἴκου τοῦ θεοῦ, ἀργύριον καὶ χρυσίον καὶ σκεύη. καὶ πόλεμος οὐκ ἦν μετ' αὐτοῦ, ἕως τοῦ τριακοστοῦ καὶ πέμπτου ἔτους τῆς βασιλείας ἀσά. Καὶ ἐν τῷ ὀγδόῳ καὶ τριακοστῷ ἔτει τῆς βασιλείας ἀσά, ἀνέβη βαασὰ βασιλεὺς ἰσραὴλ ἐπὶ ἰούδαν. καὶ ᾠκοδόμησε τὴν ῥαμά, τοῦ μὴ δοῦναι ἔξοδον καὶ εἴσοδον τῷ ἀσὰ βασιλεῖ ἰούδα. καὶ ἔλαβεν ἀσὰ ἀργύριον καὶ χρυσίον, ἐκ θησαυρῶν οἴκου κυρίου καὶ οἴκου τοῦ βασιλέως, καὶ ἀπέστειλε πρὸς τὸν υἱὸν τοῦ ἄδερ βασιλέως συρίας, τὸν κατοικοῦντα ἐν δαμασκῷ, λέγων, Διάθου διαθήκην ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, καὶ ἀνὰ μέσον τοῦ πατρός μου καὶ ἀνὰ μέσον τοῦ πατρός σου. ἰδοὺ ἀπέσταλκά σοι χρυσίον καὶ ἀργύριον, δεῦρο διασκέδασον ἀπ' ἐμοῦ τὸν βαασὰ βασιλέα ἰσραὴλ, καὶ ἀπελθέτω ἀπ' ἐμοῦ. καὶ ὑπήκουσεν υἱὸς ἄδερ τοῦ βασιλέως ἀσά, καὶ ἀπέστειλε τοὺς ἄρχοντας τῆς δυνάμεως αὐτοῦ ἐπὶ τὰς πόλεις ἰσραὴλ, καὶ ἐπάταξε τὴν αἰνὼν καὶ τὴν δὰν καὶ τὴν ἀβελμαὶν, καὶ πάσας τὰς περιχώρους νεφθαλίμ. καὶ ἐγένετο ἐν τῷ ἀκοῦσαι βαασὰ βασιλέα ἰσραὴλ, ἀπέλιπε τοῦ μηκέτι οἰκοδομεῖν τὴν ῥαμὰ, καὶ κατέπαυσε τὸ ἔργον αὐτοῦ. καὶ ἀσὰ βασιλεὺς ἤγαγε πάντα τὸν ἰούδαν, καὶ ἔλαβε πάντας τοὺς λίθους τῆς ῥαμᾶ,

omnes dies eius. Et intulit sancta David patris sui, et sancta domus dei, argentũ & aurum & uasa. Et bellum non fuit cum eo, usq; ad trigesimum & quintũ annum regni Asa. Et in octauo & trigesimo anno regni Asa, ascendit Baasa rex Israel in Iudã. Et ædificauit Rhama, ut nõ daret egressum & ingressum Asa regi Iuda. Et accepit Asa argentũ & aurum ex thesauris domus domini & domus regis, & dimisit ad filium Ader regis Syriæ, habitantem in Damasco, dicẽs, Dispone fœdus inter me & inter te, & inter patrem meum & inter patrem tuum. Ecce dimisi tibi aurum & argẽtum, age, disturba à me Baasa regem Israel, & abscedat à me. Et audiuit filius Ader regem Asa. Et dimisit principes exercitus sui in ciuitates Israel, & percussit Ainon & Dan & Abelmain, & omnes finitimas Nephthalim. Et factum est, cum audiret Baasa rex Israel, desiit non amplius ædificare Rhama, et quietum reddidit opus eius. Et Asa rex duxit omnem Iudam, & cepit oẽs lapides Rama,

et ligna eius, quę ędificauit
Baasa, et ædificauit in eis
Gabee & Masphà. Et in
tempore illo uenit Anani
as uates ad Asa regem Iu
da, & dixit ei, Quoniã cõ
fisus es tu in rege Syriæ,
& non confisus es tu in do
mino deo tuo, ꝓpter hoc
saluata est potentia Syriæ
à manu tua. Non Aethio
pes & Libyes erant tibi
in potentiam multam, in
confidentiam, & equites
in copiam ualde, & cum
confisus esses tu in domi
no, tradidit eos in manus
tuas. Quia oculi domini
inspiciunt in omni terra,
ad corroborandũ in omni
corde pleno ad eum. Et
nunc ignorasti in hoc. Ab
hoc tempore erit tecum
bellum. Et iratus est Asa
uati, & coniecit eũ in cu
stodiam, quia iratus est in
hoc. Et fœdauit Asa in po
pulo, in tẽpore illo. Et ec
ce, sermones Asa, primi et
ultimi, scripti in libro re
3.Reg.23 gis Iuda & Israel. Et de
bilitatus est Asa, in anno
tricesimo & nono regni
eius, pedes, donec ualde
debilitatus est. Et in lan
guore eius haud quæsiuit
dominum, sed medicos. Et
dormiuit Asa cũ patribus
eius, et defunctus est in an
no quadragesimo et primo
regni

καὶ τὰ ξύλα αὐτοῦ, ἃ ᾠκοδόμησε βαασὰ,
καὶ ᾠκοδόμησεν ἐν αὐτοῖς τὴν γαβαὲ
καὶ τὴν μασφά. καὶ ἐν τῷ καιρῷ ἐκεί
νῳ ἦλθεν ἀνανίας ὁ προφήτης πρὸς
ἀσὰ βασιλέα ἰούδα, καὶ εἶπεν αὐτῷ,
ἐν τῷ πεποιθέναι σε ἐπὶ βασιλέα
συρίας, καὶ μὴ πεποιθέναι σε ἐπὶ
κύριον θεόν σου, διὰ τοῦτο ἐσώθη ἡ
δύναμις συρίας ἀπὸ τῆς χειρός σου.
οὐχ οἱ αἰθίοπες καὶ λίβυες ἦσαν σοι εἰς
δύναμιν πολλὴν καὶ εἰς θάρσος,
καὶ οἱ ἱππεῖς εἰς πλῆθος σφόδρα, καὶ
ἐν τῷ πεποιθέναι σε ἐπὶ κύριον, πα
ρέδωκεν αὐτοὺς εἰς τὰς χεῖράς σου. ὅ
τι οἱ ὀφθαλμοὶ κυρίου ἐπιβλέπουσιν
ἐν πάσῃ τῇ γῇ, κατισχῦσαι ἐν πά
σῃ καρδίᾳ πλήρει πρὸς αὐτόν. καὶ
νῦν ἠγνόηκας ἐπὶ τούτῳ. ἀπὸ τοῦ νῦν
ἔσται μετά σου πόλεμος. καὶ ἐθυμώ
θη ἀσὰ τῷ προφήτῃ, καὶ παρέθετο
αὐτὸν εἰς φυλακὴν, ὅτι ὠργίσθη ἐ
πὶ τούτῳ. καὶ ἐλυμήνατο ἀσὰ ἐν τῷ
λαῷ, ἐν τῷ καιρῷ ἐκείνῳ. καὶ ἰδοὺ,
οἱ λόγοι ἀσὰ, οἱ πρῶτοι καὶ οἱ ἔσχα
τοι, γεγραμμένοι ἐπὶ βιβλίου βασι
λέων ἰούδα καὶ ἰσραήλ. καὶ ἐμαλακί
σθη ἀσὰ, ἐν τῷ ἔτει τῷ τριακοστῷ καὶ
ἐνάτῳ τῆς βασιλείας αὐτοῦ, τοὺς πό
δας, ἕως σφόδρα ἐμαλακίσθη. καὶ
ἐν τῇ μαλακίᾳ αὐτοῦ οὐκ ἐζήτησε
τὸν κύριον, ἀλλὰ ἰατρούς. καὶ ἐκοι
μήθη ἀσὰ μετὰ τῶν πατέρων αὐ
τοῦ, καὶ ἐτελεύτησεν ἐν τῷ ἔτει
τῷ τεσσαρακοστῷ καὶ πρώτῳ τῆς
βα-

βασιλείας αὐτοῦ. καὶ ἔθαψαν αὐτὸν ἐν τῷ μνήματι, ᾧ ὤρυξεν ἐν πόλει δαβίδ. καὶ ἐκοίμησαν αὐτὸν ἐπὶ τῆς κλίνης, καὶ ἔπλησαν ἀρωμάτων, καὶ γένη μύρων μυρεψῶν. καὶ ἐποίησαν αὐτῷ ἐκφορὰν μεγάλην ἕως σφόδρα. καὶ ἐβασίλευσεν ἰωσαφὰτ υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ.

Καὶ κατίσχυσεν ἰωσαφὰτ ἐπὶ τὸν ἰσραὴλ, καὶ ἔδωκε δύναμιν ἐν πάσαις ταῖς πόλεσιν ἰούδα ταῖς ὀχυραῖς. καὶ κατέστησεν ἡγουμένους ἐν ταῖς πόλεσιν ἰούδα, καὶ ἐν πόλεσιν ἐφραίμ, ἃς προκατελάβετο ἀσὰ ὁ πατὴρ αὐτοῦ. καὶ ἐγένετο κύριος μετὰ ἰωσαφὰτ, ὅτι ἐπορεύθη ἐν ὁδοῖς δαβὶδ τοῦ πατρὸς αὐτοῦ ταῖς πρώταις. καὶ οὐκ ἐξεζήτησε τὰ εἴδωλα, ἀλλὰ κύριον τὸν θεὸν τοῦ πατρὸς αὐτοῦ ἐξεζήτησε. καὶ ἐν ταῖς ἐντολαῖς τοῦ πατρὸς αὐτοῦ ἐπορεύθη, καὶ οὐχ ὡς τὰ ἔργα τοῦ ἰσραήλ. καὶ κατεύθυνε κύριος τὴν βασιλείαν ἐν χειρὶ αὐτοῦ. καὶ ἔδωκαν πᾶς ἰούδα δῶρα τῷ ἰωσαφὰτ, καὶ ἐγένετο πλοῦτος καὶ δόξα πολλή. καὶ ὑψώθη ἡ καρδία αὐτοῦ ἐν ὁδῷ κυρίου. καὶ ἔτι ἐξῆρε τὰ ὑψηλὰ καὶ τὰ ἄλση ἀπὸ τῆς γῆς ἰούδα. καὶ ἐν τῷ ἔτει τῷ τρίτῳ τῆς βασιλείας αὐτοῦ, ἀπέστειλε τοὺς ἡγουμένους ἑαυτοῦ, καὶ τοὺς υἱοὺς τῶν δυνατῶν, τὸν ἀβδίαν καὶ ζαχαρίαν καὶ ναθαναὴλ καὶ μιχαίαν, τοῦ διδάσκειν ἐν πόλεσιν ἰούδα. καὶ μετ᾽ αὐτῶν οἱ λευῖται, σαμαίας καὶ ναθανίας

regni sui. Et sepelierunt eum in monumento, quod fodit sibi in ciuitate Dauid. Et posuerunt eum in lecto, & impleuerunt aromatibus, & genera unguẽtorum unguentariorum. Et fecerunt ei elationem funeris magnã usq; ualde. Et regnauit Iosaphat filius eius pro eo.

Et obtinuit Iosaphat cõtra Israel, & dedit exercitum in omnibus urbibus Iuda altis. Et cõstituit duces in urbibus Iuda, & in urbibus Ephraim, quas præoccupauerat pater eius Asa. Et fuit dominus cum Iosaphat, quoniã ambulauit in uiis Dauid patris sui primis. Et non quæsiuit simulacra, sed dominum deum patris sui quæsiuit. Et in præceptis patris eius ambulauit, & non iu opera Israel. Et direxit dominus regnum in manu eius. Et dederunt omnis Iuda dona Iosaphat, & fuerunt diuitiæ & gloria multa. Et exaltatum est cor eius in uia domini. Et adhuc abstulit excelsa et lucos e terra Iuda. Et in anno tertio regni eius ablegauit duces suos, & filios potentum, Abdian & Zacharian et Nathanael & Michaian, ut docerent in ciuitatibus Iuda. Et cum eis Leuitæ, Samaias & Nathanaias Cap.VIII

& Babdias & Aſiel & Semiramoth & Ionathā & Adonian, Tobian Leuitæ & qui cum ipſis, & Eliſama & Ioram, ſacerdotes. Et docebant in Iuda, & cū eis liber legis domini. Et tranſibāt in urbibus Iuda, & docebāt populum. Et fuit horror dñi in omnibus regnis terræ, quæ circū Iuda, & nō belligerabāt cōtra Ioſaphat. Et ab alienigenis ferebāt Ioſaphat munera & argētum & dona. Et Arabes ferebant ei arietes ouium, ſeptem millia ſeptingentos, & hircos, ſeptem millia ſeptingentos. Et fuit Ioſaphat ambulans maior uſque in altitudinem. Et ædificauit in Iudæa habitationes & urbes altas. Et opera multa fuerunt ei in Iudæa. Et uiri bellatores potentes, ualentes, in Hieruſalem. Et hic numerus eorum, per domos familiarum eorum. Et Iuda tribuni Ednas princeps, & cū eo filii potentes potentiæ, trecenta millia. Et cum eo Ionan dux, & cum eo ducenta octoginta millia. Et cum eo Amaſias Zachariæ, prompti animo domino, & cum eo ducenta millia, potentes potentiæ. Et ex Beniamin potentes potentiæ Heliada. & cum eo ſagittarii &

καὶ βαβδίας καὶ ἀσιὴλ καὶ σεμιραμὼθ καὶ ἰωνάθαν καὶ ἀδωνίαν, τωβίαν, λευῖται καὶ οἱ μετ' αὐτῶν, καὶ ἐλισαμὰ καὶ ἰωρὰμ, οἱ ἱερεῖς. καὶ ἐδίδασκον ἐν ἰούδα, καὶ μετ' αὐτῶν βίβλος νόμου κυρίου. καὶ διῆλθον ἐν ταῖς πόλεσιν ἰούδα, καὶ ἐδίδασκον τὸν λαόν. καὶ ἐγένετο ἔκστασις κυρίου ἐπὶ πάσαις ταῖς βασιλείαις τῆς γῆς, ταῖς κύκλῳ ἰούδα, καὶ οὐκ ἐπολέμουν πρὸς ἰωσαφάτ. καὶ ἀπὸ τῶν ἀλλοφύλων ἔφερον τῷ ἰωσαφὰτ δῶρα καὶ ἀργύριον καὶ δόματα. καὶ οἱ ἄραβες ἔφερον αὐτῷ κριοὺς προβάτων ἑπτακισχιλίους ἑπτακοσίους, τράγους ἑπτακισχιλίους ἑπτακοσίους. καὶ ἦν ἰωσαφὰτ πορευόμενος μείζων ἕως εἰς ὕψος. καὶ ᾠκοδόμησεν ἐν τῇ ἰουδαίᾳ οἰκήσεις καὶ πόλεις ὀχυράς. καὶ ἔργα πολλὰ ἐγένετο αὐτῷ ἐν τῇ ἰουδαίᾳ. καὶ ἄνδρες πολεμισταὶ δυνατοὶ, ἰσχύοντες, ἐν ἱερουσαλήμ. καὶ οὗτος ὁ ἀριθμὸς αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν. καὶ τῷ ἰούδα χιλίαρχοι. ἔδνας ὁ ἄρχων, καὶ μετ' αὐτοῦ υἱοὶ δυνατοὶ δυνάμεως, τριακόσιαι χιλιάδες. καὶ μετ' αὐτοῦ ἰωνὰν ὁ ἡγούμενος, καὶ μετ' αὐτοῦ διακόσιαι ὀγδούκοντα χιλιάδες. καὶ μετ' αὐτοῦ ἀμασίας ὁ τοῦ ζαχαρίου, οἱ προθυμούμενοι τῷ κυρίῳ, καὶ μετ' αὐτοῦ διακόσιαι χιλιάδες, δυνατοὶ δυνάμεως. καὶ ἐκ τοῦ βενιαμὶν δυνατοὶ δυνάμεως ἐλιαδὰ, καὶ μετ' αὐτοῦ τοξόται καὶ

καὶ πελτασταὶ, ὀκτὼ χιλιάδες, δυνατοὶ δυνάμεως. καὶ μετ᾽ αὐτὸν ἰωζαβὰδ, καὶ μετ᾽ αὐτοῦ ἑκατὸν ὀγδοήκοντα χιλιάδες, δυνατοὶ πολέμου. οὗτοι οἱ λειτουργοῦντες τῷ βασιλεῖ, ἐκτὸς ὧν ἔδωκεν ὁ βασιλεὺς ἐν ταῖς πόλεσι ταῖς ὀχυραῖς, ἐν πάσῃ τῇ ἰουδαίᾳ. καὶ ἐγενήθη τῷ ἰωσαφὰτ πλοῦτος καὶ δόξα πολλὴ, καὶ ἐπεγαμβρεύσατο ἐν οἴκῳ ἀχαὰβ, καὶ κατέβη διὰ τέλους ἐτῶν πρὸς ἀχαὰβ, εἰς σαμάρειαν. καὶ ἔθυσεν αὐτῷ ἀχαὰβ πρόβατα καὶ μόσχους πολλοὺς, καὶ τῷ λαῷ τῷ μετ᾽ αὐτοῦ, καὶ ἠγάπα αὐτὸν τοῦ συναναβῆναι μετ᾽ αὐτοῦ εἰς ῥαμὼθ τῆς γαλααδίτιδος. καὶ εἶπεν ἀχαὰβ βασιλεὺς ἰσραὴλ πρὸς ἰωσαφὰτ βασιλέα ἰούδα, εἰ πορεύσῃ μετ᾽ ἐμοῦ εἰς ῥαμὼθ τῆς γαλααδίτιδος; καὶ εἶπεν αὐτῷ, ὡς ἐγὼ, οὕτω καὶ σύ. ὡς ὁ λαός σου, καὶ ὁ λαός μου μετά σου εἰς πόλεμον. καὶ εἶπεν ἰωσαφὰτ πρὸς βασιλέα ἰσραὴλ, ζήτησον δὴ σήμερον τὸν κύριον. καὶ συνήγαγεν ὁ βασιλεὺς ἰσραὴλ τοὺς προφήτας, τετρακοσίους ἄνδρας, καὶ εἶπεν αὐτοῖς, εἰ πορευθῶ εἰς ῥαμὼθ τῆς γαλααδίτιδος, εἰς πόλεμον, ἢ ἐπισχῶ; καὶ εἶπαν, ἀνάβαινε, καὶ δώσει ὁ θεὸς εἰς τὰς χεῖρας τοῦ βασιλέως. καὶ εἶπεν ἰωσαφὰτ, οὐκ ἔστιν ὧδε προφήτης τοῦ κυρίου ἔτι, καὶ ἐπιζητήσομεν παρ᾽ αὐτοῦ. καὶ εἶπε βασιλεὺς ἰσραὴλ πρὸς ἰωσαφὰτ, ἔτι ἀνήρ τις τοῦ ζητῆσαι τὸν κύριον δι

& scutati, octo milia, potentes potentiæ. Et post eum Iozabad, & cum eo centũ octoginta millia potẽtes belli. Hi ministrãtes regi, extra quos dedit rex in urbibus altis, in omni Iudæa. Et fuerũt Iosaphat diuitiæ & gloria multa. & affinitate coniũctus est in domo Achaab, & descendit in fine annorũ ad Achaab, in Samariam. Et mactauit ei Achaab oues & uitulos multos, & populo qui cum eo. Et amãter tractabat eum, ut simul ascenderet cum eo in Ramoth Galaaditidis. Et dixit Achaab rex Israel ad Iosaphat regem Iuda. An proficisceris mecum in Ramoth Galaaditidis? Et dixit ei, Vt ego, sic & tu. Vt populus tuus, et populus meus tecum in bellum. Et dixit Iosaphat ad regem Israel, Quære iam hodie dominum. Et congregauit rex Israel uates, quadringentos uiros. Et dixit eis, An proficiscar in Ramoth Galaaditidis, in bellum, aut contineo? Et dixerunt, Ascende, & dabit deus in manus regis. Et dixit Iosaphat, Non est hic uates domini adhuc, & perquiremus ab eo? Et dixit rex Israel ad Iosaphat, Est uir quidã, ut quæramus dñm per

per eum, & ego odi eum, quia non est prędicens de me in bona. Quia omnes dies eius in mala. Hic Michaias, filius Iembla. Et dixit Iosaphat, Ne loquatur rex sic. Et uocauit rex Iembla eunuchū unum, et dixit, Cito Michæan, filium Iembla. Et rex Israel & Iosaphat rex Iuda considentes, unusquisque in solio eius, et induti stolas, cōsidentes in loco spacioso portæ Samariæ. Et oēs uates uaticinabantur coram eis. Et fecit sibiipsi Sedecias filius Chanaā cornua ferrea, & dixit, Hæc dicit dominus. In his cornu feries Syriam, donec consumpta fuerit. Et omnes uates prædicebant, sic dicētes, Ascende in Ramoth Galaad, & bono successu uteris, & dabit dominus in manus regis. Et nuncius profectus ad uocandū Michæan, loquutus est ei, dicens, Ecce loquuti sunt uates in ore uno bona de rege. Et sint iam sermones tui, ut unius ipsorum, et loqueris bona. Et dixit Michæas, Viuit dominus, quod quodcunq; dixerit deus ad me, hoc loquar. Et uenit ad regem, & dixit ei rex, Michæa An proficiscar in Ramoth Galaad, in bellum, an contineo? Et dixit, Ascende, & bono successu uteris.

&

δι' αὐτοῦ, καὶ ἐγὼ ἐμίσησα αὐτὸν, ὅτι οὐκ ἔστι προφητεύων περὶ ἐμοῦ εἰς ἀγαθά. ὅτι πᾶσαι αἱ ἡμέραι αὐτοῦ εἰς κακά. οὗτος μιχαίας, υἱὸς ἰεμβλά. καὶ εἶπεν ἰωσαφὰτ, μὴ λαλείτω ὁ βασιλεὺς οὕτως. καὶ ἐκάλεσεν ὁ βασιλεὺς εὐνοῦχον ἕνα, καὶ εἶπε, τάχος μιχαίαν, υἱὸν ἰεμβλά. καὶ βασιλεὺς ἰσραὴλ καὶ ἰωσαφὰτ βασιλεὺς ἰούδα καθήμενοι, ἕκαστος ἐπὶ θρόνου αὐτοῦ, καὶ ἐνδεδυμένοι στολὰς, καθήμενοι ἐν τῷ εὐρυχώρῳ θύρας σαμαρείας. καὶ πάντες οἱ προφῆται προεφήτευον ἐναντίον αὐτῶν. καὶ ἐποίησεν ἑαυτῷ σεδεκίας υἱὸς χαναὰν κέρατα σιδηρᾶ, καὶ εἶπε, τάδε λέγει κύριος, ἐν τούτοις κερατιεῖς τὴν συρίαν, ἕως ἂν συντελεσθῇ. καὶ πάντες οἱ προφῆται προεφήτευον, οὕτω λέγοντες, ἀνάβαινε εἰς ῥαμὼθ γαλαὰδ, καὶ εὐοδωθήσῃ, καὶ δώσει κύριος εἰς τὰς χεῖρας τοῦ βασιλέως. καὶ ὁ ἄγγελος ὁ πορευθεὶς τοῦ καλέσαι τὸν μιχαίαν, ἐλάλησεν αὐτῷ, λέγων, ἰδοὺ, ἐλάλησαν οἱ προφῆται ἐν στόματι ἑνὶ ἀγαθὰ περὶ τοῦ βασιλέως. καὶ ἔστωσαν δὴ οἱ λόγοι σου, ὡς ἑνὸς αὐτῶν, καὶ λαλήσεις ἀγαθά. καὶ εἶπε μιχαίας, ζῇ κύριος, ὅ,τι ἐὰν εἴπῃ ὁ θεὸς πρός με, τοῦτο λαλήσω. καὶ ἦλθε πρὸς τὸν βασιλέα, καὶ εἶπεν αὐτῷ ὁ βασιλεὺς, μιχαία, εἰ πορευθῶ εἰς ῥαμὼθ γαλαὰδ, εἰς πόλεμον, ἢ ἐπίσχω; καὶ εἶπεν; ἀνάβαινε, καὶ εὐοδωθήσῃ,

καὶ

καὶ δοθήσεται εἰς χεῖρας ὑμῶν. καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς, ποσάκις ἐγὼ ὁρκίζω σε, ἵνα μὴ λαλήσῃς πρός με, πλὴν ἀλήθειαν ἐν ὀνόματι κυρίου; καὶ εἶπε μιχαίας, εἶδον διεσπαρμένους τὸν ἰσραὴλ ἐν τοῖς ὄρεσιν, ὡς πρόβατα, οἷς οὐκ ἔστι ποιμὴν αὐτοῖς. καὶ εἶπε κύριος, οὐκ ἔχουσιν ἡγούμενον οὗτοι; ἀναστρεφέτωσαν ἕκαστος εἰς τὸν τόπον αὐτοῦ ἐν εἰρήνῃ. καὶ εἶπεν ὁ βασιλεὺς ἰσραὴλ πρὸς ἰωσαφάτ, οὐκ εἶπόν σοι, ὅτι οὐ προφητεύει περὶ ἐμοῦ ἀγαθά, ἀλλ' ἢ κακά; καὶ εἶπε μιχαίας, οὐχ οὕτως; ἀκούσατε λόγον κυρίου. εἶδον τὸν κύριον καθήμενον ἐπὶ θρόνου αὐτοῦ, καὶ πᾶσα ἡ δύναμις τοῦ οὐρανοῦ παρειστήκει ἐκ δεξιῶν καὶ ἐξ ἀριστερῶν αὐτοῦ. καὶ εἶπε κύριος, τίς ἀπατήσει τὸν ἀχαὰβ βασιλέα ἰσραήλ, καὶ ἀναβήσεται, καὶ πεσεῖται ἐν ῥαμὼθ γαλαάδ; καὶ οὗτος εἶπεν οὕτως, καὶ οὗτος εἶπεν οὕτως. καὶ ἐξῆλθε τὸ πνεῦμα ἐνώπιον κυρίου, καὶ εἶπεν, ἐγὼ ἀπατήσω αὐτόν. καὶ εἶπε κύριος, ἐν τίνι; καὶ εἶπεν, ἐξελεύσομαι, καὶ ἔσομαι πνεῦμα ψευδὲς ἐν στόματι πάντων τῶν προφητῶν αὐτοῦ. καὶ εἶπεν, ἀπατήσεις, καὶ δυνήσῃ. ἔξελθε, καὶ ποίησον οὕτω. καὶ νῦν ἰδού, ἔδωκε κύριος πνεῦμα ψευδὲς ἐν στόματι πάντων τῶν προφητῶν σου τούτων, καὶ κύριος ἐλάλησεν ἐπί σε κακά. καὶ ἤγγισε σεδεκίας υἱὸς χαναάν, καὶ ἐπάταξε

τὸν

& dabuntur in manus ueſtras. Et dixit ei rex, Quoties ego adiuro te, ut non loquaris ad me, niſi ueritatem in nomine domini? Et dixit Michæas, Vidi diſperſos Iſrael in montibus, ut oues, quibus non eſt paſtor eis. Et dixit dominus, Non habēt ducem hi: Reuertatur unuſquiſque in domum ſuam in pace. Et dixit rex Iſrael ad Ioſaphat, Non dixi tibi, quod non prædicit de me bona, ſed mala? Et dixit Michæas, Non ſic? Audite ſermonē 1. Reg. 22.
domini. Vidi dominum conſidentem in ſolio ſuo, & omnis exercitus cœli aſtitit à dextris & à ſiniſtris eius. Et dixit dominus, Quis decipiet Achaab regem Iſrael, ut aſcendat, & cadat in Ramoth Galaad? Et hic dixit ſic, et hic dixit ſic. Et egreſſus eſt ſpiritus corā domino, & dixit, Ego decipiā eū. Et dixit dominus, In quo? Et dixit, Egrediar, et ero ſpiritus mendax in ore omnium uatum eius. Et dixit, Decipies, & poteris. Egredere, & fac ita. Et nunc ecce, dedit dominus ſpiritum mendacem in ore omnium uatum tuorum horū, & dominus locutus eſt contra te mala. Et propinquauit Sedecias filius Chanaā, & percuſsit

Mi-

Michæam in maxillam. Et dixit ei, Qua uia transiuit spiritus domini à me, ut loqueretur ad te? Et dixit Michæas, Ecce, uidebis tu die illa, in qua ingredieris cubiculum è cubiculo, ut abscondaris. Et dixit rex Israel, Capite Michæã, & reducite ad Emmer, principem ciuitatis, & ad Ioas principem, filium regis. Et dicite, Sic dicit rex. Reponite hunc in domum custodiæ, & edat panem afflictionis, & aquam afflictionis, donec reuertar ego in pace. Et dixit Michæas, Si reuertẽs reuersus fueris in pace, nõ loquutus est dominus mihi. Et dixit, Audite populi omnes. Et ascendit Achaab rex & Iosaphat rex Iuda in Ramoth Galaad. Et dixit rex Israel ad Iosaphat, Et contege me, & ingrediar in bellũ, & tu indue uestitum meũ. Et contectus est rex Israel, & ingressus est in bellum Et rex Syriæ præcepit principibus curruum, qui cũ eo, dicẽs, Nõ bello impetite paruum uel magnum, nisi regem Israel solum. Et factum est, ut uiderunt principes curruum Iosaphat, & ipsi dixerũt, Rex Israel est, & cinxerunt eum, ut bello inuaderẽt. Et clamauit Iosaphat ad

τὸν μιχαίαν ἐπὶ τὴν σιαγόνα. καὶ εἶπεν αὐτῷ, ποίᾳ ὁδῷ παρῆλθε πνεῦμα κυρίου παρ' ἐμοῦ τοῦ λαλῆσαι πρὸς σέ; καὶ εἶπε μιχαίας, ἰδοὺ, ὄψῃ σὺ τῇ ἡμέρᾳ ἐκείνῃ, ἐν ᾗ εἰσελεύσῃ ταμεῖον ἐκ ταμείου τοῦ κατακρυβῆναι. καὶ εἶπεν ὁ βασιλεὺς ἰσραὴλ, λάβετε τὸν μιχαίαν, καὶ ἀποστρέψατε πρὸς ἐμμὴρ, τὸν ἄρχοντα τῆς πόλεως, καὶ πρὸς ἰωὰς ἄρχοντα, υἱὸν τοῦ βασιλέως. καὶ ἐρεῖτε, οὕτως εἶπεν ὁ βασιλεύς. ἀπόθεσθε τοῦτον εἰς οἶκον φυλακῆς, καὶ ἐσθιέτω ἄρτον θλίψεως, καὶ ὕδωρ θλίψεως, ἕως τοῦ ἐπιστρέψαι με ἐν εἰρήνῃ. καὶ εἶπε μιχαίας, ἐὰν ἐπιστρέφων ἐπιστρέψῃς ἐν εἰρήνῃ, οὐκ ἐλάλησε κύριος ἐμοί. καὶ εἶπεν ἀκούσατε λαοὶ πάντες. καὶ ἀνέβη βασιλεὺς καὶ ἰωσαφὰτ βασιλεὺς ἰούδα εἰς ῥαμὼθ γαλαάδ. καὶ εἶπε βασιλεὺς ἰσραὴλ πρὸς ἰωσαφὰτ, καὶ κατακάλυψόν με, καὶ εἰσελεύσομαι εἰς τὸν πόλεμον, καὶ σὺ ἔνδυσαι τὸν ἱματισμόν μου. καὶ συνεκαλύψατο βασιλεὺς ἰσραὴλ, καὶ εἰσῆλθον εἰς τὸν πόλεμον. καὶ βασιλεὺς συρίας ἐνετείλατο τοῖς ἄρχουσι τῶν ἁρμάτων τοῖς μετ' αὐτοῦ, λέγων, μὴ πολεμεῖτε τὸν μικρὸν ἢ τὸν μέγαν, ἀλλ' ἢ τὸν βασιλέα ἰσραὴλ μόνον. καὶ ἐγένετο, ὡς εἶδον οἱ ἄρχοντες τῶν ἁρμάτων τὸν ἰωσαφὰτ, καὶ αὐτοὶ εἶπαν, βασιλεὺς ἰσραήλ ἐστι, καὶ ἐκύκλωσαν αὐτὸν τοῦ πολεμεῖν. καὶ ἐβόησεν ἰωσαφὰτ πρὸς

πρὸς κύριον, καὶ κύριος εἰσήκουσεν αὐτόν. καὶ ἀπέστρεψεν αὐτοὺς ὁ θεὸς ἀπ' αὐτοῦ. καὶ ἐγένετο, ὡς εἶδον οἱ ἄρχοντες τῶν ἁρμάτων, ὅτι οὐκ ἦν βασιλεὺς ἰσραήλ. καὶ ἀπέστρεψαν ἀπ' αὐτοῦ. καὶ ἀνὴρ ἐνέτεινε τὸ τόξον εὐστόχως, καὶ ἐπάταξε τὸν βασιλέα ἰσραήλ, ἀνὰ μέσον τοῦ πνεύμονος καὶ ἀνὰ μέσον τοῦ θώρακος. καὶ εἶπε τῷ ἡνιόχῳ αὐτοῦ, ἐπίστρεφε τὴν χεῖρά σου, ἐξάγαγέ με ἐκ τοῦ πολέμου, ὅτι ἐπόνεσα. καὶ ἐτροπώθη ὁ πόλεμος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ ὁ βασιλεὺς ἰσραὴλ ἦν ἑστηκὼς ἐπὶ τοῦ ἅρματος, ἐξεναντίας συρίας, ἕως ἑσπέρας, καὶ ἀπέθανε δύνοντος τοῦ ἡλίου. καὶ ἀπέστρεψεν ἰωσαφὰτ βασιλεὺς ἰούδα εἰς τὸν οἶκον αὐτοῦ, εἰς ἱερουσαλήμ. καὶ ἐξῆλθεν εἰς ἀπάντησιν αὐτοῦ ἰοὺ ὁ τοῦ ἀνανὶ, ὁ προφήτης, καὶ εἶπεν αὐτῷ βασιλεὺς ἰωσαφὰτ, εἰ ἁμαρτωλῷ σὺ βοηθεῖς, ἢ μισουμένῳ ὑπὸ κυρίου φιλιάζεις; καὶ εἶπεν αὐτῷ ἰοὺ, διὰ τοῦτο οὐκ ἐγένετο ἐπί σε ὀργὴ παρὰ κυρίου, ὅτι ἀλλ' οἱ λόγοι ἀγαθοὶ εὑρέθησαν ἐν σοί. ὅτι ἐξῆρας τὰ ἄλση ἀπὸ γῆς ἰούδα, καὶ κατεύθυνας τὴν καρδίαν σου ἐκζητῆσαι τὸν κύριον. καὶ κατῴκησεν ἰωσαφὰτ εἰς ἱερουσαλήμ. καὶ πάλιν ἐξῆλθεν εἰς τὸν λαὸν, ἀπὸ βηρσαβεὲ ἕως ὄρους ἐφραΐμ, καὶ ἐπέστρεψεν αὐτοὺς ἐπὶ κύριον, τὸν θεὸν τῶν πατέρων αὐτῶν. καὶ κατέστησε τοὺς κριτὰς ἐν πάσαις ταῖς πόλεσιν ἰού-

δα

ad dominum, & dominus exaudiuit eum. Et auertit eos deus ab eo. Et factum est, ut uiderunt principes curruū, quod non erat rex Israel, et auerterunt ab eo. Et uir intendit arcum bene acute, & percussit regē Israel, inter pulmonem & inter thoracem. Et dixit aurigae eius, Conuerte manum tuam, educ me è bello, quia laboraui. Et uersum est bellum in die illo. Et rex Israel erat stans in curru, ex aduersa parte Syriae, usq; ad uesperam, & mortuus est occidente sole. Et reuersus est Iosaphat rex Iuda in domum suam, in Hierusalem. Et egressus est in occursum eius Ieu filius Anani, uates, & dixit ei rex Iosaphat, An peccatori tu auxiliaris, aut exoso à domino amicitiā offers. Et dixit ei Ieu Propter hoc non fuit in te ira domini, quod non, nisi sermones boni inuenti sunt in te. Quoniam abstulisti lucos è terra Iuda. & direxisti cor tuum, ad exquirendum dominum. Et habitauit Iosaphat in Hierusalē. Et rursus egressus est in populum, à Bersabee usque ad mōtem Ephraim, & conuertit eos ad dominum, deum patrum suorū. Et constituit iudices in omnibus ciuitatibus Iu-

da

da altis, in ciuitate & ciui
tate. Et dixit iudicibus,
Videte, quid uos faciatis.
Quia non homini uos iu-
dicatis, sed domino, & uo
biscum sermones iudicii.
Et nunc sit timor domini
super uos, & custodite, &
facite. Quoniam non est
cū domino deo nostro in-
iustitia, neq; admirari per
sonā, neq; accipere mune
ra. Et planè in Hierusalem
constituit Iosaphat è Le-
uitis & sacerdotibus &
summis patribus Israel in
iudicium domino, ut iudi-
carent inhabitātes in Hie-
rusalem. Et præcepit ad
eos dicens, Sic facite in ti
more domini, in ueritate
& in corde pleno, omnis
uir iudicium ueniēs ad uos
fratrum uestrorum inhabi
tantium in urbibus suis, in
ter sanguinis sanguinē, &
ter præceptum & manda
tum, & iudicia & decre-
ta. Et distinguetis eis, &
nō peccabūt dño. Et non
erit ira in uos & in fratres
uestros. Sic facite, & non
peccabitis. Et ecce Ama-
rias sacerdos, dux super
uos, ad oēm sermonem do
mini. Et Zabdias filius Is
mael, dux in domū Iuda,
ad omnem sermonem re-
gis. Et scribæ & Leuitæ
ante cōspectū uestrū. For-
tes este, & facite, et erit do
minus cum bono.

Cap. IX Et post hęc uenerūt filii
Moab

δα ταῖς ὀχυραῖς, ἐν πόλει καὶ πόλει.
καὶ εἶπε τοῖς κριταῖς, ἴδετε, τί ὑμεῖς
ποιεῖτε. ὅτι οὐκ ἀνθρώπῳ ὑμεῖς κρίνε
ficere mala, et ad id ne reg
num bonum statum acqui
rat: Imperauimus igitur
significatos uobis in scri-
ptis ab Amon, constitu-

to in actionibus & secun dū patre nostro, omnes cū mulieribus & liberis disperdere totis radicibus, hostium gladiis, sine omni miseratione & parsimonia, quarta et decima duodecimi mensis Adar, surgentis anni, ut ueteres & recentes inimici in die una uiolenter in inferum descendentes, in posterum tempus, bene constitutas & imperturbatas praebeant nobis per finem actiones. At rescripta literarum exposita sunt per regionē, & imperatū est omnibus, paratos esse in diem hāc. Properabat uero actio et in Susan. At rex & Aman epulabantur, turbabatur uero urbs.

Cap. V At Mardochaeus cognoscēs consummatū, disrupit uestimēta sua, & induit saccū, & dispersit cinerē. Et exsiliens per plateā ciuitatis, clamabat uoce magna, Tollitur gēs nihil iniuste agēs. Et uenit usque ad ianuā regis, & stetit. Nō enim erat ei licitū ingredi in atriū, saccū habētem & cinerē. Et in omni regione, ubi expositae fuerāt literae, clamor et plāctus, et luctus magnus Iudaeis, saccū et cinerē strauerāt sibi.

XI Et ingressae sunt ancillae, & lecti custodes reginae, & renūciauerūt ei. Et turbata fuit audiens factum

νου ἐπὶ τῶν πραγμάτων καὶ δευτέρου πατρὸς ἡμῶν, πάντας σὺν γυναιξὶ καὶ τέκνοις ἀπολέσθαι ὁλορριζεὶ, ταῖς τῶν ἐχθρῶν μαχαίραις, ἄνευ παντὸς οἴκτου καὶ φειδοῦς, τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ δωδεκάτου μηνὸς ἀδὰρ, τοῦ ἐνεστῶτος ἔτους, ὅπως οἱ πάλαι καὶ νῦν δυσμενεῖς ἐν ἡμέρᾳ μιᾷ βιαίως εἰς τὸν ᾅδην κατελθόντες, εἰς τὸν μετέπειτα χρόνον, εὐσταθῆ καὶ ἀτάραχα παρέχωσιν ἡμῖν διὰ τέλους τὰ πράγματα. τὰ δὲ ἀντίγραφα τῶν ἐπιστολῶν ἐξετίθετο κατὰ χώραν, καὶ προσετάγη πᾶσιν, ἑτοίμους εἶναι εἰς τὴν ἡμέραν ταύτην. ἐσπεύδετο δὲ τὸ πρᾶγμα καὶ εἰς σοῦσαν. ὁ δὲ βασιλεὺς καὶ ἀμὰν ἐκωθωνίζοντο, ἐταράσσετο δὲ ἡ πόλις.

Ὁ δὲ μαρδοχαῖος ἐπιγνοὺς τὸ συντελούμενον, διέρρηξε τὰ ἱμάτια αὐτοῦ, καὶ ἐνεδύσατο σάκκον, καὶ κατεπάσατο σποδόν. καὶ ἐκπηδήσας διὰ τῆς πλατείας τῆς πόλεως, ἐβόα φωνῇ μεγάλῃ, αἴρεται ἔθνος μηδὲν ἠδικηκός. καὶ ἦλθεν ἕως τῆς πύλης τοῦ βασιλέως, καὶ ἔστη. οὐ γὰρ ἦν αὐτῷ ἐξὸν εἰσελθεῖν εἰς τὴν αὐλὴν, σάκκον ἔχοντα καὶ σποδόν. καὶ ἐν πάσῃ χώρᾳ, οὗ ἐξετίθετο τὰ γράμματα, κραυγὴ καὶ κοπετὸς, καὶ πένθος μέγα τοῖς ἰουδαίοις, σάκκον καὶ σποδὸν ἔστρωσαν ἑαυτοῖς.

ιά. Καὶ εἰσῆλθον αἱ ἅβραι καὶ οἱ εὐνοῦχοι τῆς βασιλίσσης, καὶ ἀνήγγειλαν αὐτῇ. καὶ ἐταράχθη ἀκούσασα τὸ γεγονός.

λόν. καὶ ἀπέστειλε στολίσαι τὸν μαρδο-
χαῖον, καὶ ἀφελέσθαι αὐτοῦ τὸν σάκκον,
ὁ δὲ οὐκ ἐπείσθη.
ιβ. ἡ δὲ ἐσθὴρ προσεκαλέσατο ἀχρα-
θαῖον, τὸν εὐνοῦχον αὐτῆς, ὃς παρειστή-
κει αὐτῇ. καὶ ἀπέστειλε μαθεῖν αὐτῇ
παρὰ τοῦ μαρδοχαίου τὸ ἀκριβές. ὁ δὲ
μαρδοχαῖος ὑπέδειξεν αὐτῷ τὸ γεγο-
νὸς καὶ τὴν ἐπαγγελίαν, ἣν ἐπηγγεί-
λατο ἀμὰν τῷ βασιλεῖ, εἰς τὴν γά-
ζαν ταλάντων μυρίων, ἵνα ἀπολέ-
σῃ τοὺς ἰουδαίους. καὶ τὸ ἀντίγραφον τὸ
ἐν σούσοις, ἐκτεθὲν ὑπὲρ τοῦ ἀπολέ-
σθαι αὐτούς, ἔδωκεν αὐτῷ δεῖξαι τῇ
ἐσθήρ. καὶ εἶπεν αὐτῷ, ἐντείλασθαι αὐ-
τῇ εἰσελθούσῃ παραιτήσασθαι τὸν βασι-
λέα, καὶ ἀξιῶσαι αὐτὸν περὶ τοῦ λαοῦ,
μνησθεῖσα ἡμερῶν ταπεινώσεώς σου,
ὡς ἐτράφης ἐν χειρί μου, διότι ἀμὰν
ὁ δευτερεύων τῷ βασιλεῖ ἐλάλησε
καθ᾽ ἡμῶν εἰς θάνατον. ἐπικάλεσαι
τὸν κύριον. καὶ λάλησον τῷ βασιλεῖ περὶ
ἡμῶν, καὶ ῥῦσαι ἡμᾶς ἐκ θανάτου.
ιγ. εἰσελθὼν δὲ ὁ ἀχραθαῖος, ἐλάλη-
σεν ἐσθὴρ πάντας τοὺς λόγους τούτους.
ιδ. καὶ εἶπεν ἐσθὴρ πρὸς ἀχραθαῖ-
ον, πορεύθητι πρὸς μαρδοχαῖον, καὶ εἰ-
πόν, ὅτι ἔθνη πάντα τῆς βασιλείας γι-
νώσκει, ὅτι πᾶς ἄνθρωπος ἢ γυνή,
ὃς εἰσελεύσεται πρὸς τὸν βασιλέα εἰς
τὴν αὐλὴν τὴν ἐσωτέραν ἄκλητος,
οὐκ ἔστιν αὐτῷ σωτηρία. πλὴν ᾧ
ἐὰν ἐκτείνῃ ὁ βασιλεὺς τὴν χρυ-
σῆν ῥάβδον, οὗτος σωθήσεται.
κἀγὼ

eā. Et dimisit ornare Mar
dochæum, et auferre eius
saccum, ille autem nō per
suasus est.
XII At Esther aduoca
uit Achrathaum, lecti cu-
stodem eius, qui astabat
ei. Et dimisit, ut disceret
ipsa à Mardochaio certū.
At Mardochæus indica-
uit ei factum, & renuncia
tionem, quam renuncia-
uit Aman regi in opes ta-
lentorum decem millia, ut
disperderet Iudæos Et re
scriptum quod in Susis, ex
positum ut disperderent
eos, dedit ei, ut indicaret
Esther. Et dixit ei; Vt
præciperet ei ingredienti
deprecari à rege, et postu
lare eū ꝓ populo, memor
dierum humiliationis tuę,
ut nutrita fuisti in manū
mea, quia Aman iterans
regi loquutus est contrā
nos in mortem. Inuoca do
minum. Et loquere regī
pro nobis, & libera nos è
morte.
XIII Ingressus autē A-
chrathaius, loquutus est
Esther oēs sermōes hos.
XIIII Vt dixit Esther
ad Achrathaiū, Vade ad
Mardochæū, & dic, qđ
gentes oēs regni cogno-
scūt, qđ omnis homo aut
mulier, qui ingressus fue-
rit ad regē in atriū interi-
us non uocatus, non est ei
salus. Sed cui extēdit rex
aureā uirgā, hic saluabit.

Et ego non sum uocata ingredi ad regem, sunt hi dies triginta.

XV Et renunciauit Achrathaius Mardochaio omnes sermones Esther.

XVI Et dixit Mardochæus ad Achrathaium Vade, & dic ipsi Esther, ne dicas tibiipsi, quod saluaberis sola in regno, præter omnes Iudæos. Quoniã si obaudieris in hoc tempore, aliunde auxiliũ & defensio erit Iudæis, tu autem & domus patris tui peribitis. Et quis nouit, num in tempus istud regnasti?

XVII Et dimisit Esther uenientem ad eam, ad Mardochæum, dicens, Vadẽs euoca Iudæos, qui in Susis, & ieiunate pro me. Et non edite, neq; bibatis ad dies tres, noctem & diem. Et ego & ancillæ meæ, sine cibo erimus. Et tunc ingrediar ad regem præter legem, si & perire me oporteat.

XVIII Et uadẽs Mardochaius, fecit, quęcũq; præcepit ei Esther. Et precatus est dominũ, memorãs omnia opera domini. Et dixit, Domine domine, rex omnipotens, quia in potestate tua id omne est. Et non est contra sentiens tibi, cum uis tu saluare Israel. Quia tu fecisti cœlum & terram, & omne admira-

κἀγὼ οὐ κέκλημαι εἰσελθεῖν πρὸς τὸν βασιλέα, εἰσὶν αὗται ἡμέραι τριάκοντα.

ιε. καὶ ἀπήγγειλεν Ἀχραθαῖος Μαρδοχαίῳ πάντας τοὺς λόγους Ἐσθήρ.

ιϛ. καὶ εἶπε Μαρδοχαῖος πρὸς Ἀχραθαῖον, πορεύθητι, καὶ εἰπὸν αὐτῇ, Ἐσθὴρ μὴ εἴπῃς σεαυτῇ, ὅτι σωθήσῃ μόνη ἐν τῇ βασιλείᾳ, παρὰ πάντας τοὺς Ἰουδαίους. ὡς ὅτι ἐὰν παρακούσῃς ἐν τούτῳ τῷ καιρῷ, ἀλλαχόθεν βοήθεια καὶ σκέπη ἔσται τοῖς Ἰουδαίοις, σὺ δὲ καὶ ὁ οἶκος τοῦ πατρός σου ἀπολεῖσθε. καὶ τίς οἶδεν, εἰ εἰς τὸν καιρὸν τοῦτον ἐβασίλευσας;

ιζ. καὶ ἐξαπέστειλεν Ἐσθὴρ τὸν ἥκοντα πρὸς αὐτὴν, πρὸς Μαρδοχαῖον, λέγουσα, βαδίσας ἐκκλησίασον τοὺς Ἰουδαίους τοὺς ἐν Σούσοις, καὶ νηστεύσατε ἐπ' ἐμοί. καὶ μὴ φάγητε, μηδὲ πίητε ἐπὶ ἡμέρας τρεῖς, καὶ νύκτα καὶ ἡμέραν, κἀγὼ καὶ αἱ ἅβραι μου ἀσιτήσομεν. καὶ τότε εἰσελεύσομαι πρὸς τὸν βασιλέα παρὰ τὸν νόμον, ἐὰν καὶ ἀπολέσθαι με δέῃ.

ιη. καὶ βαδίσας Μαρδοχαῖος, ἐποίησεν, ὅσα ἐνετείλατο αὐτῷ Ἐσθήρ. καὶ ἐδεήθη κυρίου, μνημονεύων πάντα τὰ ἔργα κυρίου. καὶ εἶπε, κύριε κύριε, βασιλεῦ παντοκράτωρ, ὅτι ἐν ἐξουσίᾳ σου τὸ πᾶν ἐστι. καὶ οὐκ ἔστιν ὁ ἀντιδοξῶν σοι, ἐν τῷ θέλειν σε σῶσαι τὸν Ἰσραήλ. ὅτι σὺ ἐποίησας τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ πᾶν θαυμαζό-

θαυμαζόμενον ἐν τῷ ὑπ' οὐρανόν. καὶ κύ-
ριος εἶ πάντων. καὶ οὐκ ἔστιν, ὃς ἀντι-
τάξεταί σοι τῷ κυρίῳ. σὺ πάντα γι-
νώσκεις. σὺ οἶδας κύριε, ὅτι οὐκ ἐν
ὕβρει οὐδὲ ἐν ὑπερηφανίᾳ οὐδὲ ἐν φι-
λοδοξίᾳ ἐποίησα τοῦτο, τὸ μὴ προσ-
κυνεῖν τὸν ὑπερήφανον ἀμάν. ὅτι
ηὐδόκουν φιλεῖν πέλματα ποδῶν αὐ-
τοῦ, πρὸς σωτηρίαν ἰσραήλ. ἀλλ' ἐ-
ποίησα τοῦτο, ἵνα μὴ θῶ δόξαν ἀνθρώ-
που ὑπὲρ δόξαν θεοῦ, καὶ οὐ προσκυ-
νήσω οὐδένα, πλὴν σοῦ τοῦ κυρίου μου,
καὶ οὐ ποιήσω αὐτὰ ἐν ὑπερηφανίᾳ.
καὶ νῦν κύριε, ὁ θεὸς ὁ βασιλεὺς, φεῖ-
σαι τοῦ λαοῦ σου. ὅτι ἐπιβλέπουσιν ἡμῖν
εἰς καταφθορὰν, καὶ ἐπεθύμησαν ἀπο-
λέσαι τὴν ἐξ ἀρχῆς κληρονομίαν σου.
μὴ ὑπερίδῃς τὴν μερίδα σου, ἣν σε-
αυτῷ ἐλυτρώσω ἐκ γῆς αἰγύπτου. ἐπά-
κουσον τῆς δεήσεώς μου, καὶ ἱλάσθητι τῷ
κλήρῳ σου. στρέψον τὸ πένθος ἡμῶν
εἰς εὐωχίαν, ἵνα ζῶντες ὑμνῶμέν
σου τὸ ὄνομα, κύριε. καὶ μὴ ἀφανίσῃς
στόμα αἰνούντων σε κύριε.

ιθ. καὶ πᾶς ἰσραὴλ ἐκέκραξεν ἐξ
ἰσχύος αὐτοῦ, ὅτι θάνατος ἐν ὀφθαλ-
μοῖς αὐτοῦ. καὶ ἐσθὴρ ἡ βασίλισσα κα-
τέφυγεν ἐπὶ τὸν κύριον, ἐν ἀγῶνι θα-
νάτου κατειλημμένη. καὶ ἀφελομένη
τὰ ἱμάτια τῆς δόξης αὐτῆς, ἐνεδύσατο
τὰ ἱμάτια στενοχωρίας καὶ πένθους. καὶ
ἀντὶ τῶν ὑπερηφάνων ἡδυσμάτων,
σποδοῦ καὶ κοπριῶν ἐνέπλησε τὴν κε-
φαλὴν αὐτῆς, καὶ τὸ σῶμα αὐτῆς ἐτα-

mirabile in ea quæ sub
cœlo. Et dominus es om-
nium. Et non est, qui op-
ponetur tibi domino. Tu
omnia nôscis. Tu nouisti
domine, quod non in con
tumelia neq; in superbia
neq; in contentione feci
hoc, ne adorarem super-
bum Aman. Quod bene
probaui amare plantas pe
dum eius, ab salutem Isra-
el. Sed feci hoc, ut non po
nam gloriam hominis su-
pra gloriam dei. Et non
adorabo illum, præter te
dominum meum, & nõ fa
ciã ea in superbia. Et nũc
domine, deus rex, parce
populo tuo. Quia respi-
ciunt nobis in deletionẽ,
& appetiuerunt disperde-
re ex initio hæreditatem
tuam. Ne despicias partẽ
tuam, quam tibiipsi libera
sti e terra Aegypti. Exau
di precationem meam, &
propitius sis sorti tuæ. Ver
te luctum nostrum in cele-
britatẽ, ut uiuẽtes cãtemus
tuũ nomẽ, dñe. Et ne ob-
scures os laudãtiũ te dñe.
XIX Et omnis Israel cla
mauit ex uiribus eorũ, qa
mors in oculis eorũ. Et E-
sther regina defugit ad do
minũ, in certamine mortis
deprehẽsa. Et auferens ue
stes gloriæ suæ, induit ue-
stes angustiæ & luctus. Et
pro superbis delectationi-
bus, cinere & stercori-
bus impleuit caput eius.
Et corpus eius humi-

liauit ualde, et oẽm locũ lę
titię eius impleuit tortis ca
pillis eius. Et precata est
dñm, deũ Israel, & dixit:
dñe mi, rex noster tu es so
lus. Auxiliare mihi soli, et
n̄ õ habẽti auxiliatorẽ nisi
te. Quia periculũ meum
in manu mea. Ego audie-
bam ex generatiõe mea,
in tribu familiæ meæ, qđ
tu domine suscepisti Israel
ex omnibus gentibus, &
patres nostros ex omni-
bus maioribus eorum, in
hæreditatem æternam. Et
fecisti eis, quæcunque locu
tus es. Et nunc peccaui-
mus coram te, & tradidi-
sti nos in manus hostibus
nostris, propterea quod
gloria affecimus deos eo-
rum. Iustus es domine. Et
nũc nõ cõtẽti sunt in ama
ritudine seruitutis nostræ,
sed posuerunt manus eo-
rum in manus simulacro-
rum suorum, ad euertendũ
finitionem oris tui & ob-
scurandum hæreditatem
tuam & obturandũ os lau
dantiũ te & extinguendũ
gloriã domus tuæ & alta-
ris tui, & aperiendũ os gẽ
tiũ, ad uirtutes uanorũ, &
ut admirarẽtur regẽ carna
lẽ in æuũ. Ne tradas dñe
sceptrũ tuũ nõ existẽtib⁹.
Et ne derideãt in casu no-
stro. Sed uerte cõsiliũ eo-
rũ in eos, imperãtẽ uero in
nos exẽplũ statue. Memor
sis dñe, cognoscere i tẽpo-
re afflictiõis nostrę. Et me
con-

πείνωσε σφόδρα, καὶ πάντα τόπον ἀ-
γαλλιάματος αὐτῆς ἔπλησε στρεπτῶν
τριχῶν αὐτῆς. καὶ ἐδεῖτο κυρίου, θεοῦ
ἰσραὴλ, καὶ εἶπε, κύριέ μου, ὁ βασι-
λεὺς ἡμῶν σὺ εἶ μόνος, βοήθησόν
μοι τῇ μόνῃ, καὶ μὴ ἐχούσῃ βοηθὸν εἰ
μὴ σε. ὅτι κίνδυνός μου ἐν χειρί μου.
ἐγὼ ἤκουον ἐκ γενετῆς μου, ἐν φυλῇ
πατριᾶς μου, ὅτι σὺ κύριε ἔλαβες τὸν
ἰσραὴλ ἐκ πάντων τῶν ἐθνῶν, καὶ τοὺς
πατέρας ἡμῶν ἐκ πάντων τῶν προ-
γόνων αὐτῶν, εἰς κληρονομίαν αἰώ-
νιον. καὶ ἐποίησας αὐτοῖς, ὅσα ἐλά-
λησας. καὶ νῦν ἡμάρτομεν ἐνώπιόν
σου, καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας
τοῖς ἐχθροῖς ἡμῶν, ἀνθ᾽ ὧν ἐδοξάσα-
μεν τοὺς θεοὺς αὐτῶν. δίκαιος εἶ κύ-
ριε. καὶ νῦν οὐχ ἱκανώθησαν ἐν πικρα-
σμῷ δουλείας ἡμῶν, ἀλλ᾽ ἔθηκαν τὰς
χεῖρας αὐτῶν ἐπὶ τὰς χεῖρας τῶν εἰδώ-
λων αὐτῶν, ἐξᾶραι ὁρισμὸν στόματός
σου καὶ ἀφανίσαι κληρονομίαν σου
καὶ ἐμφράξαι στόμα αἰνούντων σοι καὶ
σβέσαι δόξαν οἴκου σου καὶ θυσιαστη-
ρίου σου, καὶ ἀνοῖξαι στόμα ἐθνῶν, εἰς
ἀρετὰς ματαίων, καὶ θαυμασθῆ-
ναι βασιλέα σάρκινον ἐς αἰῶνα. μὴ
παραδῷς κύριε τὸ σκῆπτρόν σου τοῖς
μὴ οὖσι. καὶ μὴ καταγελασάτωσαν
ἐν τῇ πτώσει ἡμῶν. ἀλλὰ στρέψον
τὴν βουλὴν αὐτῶν ἐπ᾽ αὐτοὺς, τὸν
δὲ ἀρξάμενον ἐφ᾽ ἡμᾶς παραδει-
γμάτισον. μνήσθητι κύριε, γνώσθητι
ἐν καιρῷ θλίψεως ἡμῶν, καὶ ἐμὲ
θάρ-

θαρσυνόν με βασιλεῦ τῶν θεῶν, καὶ πά-
σης ἀρχῆς ἐπικρατῶν. δὸς λόγον εὔ-
ρυθμον εἰς τὸ στόμα μου, ἐνώπιον τοῦ
λέοντος, καὶ μετάθες τὴν καρδίαν
αὐτοῦ εἰς μῖσος τοῦ πολεμοῦντος ἡ-
μᾶς, εἰς συντέλειαν αὐτοῦ καὶ τῶν ὁμονο-
ούντων αὐτῷ. ἡμᾶς δὲ ῥῦσαι ἐν χει-
ρί σου. καὶ βοήθησόν μοι τῇ μόνῃ, καὶ
μὴ ἐχούσῃ εἰ μὴ σὲ, κύριε. πάντων
γνῶσιν ἔχεις. καὶ οἶδας, ὅτι ἐμίσησα
δόξαν ἀνόμων, καὶ βδελύσσομαι κοί-
την ἀπεριτμήτων καὶ παντὸς ἀλ-
λοτρίου. σὺ οἶδας τὴν ἀνάγκην μου, ὅ-
τι βδελύσσομαι τὸ σημεῖον τῆς ὑπερ-
ηφανίας μου, ὅ ἐστιν ἐπὶ τῆς κεφαλῆς
μου, ἐν ἡμέραις ὀπτασίας μου. βδε-
λύσσομαι αὐτὸ, ὡς ῥάκος καταμη-
νιῶν, καὶ οὐ φορῶ αὐτὸ ἐν ἡμέραις ἡ-
συχίας μου. καὶ οὐκ ἔφαγεν ἡ δούλη
σου τράπεζαν ἀμάν. καὶ οὐκ ἐδόξασα
συμπόσιον βασιλέως, οὐδὲ ἔπιον
οἶνον σπονδῶν. καὶ οὐκ εὐφράνθη ἡ
δούλη σου ἀφ' ἡμέρας μεταβολῆς
μου μέχρι τοῦ νῦν. πλὴν ἐπί σοι κύριε,
ὁ θεὸς ἀβραὰμ, ὁ θεὸς ὁ ἰσχύων ἐπὶ
πάντας, εἰσάκουσον φωνὴν ἀπηλπισμέ-
νων. καὶ ῥῦσαι ἡμᾶς ἐκ χειρὸς τῶν πονη-
ρευομένων, καὶ ῥῦσαι με ἐκ τοῦ φόβου μου.
ε. Καὶ ἐγενήθη ἐν τῇ ἡμέρᾳ τῇ τρί-
τῃ, ὡς ἐπαύσατο προσευχομένη, ἐξε-
δύσατο τὰ ἱμάτια τῆς θεραπείας,
καὶ περιεβάλλετο τὴν δόξαν αὐτῆς.
καὶ γενηθεῖσα ἐπιφανὴς, ἐπικαλεσα-
μένη τὸν πάντων ἐπόπτην, θεὸν

confidentẽ redde rex deo
rũ, et omnẽ principatũ ob
tinens. Da sermonẽ bene
conuenientẽ ĩ os meũ, co
ram leone, & transfer cor
eius in odium bello impe-
tentis nos, in cõsummatio
nem eius & consentientiũ
ei. Nos uerò libera in ma
nu tua. Et auxiliare mihi
soli, & nõ habenti nisi te,
domine. Omnium notitiã
habes. Et nouisti, quod o-
dio habui gloriam iniquo
rũ, et fastidio cubile incir
cumcisorũ & omnis alie-
ni. Tu nouisti necessitatẽ
meã, quod fastidio signũ
superbiæ meæ, quod est in
capite meo, in diebus uisi-
onis meæ. Fastidio illud,
ut pannũ lacerũ menstrua
rum; & non fero illud in
diebus trãquillitatis meæ.
Et nõ edit ancilla tua mẽ-
sam Aman. Et non gloria
affeci cõpotationẽ regis,
neq; bibi uinũ libaminũ.
Et nõ gauisa est serua tua,
à die translationis meæ us
que nunc. Sed apud te do
mine, deus Habraam, deus
potens in omnes, exaudi
uocem desperatorum. Et
libera nos è manu malig-
nè agentium. Et libera me
ex timore meo.

Et factũ est in die tertio, Cap.VI
ut quieuit adorans, exuit
uestimẽta curatiõis, et cir-
cũponebat gloriam eius.
Et facta illustris, inuocans
omnium inspectorẽ, deum

& saluatorem, accepit duas ancillas. Et quidem uni innitebatur, ut delicias, at altera assequebatur, leuans indumentum eius, & ipsa rubēs uigore pulchritudinis eius. Et conspectus eius hilaris, ut amicus, at cor eius coarctatū à timore. Et intrans omnes ianuas, cōstitit coram rege.

XXI Et is consedit in solio regni sui, & omnem ornatum claritudinis eius induerat, totus per aurum et lapides sumptuosos, & erat terribilis ualde. Et tollens conspectum eius ignitum gloria, in uigore furoris aspexit.

XXII Et cecidit Regina, & transmutauit colorē eius in dissolutione, & decubuit in caput ancillæ euntis.

XXIII Et transtulit deus spiritum regis in mansuetudinem. Et certans resiliit è solio eius, & sustulit eam in brachia eius, usquequo constitit. Et consolatus est eam sermonibus pacatis, & dixit ei, Quid est, Esther. Ego frater tuus. Confide, nequaquam moriaris. Quia cōmune mandatum nostrum est. Accede, & tollēs auream uirgā imposuit in ceruicem eius, & traxit eam. Et dixit, Loquere mihi.

XXIV Et

καὶ σωτῆρα, παρέλαβε τὰς δύο ἄβρας· καὶ τῇ μὲν μιᾷ ἐπηρείδετο, ὡς τρυφερευομένη, ἡ δὲ ἑτέρα ἐπηκολούθει, κουφίζουσα τὴν ἔνδυσιν αὐτῆς, καὶ αὐτὴ ἐρυθριῶσα ἀκμῇ κάλλους αὐτῆς. καὶ τὸ πρόσωπον αὐτῆς ἱλαρόν, ὡς προσφιλής, ἡ δὲ καρδία αὐτῆς ἀπεστενωμένη ἀπὸ τοῦ φόβου. καὶ εἰσελθοῦσα πάσας τὰς θύρας, κατέστη ἐνώπιον τοῦ βασιλέως.

κα. καὶ αὐτὸς ἐκάθητο ἐπὶ τοῦ θρόνου τῆς βασιλείας αὐτοῦ, καὶ πᾶσαν στολὴν τῆς ἐπιφανείας αὐτοῦ ἐνεδεδύκει, ὅλος διὰ χρυσοῦ καὶ λίθων πολυτελῶν, καὶ ἦν φοβερὸς σφόδρα. καὶ ἄρας τὸ πρόσωπον αὐτοῦ πεπυρωμένον δόξῃ, ἐν ἀκμῇ θυμοῦ ἔβλεψεν.

κβ. καὶ ἔπεσεν ἡ βασίλισσα, καὶ μετέβαλε τὸ χρῶμα αὐτῆς ἐν ἐκλύσει, καὶ κατέκυψεν ἐπὶ τὴν κεφαλὴν τῆς ἄβρας τῆς πορευομένης.

κγ. καὶ μετέβαλεν ὁ θεὸς τὸ πνεῦμα τοῦ βασιλέως εἰς πραότητα. καὶ ἀγωνιάσας ἀνεπήδησεν ἀπὸ τοῦ θρόνου αὐτοῦ, καὶ ἀνέλαβεν αὐτὴν ἐπὶ τὰς ἀγκάλας αὐτοῦ, μέχρις οὗ κατέστη. καὶ παρεκάλει αὐτὴν λόγοις εἰρηνικοῖς, καὶ εἶπεν αὐτῇ, τί ἐστιν, Ἐσθήρ. ἐγὼ ὁ ἀδελφός σου. θάρσει, οὐ μὴ ἀποθάνῃς. ὅτι κοινὸν τὸ πρόσταγμα ἡμῶν ἐστιν. πρόσελθε, καὶ ἄρας τὴν χρυσῆν ῥάβδον ἐπέθηκεν ἐπὶ τὸν τράχηλον αὐτῆς, καὶ ἠσπάσατο αὐτήν. καὶ εἶπε, λάλησόν μοι.

κδ. καὶ

κδ. καὶ εἶπον αὐτῷ, εἶδόν σε κύριε ὡς ἄγγελον θεοῦ, καὶ ἐταράχθη ἡ καρδία μου ἀπὸ τοῦ φόβου τῆς δόξης σου. ὅτι θαυμαστὸς εἶ κύριε, καὶ τὸ πρόσωπόν σου χαρίτων μεστόν.

κε. ἐν δὲ τῷ διαλέγεσθαι αὐτὴν, ἔπεσεν ἀπὸ ἐκλύσεως αὐτῆς. καὶ ὁ βασιλεὺς ἐταράσσετο, καὶ πᾶσα ἡ θεραπεία αὐτοῦ παρεκάλει αὐτήν.

κϛ. καὶ εἶπεν ὁ βασιλεὺς, τί θέλεις ἐσθὴρ, καὶ τί σού ἐστι τὸ ἀξίωμα, ἕως ἡμίσους τῆς βασιλείας μου, καὶ ἔσται σοι.

κζ. εἶπε δὲ ἐσθὴρ, ἡμέρα μου ἐπίσημος σήμερόν ἐστιν. εἰ οὖν δοκεῖ τῷ βασιλεῖ, ἐλθέτω καὶ ὁ βασιλεὺς καὶ ἀμὰν εἰς τὴν δοχὴν, ἣν ποιήσω σήμερον.

κη. καὶ εἶπεν ὁ βασιλεὺς, κατασπεύσατε ἀμὰν, ὅπως ποιήσωμεν τὸν λόγον ἐσθήρ. καὶ παραγίνονται ἀμφότεροι εἰς τὴν δοχὴν, ἣν ἐποίησεν ἐσθήρ. ἐν δὲ τῷ πότῳ εἶπεν ὁ βασιλεὺς πρὸς ἐσθὴρ, τί ἐστίν σοι, βασίλισσα ἐσθὴρ, καὶ ἔσται σοὶ, ὅσα ἀξιοῖς. καὶ εἶπε, τὸ αἴτημά μου καὶ τὸ ἀξίωμά μου, εἰ εὗρον χάριν ἐνώπιον τοῦ βασιλέως, ἐλθέτω ὁ βασιλεὺς καὶ ἀμὰν ἐπὶ τὴν αὔριον εἰς τὴν δοχὴν, ἣν ποιήσω αὐτοῖς, καὶ αὔριον ποιήσω τὰ αὐτά.

κθ. καὶ ἐξῆλθεν ἀμὰν ἀπὸ τοῦ βασιλέως ὑπερχαρὴς καὶ εὐφραινόμενος, ἐν δὲ τῷ ἰδεῖν ἀμὰν μαρδοχαῖον τὸν ἰουδαῖον ἐν τῇ αὐλῇ, ἐθυμώθη σφό-

δρα,

XXIV Et dixit ei, Vidi te domine, ut nunciũ dei. & turbatum est cor meũ à timore gloriæ tuę. Quia mirabilis es domine, & cõspectus tuus gratiis plenus.

XXV Cum uero denarraret ea, cecidit à dissolutione eius. Et rex turbabať, et omne famulitiũ eius cõsolabatur eam.

XXVI Et dixit rex, qd uis Esther. Et quæ tua est petitio, usq; ad dimidium regni mei, & erit tibi.

XXVII Dixit autem Esther, Dies mea insignis hodie est: Si igitur placet regi, ueniat & rex & Aman in conuiuium, quod faciam hodie.

XXVIII Et dixit rex, Solicitate Aman, ut faciamus sermonem Esther. Et adueniunt ambo ad conuiuium, quod fecit Esther. At in compotatione dixit rex ad Esther, Quid est tibi regina Esther, et erũt tibi, quęcũq; petieris. Et dixit, Petitio mea & postulatio mea, si inueni gratiam coram rege, ueniat rex & Aman in crastinum conuiuiũ, quod faciam eis, & crastino faciam eadem.

XXIX Et exiit Aman à rege ualde alacer & lætus, cum autem uidisset Aman Mardochæum Iudęum in atrio, iratus est ual-

de. Et ingressus in propria, uocauit amicos, & Zosaran uxorem suam, et ostendit eis diuitias suas, & gloriam, quam rex ei circumposuit, & quod fecit eum primas tenere & principem agere regni. Et dixit Aman, Non uocauit regina cum rege quenquam in conuiuium, nisi me, & in crastinum uocauit me. Et hæc mihi non placent, cum uideã Mardochæum Iudæũ in atrio.

XXX Et dixit ad eum Zosara uxor eius, & amici, Cædatur tibi lignũ cubitorum quinquaginta, mane uero dic regi, & suspendatur Mardochæus in ligno. Tu uero ingredere ad conuiuium cũ rege, & lætare.

XXXI Et placuit uerbum Aman, et parauit lignum.

Cap.VII XXXII At dominus abstulit somnũ à rege noctẽ illã, & dixit ministro suo, inferre literas monumenta dierum, ut legeret ei. Inuenit autẽ literas scriptas de Mardochæo, ut renunciauit regi de duobus lecti custodibus regis, dum custodirent ipsũ, & quæsiuissent inicere manus Artaxerxi. Dixit autem rex, Quam gloriam aut gratiam fecimus Mardochæo? Et dixerũt ministri regis,

δρᾳ. καὶ εἰσελθὼν εἰς τὰ ἴδια, ἐκάλεσε τοὺς φίλους, καὶ ζωσάραν τὴν γυναῖκα αὐτοῦ, καὶ ὑπέδειξεν αὐτοῖς τὸν πλοῦτον αὐτοῦ, καὶ τὴν δόξαν, ἣν ὁ βασιλεὺς αὐτῷ περιέθηκε, καὶ ὡς ἐποίησεν αὐτὸν πρωτεύειν καὶ ἡγεῖσθαι τῆς βασιλείας. καὶ εἶπεν ἀμὰν, οὐ κέκληκεν ἡ βασίλισσα μετὰ τοῦ βασιλέως οὐδένα εἰς τὴν δοχὴν, ἀλλ' ἢ ἐμὲ, καὶ εἰς τὴν αὔριον κέκλημαί με. καὶ ταῦτά μοι οὐκ ἀρέσκει, ὅταν ἴδω μαρδοχαῖον τὸν ἰουδαῖον ἐν τῇ αὐλῇ.

λ. καὶ εἶπε πρὸς αὐτὸν ζωσάρα ἡ γυνὴ αὐτοῦ, καὶ οἱ φίλοι, κοπήτω σοὶ ξύλον πηχῶν πεντήκοντα, ὄρθρου δὲ εἰπὸν τῷ βασιλεῖ, καὶ κρεμασθήτω μαρδοχαῖος ἐπὶ τοῦ ξύλου. σὺ δὲ εἰσελθὲ εἰς τὴν δοχὴν σὺν τῷ βασιλεῖ, καὶ εὐφραίνου.

λα. καὶ ἤρεσε τὸ ῥῆμα τῷ ἀμὰν, καὶ ἡτοίμασε τὸ ξύλον.

λβ. Ὁ δὲ κύριος ἀπέστησε τὸν ὕπνον τοῦ βασιλέως τὴν νύκτα ἐκείνην, καὶ εἶπε τῷ διακόνῳ αὐτοῦ, εἰσφέρειν γράμματα μνημόσυνα τῶν ἡμερῶν, ἀναγινώσκειν αὐτῷ. εὗρε δὲ γράμματα τὰ γραφέντα περὶ μαρδοχαίου, ὡς ἀπήγγειλε τῷ βασιλεῖ περὶ τῶν δύο εὐνούχων τοῦ βασιλέως, ἐν τῷ φυλάσσειν αὐτοὺς, καὶ ζητῆσαι ἐπιβαλεῖν τὰς χεῖρας ἀρταξέρξῃ. εἶπε δὲ ὁ βασιλεὺς, τίνα δόξαν ἢ χάριν ἐποιήσαμεν τῷ μαρδοχαίῳ; καὶ εἶπον οἱ διάκονοι τοῦ

βασι-

βασιλέως, οὐκ ἐποίησαν αὐτῷ οὐδέν.

λγ. ἐν δὲ τῷ πυνθάνεσθαι τὸν βασιλέα περὶ τῆς εὐνοίας μαρδοχαίου, ἰδοὺ ἀμὰν ἐν τῇ αὐλῇ. εἶπε δὲ ὁ βασιλεὺς, τίς ἐν τῇ αὐλῇ; ὁ δὲ εἰσῆλθεν εἰπεῖν τῷ βασιλεῖ, κρεμάσαι τὸν μαρδοχαῖον ἐν τῷ ξύλῳ, ᾧ ἡτοίμασε. καὶ εἶπον οἱ διάκονοι τοῦ βασιλέως, ἰδοὺ, ἀμὰν ἕστηκε ἐν τῇ αὐλῇ. καὶ εἶπεν ὁ βασιλεὺς, καλέσατε αὐτόν.

λδ. εἶπε δὲ ὁ βασιλεὺς τῷ ἀμὰν, τί ποιήσω τῷ ἀνθρώπῳ, ὃν ἐγὼ θέλω δοξάσαι; εἶπε δὲ ἐν αὐτῷ ἀμὰν, τίνα θέλει ὁ βασιλεὺς δοξάσαι, εἰ μὴ ἐμέ; εἶπε δὲ πρὸς τὸν βασιλέα, ἄνθρωπον ὃν ὁ βασιλεὺς θέλει δοξάσαι, ἐνεγκάτωσαν οἱ παῖδες τοῦ βασιλέως στολὴν βυσσίνην, ἣν ὁ βασιλεὺς περιβάλλεται, καὶ ἵππον, ἐφ' ὃν ὁ βασιλεὺς ἐπιβαίνει, καὶ δότω ἑνὶ τῶν φίλων τοῦ βασιλέως τῶν ἐνδόξων, καὶ στολισάτω τὸν ἄνθρωπον, ὃν ὁ βασιλεὺς ἀγαπᾷ. καὶ ἀναβιβασάτω αὐτὸν ἐπὶ τὸν ἵππον, καὶ κηρυσσέτω διὰ τῆς πλατείας τῆς πόλεως, λέγων, οὕτως ἔσται παντὶ ἀνθρώπῳ, ὃν ὁ βασιλεὺς δοξάσει.

λε. εἶπε δὲ ὁ βασιλεὺς τῷ ἀμὰν, καλῶς ἐλάλησας. οὕτως ποίησον τῷ μαρδοχαίῳ τῷ ἰουδαίῳ, τῷ θεραπεύοντι ἐν τῇ αὐλῇ. καὶ μὴ παραπεσάτω σου λόγος, ὃν ἐλάλησας.

λς. ἔλαβε δὲ ἀμὰν τὴν στολὴν

καὶ

regis, Non fecisti ei quicquam.

XXXIII Dum autē interrogaret de beneuolentia Mardochæi, ecce Aman in atrio. Dixit autem rex, Quis in atrio? Ille uero introiuit, ut diceret regi, ut suspenderet Mardochæum in ligno, quod parauerat. Et dixerunt ministri regis, Ecce, Aman stetit in atrio. Et dixit rex, Vocate eum.

XXXIV Dixit autem rex Aman, Quid faciam homini, quem ego uolo honorare? Dixit autem in seipso Aman, Quem uult rex honorare, nisi me? Dixit autem ad regem, Hominem, quem rex uult honorare, ferant serui regis stolam bysinam, qua rex amicitur, & equum, super quem rex ascendit, & det uni amicorum regis gloriosorum, et stola ornet hominem, quem rex diligit. Et sustollat eum in equum, & prædicet per plateam ciuitatis, dicens, Sic erit omni homini, quē rex honorabit.

XXXV Dixit autē rex Aman, Pulchrè loquutus es. Sic fac Mardochæo Iudæo, ministranti in atrio. Et ne decidat unus sermo, quem loquutus es.

XXXVI Tulit autē stolā

&

& equum, & stola ornauit Mardochæum. Et sustulit eum in equum, & transiit per plateam ciuitatis. Et prædicabat, dicēs, Sic erit omni homini, quē rex uult honorare. Reuersus est autem Mardochæus in atrium. Aman uerò reuersus fuit ad propria, occultatus per caput.

XXXVII Et denarrauit Aman euenientia ei Zosara uxori suæ, & amicis. Et dixerunt ad eum amici & uxor, Si e genere Iudæorum Mardochæus, & cœpisti humiliari ante eū, cadens cades. Nequaquā potes eum ulcisci, quia deus uiuens cum eo.

XXXVIII Adhuc ipsis loquentibus, adueniunt lecti custodes, compellentes Aman ad compotationē, quā parauerat Esther.

Cap. VIII Intrauit autem rex & Aman, ut simul biberent cum regina.

XXXIX Dixit aūt rex Esther, secunda die, in cōuiuio, Quid est, Esther regina? Et quæ petitio tua? Et quæ postulatio tua, & erit tibi, usq; ad dimidiū regni mei.

XL Et respōdēs dixit, Si inueni gratiā coram rege, detur anima petitiōi meę, & populus meus postulationi meę. Vēditi sumus enim egoq; & populus meus in perniciem & direptionem et seruitutem, nosq;

&

καὶ τὸν ἵππον, καὶ ἐστόλισε τὸν μαρδοχαῖον. καὶ ἀνεβίβασεν αὐτὸν ἐπὶ τὸν ἵππον, καὶ διῆλθε διὰ τῆς πλατείας τῆς πόλεως. καὶ ἐκήρυσσε λέγων, οὕτως ἔσται παντὶ ἀνθρώπῳ, ὃν ὁ βασιλεὺς θέλει δοξάσαι. ἀπέστρεψε δὲ μαρδοχαῖος εἰς τὴν αὐλήν. ἀμὰν δὲ ἐπέστρεψεν εἰς τὰ ἴδια, κρυβόμενος κατὰ κεφαλῆς.

λζ. καὶ διηγήσατο ἀμὰν τὰ συμβεβηκότα αὐτῷ ζωσάρᾳ τῇ γυναικὶ αὐτοῦ, καὶ τοῖς φίλοις. καὶ εἶπον πρὸς αὐτὸν οἱ φίλοι καὶ ἡ γυνή, εἰ ἐκ γένους ἰουδαίων μαρδοχαῖος, καὶ ἦρξω ταπεινοῦσθαι ἔμπροσθεν αὐτοῦ, πεσὼν πεσῇ. οὐ μὴ δύνῃ αὐτὸν ἀμύνασθαι, ὅτι θεὸς ζῶν μετ᾽ αὐτοῦ.

λη. ἔτι αὐτῶν λαλούντων, παραγίνονται οἱ εὐνοῦχοι, ἐπισπεύδοντες τὸν ἀμὰν ἐπὶ τὸν πότον, ὃν ἡτοίμασεν ἐσθήρ.

Εἰσῆλθον δὲ ὁ βασιλεὺς καὶ ἀμάν, συμπιεῖν τῇ βασιλίσσῃ.

λθ. εἶπε δὲ ὁ βασιλεὺς τῇ ἐσθήρ, τῇ δευτέρᾳ ἡμέρᾳ, ἐν τῷ πότῳ, τί ἐστιν, ἐσθὴρ βασίλισσα. καὶ τί τὸ αἴτημά σου; καὶ τί τὸ ἀξίωμά σου, καὶ ἔσται σοί, ἕως ἡμίσους τῆς βασιλείας μου.

μ. καὶ ἀποκριθεῖσα εἶπεν, εἰ εὗρον χάριν ἐνώπιον τοῦ βασιλέως, δοθήτω ἡ ψυχὴ τῷ αἰτήματί μου, καὶ ὁ λαός μου τῷ ἀξιώματί μου. ἐπράθημεν γὰρ ἐγώ τε καὶ ὁ λαός μου εἰς ἀπώλειαν καὶ διαρπαγὴν καὶ δουλείαν, ἡμεῖς τε

καὶ

καὶ τὰ τέκνα ἡμῶν εἰς παῖδας καὶ παιδίσκας, καὶ παρήκουσα. οὐ γὰρ ἄξιος ὁ διάβολος τῆς αὐλῆς τοῦ βασιλέως.

μα. εἶπε δὲ ὁ βασιλεύς, τίς οὗτος, ὅς ἐτόλμησε ποιῆσαι τὸ πρᾶγμα τοῦτο;

μβ. εἶπε δὲ ἐσθήρ, ἄνθρωπος ὁ ἐχθρὸς ἀμάν, ὁ πονηρὸς οὗτος. ἀμὰν δὲ ἐταράχθη ἀπὸ τοῦ βασιλέως καὶ τῆς βασιλίσσης.

μγ. ὁ δὲ βασιλεὺς ἐξανέστη ἐκ τοῦ συμποσίου εἰς τὸν κῆπον. ὁ δὲ ἀμὰν παρεκάλει, καὶ ἠτεῖτο τὴν βασίλισσαν, ἑώρα γὰρ αὐτὸν ἐν κακοῖς ὄντα.

μδ. ἐπέστρεψεν δὲ ὁ βασιλεὺς ἐκ τοῦ κήπου. ἀμὰν δὲ ἐπιπεπτώκει ἐπὶ τὴν κλίνην, ἀξιῶν τὴν βασίλισσαν. εἶπε δὲ ὁ βασιλεύς, ὥστε καὶ τὴν γυναῖκα βιάζει ἐν τῇ οἰκίᾳ μου; ἀμὰν δὲ ἀκούσας διετράπη τῷ προσώπῳ.

με. εἶπε δὲ ὁ βουγαθάν, εἷς τῶν εὐνούχων, ἔτι δὲ ἐγνώκει τοῦτο τὸ ξύλον τοῦ σταυροῦ, ἰδὼν ἐν τῇ οἰκίᾳ τοῦ ἀμάν, ὅτε ἐκάλει αὐτὸν ἐπὶ τὸν δεῖπνον τῶν βασιλέων. καὶ περὶ τούτου πυθόμενος, ἔγνω παρ' ἑνὸς τῶν παίδων τὸ κατασκευαζόμενον. καὶ εἶπε πρὸς τὸν βασιλέα, ἰδού, καὶ ξύλον ἡτοίμασεν ἀμὰν μαρδοχαίῳ, τῷ λαλήσαντι περὶ τοῦ βασιλέως, καὶ ὤρθωται ἐν τοῖς ἀμάν, πηχῶν πεντήκοντα.

μϛ. εἶπε δὲ ὁ βασιλεύς, σταυ-

ρωθήτω

& filii nostri in seruos & ancillas, & praetermisisti. Non enim dignus calumniator atrio regis.

XLI Dixit autem rex, Quis hic, qui ausus est facere actionem hanc?

XLII Dixit autem Esther, Homo inimicus Aman, prauus iste. Aman uero turbatus est à rege & regina.

XLIII At rex surrexit à conuiuio in hortum. At Aman appellabat, & flagitabat reginam, uidit enim se in malis existentem.

XLIV Reuersus est autem rex ex horto. Aman uero ceciderat in lectũ, rogans reginam. Dixit autem rex, Itaque & mulierem uiolat in domo mea? Aman uero audiẽs permutatus est conspectu.

XLV Dixit autem Bugathan, unus lecti custodum, is autem cognouerat illud lignum crucis, uidens in domo Aman, quã do uocabat eum ad coenam regum. Et de illo rogans, cognouit ab uno puerorum praeparatum. Et dixit ad regem, Ecce, & lignum parauit Aman Mardochaeo, loquuto pro rege, & erectũ est in aedibus Aman, cubitorum quinquaginta.

XLVI Dixit aũt rex, Cruci

ci affigatur in hoc. Et suspensus est Aman in ligno, quod parauit Mardochæo. Et tūc quieuit rex à furore.

Cap. IX Et in eo die rex Artaxerxes donauit Esther, quæcunq; existebant Aman calumniatori. Et Mardochæus aduocatus est à rege, ostenderat enim Esther, quod domesticus fuit sibi. Tulit autem rex anulum, quem abstulerat ab Aman, & dedit Mardochæo. Et constituit Esther Mardochæum super omnia quæ Aman. Et addens loquuta fuit ad regem, & procidit ad pedes eius, & postulauit auferre Aman malitiam, & quæcunq; fecit Iudæis. Et extendit rex Esther uirgam auream. Excitata est uerò Esther, ut astaret regi. Et dixit Esther, Si uidetur tibi, & inueni gratiam, mittatur, ut auertantur literæ dimissæ ab Aman, scriptæ ad perdendum Iudæos, qui sunt in regno tuo. Quomodo enim potero uidere afflictionem populi mei? Et quomodo potero saluari in interitu patriæ meæ?

XLVII Et dixit rex ad Esther, Si omnes substantias Aman dedi, & donaui tibi, & eum suspendi in ligno, quia manus intulit Iudæis, q̄d adhuc inquiris? Scri-

ρωθέντα ἐπ' αὐτό. καὶ ἐκρεμάσθη ἀμὰν ἐπὶ τοῦ ξύλου, ὃ ἡτοίμασε μαρδοχαίῳ. καὶ τότε ὁ βασιλεὺς ἐκόπασεν ἀπὸ τοῦ θυμοῦ.

Καὶ ἐν αὐτῇ τῇ ἡμέρᾳ ὁ βασιλεὺς ἀρταξέρξης ἐδωρήσατο τῇ ἐσθὴρ, ὅσα ὑπάρχει ἀμὰν τῷ διαβόλῳ. καὶ μαρδοχαῖος προσεκλήθη παρὰ τοῦ βασιλέως. ὑπέδειξε γὰρ ἐσθὴρ, ὅτι ἐνοικείωται αὐτῇ. ἔλαβε δὲ ὁ βασιλεὺς τὸν δακτύλιον, ὃν ἀφείλατο ἀμὰν, καὶ ἔδωκε μαρδοχαίῳ. καὶ κατέστησεν ἐσθὴρ μαρδοχαῖον ἐπὶ πάντων τῶν ἀμάν. καὶ προσθεῖσα ἐλάλησε πρὸς τὸν βασιλέα, καὶ προσέπεσεν ἐπὶ τοὺς πόδας αὐτοῦ, καὶ ἠξίου ἀφελεῖν τὴν ἀμὰν κακίαν, καὶ ὅσα ἐποίησε τοῖς ἰουδαίοις. καὶ ἐξέτεινεν ὁ βασιλεὺς ἐσθὴρ τὴν ῥάβδον τὴν χρυσῆν. ἐξηγέρθη δὲ ἐσθὴρ παρεστηκέναι τῷ βασιλεῖ. καὶ εἶπεν ἐσθὴρ, εἰ δοκεῖ σοι, καὶ εὗρον χάριν, πεμφθήτω ἀποστραφῆναι τὰ γράμματα, τὰ ἀπεσταλμένα ἀπὸ ἀμὰν, τὰ γραφέντα ἀπολέσθαι τοὺς ἰουδαίους, οἵ εἰσιν ἐν τῇ βασιλείᾳ σου. πῶς γὰρ δυνήσομαι ἰδεῖν τὴν κάκωσιν τοῦ λαοῦ μου; καὶ πῶς δυνήσομαι σωθῆναι ἐν τῇ ἀπωλείᾳ τῆς πατρίδος μου;

μζ. καὶ εἶπεν ὁ βασιλεὺς πρὸς ἐσθὴρ, εἰ πάντα ὑπάρχοντα ἀμὰν ἔδωκα, καὶ ἐχαρισάμην σοι, καὶ αὐτὸν ἐκρέμασα ἐπὶ ξύλου, ὅτι τὰς χεῖρας ἐπήνεγκε τοῖς ἰουδαίοις, τί ἔτι ἐπιζητεῖς;

γράψατε

γράψατε καὶ ὑμεῖς ἐκ τοῦ ὀνόματός μου, ὡς δοκεῖ ὑμῖν, καὶ σφραγίσατε τῷ δακτυλίῳ μου. ὅσα γὰρ γράφεται, τοῦ βασιλέως ἐπιτάξαντος, καὶ σφραγισθῇ τῷ δακτυλίῳ μου, οὐκ ἔστιν αὐτοῖς ἀντειπεῖν.

μη. ἐκλήθησαν δὲ οἱ γραμματεῖς ἐν τῷ πρώτῳ μηνί, ὅς ἐστιν νισά, τρίτῃ καὶ εἰκάδι τοῦ αὐτοῦ ἔτους. καὶ ἐγράφη τοῖς ἰουδαίοις, ὅσα ἐνετείλατο τοῖς οἰκονόμοις, καὶ τοῖς ἄρχουσι τῶν σατραπειῶν, ἀπὸ τῆς ἰνδικῆς ἕως τῆς αἰθιοπίας, ἑκατὸν εἴκοσι ἑπτὰ σατράπαις, κατὰ χώραν καὶ χώραν, κατὰ τὴν αὐτῶν λέξιν. ἐγράφη δὲ διὰ τοῦ βασιλέως, καὶ ἐσφραγίσθη τῷ δακτυλίῳ αὐτοῦ. καὶ ἐξαπέστειλαν τὰ γράμματα διὰ βιβλιοφόρων, ὡς ἐπέταξεν αὐτοῖς χρήσασθαι τοῖς νόμοις αὐτῶν, ἐν πάσῃ πόλει, βοηθῆσαί τε αὐτοῖς, καὶ χρήσασθαι τοῖς ἀντιδίκοις αὐτῶν καὶ τοῖς ἀντικειμένοις αὐτῶν, ὡς βούλονται, ἐν ἡμέρᾳ μιᾷ, ἐν πάσῃ τῇ βασιλείᾳ ἀρταξέρξου, τῇ τρισκαιδεκάτῃ τοῦ δωδεκάτου μηνός, ὅς ἐστιν ἀδάρ. ὧν ἐστιν ἀντίγραφον, τῆς ἐπιστολῆς τὰ γεγραμμένα.

ΒΑΣΙΛΕΥΣ ΜΕΓΑΣ ἀρταξέρξης.

μθ. Τοῖς ἀπὸ τῆς ἰνδικῆς ἕως αἰθιοπίας, ἑκατὸν εἴκοσι ἑπτὰ σατράπαις χωρῶν ἄρχουσι, καὶ τοῖς τὰ ἡμέτερα φρονοῦσι, χαίρειν. Πολλοὶ τῇ πλείστῃ τῶν εὐεργετούντων χρηστότητι πυκνότερον τιμώ-

Scribite & uos ex nomine meo, ut uidetur uobis, & obsignate anulo meo. Quæcunque enim scribitis, rege mandante, & obsignata sint anulo meo, non est eis contradicere.

XLVIII Vocati sunt autem scribæ in primo mense, qui est Nisa, tertia & uicesima eius anni. Et scripta sunt Iudæis, quæcunque mandauit domus dispensatoribus, & principibus principatuũ, ab Indica usque Aethiopiam, centum uigintiseptẽ principibus, per regionem & regionẽ, pro eorum dictione. Scriptæ sunt autem per regem, & obsignatæ sunt anulo eius. Et dimiserunt literas per ueredarios, ut præcepit eis, uti legibus suis, in omni ciuitate, auxiliarique eis, & uti aduersariis eorum & resistentibus eorum, ut uolunt, die una, in omni regno Artaxerxis, tertia & decima duodecimi mensis, qui est Adar. Quorum est rescriptum, literarum scripta.

REX MAGNVS Artaxerxes.

XLIX His qui ab Indica usque Aethiopiam, centum uigintiseptem principibus, regionum principatum gerentibus, & nostra sapiẽtibus gaudere. Multi plurima beneficiis afficiẽtiũ benignitate frequẽtius hono-

honorati malus sapuerũt. Et non solum subditos nobis quærunt malis afficere, satietatemq́ȝ nõ potentes ferre, & suis ipsorum benefactoribus adnituntur machinari, & bonam gratitudinem non solum ex hominibus uicissim delentes, sed & bonorum inexpertorum iactantiis elati, omnia despicientis Dei malum exosam existimãt effugere iustitiam. Frequẽter uerò & multos in potestatibus constitutos, fide dignos æstimatos tractare amicorum actiones, consolatio participes sanguinum innocentium constituens, iniecit calamitatibus immedicabilibus, malæ consuetudinis mendaci deceptione decipientium imperantium intempestiuam beneuolentiam. Considerare uerò licet, nõ tantum ex ueterioribus, ut tradidimus, monumẽtis, quæcũq́ȝ sunt ad pedes, uos exquirentes impiè cõsummata indigna potestatem exercentium pestilentia, & attendere ad ea quæ post hæc, ut regnũ imperturbatũ omnibus hominibus cũ pace administremus, utentesq́ȝ mutationibus, subq́ȝ usum uenictia discernẽtes semp, cũ remissiore conuẽtione. Vt enĩ Amã Amadathu Macedo, ueritatib⁹ alienus Persarũ sanguinis, et multum distans à nostra beni-

τιμώμενοι μεῖζον ἐφρόνησαν. καὶ οὐ μόνον τοὺς ὑποτεταγμένους ἡμῖν ζητοῦσι κακοποιεῖν, τόν τε κόρον οὐ δυνάμενοι φέρειν, καὶ τοῖς ἑαυτῶν εὐεργέταις ἐπιχειροῦσι μηχανᾶσθαι, καὶ τὴν εὐχαριστίαν οὐ μόνον ἐκ τῶν ἀνθρώπων ἀνταναιροῦντες, ἀλλὰ καὶ τοῖς τῶν ἀπειραγάθων κόμποις ἐπαρθέντες, τοῦ τὰ πάντα κατοπτεύοντος ἀεὶ θεοῦ μισοπόνηρον ὑπολαμβάνουσιν ἐκφεύξεσθαι δίκην. πολλάκις δὲ καὶ πολλοὺς τῶν ἐπ᾿ ἐξουσίαις τεταγμένων, τῶν πιστευθέντων χειρίζειν φίλων τὰ πράγματα, παραμυθία μετόχους αἱμάτων ἀθῴων καταστήσασα, περιέβαλε συμφοραῖς ἀνηκέστοις, τῷ τῆς κακοηθείας ψευδεῖ παραλογισμῷ παραλογισαμένων τὴν τῶν ἐπικρατούντων ἀκέραιον εὐγνωμοσύνην. σκοπεῖν δὲ ἔξεστιν, οὐ τοσοῦτον ἐκ τῶν παλαιοτέρων, ὡς παρεδώκαμεν, ἱστοριῶν, ὅσα ἐστὶ παρὰ πόδας, ὑμᾶς ἐκζητοῦντας ἀνοσίως συντετελεσμένα τῇ τῶν ἀνάξια δυναστευόντων λοιμότητι, καὶ προσέχειν εἰς τὰ μετὰ ταῦτα, ὥστε τὴν βασιλείαν ἀτάραχον τοῖς πᾶσιν ἀνθρώποις μετ᾿ εἰρήνης παρεξόμεθα, χρώμενοί τε μεταβολαῖς, τά τε ὑπὸ τὴν ὄψιν ἐρχόμενα διακρίνοντες ἀεὶ μετ᾿ ἐπιεικεστέρας ἀπαντήσεως. ὡς γὰρ Ἀμὰν Ἀμαδαθοῦ Μακεδών, ταῖς ἀληθείαις ἀλλότριος τοῦ τῶν Περσῶν αἵματος, καὶ πολὺ διεστηκὼς τῆς ἡμετέρας χρη-

χρηστότητος, ἐπιξενωθεὶς ἡμῖν, ἔτυχεν, ἧς ἔχομεν πρὸς πᾶν ἔθνος, φιλανθρωπίας ἐπὶ τοσοῦτον, ὥστε ἀναγορεύεσθαι ἡμῶν πατέρα, καὶ προσκυνούμενον ὑπὸ πάντων, τὸ δεύτερον τοῦ βασιλικοῦ θρόνου πρόσωπον διατελεῖν, οὐκ ἐνέγκας δὲ τὴν ὑπερηφανίαν, ἐπετήδευσε τῆς ἀρχῆς στερῆσαι ἡμᾶς καὶ τοῦ πνεύματος, τόν τε ἡμέτερον σωτῆρα, καὶ διὰ παντὸς εὐεργέτην μαρδοχαῖον, καὶ τὴν ἄμεμπτον τῆς βασιλείας κοινωνὸν ἐσθὴρ, σὺν παντὶ τῷ τούτων ἔθνει, πολυπλόκοις μεθόδων παραλογισμοῖς αἰτησάμενος εἰς ἀπώλειαν. διὰ γὰρ τῶν τρόπων τούτων ᾠήθη λαβὼν ἡμᾶς ἐρήμους, τὴν τῶν περσῶν ἐπικράτησιν εἰς τοὺς μακεδόνας μετάξαι, ἡμεῖς δὲ ὑπὸ τοῦ τρισαλιτηρίου παραδεδομένους εἰς ἀφανισμὸν ἰουδαίους εὑρίσκομεν, οὐ κακούργους ὄντας, δικαιοτάτοις δὲ πολιτευομένους νόμοις, ὄντας δὲ υἱοὺς τοῦ ὑψίστου, μεγίστου, ζῶντος θεοῦ, τοῦ κατευθύνοντος ἡμῖν τε καὶ τοῖς προγόνοις ἡμῶν τὴν βασιλείαν ἐν τῇ καλλίστῃ διαθέσει. καλῶς οὖν ποιήσετε, μὴ προσχρησάμενοι τοῖς ὑπὸ ἀμὰν ἀμαδαθοῦ ἀποσταλεῖσι γράμμασι, διὰ τὸ αὐτὸν τὸν ταῦτα ἐξεργασάμενον πρὸς ταῖς σούσων πύλαις ἐσταυρῶσθαι σὺν τῇ πανοικίᾳ, τὴν καταξίαν τοῦ τὰ πάντα ἐπικρατοῦντος θεοῦ διὰ τάχους ἀποδόντος αὐτῷ κρίσιν. τὸ δὲ ἀντίγραφον τῆς

ἐπιστο-

benignitate, hospitaliter tractatus nobis, consequutus est, quod habemus ad omnem gentẽ, studium humanitatis in tantum, ut appellaretur noster pater, & adoratus ab omnibus, secundam regii solii personam gereret, non ferẽs autem superbiam, adnixus est principatu priuare nos & spiritu, & nostrum saluatorem, & per omnia bẽnefactorem Mardochæum, & irreprehensibilem regni consortem Esther, cum omni horum gente, multiplicibus uiarũ deceptionibus petens in perniciẽ. Per enim modos istos existimauit capiens nos desertos, Persarum imperium in Macedonas transferre. Nos uerò à ter prauo traditos in interitũ Iudæos, reperimus non maleficos existentes, iustissimis uerò in urbibus degẽtes legibus, existentes aũt filios altissimi, maximi, uiuentis dei, qui dirigit nobisq; & maioribus nostris regnum in optima dispositione. Pulchrè igitur facite, non usi ab Aman Amadathu dimissis literis, propterea quod hic, qui hæc operatus est, apud Susarum portas cruci affixus est cum omni familia, pro dignitate omnia obtinẽte deo per celeritatẽ reddẽte ei iudiciũ. At rescriptum

lue-

literarum harum exponẽtes in omni loco, cũ libertate dicendi, sinere Iudæos uti suis legibus, et simul auxiliari eis, ut in tẽpore afflictionis insidiantes eis uindicent tertia et decima duodecimi mensis Adar, eadem die. Hanc enim omnia in potestate habens deus pro interitu electi generis fecit eis gaudium. Et uos ergo in cognominibus uobis feriis, insignẽ diem cum omni celebritate agite, ut & nunc & post hæc, salus sit nobis & beneuolis Persis, nobis uerò insidiantibus monumentum perniciei. Omnis autem ciuitas uel regio in totum, quæcunque pro his nõ fecerit, hasta & igni consumetur cum ira, & non solum hominibus in uia, sed & bestiis & uolucribus, in omne tempus, inimicissima constituetur. At rescripta exponantur oculis clarè, in omni regno, paratique sint omnes Iudæi in hanc diem, ad debellãdum suos hostes.

Cap. X. L Ipsi quidem igitur equites egressi sunt, festinãtes à rege dicta perficere. Expositum fuit autem præceptum & in Susis. At Madochæus exiit ornatus regio ornatu, & coronam habens auream, &

ἐπιστολῆς ταύτης ἐκθέντες ἐν παντὶ τόπῳ, μετὰ παῤῥησίας, ἐᾶν τοὺς ἰουδαίους χρῆσθαι τοῖς ἑαυτῶν νόμοις, καὶ συνεπισχύειν αὐτοῖς, ὅπως τοὺς ἐν καιρῷ θλίψεως ἐπιθεμένους αὐτοῖς ἀμύνωνται, τῇ τρισκαιδεκάτῃ τοῦ δωδεκάτου μηνὸς ἄδαρ, τῇ αὐτῇ ἡμέρᾳ. ταύτην γὰρ ἅπαντα δυναστεύων θεὸς, ἀντ' ὀλεθρίας τοῦ ἐκλεκτοῦ γένους, ἐποίησεν αὐτοῖς εὐφροσύνην. καὶ ὑμεῖς οὖν ἐν ταῖς ἐπωνύμοις ὑμῶν ἑορταῖς, ἐπίσημον ἡμέραν μετὰ πάσης εὐωχίας ἄγετε, ὅπως καὶ νῦν καὶ μετὰ ταῦτα, σωτηρία ᾖ ἡμῖν καὶ τοῖς εὐνοοῦσι πέρσαις, τοῖς δὲ ἡμῖν ἐπιβουλεύουσι μνημόσυνον τῆς ἀπωλείας. πᾶσα δὲ πόλις ἢ χώρα τὸ σύνολον, ἥτις κατὰ ταῦτα μὴ ποιήσῃ, δόρατι καὶ πυρὶ καταναλωθήσεται μετ' ὀργῆς, καὶ οὐ μόνον ἀνθρώποις ἄβατος, ἀλλὰ καὶ θηρίοις καὶ πετεινοῖς, εἰς τὸν ἅπαντα χρόνον, ἔχθιστος κατασταθήσεται. τὰ δὲ ἀντίγραφα ἐκτιθέσθωσαν ὀφθαλμοφανῶς, ἐν πάσῃ τῇ βασιλείᾳ, ἑτοίμους τε εἶναι πάντας τοὺς ἰουδαίους εἰς ταύτην τὴν ἡμέραν, πολεμῆσαι αὐτῶν τοὺς ὑπεναντίους.

v Οἱ μὲν οὖν ἱππεῖς ἐξῆλθον, σπεύδοντες τὰ ὑπὸ τοῦ βασιλέως λεγόμενα ἐπιτελεῖν. ἐξετέθη δὲ τὸ πρόσταγμα καὶ ἐν σούσοις. ὁ δὲ μαρδοχαῖος ἐξῆλθεν ἐστολισμένος τὴν βασιλικὴν στολὴν, καὶ στέφανον ἔχων χρυσοῦν, καὶ

καὶ διάδημα βύσσινον, πορφυροῦν, ἰδόντες δὲ οἱ ἐν σούσοις ἐχάρησαν. τοῖς δὲ ἰουδαίοις ἐγένετο φῶς καὶ εὐφροσύνη, κατὰ πόλιν καὶ χώραν. οὗ ἂν ἐξετέθη τὸ ἔκθεμα, χαρὰ καὶ εὐφροσύνη τοῖς ἰουδαίοις, κώθων καὶ εὐφροσύνη. καὶ πολλοὶ τῶν ἐθνῶν περιετέμνοντο, καὶ ἰουδάϊζον, διὰ τὸν φόβον τῶν ἰουδαίων. ἐν γὰρ τῷ δωδεκάτῳ μηνί, τῇ τρισκαιδεκάτῃ τοῦ μηνός, ὅς ἐστιν ἀδάρ, παρῆν τὰ γράμματα τὰ γραφέντα παρὰ βασιλέως. καὶ ἐν αὐτῇ τῇ ἡμέρᾳ ἀπώλοντο οἱ ἀντικείμενοι τοῖς ἰουδαίοις. οὐδεὶς γὰρ ἀντέστη, φοβούμενος αὐτούς. οἱ γὰρ ἄρχοντες τῶν σατραπῶν καὶ οἱ τύραννοι καὶ οἱ βασιλικοὶ γραμματεῖς ἐτίμων τοὺς ἰουδαίους. ὁ γὰρ φόβος μαρδοχαίου ἐνέκειτο αὐτοῖς. προσέπεσε γὰρ τὸ πρόσταγμα τοῦ βασιλέως ὀνομασθῆναι ἐν πάσῃ τῇ βασιλείᾳ. καὶ ἐν σούσοις τῇ πόλει ἀπέκτειναν οἱ ἰουδαῖοι ἄνδρας πεντακοσίους, καὶ τὸν τέφαρσαν, νεστάιν καὶ δελφὼν καὶ φασγὰ καὶ φαρδαθὰ καὶ βαρέα καὶ σαρβακὰ καὶ μαρμασὶμ καὶ ἀρουφαῖον καὶ ἀρσαῖον καὶ ζαβουθαιθάν, τοὺς δέκα υἱοὺς ἀμὰν ἀμαδαθοῦ βουγαίου, τοῦ ἐχθροῦ τῶν ἰουδαίων, καὶ διήρπασαν ἐν αὐτῇ τῇ ἡμέρᾳ. ἐπεδόθη δὲ ὁ ἀριθμὸς τῷ βασιλεῖ τῶν ἀπολωλότων ἐν σούσοις. εἶπε δὲ ὁ βασιλεὺς πρὸς ἐσθήρ, ἀπώλεσαν ἰουδαῖοι ἐν σούσοις

ἄν/

& diadema byſsinū, purpureum, uidentes autē qui in Suſis, gauiſi ſunt. At Iudæis fuit lumen & lætitia, per ciuitatem & regionem. Vbicunq; expoſita fuit expoſitio, lætitia & gaudium Iudæis, epulatio & gaudium. Et multi gētium circumcidebātur, & Iudaizabant propter metum Iudæorum. In duodecimo enim mēſe, tertia & decima menſis, qui eſt Adar, aderant literæ ſcriptę à rege. Et in ea die perierunt oppoſiti Iudæis. Nullus enim reſtitit, timens eos. Nam principes principatuum & tyranni et regii ſcribæ honorabant Iudæos. Quia timor Marðochæi imminebat eis. Accidit enim præceptum regis nominatum fuiſſe in omni regno. Et in Suſis ciuitate occiderunt Iudęi uiros quingentos, et Tepharſan, Neſtain & Delphon & Phaſga & Phardatha & Barea & Sarbaca & Marmaſim & Aruphaium & Arſaium & Zabuthaithan, decē filios Aman Amadathu Bugæi, inimici Iudæorum, & diripuerunt in eadem die. Traditus eſt autem numerus regi pereuntium in Suſis. Dixit autem rex ad Eſther, Interfecerunt Iudæi in Suſis

Z i uiros

uiros quingentos in ciuitate, in finitima regiõe uerò quomodo, putas, perdiderunt? Quid igitur petis adhuc, & erit tibi.

LI Et dixit Esther regi, Detur Iudæis tollere itidem crastino, ut decem filios Aman suspendant. Et permisit rex sic fieri, et exposuit Iudæis ciuitatis, corpora filiorum Amã suspendere. Et congregati sunt Iudæi in Susis, quarta & decima Adar, & occiderunt uiros trecentos, & nihil diripuerunt. At reliqui Iudæorum in regno congregati sunt, & se adiuuabant, & quietem fecerunt ab hostibus. Perdiderũt enim eorum decem millia, quinq; millia, tertia & decima Adar, & nihil diripuerunt. Et quietem fecerunt quarta & decima eius mensis, & egerunt eam diem requiei cũ gaudio & lætitia. At Iudæi in Susis ciuitate coacti sunt, & quarta & decima requieuerunt. Egerũt autem & quintam & decimam cum gaudio & lætitia. Propter hoc igitur Iudæi dispersi in omni regione extra, agunt quartã & decimam Adar, diem bonum, cum lætitia, dimittentes partes quilibet propinquo. At habitantes in

ἄνδρας πεντακοσίους ἐν τῇ πόλει, ἐν δὲ τῇ περιχώρῳ πῶς, οἴει, ἐχρήσαντο; τί οὖν ἀξιοῖς ἔτι, καὶ ἔσται σοί.

νά. καὶ εἶπεν ἐσθὴρ τῷ βασιλεῖ, δοθήτω τοῖς ἰουδαίοις χρῆσθαι ὡσαύτως τὴν αὔριον, ὥστε τοὺς δέκα υἱοὺς ἀμὰν κρεμάσαι. καὶ ἐπέτρεψεν οὕτως γενέσθαι, καὶ ἐξέθηκε τοῖς ἰουδαίοις τῆς πόλεως, τὰ σώματα τῶν υἱῶν ἀμὰν κρεμάσαι. καὶ συνήχθησαν οἱ ἰουδαῖοι ἐν σούσοις, τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ ἀδάρ, καὶ ἀπέκτειναν ἄνδρας τριακοσίους, καὶ οὐδὲν διήρπασαν. οἱ δὲ λοιποὶ τῶν ἰουδαίων τῶν ἐν τῇ βασιλείᾳ συνήχθησαν, καὶ ἑαυτοῖς ἐβοήθουν, καὶ ἀνεπαύσαντο ἀπὸ τῶν πολεμίων. ἀπώλεσαν γὰρ αὐτῶν μυρίους, πεντακισχιλίους, τῇ τρισκαιδεκάτῃ τοῦ ἀδάρ, καὶ οὐδὲν διήρπασαν. καὶ ἀνεπαύσαντο τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ αὐτοῦ μηνός, καὶ ἦγον αὐτὴν ἡμέραν ἀναπαύσεως μετὰ χαρᾶς καὶ εὐφροσύνης. οἱ δὲ ἰουδαῖοι οἱ ἐν σούσοις τῇ πόλει συνήχθησαν, καὶ τῇ τεσσαρεσκαιδεκάτῃ ἀνεπαύσαντο. ἦγον δὲ καὶ τὴν πεντεκαιδεκάτην μετὰ χαρᾶς καὶ εὐφροσύνης. διὰ τοῦτο οὖν οἱ ἰουδαῖοι οἱ διεσπαρμένοι ἐν πάσῃ χώρᾳ τῇ ἔξω, ἄγουσι τὴν τεσσαρεσκαιδεκάτην τοῦ ἀδάρ, ἡμέραν ἀγαθὴν, μετ' εὐφροσύνης. ἀποστέλλοντες μερίδας ἕκαστος τῷ πλησίον. οἱ δὲ κατοικοῦντες

ἐν

ἐν ταῖς μητροπόλεσι, καὶ τὴν πεν-
τεκαιδεκάτην ἡμέραν τοῦ ἄδαρ εὐ-
φροσύνην ἄγουσιν, ἐξαποστέλλοντες
μερίδας τοῖς πλησίον.
οβ. ἔγραψε δὲ μαρδοχαῖος τοὺς λό-
γους τούτους εἰς βιβλίον, καὶ ἐξαπέστει-
λε τοῖς ἰουδαίοις, ὅσοι ἦσαν ἐν τῇ ἀρ-
ταξέρξου βασιλείᾳ, τοῖς ἐγγὺς καὶ
τοῖς μακρὰν, στῆσαι τὰς ἡμέρας ταύ-
τας ἀγαθὰς, ἄγειν τε τὴν τεσσαρεσ-
καιδεκάτην καὶ τὴν πεντεκαιδε-
κάτην τοῦ ἄδαρ, ἐν γὰρ ταύταις
ταῖς ἡμέραις ἀνεπαύσαντο οἱ ἰουδαῖ-
οι ἀπὸ τῶν ἐχθρῶν αὐτῶν, καὶ τὸν μῆνα, ἐν
ᾧ ἐστράφη αὐτοῖς, ὅς ἦν ἄδαρ, ἀπὸ
πένθους εἰς χαρὰν, καὶ ἀπὸ ὀδύνης εἰς
ἀγαθὴν ἡμέραν, ἄγειν ὅλον εἰς ἀ-
γαθὰς ἡμέρας γάμων καὶ εὐφροσύ-
νης, ἐξαποστέλλοντες μερίδας τοῖς
φίλοις καὶ τοῖς πτωχοῖς. καὶ προσε-
δέξαντο οἱ ἰουδαῖοι, καθὼς ἔγραψεν
αὐτοῖς ὁ μαρδοχαῖος, πῶς ἀμὰν
ἀμαδάθου ὁ μακεδὼν ἐπολέμει αὐ-
τοῖς, καθὼς ἔθετο ψήφισμα καὶ κλῆ-
ρον ἀφανίσαι αὐτοὺς, καὶ ὡς εἰσῆλθε
πρὸς τὸν βασιλέα, λέγων, κρεμάσαι
τὸν μαρδοχαῖον. ὅσα δὲ ἐπεχείρησεν
ἐπάξαι ἐπὶ τοὺς ἰουδαίους κακὰ, ἐπ'
αὐτὸν ἐγένοντο καὶ ἐκρεμάσθη αὐτὸς
καὶ τὰ τέκνα αὐτοῦ. διὰ τοῦτο ἐπε-
κλήθησαν αἱ ἡμέραι αὗται, φρουραὶ
διὰ τοὺς κλήρους. ὅτι τῇ διαλέκτῳ
αὐτῶν καλοῦνται φρουραὶ, διὰ τοὺς λόγους
τῆς ἐπιστολῆς ταύτης, καὶ ὅσα πεπόνθα-

σι

in præcipuis urbibus, & quintam & decimam diē Adar lætitiam agunt, dimittentes partes propinquis.

LII Scripsit autem Mardochæus sermones hos in librum, & ablegauit Iudæis, quotquot erant in Artaxerxis regno, iis qui prope & iis qui longe, ut statuerent dies hos bonos, agerentq; quartam & decimam & quintam & decimam Ader, in his enim diebus requieuerunt Iudæi ab inimicis suis, & mensem, in quo uersus est eis, qui erat Adar, à luctu in gaudium, & à tristitia in bonam diem, ut agerent totum in bonos dies nuptiarum & lætitiæ, dimittētes partes amicis & pauperibus. Et acceperūt Iudæi, sicut scripsit eis Mardochæus, quomodo Amā Amadathu Macedo bellum inferebat eis, sicut posuit calculum & sortem, ut deleret eos, & ut introiuit ad regem, dicens, ut suspenderet Mardochæum. Quæcunq; autem adnixus est inducere in Iudæos mala, in ipsum facta sunt. Et suspensus est ipse & liberi sui. Propter hoc appellati sunt dies illi Phrurai propter sortes. Quia dictione eorum uocantur Phrurai, propter sermones literarum harum, & quæcunque passi

Z 3 sunt

sunt propter ea, & quæcunque eis facta sunt, & stetit. Et acceperunt Iudæi in seipsos & in semen suū, & in appositos in eos, neque certè aliter utentur. Dies hi, monumentū perfectum, per generationem & generationem, & urbem & familiam et regionē. At dies hi Phrurai agētur in omne tēpus, & monumentum eorum non deficiat usque ad generationes.

LIII Et scripsit Esther regina, filia Aminadab, et Mardochęus Iudæus, quę cunque fecerunt, firmamentumque literarū Phrurai. Et Mardochæus & Esther regina statuerunt sibiipsis pro seipsis, & tūc statuentes pro sanitate eorum & consilium eorum. Et Esther sermone statuit in æternum, & scriptū est in monumentum.

LIV Scripsit autem rex ad regnum terræque & maris, & uim suam, & fortitudinem diuitiasque, & gloriam regni sui. Ecce scripta sunt in libro Persarū & Medorum, in monumētum, quando Mardochaius successit regi Artaxerxi, & magnus erat in regno, & honoratus a Iudæis, & amatus, denarrauit educationem omni genti eorum. Et dixit Mardochæ-

σι διὰ ταῦτα, καὶ ὅσα αὐτοῖς ἐγένετο, καὶ ἔστησαν. καὶ προσεδέχοντο οἱ ἰουδαῖοι ἐφ' ἑαυτοῖς καὶ ἐπὶ τῷ σπέρματι αὐτῶν, καὶ ἐπὶ τοῖς προστεθειμένοις ἐπ' αὐτῶν, οὐδὲ μὴν ἄλλως χρήσονται. αἱ ἡμέραι αὗται, μνημόσυνον ἐπιτελούμενον, κατὰ γενεὰν καὶ γενεάν, καὶ πόλιν καὶ πατριὰν καὶ χώραν. αἱ δὲ ἡμέραι αὗται τῶν φρουραὶ ἀχθήσονται εἰς τὸν ἅπαντα χρόνον, καὶ τὸ μνημόσυνον αὐτῶν οὐ μὴ ἐκλίπῃ ἐκ τῶν γενεῶν.

νγ. καὶ ἔγραψεν ἐσθὴρ ἡ βασίλισσα, θυγάτηρ ἀμιναδάβ, καὶ μαρδοχαῖος ὁ ἰουδαῖος, ὅσα ἐποίησαν, τό τε στερέωμα τῆς ἐπιστολῆς τῶν φρουραί. καὶ μαρδοχαῖος, καὶ ἐσθὴρ ἡ βασίλισσα ἔστησαν ἑαυτοῖς καθ' ἑαυτῶν, καὶ τότε στήσαντες κατὰ τῆς ὑγείας αὐτῶν καὶ τὴν βουλὴν αὐτῶν. καὶ ἐσθὴρ λόγῳ ἔστησεν εἰς τὸν αἰῶνα, καὶ ἐγράφη εἰς μνημόσυνον.

νδ. ἔγραψε δὲ ὁ βασιλεὺς ἐπὶ τὴν βασιλείαν τῆς τε γῆς καὶ τῆς θαλάσσης, καὶ τὴν ἰσχὺν αὐτοῦ καὶ τὴν ἀνδραγαθίαν πλοῦτόν τε, καὶ δόξαν τῆς βασιλείας αὐτοῦ. ἰδοὺ, γέγραπται ἐν βιβλίῳ περσῶν καὶ μήδων, εἰς μνημόσυνον, ὅτι μαρδοχαῖος διεδέχετο τὸν βασιλέα ἀρταξέρξην, καὶ μέγας ἦν ἐν τῇ βασιλείᾳ, καὶ δεδοξασμένος ὑπὸ τῶν ἰουδαίων, καὶ φιλούμενος διηγεῖτο τὴν ἀγωγὴν παντὶ τῷ ἔθνει αὐτῶν. καὶ εἶπε μαρ-

δο-

δοχαῖος, παρὰ τοῦ θεοῦ ἐγένετο ταῦτα. ἐμνήσθην γὰρ περὶ τοῦ ἐνυπνίου, οὗ εἶδον περὶ τῶν λόγων τούτων, οὐδὲ γὰρ παρῆλθεν ἀπ' αὐτῶν λόγος. ἡ μικρὰ πηγὴ, ἣ ἐγένετο ποταμὸς, καὶ ἦν φῶς καὶ ἥλιος, καὶ ὕδωρ πολύ. ἐσθήρ, ἐστὶν ὁ ποταμὸς, ἣν ἐγάμησεν ὁ βασιλεὺς, καὶ ἐποίησε βασίλισσαν. οἱ δὲ δύο δράκοντες, ἐγώ εἰμι καὶ ἀμάν. τὰ δὲ ἔθνη, τὰ ἐπισυναχθέντα ἀπολέσαι τὸ ὄνομα τῶν ἰουδαίων. τό τε ἔθνος τὸ ἐμὸν, οὗτός ἐστιν ἰσραὴλ, οἱ βοήσαντες πρὸς τὸν θεὸν, καὶ σωθέντες. καὶ ἔσωσε κύριος τὸν λαὸν αὐτοῦ, καὶ ἐρρύσατο κύριος ἡμᾶς, ἐκ πάντων τῶν κακῶν τούτων. καὶ ἐποίησεν ὁ θεὸς τὰ σημεῖα, καὶ τὰ τέρατα τὰ μεγάλα, ἃ οὐ γέγονεν ἐν τοῖς ἔθνεσι. διὰ τοῦτο ἐποίησε κλήρους δύο, ἕνα τῷ λαῷ τοῦ θεοῦ, καὶ ἕνα πᾶσι τοῖς ἔθνεσι. καὶ ἦλθον οἱ δύο κλῆροι οὗτοι εἰς ὥραν καὶ καιρὸν, καὶ εἰς ἡμέραν κρίσεως ἐνώπιον τοῦ θεοῦ, ἐν πᾶσι τοῖς ἔθνεσι. καὶ ἐμνήσθη ὁ θεὸς τοῦ λαοῦ αὐτοῦ, καὶ ἐδικαίωσε τὴν κληρονομίαν αὐτοῦ. καὶ ἔσονται αὐτοῖς αἱ ἡμέραι αὗται ἐν μηνὶ ἀδάρ, τῇ τεσσαρεσκαιδεκάτῃ καὶ τῇ πεντεκαιδεκάτῃ τοῦ αὐτοῦ μηνὸς, μετὰ συναγωγῆς καὶ χαρᾶς, μετ' εὐφροσύνης ἐνώπιον τοῦ θεοῦ, κατὰ γενεὰν, εἰς τὸν αἰῶνα, ἐν τῷ λαῷ αὐτοῦ.

ια. ἔτους τετάρτου βασιλεύο-

στος

docheus, A deo facta sunt ista. Memini enim de insomnio, quod uidi de sermonibus his, neque enim præteriuit ab eis sermo. Paruus fons qui factus est fluuius, & erat lux et sol, & aqua multa. Esther est fluuius, quam duxit rex, et fecit reginã. At duo dracones, ego sum & Aman. At gentes, quæ coactæ sunt ad disperdendum nomen Iudæorum. Gensq; mea, is est Israel, clamãtes ad deum, & saluati. Et saluauit dominus populum suum, & liberauit dominus nos ex omnibus malis istis. Et fecit deus signa, & portenta magna, quæ nõ facta sunt in gentibus. Propter hoc fecit sortes duas, unam populo dei, & unam cunctis gentibus. Et uenerunt duæ sortes istæ in horam & tempus, & in diem iudicii coram deo, in omnibus gentibus. Et meminit deus populi sui, & iustam reddidit hæreditatem suam. Et erunt eis dies isti in mense Adar, quarta & decima & quinta & decima eius mensis, cum congregatione & gaudio, & lætitia coram Deo, per generationem in æuũ, in populo suo.

LV Anno quarto, regnã-

re Ptolemæo & Cleopatra, attulit Dositheus, qui dicebat esse sacerdos & Leuites, & Ptolemæus filius eius, propositas epistolas Phrurai, quā dixerunt esse, & interpretatū esse Lysimachum Ptolemæi, qui in Hierusalem.

ὄντος πτολεμαίου καὶ κλεοπάτρας, εἰσήνεγκε δοσίθεος, ὃς ἔφη εἶναι ἱερεὺς καὶ λευίτης, καὶ πτολεμαῖος ὁ υἱὸς αὐτοῦ τὴν προκειμένην ἐπιστολὴν τῶν φρουραί, ἣν ἔφασαν εἶναι, καὶ ἑρμηνευκέναι λυσίμαχον πτολεμαίου, τὸν ἐν ἱερουσαλήμ.

I O B.

Cap. I
Inf. 2
Inf. 42

HOmo q̄dam fuit in terra Ausitide, cui nomē Iob. Et erat homo ille irreprehensibilis, iustus, uerax, Deū colens, abstinens ab omni praua actione. Fuerunt aūt ei filii septem & filiæ tres. Et fuerunt pecora eius, oues septē mille, camelorum tria millia, iuga boū quingenta, & fœminæ asinæ pascuæ quingentę, et famulitium multum ualde, & opera magna erant in eo super terrā. Et erat homo ille generosus eorū q à solis ortu. Cōuenientes autē filii eius ad se inuicē, faciebāt cōpotationē p unū quēq; diē, assumētes simul & tres sorores suas, ut ederent, & biberent cum eis. Et ut consummati sunt dies compotationis, dimittebat Iob, & expiabat eos, consurgens mane, & afferens pro eis sacrificia pro numero eorū, & uitulum unum

ΑΝθρωπός τις ἦν ἐν τῇ χώρᾳ αὐσίτιδι, ᾧ ὄνομα ἰώβ. καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος ἄμεμπτος, δίκαιος, ἀληθινός, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος. ἐγένοντο δὲ αὐτῷ υἱοὶ ἑπτὰ καὶ θυγατέρες τρεῖς. καὶ ἦν τὰ κτήνη αὐτοῦ, πρόβατα ἑπτακισχίλια, κάμηλοι τρισχίλιαι, ζεύγη βοῶν πεντακόσια, καὶ θήλειαι ὄνοι νομάδες πεντακόσιαι, καὶ ὑπηρεσία πολλὴ σφόδρα, καὶ ἔργα μεγάλα ἦν ἐν αὐτῷ ἐπὶ τῆς γῆς. καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος εὐγενὴς τῶν ἀφ᾽ ἡλίου ἀνατολῶν. συμπορευόμενοι δὲ οἱ υἱοὶ αὐτοῦ πρὸς ἀλλήλους, ἐποίουν πότον καθ᾽ ἑκάστην ἡμέραν, συμπαραλαμβάνοντες ἅμα καὶ τὰς τρεῖς ἀδελφὰς αὐτῶν, ἐσθίειν καὶ πίνειν μετ᾽ αὐτῶν. καὶ ὡς ἂν συνετελέσθησαν αἱ ἡμέραι τοῦ πότου, ἀπέστελλεν ἰὼβ, καὶ ἐκαθάριζεν αὐτούς, ἀνιστάμενος τὸ πρωΐ, καὶ προσέφερεν περὶ αὐτῶν θυσίας, κατὰ τὸν ἀριθμὸν αὐτῶν, καὶ μόσχον ἕνα

ἕνα περὶ ἁμαρτίας, ὑπὲρ τῶν ψυχῶν αὐτῶν. ἔλεγε γὰρ ἰὼβ, μήποτε οἱ υἱοί μου ἐν τῇ διανοίᾳ αὐτῶν κακὰ ἐνενόησαν πρὸς τὸν θεόν. οὕτως ἐποίει ἰὼβ πάσας τὰς ἡμέρας. καὶ ἐγένετο ἡ ἡμέρα αὕτη, καὶ ἰδοὺ, ἦλθον οἱ ἄγγελοι τοῦ θεοῦ παραστῆναι ἐνώπιον τοῦ κυρίου, καὶ ὁ διάβολος ἦλθε μετ' αὐτῶν. καὶ εἶπεν ὁ κύριος τῷ διαβόλῳ, πόθεν παραγέγονας; καὶ ἀποκριθεὶς τῷ κυρίῳ, εἶπε, περιελθὼν τὴν γῆν, καὶ ἐμπεριπατήσας τὴν ὑπ' οὐρανὸν πάρειμι. καὶ εἶπεν αὐτῷ ὁ κύριος, προσέσχες τῇ διανοίᾳ σου, κατὰ τοῦ θεράποντός μου ἰώβ; ὅτι οὐκ ἔστι τῶν ἐπὶ τῆς γῆς, κατ' αὐτὸν ἄνθρωπος ἄμεμπτος, δίκαιος, ἀληθινὸς, θεοσεβὴς, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος. ἀπεκρίθη δὲ ὁ διάβολος, καὶ εἶπεν ἐναντίον κυρίου, μὴ δωρεὰν ἰὼβ σέβεται τὸν θεόν; οὐ σὺ περιέφραξας αὐτοῦ τὰ ἔξω καὶ τὰ ἔσω τῆς οἰκίας αὐτοῦ καὶ πάντων τῶν ὄντων αὐτοῦ κύκλῳ; τὰ δὲ ἔργα τῶν χειρῶν αὐτοῦ εὐλόγησας, καὶ τὰ κτήνη αὐτοῦ πολλὰ ἐποίησας ἐπὶ τῆς γῆς. ἀλλὰ ἀπόστειλον τὴν χεῖρά σου, καὶ ἅψαι πάντων, ὧν ἔχει, ἦ μὴν εἰς πρόσωπόν σε εὐλογήσει σε; τότε εἶπε κύριος τῷ διαβόλῳ, ἰδοὺ πάντα, ὅσα ἐστὶν αὐτῷ, δίδωμι ἐν τῇ χειρί σου, ἀλλ' αὐτοῦ μὴ ἅψῃ. καὶ ἐξῆλθεν ὁ διάβολος ἀπὸ προσώπου κυρίου.

καὶ

unum pro peccato, pro animabus eorum. Dicebat enim Iob, Ne forte filii mei in cogitatione eorum mala cogitauerint contra Deũ. Sic faciebat Iob oẽs dies. Et fuit, ut dies hæc, & ecce, uenerunt nuncii dei, ut assisterent corã domino, & diabolus uenit cum eis. Et dixit dominus diabolo, Vnde aduenisti? Et respondens domino dixit, Circumiens terram, & deambulans in ea quæ sub cœlo, adsum. Et dixit ei dominus, Attendisti cogitatione tua de ministro meo Iob? Quia nõ est eorum qui sunt in terra, secundum eum homo irreprehensibilis, iustus, uerax, Deũ colẽs, abstinẽs ab omni praua actione. Respondit diabolus, et dixit coram domino, Nũ gratis Iob colit deũ? Non tu circumsepiuisti eius exteriora & interiora domus eius & omnium existentium eius in circuitu? Operibus manuum eius benedixisti, & pecora eius multa fecisti in terra. Sed dimitte manũ tuam, & tange omnia quæ habet, num sane in cõspectu benedicet tibi? Tunc dixit dominus diabolo, Ecce omnia, quæcunque sunt ei, do in manu tua, sed ipsum non tanges. Et egressus est diabolus à conspectu Domini.

Et fuit ut dies hæc, filii Iob & filiæ eius bibebãt uinum, in domo fratris sui senioris. Et ecce nuncius uenit ad Iob, & dixit ei, Iuga boum arabant, et fœminæ asinæ pascebantur propinquantes eis, & uenientes captiuãs ducentes captiuas duxerunt eas, & pueros interfecerunt in ore gladii. Saluatus autem ego solus ueni, ut renunciarem tibi. Adhuc hoc loquente, uenit alius nuncius ad Iob, & dixit ei, Ignis cecidit è coelo, & comedit oues, & pastores combussit similiter. Et saluatus ego solus ueni, ut renunciarem tibi. Adhuc hoc loquente uenit alius nuncius, & dixit ei, Equites fecerunt nobis acies tres, & circuierunt camelos, & captiuos duxerunt eos, & pueros interfecerunt in gladiis. Saluatus sum uero ego solus, & ueni, ut renunciarem tibi. Adhuc hoc loquente, alius nuncius uenit ad Iob, dicens, Filiis tuis & filiabus tuis edentibus & bibentibus apud filium tuum, fratrem suum seniorẽ, illico flatus magnus uenit à deserto, & tetigit quatuor angulos domus, et cecidit domus in filios tuos, et mor-

καὶ ἦν ὡς ἡ ἡμέρα αὕτη, οἱ υἱοὶ Ἰὼβ καὶ αἱ θυγατέρες αὐτοῦ ἔπινον οἶνον, ἐν τῇ οἰκίᾳ τοῦ ἀδελφοῦ αὐτῶν τοῦ πρεσβυτέρου. καὶ ἰδού, ἄγγελος ἦλθε πρὸς Ἰώβ, καὶ εἶπεν αὐτῷ, τὰ ζεύγη τῶν βοῶν ἠροτρία, καὶ αἱ θήλειαι ὄνοι ἐβόσκοντο ἐχόμεναι αὐτῶν, καὶ ἐλθόντες οἱ αἰχμαλωτεύοντες ᾐχμαλώτευσαν αὐτάς, καὶ τοὺς παῖδας ἀπέκτειναν ἐν στόματι μαχαίρας. σωθεὶς δὲ ἐγὼ μόνος, ἦλθον τοῦ ἀπαγγεῖλαί σοι. ἔτι τούτου λαλοῦντος, ἦλθεν ἕτερος ἄγγελος πρὸς Ἰώβ, καὶ λέγει αὐτῷ, πῦρ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ ἐπὶ τὴν γῆν, καὶ κατέφαγε τὰ πρόβατα, καὶ τοὺς ποιμένας κατέκαυσεν ὁμοίως. καὶ σωθεὶς ἐγὼ μόνος, ἦλθον τοῦ ἀπαγγεῖλαί σοι. ἔτι τούτου λαλοῦντος, ἦλθεν ἕτερος ἄγγελος πρὸς Ἰώβ, καὶ λέγει αὐτῷ, οἱ ἱππεῖς ἐποίησαν ἡμῖν ἀρχὰς τρεῖς, καὶ ἐκύκλωσαν τὰς καμήλους, καὶ ᾐχμαλώτευσαν αὐτάς, καὶ τοὺς παῖδας ἀπέκτειναν ἐν μαχαίραις. ἐσώθην δὲ ἐγὼ μόνος, καὶ ἦλθον τοῦ ἀπαγγεῖλαί σοι. ἔτι τούτου λαλοῦντος, ἄλλος ἄγγελος ἔρχεται πρὸς Ἰώβ, λέγων, τῶν υἱῶν σου καὶ τῶν θυγατέρων σου ἐσθιόντων καὶ πινόντων παρὰ τῷ υἱῷ σου, τῷ ἀδελφῷ αὐτῶν τῷ πρεσβυτέρῳ, ἐξαίφνης πνεῦμα μέγα ἦλθεν ἀπὸ τῆς ἐρήμου, καὶ ἥψατο τῶν τεσσάρων γωνιῶν τῆς οἰκίας, καὶ ἔπεσεν ἡ οἰκία ἐπὶ τὰ παιδία σου, καὶ

ἐτε-

ἐτελεύτησαν. καὶ ἐσώθην ἐγὼ μόνος, καὶ ἦλθον τοῦ ἀπαγγεῖλαί σοι. οὕτως ἀνέστη ἰὼβ, ἀναστὰς διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ, καὶ ἐκείρατο τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ, καὶ κατεπάσατο γῆν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ πεσὼν χαμαὶ, προσεκύνησε τῷ κυρίῳ. καὶ εἶπεν, αὐτὸς γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι ἐκεῖ. ὁ κύριος ἔδωκεν, ὁ κύριος ἀφείλετο. ὡς τῷ κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐγένετο. εἴη τὸ ὄνομα κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας. ἐν τούτοις πᾶσι τοῖς συμβεβηκόσιν αὐτῷ οὐχ ἥμαρτεν ἰὼβ, οὐδὲ ἐν τοῖς χείλεσιν αὐτοῦ, καὶ οὐκ ἔδωκεν ἀφροσύνην τῷ θεῷ.

Ἐγένετο δὲ ὡς ἡ ἡμέρα αὕτη, καὶ ἦλθον οἱ ἄγγελοι τοῦ θεοῦ παραστῆναι ἐναντίον τοῦ κυρίου, καὶ ὁ διάβολος ἦλθεν ἐν μέσῳ αὐτῶν, παραστῆναι ἐναντίον τοῦ κυρίου. καὶ εἶπεν ὁ κύριος τῷ διαβόλῳ, πόθεν σὺ ἔρχῃ; εἶπε δὲ ὁ διάβολος ἐναντίον κυρίου, διαπορευθεὶς τὴν ὑπ' οὐρανὸν, καὶ ἐμπεριπατήσας τὴν σύμπασαν, πάρειμι. εἶπεν ὁ κύριος πρὸς τὸν διάβολον, προσέσχες τὸν θεράποντά μου ἰὼβ, ὅτι οὐκ ἔστι κατ' αὐτὸν τῶν ἐπὶ τῆς γῆς, ἄνθρωπος ὅμοιος αὐτῷ, ἄκακος, ἀληθινὸς, ἄμεμπτος, θεοσεβὴς, ἀπεχόμενος ἀπὸ παντὸς κακοῦ, ἔτι δὲ ἔχεται ἀκακίας; σὺ δὲ εἶπας, τὰ ὑπάρχοντα αὐτοῦ

mortui sunt. Et saluatus sum ego solus, & ueni, ut renunciarem tibi. Sic audiens Iob, surgens disrupit uestimenta sua, & totondit comam capitis sui, & dispersit terram in caput eius, & cadens humi, adorauit Dominum. Et dixit, Ipse nudus egressus sum ex utero matris mei, nudus & reuertar illuc. Dominus dedit, dominus abstulit. Vt domino placuit, sic & factum est. Sit nomen dñi benedictum in secula. In his omnibus, quæ acciderunt ei, nihil peccauit Iob, neq; in labiis eius & non dedit insipientiam Deo.

Cap. II

Fuit autem ut dies hęc, & uenerunt nuncii dei, ut astarent ex aduerso domini, & diabolus uenit in medio eorũ, ut astaret ex aduerso Domini. Et dixit dominus diabolo, Vnde tu uenis? Dixit uerò diabolus coram domino, Pertransiens eam quę sub coelo, & deambulans uniuersam, adsum. Dixit dominus ad diabolum, Attendisti ministrum meum Iob, quod non est secundum eum eorum qui in terra, homo similis eius, innocens, uerax, irreprehensibilis Deum colens, abstinens ab omni malo, adhucq; hæret innocentiæ? Tu aũt dixisti, substantias eius

eius frustra perdere. Susci-
piens autem diabolus, di-
xit domino, Pellē pro pel-
le. Omnia, quæcunq; esse
sunt homini, pro anima
sua exoluet. Nequaquam
uerò, sed dimittens ma-
num tuam, tange ossa eius
& carnes eius, equidē in
conspectum tibi benedi-
cet. Dixit autē dominus
diabolo, Ecce trado tibi
eum, solum animam illius
cōserua. Et egressus est dia
bolus à domino, & per-
cussit Iob ulcere malo, à
pedibus usq; ad caput. Et
accepit testam, ut saniem
raderet. Et consedit in fi-
mo, extra urbem. Tempo
re uerò multo præeunte,
dixit ei uxor sua, Vsque
quo perseuerabis dicens,
Ecce, expecto paruum ad
huc tempus, accipiens spē
salutis meæ. Ecce enim, de
letum est tuum monumen-
tum à terra. Filii & filiæ,
mei uteri dolores & labo-
res, quos in uacuum labo-
riose eduxi cum molesti-
is. Tuq; ipse in fœtore uer
mium consides, pernoc-
tans sub aere. Et ego er-
ratrix & cultrix, locū ex
loco circumiens, et domū
ex domo, expectans so-
lem, quando occidet, ut re
quiescam à laboribus me-
is & doloribus, quæ me
nūc cōprehēdunt. Sed dic
quod-

αὐτοῦ διακενῆς ἀπολέσαι. ὑπολα-
βὼν ὁ διάβολος, εἶπε τῷ κυρίῳ, δέρ-
μα ὑπὲρ δέρματος. πάντα, ὅσα ὑ-
πάρχει ἀνθρώπῳ, ὑπὲρ τῆς ψυχῆς αὐ-
τοῦ ἐκτίσει. οὐ μὴν δὲ, ἀλλὰ ἀποστεί-
λας τὴν χεῖρά σου, ἅψαι τῶν ὀστῶν
αὐτοῦ καὶ τῶν σαρκῶν αὐτοῦ, ἦ μὴν
εἰς πρόσωπόν σε εὐλογήσει. εἶπε δὲ
ὁ κύριος τῷ διαβόλῳ, ἰδοὺ παραδί-
δωμί σοι αὐτὸν, μόνον τὴν ψυχὴν
αὐτοῦ διαφύλαξον. καὶ ἐξῆλθεν
ὁ διάβολος ἀπὸ τοῦ προσώπου τοῦ
κυρίου, καὶ ἔπαισε τὸν ἰὼβ ἕλκει
πονηρῷ, ἀπὸ ποδῶν ἕως κεφαλῆς.
καὶ ἔλαβεν ὄστρακον, ἵνα τὸν ἰχῶρα
ξύῃ. καὶ ἐκάθητο ἐπὶ τῆς κοπρίας, ἔ-
ξω τῆς πόλεως. χρόνου δὲ πολλοῦ προ-
βεβηκότος, εἶπεν αὐτῷ ἡ γυνὴ αὐ-
τοῦ, μέχρι τίνος καρτερήσεις λέ-
γων, ἰδοὺ, ἀναμένω χρόνον ἔτι
μικρὸν, προσδεχόμενος τὴν ἐλπί-
δα τῆς σωτηρίας μου. ἰδοὺ γὰρ, ἠφά-
νισταί σου τὸ μνημόσυνον ἀπὸ τῆς
γῆς. υἱοὶ καὶ θυγατέρες, ἐμῆς κοι-
λίας ὠδῖνες καὶ πόνοι, οὓς εἰς τὸ κε-
νὸν ἐκοπίασα μετὰ μόχθων. σύ τε
αὐτὸς ἐν σαπρίᾳ σκωλήκων κάθη-
σαι, διανυκτερεύων αἴθριος. κἀ-
γὼ πλανῆτις καὶ λάτρις, τόπον ἐκ
τόπου περιερχομένη, καὶ οἰκίαν ἐξ
οἰκίας, προσδεχομένη τὸν ἥλιον,
πότε δύσεται, ἵνα ἀναπαύσωμαι
τῶν μόχθων μου καὶ τῶν ὀδυνῶν,
αἵ με νῦν συνέχουσιν. ἀλλὰ εἰπὲ

τι

τι ῥῆμα πρὸς κύριον, καὶ τελεύτα. ὁ δὲ ἐμβλέψας, εἶπεν αὐτῇ, ἵνα τί ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν ἐλάλησας; εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν; ἐν πᾶσι τούτοις τοῖς συμβεβηκόσιν αὐτῷ, οὐδὲν ἥμαρτεν ἰὼβ τοῖς χείλεσιν, ἐναντίον τοῦ θεοῦ. ἀκούσαντες δὲ οἱ τρεῖς φίλοι αὐτοῦ τὰ κακὰ πάντα, τὰ ἐπελθόντα αὐτῷ, παρεγένοντο ἕκαστος ἐκ τῆς ἰδίας χώρας πρὸς αὐτὸν, ἐλιφὰζ ὁ θαιμανῶν βασιλεὺς, καὶ βαλδὰδ ὁ σαυχαίων τύραννος, σωφὰρ ὁ μειναίων βασιλεύς. καὶ παρεγένοντο πρὸς αὐτὸν ὁμοθυμαδὸν, τοῦ παρακαλέσαι καὶ ἐπισκέψασθαι αὐτόν. ἰδόντες δὲ αὐτὸν πόρρωθεν, οὐκ ἐπέγνωσαν. καὶ βοήσαντες, φωνῇ μεγάλῃ ἔκλαυσαν, ῥήξαντες ἕκαστος τὴν ἑαυτοῦ στολὴν, καὶ καταπασάμενοι γῆν ἐπὶ τὰς κεφαλὰς, παρεκάθισαν αὐτῷ, ἑπτὰ ἡμέρας καὶ ἑπτὰ νύκτας. καὶ οὐδεὶς αὐτῶν ἐλάλησεν λόγον, ἑώρων γὰρ τὴν πληγὴν δεινὴν οὖσαν, καὶ μεγάλην σφόδρα.

ΠΡΟΣ ΤΟΥΣ ΦΙΛΟΥΣ
διάλεξις.

Μετὰ τοῦτο ἤνοιξεν ἰὼβ τὸ στόμα αὐτοῦ, καὶ κατηράσατο τὴν ἡμέραν αὐτοῦ, λέγων, ἀπόλοιτο ἡ ἡμέρα, ἐν ᾗ ἐγεννήθην, καὶ ἡ νὺξ ἐκείνη, ἣ εἶπαν, ἰδοὺ ἄρσεν. ἡ νὺξ ἐκείνη εἴη σκότος, καὶ μὴ ἀναζητήσαι αὐτὴν ὁ κύριος

αὔωθεν,

quoddā uerbū ad Dominū, & morere. Ille autem inſpiciens, dixit ei, Quare tanquā una inſipiētium mulierū loquuta es? Si bona accepimus è manu domini, mala non ſuſtinebimus? In omnibus contingentibus ei nihil peccauit Iob labiis coram deo. Audientes autem tres amici eius mala omnia ſuperuenientia ei, uenerunt unuſquiſque ex propria regione ad eum, Eliphaz Thaimanon rex, Baldad Sauchæorum tyrannus, Sophar Meinæorum rex. Et aduenerunt ad eum unanimiter, ut cōſolarentur, & inuiſerent eum. Videntes autem eum procul, non agnouerunt. Et clamātes, uoce magna plorauerunt, rumpentes unuſquiſque ſuam ueſtem, & diſpergentes terram in capita, aſſederunt ei, ſeptē dies & ſeptem noctes. Et nullus eorum loquutus eſt ad eum ſermonem, uidebant enim plagam grauē exiſtentem, & magnam ualde.

AD AMICOS
diſſertatio.

Poſt hoc aperuit Iob os ſuum, & execratus eſt diem ſuū, dicēs, Pereat dies, in qua natus ſum, & nox ea, qua dixerūt, Ecce maſculus. Nox illa ſit tenebræ, & nō requirat eā dn̄s

ſuperne.

superne, necp ueniat in eã lumen. Excipiant uerò eã tenebræ & umbra mortis, superueniat in eam caligo. Execratione deuoueatur dies illa & nox illa, auferant eam tenebræ, non sit in dies anni, neque numeretur in dies mensium. Sed nox illa sit dolor, & non ueniat super eam lætitia neqꝫ gaudiũ. Sed execret eã execrãs diẽ illã futurus magnũ cetũ domare. Obscurent astra noctis illius, & nõ sustineãt, et in illuminationem non ueniant, & non uideat luciferum orientem, quia non concluserunt ostia uentris matris meæ. Abalienauit enim laborem ab oculis meis. Quare enim in uentre non mortuus sum? Ex utero autem egressus sum, & non statim perii? Quare autem ex aduerso stete runt mihi genua? Quare uero ubera suxi? Nũc quidem sopitus quieui, somnians autem requiescerem, cum regibus consiliariis terræ, qui gloriabantur in gladiis, aut cũ principib. quorũ multũ aurũ, qui impleuerũt domus suas argẽto, aut tãquã abort⁹ exiẽs de matrice matris, aut sicut infãtes q̃ nõ uiderũt lucẽ. Ibi impii sedauerũt furorẽ irę. Ibi requieuerũt defessi corpore, unanimitaũt ęterni nõ audierũt uocẽ tributorũ collectoris. Paru⁹ &

αἴνωθεν, μὴ δὲ ἔλθοι εἰς αὐτὴν φέγγος. ἐκλάβοι δὲ αὐτὴν σκότος, καὶ σκιὰ θανάτου, ἐπέλθοι ἐπ᾽ αὐτὴν γνόφος. καταραθείη ἡ ἡμέρα ἐκείνη καὶ ἡ νὺξ ἐκείνη, ἀπενέγκοιτο αὐτὴν σκότος, μὴ εἴη εἰς ἡμέρας ἐνιαυτοῦ, μὴ δὲ ἀριθμηθείη εἰς ἡμέρας μηνῶν. ἀλλὰ ἡ νὺξ ἐκείνη εἴη ὀδύνη, καὶ μὴ ἔλθοι ἐπ᾽ αὐτὴν εὐφροσύνη μὴ δὲ χαρμονή. ἀλλὰ καταράσαιτο αὐτὴν ὁ καταρώμενος τὴν ἡμέραν ἐκείνην, ὁ μέλλων τὸ μέγα κῆτος χειρώσασθαι. σκοτισθείη τὰ ἄστρα τῆς νυκτὸς ἐκείνης, καὶ μὴ ὑπομείναι, καὶ εἰς φωτισμὸν μὴ ἔλθοι, καὶ μὴ ἴδοι ἑωσφόρον ἀνατέλλοντα, ὅτι οὐ συνέκλεισε πύλας γαστρὸς μητρός μου. ἀπήλλαξε γὰρ ἂν πόνον ἀπὸ ὀφθαλμῶν μου. διὰ τί γὰρ ἐν κοιλίᾳ οὐκ ἐτελεύτησα; ἐκ γαστρὸς δὲ ἐξῆλθον, καὶ οὐκ εὐθὺς ἀπωλόμην; ἵνα τί δὲ συνήντησάν μοι τὰ γόνατα; ἵνα τί δὲ μαστοὺς ἐθήλασα; νῦν ἂν κοιμηθεὶς ἡσύχασα. ὑπνώσας δὲ ἀνεπαυσάμην. μετὰ βασιλέων βουλευτῶν γῆς, οἳ ἠγαυριῶντο ἐπὶ ξίφεσιν, ἢ μετὰ ἀρχόντων, ὧν πολὺς ὁ χρυσός, οἳ ἔπλησαν τοὺς οἴκους αὐτῶν ἀργυρίου, ἢ ὥσπερ ἔκτρωμα ἐκπορευόμενον ἐκ μήτρας μητρός, ἢ ὥσπερ νήπιοι, οἳ οὐκ εἶδον φῶς. ἐκεῖ ἀσεβεῖς ἐξέκαυσαν θυμὸν ὀργῆς. ἐκεῖ ἀνεπαύσαντο κατάκοποι τῷ σώματι, ὁμοθυμαδὸν δὲ οἱ αἰώνιοι οὐκ ἤκουσαν φωνὴν φορολόγου. μικρὸς καὶ

καὶ μέγας ἐκεῖ ἐστι, καὶ θεράπων δεδοικὼς τὸν κύριον ἑαυτοῦ. ἵνα τί γὰρ δέδοται τοῖς ἐν πικρίᾳ φῶς, ζωὴ δὲ ταῖς ἐν ὀδύναις ψυχαῖς; οἱ ἱμείρονται τοῦ θανάτου, καὶ οὐ τυγχάνουσιν, ἀνορύσσοντες ὥσπερ θησαυρούς, περιχαρεῖς δὲ ἐγένοντο, ἐὰν κατατύχωσι. θάνατος, ἀνδρὶ ἀνάπαυσις, συνέκλεισε γὰρ ὁ θεὸς κατ' αὐτοῦ. πρὸ γὰρ τῶν σίτων μου στεναγμός μοι ἥκει. δακρύω δὲ ἐγὼ συνεχόμενος φόβῳ. φόβος γὰρ, ὃν ἐφρόντισα, ἦλθέ μοι, καὶ ὃν ἐδεδοίκειν, συνήντησέ μοι. οὔτε εἰρήνευσα, οὔτε ἡσύχασα, οὔτε ἀνεπαυσάμην. ἦλθε δέ μοι ὀργή.

Ὑπολαβὼν δὲ Ἐλιφὰζ ὁ Θαιμανίτης λέγει, μὴ πολλάκις σοὶ λελάληται ἐν κόπῳ; ἰσχὺν δὲ ῥημάτων σου τίς ὑποίσει; εἰ γὰρ σὺ ἐνουθέτησας πολλούς, καὶ χεῖρας ἀσθενοῦς παρεκάλεσας, ἀσθενοῦντάς τε ἐξανέστησας ῥήμασι. γόνασί τε ἀδυνατοῦσι θάρσος περιέθηκας, νῦν δὲ ἥκει ἐπὶ σὲ πόνος, καὶ ἥψατό σου, σὺ δὲ ἐσπούδασας. πότερον οὐχ ὁ φόβος σου ἐστὶν ἐν ἀφροσύνῃ; καὶ ἡ ἐλπίς σου, καὶ ἡ κακία τῆς ὁδοῦ σου. μνήσθητι οὖν, τίς καθαρὸς ὢν ἀπώλετο; ἢ πότε ἀληθινοὶ ὁλόρριζοι ἀπώλοντο, καθ' ὃν τρόπον εἶδον τοὺς ἀροτριῶντας τὰ ἄτοπα. οἱ δὲ σπείροντες αὐτά, ὀδύνας θεριοῦσιν ἑαυτοῖς. ἀπὸ προστάγματος κυρίου ἀπολοῦνται, ἀπὸ δὲ πνεύματος ὀργῆς αὐτοῦ ἀφανισθήσονται. σθένος λέοντος, φωνὴ δὲ λεαίνης, γαυρίαμα δὲ δρα-

& magnus illic est, & minister timens dñm suum. Quare enim data est his qui sunt in amaritudine lux, uita aūt, quæ sunt, in doloribus, animabus? Quę desiderant mortem, & nō consequuntur, effodientes quasi thesauros, ualde gaudētes aūt fuerūt, si assecuti fuerint. Mors, uiro requies, conclusit enim deus cōtra eum. Ante enim cibos meos suspiriū mihi uenit. Lachrymor uero ego cōpressus timore. Timor enī quē curaui, uenit mihi, & quē timuerā, occurrit mihi. Neq; pacem egi, neq; silui, neq; requieui. Venit autem mihi ira.

Cap. IIII.

Suscipiens aūt Eliphaz Thaimanites dicit, Nū sæpe tibi dictū est in labore? Vim aūt uerborū tuorum quis sustinebit? Si enim tu admonuisti multos, & manus imbecilles cōsolatus es, lāguētesq; erexisti uerbis, genibusq; impotētib. fiduciā circūposuisti, nūc aūt uenit in te dolor, & tetigit te, tu studuisti. Nū nō timor tuus est in insipiētia? Et spes tua, & malicia uię tuę. Memor sis igit, quis pur' existēs piit? Aut quādo ueraces totis radicibus pierūt, queadmodū uidi arātes absurda. At seminantes ea, dolores metēt sibiipsis. A pręcepto dñi pibūt, à spiritu uero iræ eius delebuntur. Robur leonis, uox aūt leænæ, supbia aūt dra-

draconū extincta ē. Myrmeleo piit, eo qd' nō haberet escā. Catuli leonū reliquerūt se mutuo. Si uerô aliqd' uerbū uerax fuit in sermonibus tuis, nihil sanè tibi horū malū occurrit. Verū nō suscipiet mea auris decora ab eo? Timor autē et sonus nocturnus ceciderūt, timor super homines. Horror mihi occurrit & tremor, et magnopē mea ossa cōcussit. Et spirit' in cōspectū meū aduenit, horruerūt aūt mei pili & carnes. Surrexi, & nō cognoui. Vidi, & nō erat forma ante oculos meos, sed aurā & uocē audiui. Quid enī erit mortalis corā dño, aut ab opib. suis inculpabilis uir? Si contra pueros suos non credit, contra angelos suos obliquū quid excogitauit. At inhabitantes domos luteas, ex quibus & ipsi ex eodem luto sumus, percussit eos tineæ in modū, & à mane usque uesperā non amplius sunt. Propterea quod non potuerunt ipsi seipsos adiuuare, perierunt. Inflauit enī eis, et exaruerūt. Perierūt eo, quod non habuerunt ipsi sapientiam.

Cap.V Aduoca aūt, si qspiā tibi obediet, aut si aliquē nūciorū sanctorū uidebis. Et enim insipiētem interficit ira, errantem uero occidit inuidia. Ego uerò uidi insipientes radicem iacientes,

δρακόντων ἐσβέσθη. μυρμηκολέων ὤλετο παρὰ τὸ μὴ ἔχειν βοράν. σκύμνοι δὲ λεόντων ἔλιπον ἀλλήλους. εἰ δέ τι ῥῆμα ἀληθινὸν ἐγεγόνει ἐν λόγοις σου, οὐθὲν ἄν σοι τούτων κακὸν ἀπήντησε. πότερον οὐ δέξεταί μου τὸ οὖς ἐξαίσια παρ' αὐτοῦ; φόβος δὲ [illegible] ἠχὼ νυκτερινὴ ἐπίπτον, φόβος [illegible] ἀνθρώπους. φρίκη μοι συνήντησε καὶ τρόμος, καὶ μεγάλως μου τὰ ὀστᾶ συνέσεισε. καὶ πνεῦμα ἐπὶ πρόσωπόν μου ἐπῆλθεν, ἔφριξαν δέ μου τρίχες καὶ σάρκες. ἀνέστην, καὶ οὐκ ἐπέγνων. εἶδον, καὶ οὐκ ἦν μορφὴ πρὸ ὀφθαλμῶν μου, ἀλλ' ἢ αὔραν καὶ φωνὴν ἤκουον. τί γὰρ μὴ καθαρὸς ἔσται βροτὸς ἐναντίον κυρίου, ἢ ἀπὸ τῶν ἔργων αὐτοῦ ἄμεμπτος ἀνήρ; εἰ κατὰ παίδων αὐτοῦ οὐ πιστεύει, κατὰ δὲ ἀγγέλων αὐτοῦ σκολιόν τι ἐπενόησε. τοὺς δὲ κατοικοῦντας οἰκίας πηλίνας, ἐξ ὧν καὶ αὐτοὶ ἐκ τοῦ αὐτοῦ πηλοῦ ἐσμέν, ἔπαισεν αὐτοὺς σητὸς τρόπον, καὶ ἀπὸ πρωΐθεν μέχρις ἑσπέρας οὐκ ἔτι εἰσί. παρὰ τὸ μὴ δύνασθαι αὐτοὺς ἑαυτοῖς βοηθῆσαι, ἀπώλοντο. ἐνεφύσησε γὰρ αὐτοῖς, καὶ ἐξηράνθησαν. ἀπώλοντο, παρὰ τὸ μὴ ἔχειν αὐτοὺς σοφίαν.

Ἐπικάλεσαι δέ, εἴ τίς σοι ὑπακούσεται, ἢ εἴ τινα ἀγγέλων ἁγίων ὄψῃ. καὶ γὰρ ἄφρονα ἀναιρεῖ ὀργή, πεπλανημένον δὲ θανατοῖ ζῆλος. ἐγὼ δὲ ἑώρακα ἄφρονας ῥίζας βάλ-

λον-

λοντας, ἀλλ' εὐθέως ἐβρώθη αὐτῶν ἡ δίαιτα. πόρρω γένοιντο οἱ υἱοὶ αὐτῶν ἀπὸ σωτηρίας, κολαβρισθείησαν δὲ ἐπὶ θύραις ἡσσόνων, καὶ οὐκ ἔσται ὁ ἐξαιρούμενος. ἃ γὰρ ἐκεῖνοι ἐθέρισαν, δίκαιοι ἔδονται, αὐτοὶ δὲ ἐκ κακῶν ἐξαίρετοι ἔσονται. ἐκσιφωνισθείη αὐτῶν ἡ ἰσχύς. οὐ γὰρ μὴ ἐξέλθῃ ἐκ τῆς γῆς κόπος, οὐδὲ ἐξ ὀρέων ἀναβλαστήσει πόνος. ἀλλὰ ἄνθρωπος γεννᾶται κόπῳ, νεοσσοὶ δὲ γυπὸς τὰ ὑψηλὰ πέτανται. οὐ μὴν δὲ, ἀλλὰ ἐγὼ δεηθήσομαι κυρίου θεοῦ. τὸν πάντων δεσπότην ἐπικαλέσομαι, τὸν ποιοῦντα μεγάλα καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός, τὸν διδόντα ὑετὸν ἐπὶ τὴν γῆν, ἀποστέλλοντα ὕδωρ ἐπὶ τὴν ὑπ' οὐρανόν, τὸν ποιοῦντα ταπεινοὺς εἰς ὕψος, καὶ ἀπολωλότας ἐξεγείροντα, διαλλάσσοντα βουλὰς πανούργων, καὶ οὐ μὴ ποιήσουσιν αἱ χεῖρες αὐτῶν ἀληθές. ὁ καταλαμβάνων σοφοὺς ἐν τῇ φρονήσει, βουλὴν δὲ πολυπλόκων ἐξέστησεν. ἡμέρας συναντήσεται αὐτοῖς σκότος, τὸ δὲ μεσημβρινὸν ψηλαφήσουσιν ἴσα νυκτί. ἀπόλοιντο δὲ ἐν πολέμῳ, ἀδύνατος δὲ ἐξέλθοι ἐκ χειρὸς δυνάστου. εἴη δὲ ἀδυνάτῳ ἐλπίς, ἀδίκου δὲ στόμα ἐμφραχθείη. μακάριος δὲ ἄνθρωπος, ὃν ἤλεγξεν ὁ κύριος. νουθέτημα δὲ παντοκράτορος μὴ ἀπαναίνου. αὐτὸς γὰρ ἀλγεῖν ποιεῖ, καὶ πάλιν ἀποκαθίστησιν.

cientes, sed statim deuoratus est eorum uictus. Longe sint filii eorum à salute, & conterentur in portis minorum, & non erit eruens. Quę enim illi messuerunt, iusti edent, ipsi uerò è malis exempti erunt. Exsorbeatur eorum uis. Non enim non exiuerit è terra labor, neque ex montibus germinabit dolor. Sed homo nascitur labori, pulli autem gypis altè uolant. Nequaquam uerò, sed ego precabor Dominũ Deum. Omniũ dominum inuocabo, facientem magna & imperuestigabilia, gloriosáque & decora, quorum non est numerus, dantẽ pluuiam super terram, demittentem aquam super eam quę sub cœlo, facientem humiles in altitudinem, & perditos excitantem, dissipantem cõsilia per omnia callidorum, et non faciet manus eorum uerum. Deprehendens sapientes in prudentia, consilium aũt multum uersutorum emouit. Die occurrent eis tenebræ, at meridie palpabũt æquè ac nocte. Pereant aũt in bello, impotens aũt egrediatur è manu potentis. Sit aũt impotenti spes, iniusti aũt os obturetur. Beat' aũt homo, quẽ arguit dñs. Admonitionẽ omnipotẽtis ne renuas. Ipse eñi dolere facit, et rursus restituit,

uit. Percussit, & manus eius sanauerunt. Sexies è necessitatibus te eruet, in septima autem nequaquã tanget te malum. In fame liberabit te ex morte, in bello aũt è manu ferri soluet te. A flagello linguę te abscõdet, & nequaquã timueris à malis uenientib. à uiro loquente nullum bonum. Iniustos & iniquos deridebis, à bestiis uero agrestibus nequaquam timueris. Quia cum lapidibus agri dispositio tua. Et bestiæ agri pacem agẽt tibi. Feræ enim agrestes pacẽ agent tibi. Deinde cognosces, quod pacẽ aget tua domus, At uictus tabernaculi tui nequaquã peccet. Cognosces uerò, quod multũ semen tuũ. At liberi tui erunt tanquã omnis herba agri. Venies autẽ in sepulchrũ, sicut triticum maturũ, in tẽpore demessũ, aut sicut aceruus areæ, ad horã cõportatus. Ecce, huiusmodi sic inuestigauimus, hæc sunt, quæ audiuimus. Tu aũt nosce tibiipsi, quid egisti.

Caput VI

Suscipiens autẽ Iob dicit, Si igitur quis statuens libret meã iram, at dolores tollat in iugo concordia, & certe arena marina grauiora erũt. Sed, ut apparuit, uerba mea sunt uana. Iacula enĩ à Domino in corpore meo sunt, quarũ furor eorum ebibit meum san-

σεν. ἔπαισε, καὶ αἱ χεῖρες αὐτοῦ ἰάσαντο. ἑξάκις ἐξ ἀναγκῶν σε ἐξελεῖται, ἐν δὲ τῷ ἑβδόμῳ οὐ μὴ ἅψεταί σου κακόν. ἐν λιμῷ ῥύσεταί σε ἐκ θανάτου, ἐν πολέμῳ δὲ ἐκ χειρὸς σιδήρου λύσει σε. ἀπὸ μάστιγος γλώσσης σε κρύψει, καὶ οὐ μὴ φοβηθῇς ἀπὸ κακῶν ἐρχομένων, ἀπὸ ἀνδρὸς λαλοῦντος μηδὲν ἀγαθόν. ἀδίκων καὶ ἀνόμων καταγελάσῃ, ἀπὸ δὲ θηρίων ἀγρίων οὐ μὴ φοβηθήσῃ. ὅτι μετὰ τῶν λίθων τοῦ ἀγροῦ ἡ διαθήκη σου. καὶ τὰ θηρία τοῦ ἀγροῦ εἰρηνεύσουσί σοι. θῆρες γὰρ ἄγριοι εἰρηνεύσουσί σοι. εἶτα γνώσῃ, ὅτι εἰρηνεύσει σου ὁ οἶκος. ἡ δὲ δίαιτα τῆς σκηνῆς σου οὐ μὴ ἁμάρτῃ. γνώσῃ δὲ, ὅτι πολὺ τὸ σπέρμα σου. τὰ δὲ τέκνα σου ἔσται ὥσπερ τὸ παμβότανον τοῦ ἀγροῦ. ἐλεύσῃ δὲ ἐν τάφῳ, ὥσπερ σῖτος ὥριμος, κατὰ καιρὸν θεριζόμενος, ἢ ὥσπερ θημωνία ἅλωνος, καθ' ὥραν συγκομισθεῖσα. ἰδοὺ, τοιαῦτα οὕτως ἐξιχνιάσαμεν, ταῦτά ἐστιν, ἃ ἀκηκόαμεν. σὺ δὲ γνῶθι σεαυτῷ, τί ἔπραξας.

Ὑπολαβὼν δὲ Ἰὼβ λέγει, εἰ γάρ τις ἱστῶν στήσαι μου τὴν ὀργὴν, τὰς δὲ ὀδύνας μου ἄραι ἐν ζυγῷ ὁμοθυμαδὸν, καὶ δὴ ἄμμου παραλίας βαρυτέρα ἔσται. ἀλλ' ὡς ἔοικε, τὰ ῥήματά μου ἐστὶ φαῦλα. βέλη γὰρ παρὰ κυρίου ἐν τῷ σώματί μου ἐστίν, ὧν ὁ θυμὸς αὐτῶν ἐκπίνει μου

τὸ

τὸ αἷμα. ὅταν ἄρξωμαι λαλεῖν, κεντοῦσί με. τί γάρ; μὴ διὰ κενῆς κεκράξεται ὄνος ἄγριος, ἀλλ' ἢ τὰ σῖτα ζητῶν; εἰ δὲ καὶ ῥήξει φωνὴν βοῦς ἐπὶ φάτνης ἔχων τὰ βρώματα; εἰ βρωθήσεται ἄρτος ἄνευ ἁλός; εἰ δὲ καὶ ἔστι γεῦμα ἐν ῥήμασι κενοῖς; οὐ δύναται γὰρ παύσασθαί μου ἡ ψυχή. βρόμον γὰρ ὁρῶ τὰ σῖτά μου, ὥσπερ ὀσμὴν λέοντος. εἰ γὰρ δῴη, καὶ ἔλθοι μου ἡ αἴτησις, καὶ τὴν ἐλπίδα μου δῴη ὁ κύριος. ἀρξάμενος ὁ κύριος τρωσάτω με, εἰς τέλος δὲ μή με ἀνελέτω. εἴη δέ μου πόλις τάφος, ἐφ' ἧς ἐπὶ τειχέων ἡλλόμην, ἐπ' αὐτῆς οὐ φείσομαι. οὐ γὰρ ἐψευσάμην ῥήματα ἅγια θεοῦ μου. τίς γάρ μου ἡ ἰσχύς, ὅτι ὑπομένω; ἢ τίς μου ὁ χρόνος, ὅτι ἀνέχεταί μου ἡ ψυχή; μὴ ἰσχὺς λίθων, ἡ ἰσχύς μου; ἢ αἱ σάρκες μου εἰσὶ χάλκειαι; ἢ οὐκ ἐπ' αὐτῷ ἐπεποίθειν; βοήθεια δὲ ἀπ' ἐμοῦ ἄπεστιν, ἀπειπάτω με ἔλεος. ἐπισκοπὴ δὲ κυρίου ὑπερεῖδέ με. οὐ προσεῖδόν με οἱ ἐγγύτατοί μου, ὥσπερ χειμάῤῥους ἐκλείπων, ἢ ὥσπερ κῦμα, παρῆλθόν με. οἵτινές με διευλαβοῦντο, νῦν ἐπιπεπτώκασί μοι, ὥσπερ χιὼν, ἢ κρύσταλλος πεπηγώς. καθὼς τακεῖσα, θέρμης γενομένης, οὐκ ἐπεγνώσθη, ὅπερ ἦν, οὕτω κἀγὼ κατελείφθην ὑπὸ πάντων, ἀπωλόμην δὲ, καὶ ἔξοικος

ἐγενό-

sanguinē. Cum incipiā loqui, pūgūt me. Quid enī? Nū supervacuè clamabit asinus agrestis, aut cibos quærēs? An verò & rumpet vocē bos in præsepi, habēs escas? An vorabitur panis sine sale? An verò & est gustus in verbis vanis? Non potest enim quiescere anima. Fœtorem enim video cibaria mea, sicut odorē leonis. Si enim det, & veniat mea petitio, & spem meam det dominus. Incipiens dominus vulneret me, in finem autem ne me tollat. Sit autē mea civitas sepulchrum, in qua super muros saliebam, in ea non parcam. Nō enim mentitus sum verba sancta dei mei. Quæ enim mea vis, quod sustineo? Aut qđ meum tempus, quod tolerat mea anima? Num robur lapidum, robur meū? Aut carnes meæ sunt æneæ? Aut non in ipso confisus eram? Auxilium autē à me destitit, neget me misericordia. Inspectio autē domini despexit me. Nō aspexerūt me propinquissimi mei, sicut torrens deficiēs, aut sicut fluctus prætererunt me. Quicunque me verebantur, nūc irruerunt mihi, sicut nix, aut glacies concreta. Velut tabescens, calore existente, non cognita est, quod erat, sic et ego relictus sum ab oīb⁹. Perii aūt, et exul

 factus

factus sum. Videte uias Thaimanorũ, semitas Sabõ perspiciẽtes. Et uerecũdiã debebũt in ciuitatib. et pecuniis cõfisi. Cæterũ autẽ & uos insultastis mihi sine miseratione, itaq; uidentes meum uulnus, timete. Quid enim? Nũquid uos postulaui? Aut quod à uobis, robur deprecor, ut saluetis me ex inimicis, aut è manu potentũ liberetis me? Docete me, ego autem obmutescam. Si quid erraui, dicite mihi. Sed ut apparuit, inania ueracis uerba. Non enim à uobis robur peto, neq; increpatio uestra uerba mea sedabit. Neq; enim uestrum sonum uerbi sustinebo, nisi qđ in pupillo irruitis, insultatis autem in amico uestro. Nũc aũt inspiciens in conspectũ uestrũ, nõ mentiar. Cõsedete iã, & nõ sit iniustũ. Nonne guttur meum, nonne intellectum me ditatur?

Cap.VII Vtrum non tẽtatio est, uita hominis super terrã, & sicut mercenarii quotidiani uita eius, aut ut minister timẽs dñm suũ, & parãs umbrã, aut sicut mercenarius, expectãs mercedẽ suam? Sic & ego sustinui menses uacuos. Noctes dolorum datæ mihi sunt. Cum cubuero, dico, Quãdo dies? ut autem surrexerim, rursus, Quãdo uespa? Plenus

ἐγενόμην. ἴδετε ὁδοὺς θαιμανῶν, ἀτραποὺς σαβῶν οἱ διορῶντες. καὶ αἰσχύνην ὀφειλήσουσιν οἱ ἐπὶ πόλεσιν καὶ χρήμασι πεποιθότες. ἀτὰρ δὲ καὶ ὑμεῖς ἐπέβητέ μοι ἀνελεημόνως, ὥστε ἰδόντες τὸ ἐμὸν τραῦμα, φοβήθητε. τί γάρ; μή τι ὑμᾶς ᾔτησα; ἢ τῆς παρ' ὑμῶν ἰσχύος ἐπιδέομαι, ὥστε σῶσαί με ἐκ ἐχθρῶν, ἢ ἐκ χειρὸς δυναστῶν ῥύσασθαί με; διδάξατέ με, ἐγὼ δὲ κωφεύσω. εἴ τι πεπλάνημαι, φράσατέ μοι. ἀλλ' ὡς ἔοικε, φαῦλα ἀληθινοῦ ῥήματα. οὐ γὰρ παρ' ὑμῶν ἰσχὺν αἰτοῦμαι, οὐδὲ ἔλεγχος ὑμῶν τὰ ῥήματά μου παύσει. οὐδὲ γὰρ ὑμῶν φθέγμα ῥήματος ἀνέξομαι, πλὴν ὅτι ἐπ' ὀρφανῷ ἐπιπίπτετε, ἐνάλλεσθε δὲ ἐπὶ φίλῳ ὑμῶν. νυνὶ δὲ εἰσβλέψας εἰς πρόσωπον ὑμῶν, οὐ ψεύσομαι. καθίσατε δὴ, καὶ μὴ εἴη ἄδικον. οὐχὶ δὲ ὁ λάρυγξ μου, οὐχὶ σύνεσιν μελετᾷ;

Πότερον οὐχὶ πειρατήριόν ἐστιν, ὁ βίος ἀνθρώπου ἐπὶ τῆς γῆς, καὶ ὥσπερ μισθίου αὐθημερινοῦ, ἡ ζωὴ αὐτοῦ, ἢ ὡς θεράπων δεδοικὼς τὸν κύριον αὐτοῦ, καὶ τετευχὼς σκιᾶς, ἢ ὥσπερ μισθωτὸς, ἀναμένων τὸν μισθὸν αὐτοῦ; οὕτως κἀγὼ ὑπέμεινα μῆνας κενούς. νύκτες ὀδυνῶν δεδομέναι μοί εἰσιν. ἐὰν κοιμηθῶ, λέγω, πότε ἡμέρα; ὡς δ' ἂν ἀναστῶ, πάλιν, πότε ἑσπέρα;

πλή-

πλήρης δὲ γίνομαι ὀδυνῶν, ἀπὸ ἑσπέρας ἕως πρωΐ. φύρεται δέ μου τὸ σῶμα ἐν σαπρίᾳ σκωλήκων. τήκω δὲ βώλακας γῆς, ἀπὸ ἰχῶρος ξύων. ὁ δὲ βίος μου ἐστὶν ἐλαφρότερος λαλιᾶς, ἀπόλωλε δὲ ἐν κενῇ ἐλπίδι. μνήσθητι οὖν, ὅτι πνεῦμά μου ἡ ζωή. καὶ οὐκ ἔτι ἐπανελεύσεται ὀφθαλμός μου ἰδεῖν ἀγαθόν. οὐκ ἔτι περιβλέψεταί με ὀφθαλμὸς ὁρῶντός με. οἱ ὀφθαλμοί σου ἐν ἐμοί, καὶ οὐκ ἔτι εἰμί, ὥσπερ νέφος ἀποκαθαρθὲν ἀπ' οὐρανοῦ. ἐὰν γὰρ ἄνθρωπος καταβῇ εἰς ᾅδην, οὐκ ἔτι μὴ ἀναβῇ, οὐδ' οὐ μὴ ἐπιστρέψῃ εἰς τὸν ἴδιον οἶκον, οὐδ' οὐ μὴ ἐπιγνῷ αὐτὸν ἔτι ὁ τόπος αὐτοῦ. ἀτὰρ οὖν οὐδὲ ἐγὼ φείσομαι τῷ στόματί μου. λαλήσω ἐν ἀνάγκῃ ὤν. ἀνοίξω πικρίαν ψυχῆς μου συνεχόμενος. πότερον θάλασσά εἰμι ἢ δράκων, ὅτι κατέταξας ἐπ' ἐμὲ φυλακήν; εἶπα, ὅτι παρακαλέσει με ἡ κλίνη μου, ἀνοίσω δὲ πρὸς ἐμαυτὸν ἰδίᾳ λόγον, τῇ κοίτῃ μου. ἐκφοβεῖς με ἐνυπνίοις. καὶ ἐν ὁράμασί με καταπλήσσεις. ἀπαλλάξεις ἀπὸ πνεύματός μου τὴν ψυχήν μου, ἀπὸ δὲ θανάτου τὰ ὀστᾶ μου. οὐ γὰρ εἰς τὸν αἰῶνα ζήσομαι, ἵνα μακροθυμήσω. ἀπόστα ἀπ' ἐμοῦ, κενὸς γάρ μου ὁ βίος. τί γάρ ἐστιν ἄνθρωπος, ὅτι ἐμεγάλυνας αὐτόν, ἢ ὅτι προσέχεις τὸν νοῦν εἰς αὐτόν, ἢ ἐπισκοπὴν αὐτοῦ ποιήσῃ ἕως τὸ πρωΐ, καὶ εἰς ἀνάπαυσιν αὐτὸν

Plenus autem sum doloribus, à uespera usq; ad mane. Miscetur aũt meũ corpus in putredine uermiũ. Tabescere facio aũt glebas terræ, à sanie radẽs. At uita mea est leuior loquela, periit aũt in uana spe.

Memento igitur, quia flatus, mea uita. Et non amplius redibit oculus meus ad uidendũ bonũ. Nõ adhuc circũspiciet me ocul' uidẽtis me. Oculi tui i me, & nõ amplius sũ, sicut nubes repurgata à cœlo. Si eñ homo descẽderit in infernũ, nõ amplius unquã ascẽderit, neq; unquã reuersus fuerit in ꝓpriã domũ, neq; unquã cognouerit eũ adhuc locus eius. Verũ igitur neq; ego parcam ori meo. Loquar in necessitate existẽs. Aperiã amaritudinẽ animæ meæ comprensus. Utrum mare sum aut draco, quia cõstituisti sup me custodiã? Dixi, qđ cõsolabit lectus meus, referã aũt ad meipsum priuatim sermonẽ, cubili meo. Exterres me insõniis. Et in uisionib. me perterrefacis. Abalienabis à spiritu meo animã meã, à morte aũt ossa mea. Nõ eñ in seculũ uiuam, ut lõganimis sim. Desiste à me, uacua enim mea uita. Quid enim est homo, qđ magnificasti eũ, aut attẽdis mentẽ in eũ, aut inspectionẽ eius facias usq; mane, et in requiẽ eũ

iudicas? Vsquequo nō si-
nis me, neq; dimittis me,
usq; dū deglutiam saliuā
meā in dolore? Si ego pec
caui, quid potero agere?
Sciens mentē hominū, ob
quod posuisti me contra-
riū tuū? Sū aūt in te onus?
Ob qđ nō fecisti iniquita
tis meæ obliuionē, & pur
gationē peccati mei? Nūc
aūt in terrā redibo, mane
surgēs aūt nō adhuc sum.

Cap.VIII Suscipiens aūt Baldad
Sauchetes dicit, Vsq; quo
loqueris hęc? Spiritus mul
tiloquus oris tui. Nū dñs
iniuriā faciet iudicās? Aut
omnia faciēs turbabit iu-
stū? Si filii tui peccauerūt
coram eo, dimisit in manu
iniquitatis eorū, tu aūt ma
ne surge, ad dñm omnipo
tentem precans. Si pu-
rus es & uerax, precatio-
nem exaudiet tuam, resti-
tuet aūt tibi uictū iustitię.
Erunt igitur quidē prima
tua pauca, at ultima tua in
dicta. Interroga enim ge-
nerationē primam, inuesti
ga aūt secūdū gen⁹ patrū.
Hesterni eñ sumus, & nō
nouimus. Vmbra eñ, no-
stra in terra uita. Aut non
hi te docebunt, & renun-
ciabunt tibi, & ex corde
eduxerint uerba? Num ui
ret scirpus absq; aqua?
Aut erigetur pratum sine
potu? Adhuc existens in
radice, & nequaquam me
tatur, antequam bibat, om
nis

κρίνεις; ἕως τίνος οὐκ ἐᾶς με, οὐδὲ
προΐῃ με, ἕως ἂν καταπίω τὸν πτύε-
λόν μου ἐν ὀδύνῃ; εἰ ἐγὼ ἥμαρτον, τί
δυνήσομαι πρᾶξαι; ὁ ἐπιστάμενος
τὸν νοῦν τῶν ἀνθρώπων, διὰ τί ἔθου με κα
τεντευκτήν σου; εἰμὶ δὲ ἐπὶ σοὶ φορ
τίον; διὰ τί οὐκ ἐποιήσω τῆς ἀνομί-
ας μου λήθην, καὶ καθαρισμὸν τῆς ἁ-
μαρτίας μου; νυνὶ δὲ εἰς γῆν ἀπελεύ
σομαι, ὀρθρίζων δὲ οὐκ ἔτι εἰμί.

Ὑπολαβὼν δὲ Βαλδὰδ ὁ σαυχί-
της λέγει, μέχρι τίνος λαλήσεις
ταῦτα; πνεῦμα πολύρημον τοῦ στό-
ματός σου. μὴ ὁ κύριος ἀδικήσει
κρίνων; ἢ ὁ τὰ πάντα ποιήσας, τα-
ράξει τὸ δίκαιον; εἰ οἱ υἱοί σου ἥμαρ
τον ἐναντίον αὐτοῦ, ἀπέστειλεν ἐν
χειρὶ ἀνομίας αὐτῶν, σὺ δὲ ὄρθρι-
ζε, πρὸς κύριον παντοκράτορα δεόμε
νος. εἰ καθαρὸς εἶ καὶ ἀληθινὸς,
δεήσεως ἐπακούσεταί σου, ἀποκα-
ταστήσει δέ σοι δίαιταν δικαιοσύ-
νης. ἔσται οὖν τὰ μὲν πρῶτά σου ὀλί
γα, τὰ δὲ ἔσχατά σου ἀμύθητα. ἐπε-
ρώτησον γὰρ γενεὰν πρώτην, ἐξιχνί-
ασον δὲ κατὰ γένος πατέρων. χθι
ζοὶ γάρ ἐσμεν, καὶ οὐκ οἴδαμεν.
σκιὰ γάρ ἐστιν, ἡμῶν ἐπὶ τῆς γῆς ὁ
βίος. ἢ οὐχ οὗτοί σε διδάξουσι, καὶ ἀν-
αγγελοῦσί σοι, καὶ ἐκ καρδίας ἐξά-
ξουσι ῥήματα; μὴ θάλλει πάπυρος
ἄνευ ὕδατος; ἢ ὑψωθήσεται βού-
τομον ἄνευ ποτοῦ; ἔτι ὂν ἐπὶ ῥίζης,
καὶ οὐ μὴ θερισθῇ, πρὸ τοῦ πιεῖν, πᾶν

βο

σα βοτάνη οὐχὶ ξηρανθήσεται; οὕτως τοίνυν ἔσται τὰ ἔσχατα πάντων τῶν ἐπιλανθανομένων τοῦ κυρίου. ἐλπὶς γὰρ ἀσεβοῦς ἀπολεῖται, ἀοίκητος γὰρ αὐτοῦ ἔσται ὁ οἶκος. ἀράχνη δὲ αὐτοῦ ἀποβήσεται ἡ σκηνή. ἐὰν ὑπερείσῃ τὴν οἰκίαν αὐτοῦ, οὐ μὴ στῇ, ἐπιλαβομένου δὲ αὐτοῦ, οὐ μὴ ὑπομείνῃ, ὑγρὸς γάρ ἐστιν ὑπὸ ἡλίου. καὶ ἐκ σαπρίας αὐτοῦ ὁ ῥάδαμνος αὐτοῦ ἐξελεύσεται. ἐπὶ συναγωγὴν λίθων κοιμᾶται, ἐν δὲ μέσῳ χαλίκων ζήσεται. ἐὰν δὲ καταπίῃ, ὁ τόπος ψεύσεται αὐτόν. οὐχ ἑώρακας τοιαῦτα, ὅτι καταστροφὴ ἀσεβοῦς τοιαύτη; ἐκ δὲ γῆς ἄλλων ἀναβλαστήσει, ὁ γὰρ κύριος οὐ μὴ ἀποποιήσηται τὸν ἄκακον. πᾶν δὲ δῶρον ἀσεβοῦς οὐ δέξεται. ἀληθινῶν δὲ στόμα ἐμπλήσει γέλωτος, τὰ δὲ χείλη αὐτῶν ἐξομολογήσεως. οἱ δὲ ἐχθροὶ αὐτῶν ἐνδύσονται αἰσχύνην. δίαιτα δὲ ἀσεβοῦς οὐκ ἔσται.

Ὑπολαβὼν δὲ ἰὼβ λέγει, ἐπ᾽ ἀληθείας οἶδα, ὅτι οὕτως ἐστί. πῶς γὰρ ἔσται δίκαιος βροτὸς παρὰ κυρίῳ; ἐὰν γὰρ βούληται κριθῆναι αὐτῷ, οὐ μὴ ὑπακούσῃ αὐτῷ, ἵνα μὴ ἀντείπῃ πρὸς ἕνα λόγον αὐτοῦ ἐκ χιλίων. σοφὸς γάρ ἐστι διανοίᾳ, κραταιός τε καὶ μέγας. τίς σκληρὸς γενόμενος ἐναντίον αὐτοῦ ὑπέμεινεν; ὁ παλαιῶν ὄρη, καὶ οὐκ οἴδασιν, ὁ καταστρέφων

nis herba, nonne arescet? Sic igit̃ erũt ultima oium obliuiscentiũ dñi. Spes enim impii peribit, inhabitabilis enim eius erit domus. Araneus aũt eius euadet tabernaculũ. Si fulciuerit domũ suã, non stet, apprehẽdẽte aũt ipso, nequaquã sustinebit, humidus enim est sub sole. Et ex putredine sua ramus eius egredietur. Ad collectionẽ lapidũ dormit, in medio aũt silicũ uiuet. Si aũt deglutitus fuerit, locus mẽtietur eum. Nõ uidisti talia, quod subuersio impii talis? Ex terra aũt alterũ regerminabit, nam dñs non proiiciet innocentẽ. Omne aũt donũ impii non accipiet. Veraciũ aũt os implebit risu, at labia eorum confessione. At inimici eorum induentur pudore. Victus autem impii non erit.

Suscipiens autem Iob dicit, In ueritate noui, qđ ita est. Quomodo enim erit iustus mortalis apud dominum? Si enim uoluerit iudicari ei, nequaquã obediet ei, ne contradicat ad unum sermonem eius ex mille. Sapiens enim est cogitatione, fortisq; & magnus. Quis durus fiens coram eo. Veteres reddens montes, & non mouerunt, subuertens Cap. IX

eos ira. Cōcutiens eā quæ sub cœlo ē fundamētis, at colūnæ eius mouētur. Dicēs soli, & nō orit, ꝑ astra aūt obsignat. Tendens cœlū solus, & deambulās ut in pauimēto, in mari. Faciēs Pleiada & Hesperū et Arcturū & conclaue Austri. Faciēs magna et imperuestigabilia, gloriosaq́ & ualde decora, quorū non est numerus. Si supergressus fuerit me, nequaquā uidero. Si præterierit me, neque sic noui. Si abalienarit, quis auertet? Aut quis dicet ei, quid fecisti? Ipse enim auertit irā. Ab eo flexa sunt cete quæ sub cœlo. Si aūt me inaudierit, an discernit uerba mea? Si enim iustus existēs, nō inaudiet meū iudiciū, eū precabor. Siq́ uocabo, & nō inaudierit, non credo, quod exaudiuit meā uocē ne caligine me conterat. Multas autem meas contritiones fecit superuacue. Non sinit enim me respirare, impleuit autem me amaritudine, qm̄ enim robore obtinet. Quis igitur iudicio eius resistet? Si em̄ fuerim iustus, os meū impiū erit. Si aūt fuerim irreprehēsibilis, pterius euadam. Si enim impius fui, non noui anima, quin aufertur mea uita. Ideo dixi, magnū & potētem perdit ira. Quia uiles ī morte eximia, sed iusti derident. Tra-

dati

αὐτὰ ὀργῇ. ὁ σείων τὴν ὑπ᾽ οὐρανὸν ἐκ θεμελίων, οἱ δὲ στῦλοι αὐτοῦ σαλεύονται. ὁ λέγων τῷ ἡλίῳ, καὶ οὐκ ἀνατέλλει, κατὰ δὲ ἄστρων κατασφραγίζει. ὁ τανύσας τὸν οὐρανὸν μόνος, καὶ περιπατῶν ὡς ἐπ᾽ ἐδάφους ἐπὶ θαλάσσης. ὁ ποιῶν πλειάδα καὶ ἕσπερον καὶ ἀρκτοῦρον καὶ ταμιεῖα νότου. ὁ ποιῶν μεγάλα καὶ ἀνεξιχνίαστα ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός. ἐὰν ὑπερβῇ με, οὐ μὴ ἴδω. ἐὰν παρέλθῃ με, οὐδ᾽ ὣς ἔγνων. ἐὰν ἀπαλλάξῃ, τίς ἀποστρέψει; ἢ τίς ἐρεῖ αὐτῷ, τί ἐποίησας; αὐτὸς γὰρ ἀπέστραπται ὀργήν. ὑπ᾽ αὐτοῦ ἐκάμφθησαν κήτη τὰ ὑπ᾽ οὐρανόν. ἐὰν δέ μου ὑπακούσεται, ἢ διακρινεῖ τὰ ῥήματά μου; ἐὰν γὰρ δίκαιος ὦ, οὐκ εἰσακούσεταί μου, τοῦ κρίματος αὐτοῦ δεηθήσομαι. ἐάν τε καλέσω, καὶ μὴ ὑπακούσῃ, οὐ πιστεύω, ὅτι εἰσακήκοέ μου τῆς φωνῆς, μὴ γνόφῳ με ἐκτρίψῃ. πολλὰ δέ μου τὰ συντρίμματα πεποίηκε διὰ κενῆς. οὐκ ἐᾷ γάρ με ἀναπνεῦσαι, ἐνέπλησε δέ με πικρίας, ὅτι μὲν γὰρ ἰσχύϊ κρατεῖ. τίς οὖν κρίματι αὐτοῦ ἀντιστήσεται; ἐὰν γὰρ ὦ δίκαιος, τὸ στόμα μου ἀσεβήσει. ἐάν τε ὦ ἄμεμπτος, σκολιὸς ἀποβήσομαι. εἴτε γὰρ ἠσέβησα, οὐκ οἶδα τῇ ψυχῇ, πλὴν ἀφαιρεῖταί μου ἡ ζωή. διὸ εἶπον μέγαν καὶ δυνάστην ἀπολλύει ὀργή. ὅτι φαῦλοι ἐν θανάτῳ ἐξαισίῳ, ἀλλὰ δίκαιοι καταγελῶνται. παραδέ-

δονται

δοται γὰρ εἰς χεῖρας ἀσεβοῦς, πρόσωπα κριτῶν αὐτῆς συγκαλύπτει. εἰ δὲ μὴ αὐτός ἐστι, τίς ἐστι; ὁ δὲ βίος μου ἐστὶ ἐλαφρότερος δρομέως. ἀπέδρασαν, καὶ οὐκ εἴδοσαν. ἢ καί ἐστιν ναυσὶν ἴχνος ὁδοῦ, ἢ ἀετοῦ πετομένου ζητοῦντος βοράν; ἐάν τε γὰρ εἴπω, ἐπιλήσομαι λαλῶν, συγκύψας τῷ προσώπῳ στενάξω. σείομαι πᾶσι τοῖς μέλεσιν, οἶδα γὰρ, ὅτι οὐκ ἀθῷόν με ἐάσεις. ἐπειδὴ δέ εἰμι ἀσεβὴς, διὰ τί οὐκ ἀπέθανον; ἐὰν γὰρ ἀπολούσωμαι χιόνι, καὶ ἀποκαθάρωμαι χερσὶ καθαραῖς, ἱκανῶς ἐν ῥύπῳ με ἔβαψας, ἐβδελύξατο δέ με ἡ στολή μου. οὐ γὰρ εἶ ἄνθρωπος κατ' ἐμὲ, ᾧ ἀντικρινοῦμαι, ἵνα ἔλθωμεν ὁμοθυμαδὸν εἰς κρίσιν. εἴθε ἦν ὁ μεσίτης ἡμῶν, καὶ ἐλέγχων καὶ διακούων ἀνὰ μέσον ἀμφοτέρων. ἀπαλλαξάτω ἀπ' ἐμοῦ τὴν ῥάβδον, ὁ δὲ φόβος αὐτοῦ μή με στροβείτω. καὶ οὐ μὴ φοβηθῶ, ἀλλὰ λαλήσω. οὐ γὰρ οὕτω συνεπίσταμαι.

Κάμνων τῇ ψυχῇ μου, στένων ἐπαφήσω ἐπ' αὐτὸν τὰ ῥήματά μου. λαλήσω πικρίᾳ ψυχῆς μου συνεχόμενος, καὶ ἐρῶ πρὸς κύριον, μή με ἀσεβεῖν δίδασκε. καὶ διὰ τί με οὕτως ἔκρινας; ἦ καλόν σοι ἐστὶ, ἐὰν ἀδικήσω, ὅτι ἀπείπω ἔργα χειρῶν σου, βουλῇ δὲ ἀσεβῶν προσέσχες; ἢ ὥσπερ βροτὸς ὁρᾷ, καθορᾷς; ἢ καθὼς ὁρᾷ ἄνθρωπος, βλέψῃ; ἢ ὁ βίος σου ἀνθρώ-

πινός

diti sunt enī in manus impii, cōspectus iudicū eius cōtegit. Si aūt nō ipse est, quis est? At uita mea est uelocior cursore. Fugerūt, & nō uiderūt. An & est nauibus uestigiū uiæ, aut aquilæ uolātis quęrentis escā? Si enim dixero, obliuiscar loquēs, nutans cōspectu gemā. Cōcutiar omnib. mēbris, noui enī, quod nō insontē me sines. Postq̄ aūt sum impius, ob qd' nō mortuus sum? Si enim abluar, & expurgabor manibus puris, abunde in sorde me tinxisti. fastidiuit aūt me uestis mea. Nō enim si homo secundū me, cui iudicio opponar, ut ueniamus concordes in iudiciū. Vtinam esset mediator noster, et arguens et exaudiens in medio amborū. Amoueat à me uirgā, at timor eius nō me circumagat. Et nequaquā timuero, sed loquar. Non enī sic cōscius sum.

Cap. X

Laborans anima mea, gemens dimittam ad eum uerba mea. Loquar amaritudinem animæ meę cōprehensus. Et dicam ad dominum, Ne me impiè agere doce. Et quare me ita iudicasti? An bonum tibi est, si iniuste agam, quod abnego opera manuū tuarū. Cōsilio aūt impiorū attēdisti? An tāquā mortalis uidet, uides? An sicut uidet homo, cernes? An huma-

na uita tua est? An anni tui uiri? Quia quæsiuisti iniq tatē meā, & peccata mea inuestigasti: Nosti enim, quod non impiè egi. Sed quis est ex manibus tuis eruens? Manus tuæ formauerunt me, & fecerūt me, post hæc transmutans me percussisti. Memento, qđ lutum me formasti, in terram autem me rursus conuertis. An non sicut lac me mulsisti? Coagulasti autem me instar casei. Pellē autem & carnē me induisti, ossibus autem & neruis me consuisti. Vitā autē & misericordiam posuisti apud me, at inspectio tua custodiuit meum spiritū. Hæc habens in te ipso, noui, quod omnia potes. Impotens autem tibi nihil. Si enim peccauero, custodis me. Ab iniquitate uero non innocentem fecisti. Si enim impius fuero, uæ mihi. Si autē fuero iustus, non possum tollere caput. Plenus enim ignominia sum. Capior eñi sicut leo, in mactationē. Rursus aūt trāsmutās, grauiter me perdis, instaurans in me examē meū. Ira aūt magna mihi usus es. Induxisti aūt in me tētatiões. Quare igit ex utero me eduxisti, & nō mortuus sū, oculus aūt me nō uidit, et sicut nō existēs fuissē? Quare eñi de utero I monumētū nō trāslatus sū? An nō exigua est uita tēporis mei? Sine me regescere parū.

πινὸς ἐστιν; ἢ τὰ ἔτη σου ἀνδρός; ὅτι ἀνεζήτησας τὴν ἀνομίαν μου, καὶ τὰς ἁμαρτίας μου ἐξιχνίασας. οἶδας γὰρ, ὅτι οὐκ ἠσέβησα. ἀλλὰ τίς ἐστιν ὁ ἐκ τῶν χειρῶν σου ἐξαιρούμενος; αἱ χεῖρές σου ἔπλασάν με, καὶ ἐποίησάν με, μετὰ ταῦτα μεταβαλών με ἔπαισας. μνήσθητι δὴ, ὅτι πηλόν με ἔπλασας, εἰς δὲ γῆν με πάλιν ἀποστρέφεις. ἢ οὐχ ὥσπερ γάλα με ἤμελξας; ἔπηξας δέ με ἴσα τυρῷ. δέρμα δὲ καὶ κρέας με ἐνέδυσας, ὀστέοις δὲ καὶ νεύροις με ἐνεῖρας. ζωὴν δὲ καὶ ἔλεος ἔθου παρ' ἐμοὶ, ἡ δὲ ἐπισκοπή σου ἐφύλαξέ μου τὸ πνεῦμα. ταῦτα ἔχων ἐν σεαυτῷ, οἶδα, πάντα δύνασαι. ἀδυνατεῖ δέ σοι οὐδέν. ἐάν τε γὰρ ἁμάρτω, φυλάσσεις με. ἀπὸ δὲ ἀνομίας οὐκ ἀθῷόν με πεποίηκας. ἐάν τε γὰρ ἀσεβὴς ὦ, οἴμοι. ἐάν τε ὦ δίκαιος, οὐ δύναμαι ἀνακύψαι. πλήρης γὰρ ἀτιμίας εἰμί. ἀγρεύομαι γὰρ ὥσπερ λέων, εἰς σφαγήν. πάλιν γὰρ μεταβαλὼν, δεινῶς με ὀλέκεις, ἐπανακαινίζων ἐπ' ἐμὲ τὴν ἔτασίν μου. ὀργῇ δὲ μεγάλῃ μοι ἐχρήσω. ἐπήγαγες δὲ ἐπ' ἐμὲ πειρατήρια. ἵνα τί οὖν ἐκ κοιλίας με ἐξήγαγες, καὶ οὐκ ἀπέθανον, ὀφθαλμὸς δέ με οὐκ εἶδε, καὶ ὥσπερ οὐκ ὢν ἐγενόμην; διὰ τί γὰρ ἐκ γαστρὸς εἰς μνῆμα οὐκ ἀπηλλάγην; ἢ οὐκ ὀλίγος ἐστὶν ὁ βίος τοῦ χρόνου μου; ἔασόν με ἀναπαύσασθαι μικρὸν,

ϖρὸ τοῦ με ἀπελθεῖν, ὅθεν οὐκ ἀναστρέψω, εἰς γῆν σκοτεινὴν καὶ γνοφεράν, εἰς γῆν σκότους αἰωνίου, οὗ οὐκ ἔστι φέγγος, οὐδὲ ὁρᾶν ζωὴν βροτῶν.

Ὑπολαβὼν δὲ Σωφὰρ ὁ Μιναῖος λέγει, ὁ τὰ πολλὰ λαλῶν καὶ ἀντακούσεται. ἢ καὶ ὁ εὔλαλος οἴεται δίκαιος εἶναι; εὐλογημένος γεννητὸς γυναικὸς, ὀλιγόβιος. μὴ πολὺς ἐν ῥήμασι γίνου, οὐ γάρ ἐστιν ὁ ἀντικρινόμενός σοι. μὴ γὰρ λέγε, ὅτι καθαρός εἰμι τοῖς ἔργοις, ἄμεμπτος ἐναντίον αὐτοῦ. ἀλλὰ πῶς ἂν ὁ κύριος λαλήσαι πρός σε, καὶ διανοίξαι χείλη αὐτοῦ μετά σου; εἶτα ἀναγγελεῖ σοι δύναμιν σοφίας, ὅτι διπλοῦς ἔσται τῶν κατά σε. καὶ τότε γνώσῃ, ὅτι ἄξιά σοι ἀπέβη ἀπὸ κυρίου, ὧν ἡμάρτηκας. ἢ ἴχνος κυρίου εὑρήσεις; ἢ εἰς τὰ ἔσχατα ἀφίκου, ἃ ἐποίησεν ὁ παντοκράτωρ; ὑψηλὸς ὁ οὐρανὸς, καὶ τί ποιήσεις; βαθύτερα δὲ τῶν ἐν ᾅδου τί οἶδας, ἢ μακρότερα μέτρου γῆς ἢ εὔρους θαλάσσης; ἐὰν δὲ καταστρέψῃ τὰ πάντα, τίς ἐρεῖ αὐτῷ, τί ἐποίησας; αὐτὸς γὰρ οἶδεν ἔργα ἀνόμων. ἰδὼν δὲ ἄτοπα οὐ παρόψεται. ἄνθρωπος δὲ ἄλλως νήχεται λόγοις, βροτὸς δὲ, γεννητὸς γυναικὸς, ἴσα ὄνῳ ἐρημίτῃ. εἰ γὰρ σὺ καθαρὰν ἔθου τὴν καρδίαν σου, ὑπτιάζεις δὲ χεῖρας πρὸς αὐτὸν, εἰ ἄνομόν τι ἐστὶν ἐν χερσί σου, πόρρω ποίησον αὐτὸ ἀπὸ σοῦ. ἀδικία δὲ ἐν διαίτῃ σου μὴ αὐλισθήτω. οὕτω γὰρ ἀναλάμψει σου τὸ πρόσωπον,

antequã ego abeam, unde nõ reuertar, in terrã tenebrosã & caliginosam, in terrã tenebrarũ æternarũ, ubi non est lumen, neq; uidere uitam mortalium.

Cap. XI

Suscipiens aũt Sophar Minæus dicit, Multa loquẽs & cõtra audiet: An & eloquẽs putat iustus esse: Bñdictus natus mulieris, breuis uitæ. Ne multus in uerbis sis, nõ ẽm est respõdẽs tibi. Nõ enim dic, qđ purus sum operibus, irreprehẽsibilis corã eo. Sed quomodo dñs loquat ad te, & aperiat labia sua tecũ: Deinde renũciabit tibi potentiã sapientiæ, qđ duplex erit eorũ qui p te. Et tũc nosces, quod digna tibi euenerũt à dño eorũ, quæ peccasti. An uestigiũ dñi inuenies: An ad ultima peruenisti, quæ fecit omnipotẽs: Excelsum cœlũ, & quid facies: Profundiora aũt eorũ, quæ in inferno, quid nosti, aut longiora mẽsuræ terræ aut latitudinis maris: Si aũt subuerterit oĩa qs dicet ei, Quid fecisti: Ipse ẽm nouit opa impiorũ. Vidẽs aũt iniqua nõ dissimulabit. Homo autẽ uarie natat sermonib, mortalis aũt natus mulieris instar asini solitarii. Si ẽm tu purũ posuisti cor tuum, supinas aũt manus ad eũ, si iniquũ qd ẽ in manibus tuis, pcul fac illud à te. Iniustitia aũt in uictu tuo nõ diuersef. Sic ẽm relucebit tuus cõspectus

sicut

na uita tua est? An anni tui uiri? Quia quæsiuisti iniq tatẽ meã, & peccata mea inuestigasti? Nosti enim, quod non impiè egi. Sed quis est ex manibus tuis eruens? Manus tuæ formauerunt me, & fecerũt me, post hæc transmutans me percussisti. Memento, qđ lutum me formasti, in terram autem me rursus conuertis. An non sicut lac me mulsisti? Coagulasti autem me instar casei. Pellẽ autem & carnẽ me induisti, ossibus autem & neruis me consuisti. Vitã autẽ & misericordiam posuisti apud me, at inspectio tua custodiuit meum spiritũ. Hæc habens in te ipso, noui, quod omnia potes. Impotens autem tibi nihil. Si enim peccauero, custodis me. Ab iniquitate uero non innocentem fecisti. Si enim impius fuero, uæ mihi. Si autẽ fuero iustus, non possum tollere caput. Plenus enim ignominia sum. Capior eñ sicut leo, in mactationẽ. Rursus aũt trãsmutãs, grauiter me perdis, instaurans in me examẽ meũ. Ira aũt magna mihi usus es. Induxisti aũt in me tẽtatiões. Quare igiẽ ex utero me eduxisti, & nõ mortuus sũ, oculus aũt me nõ uidit, et sicut nõ existẽs fuissẽ? Quare eñ de utero I monumẽtũ nõ trãslatus sũ? An nõ exigua est uita tẽporis mei? Sine me regescere parũ.

πινός ἐστιν; ἢ τὰ ἔτη σου ἀνδρός; ὅτε ἀνεζήτησας τὴν ἀνομίαν μου, καὶ τὰς ἁμαρτίας μου ἐξιχνίασας. οἶδας γὰρ, ὅτι οὐκ ἠσέβησα. ἀλλὰ τίς ἐστιν ὁ ἐκ τῶν χειρῶν σου ἐξαιρούμενος; αἱ χεῖρές σου ἔπλασάν με, καὶ ἐποίησάν με, μετὰ ταῦτα μεταβαλών με ἔπαισας. μνήσθητι δὴ, ὅτι πηλόν με ἔπλασας, εἰς δὲ γῆν με πάλιν ἀποστρέφεις. ἢ οὐχ ὥσπερ γάλα με ἤμελξας; ἔπηξας δέ με ἴσα τυρῷ. δέρμα δὲ καὶ κρέας με ἐνέδυσας, ὀστέοις δὲ καὶ νεύροις με ἐνεῖρας. ζωὴν δὲ καὶ ἔλεος ἔθου παρ' ἐμοὶ, ἡ δὲ ἐπισκοπή σου ἐφύλαξέ μου τὸ πνεῦμα. ταῦτα ἔχων ἐν σεαυτῷ, οἶδα, πάντα δύνασαι. ἀδυνατεῖ δέ σοι οὐθέν. ἐάν τε γὰρ ἁμάρτω, φυλάσσεις με. ἀπὸ δὲ ἀνομίας οὐκ ἀθῷόν με πεποίηκας. ἐάν τε γὰρ ἀσεβὴς ὦ, οἴμοι. ἐάν τε ὦ δίκαιος, οὐ δύναμαι ἀνακύψαι. πλήρης γὰρ ἀτιμίας εἰμί. ἀγρεύομαι γὰρ ὥσπερ λέων, εἰς σφαγήν. πάλιν γὰρ μεταβαλὼν, δεινῶς με ὀλέκεις, ἐπανακαινίζων ἐπ' ἐμὲ τὴν ἔτασίν μου. ὀργῇ δὲ μεγάλῃ μοι ἐχρήσω. ἐπήγαγες δὲ ἐπ' ἐμὲ πειρατήρια. ἵνα τί οὖν ἐκ κοιλίας με ἐξήγαγες, καὶ οὐκ ἀπέθανον, ὀφθαλμὸς δέ με οὐκ εἶδε, καὶ ὥσπερ οὐκ ὢν ἐγενόμην; διὰ τί γὰρ ἐκ γαστρὸς εἰς μνῆμα οὐκ ἀπηλλάγην; ἢ οὐκ ὀλίγος ἐστὶν ὁ βίος τοῦ χρόνου μου; ἔασόν με ἀναπαύσασθαι μικρὸν,

πρὸ τοῦ με ἀπελθεῖν, ὅθεν οὐκ ἀναστρέψω, εἰς γῆν σκοτεινὴν καὶ γνοφεράν, εἰς γῆν σκότους αἰωνίου, οὗ οὐκ ἔστι φέγγος, οὐδὲ ὁρᾶν ζωὴν βροτῶν.

Ὑπολαβὼν δὲ Σωφὰρ ὁ Μιναῖος λέγει, ὁ τὰ πολλὰ λαλῶν καὶ ἀντακούσεται. ἢ καὶ ὁ εὔλαλος οἴεται δίκαιος εἶναι; εὐλογημένος γεννητὸς γυναικὸς, ὀλιγόβιος. μὴ πολὺς ἐν ῥήμασι γίνου, οὐ γάρ ἐστιν ὁ ἀντικρινόμενός σοι. μὴ γὰρ λέγε, ὅτι καθαρός εἰμι τοῖς ἔργοις, ἄμεμπτος ἐναντίον αὐτοῦ. ἀλλὰ πῶς ἂν ὁ κύριος λαλήσαι πρός σε, καὶ διανοίξει χείλη αὐτοῦ μετά σου; εἶτα ἀναγγελεῖ σοι δύναμιν σοφίας, ὅτι διπλοῦς ἔσται τῶν κατά σε. καὶ τότε γνώσῃ, ὅτι ἄξιά σοι ἀπέβη ἀπὸ κυρίου, ὧν ἡμάρτηκας. ἢ ἴχνος κυρίου εὑρήσεις; ἢ εἰς τὰ ἔσχατα ἀφίκου, ἃ ἐποίησεν ὁ παντοκράτωρ; ὑψηλὸς ὁ οὐρανὸς, καὶ τί ποιήσεις; βαθύτερα δὲ τῶν ἐν ᾅδου τί οἶδας, ἢ μακρότερα μέτρου γῆς ἢ εὔρους θαλάσσης; ἐὰν δὲ καταστρέψῃ τὰ πάντα, τίς ἐρεῖ αὐτῷ, τί ἐποίησας; αὐτὸς γὰρ οἶδεν ἔργα ἀνόμων. ἰδὼν δὲ ἄτοπα οὐ παρόψεται. ἄνθρωπος δὲ ἄλλως νήχεται λόγοις, βροτὸς δὲ, γεννητὸς γυναικὸς, ἴσα ὄνῳ ἐρημίτῃ. εἰ γὰρ σὺ καθαρὰν ἔθου τὴν καρδίαν σου, ὑπτιάζεις δὲ χεῖρας πρὸς αὐτὸν, εἰ ἄνομόν τί ἐστιν ἐν χερσίν σου, πόρρω ποίησον αὐτὸ ἀπό σου. ἀδικία δὲ ἐν διαίτῃ σου μὴ αὐλισθήτω. οὕτως γὰρ ἀναλάμψει σου τὸ πρόσωπον,

antequã ego abeam, unde nõ reuertar, in terrã tenebrosã & caliginosam, in terrã tenebrarũ æternarũ, ubi non est lumen, neq; uidere uitam mortalium.

Cap. XI

Suscipiens aũt Sophar Minæus dicit, Multa loquẽs & cõtra audiet? An & eloquẽs putat iustus esse? Bñdictus nat⁹ mulieris, breuis uitæ. Ne multus in uerbis sis, nõ eñi est respõdẽs tibi. Nõ enim dic, qđ purus sum operibus, irreprehẽsibilis corã eo. Sed quomodo dñs loquat̃ ad te, & aperiat labia sua tecũ? Deinde renũciabit tibi potentiã sapientiæ, qđ duplex erit eorũ qui ꝑ te. Et tũc nosces, quod digna tibi euenerũt à dño eorũ, quæ peccasti. An uestigiũ dñi inuenies? An ad ultima peruenisti, quæ fecit omnipotẽs? Excelsum cœlũ, & quid facies? Profundiora aũt eorũ, quæ in inferno, quid nosti, aut longiora mẽsuræ terræ aut latitudinis maris? Si aũt subuerterit oĩa qs dicet ei, Quid fecisti? Ipse eñi nouit opa impiorũ. Vidẽs aũt iniqua nõ dissimulabit. Homo autẽ uarie natat sermonib. mortalis aũt natus mulieris instar asini solitarii. Si eñi tu purũ posuisti cor tuum, supinas aũt manus ad eũ, si iniquũ qđ ẽ in manib⁹ tuis, ꝑcul fac illud à te. Iniustitia aũt in uictu tuo nõ diuersef. Sic eñi relucebit tu⁹ cõspect⁹

sicut

sicut aqua pura. Exues autẽ sordẽ, & nequaquã timebis. Et laboris obliuisceris, tãquã unda praeteriens, & nõ timebis. At oratio tua sicut lucifer. A meridie uerò orietur tibi uita. Cõfisusq́; eris, qđ est tibi spes. At ex sollicitudine & cura apparebit tibi pax. Quiesces enim, et nõ erit bello impetẽs te. Trãsmutati autem multi te sanabunt, salus autem eos relinquet, nam spes eorũ pernicies. Oculi autẽ impiorum tabescent.

ὥσπερ ὕδωρ καθαρόν. ἐκδύσῃ δὲ ῥύπον, καὶ οὐ μὴ φοβηθήσῃ. καὶ τὸν κόπον ἐπιλήσῃ, ὥσπερ κῦμα παρελθόν, καὶ οὐ πτοηθήσῃ. ἡ δὲ εὐχή σου ὥσπερ ἑωσφόρος. ἐκ δὲ μεσημβρίας ἀνατελεῖ σοι ζωή. πεποιθώς τε ἔσῃ, ὅτι ἐστί σοι ἐλπίς. ἐκ δὲ μερίμνης καὶ φροντίδος ἀναφανεῖταί σοι εἰρήνη. ἡσυχάσεις γάρ, καὶ οὐκ ἔσται ὁ πολεμῶν σε. μεταβαλλόμενοι δὲ πολλοί σου βοηθήσονται, σωτηρία δὲ αὐτοὺς ἀπολείψει, ἡ γὰρ ἐλπὶς αὐτῶν ἀπώλεια. ὀφθαλμοὶ δὲ ἀσεβῶν τακήσονται.

AD AMICOS dissertatio.

ΠΡΟΣ ΤΟΥΣ ΦΙΛΟΥΣ διάλεξις.

Cap. XII Suscipiens autem Iob, dicit, Ergo uos estis homines? An uobiscũ morietur sapientia? Et mihi quidem cor pro uobis est. Iustus enim uir & irreprehẽsibilis fuit in subsannationem, in tempus enim statutum paratus fuerat cadere sub alios, domusq́; eius destrui ab iniquis. Veruntamen nullus confidat prauus existens, innocẽs fieri, quotquot ad irã incitant dñm, ut nõ & examen eorũ erit. Sed iam interroga quadrupeda, si tibi dicãt, uolucres uerò coeli, si tibi renuncient. Enarra autem terrae, si tibi dixerit, & enarrabunt tibi pisces maris. Quis igitur non nouit in omnibus his, quod manus domini fecit hęc, si nõ in

ην πέτραν περιεβάλλοντο. ἥρπασαν ὀρφανὸν ἀπὸ μαστοῦ, ἐκπεπτωκότα δὲ ἐταπείνωσαν. γυμνοὺς δὲ ἐκοίμησαν ἀδίκως, πεινώντων δὲ τὸν ψωμὸν ἀφείλαντο. ἐν στενοῖς ἀδίκως ἐνήδρευσαν, ὁδὸν δὲ δικαίων οὐκ ᾔδεισαν, οἳ ἐκ πόλεως καὶ οἴκων ἰδίων ἐξεβάλλοντο. ψυχὴ δὲ νηπίων ἐστέναξε μέγα. αὐτὸς δὲ διὰ τί τούτων ἐπισκοπὴν οὐ πεποίηκται; ἐπὶ γῆς ὄντων αὐτῶν, καὶ οὐκ ἐπέγνωσαν. ὁδὸν δὲ δικαιοσύνης οὐκ ᾔδεισαν, οὐδὲ ἀτραποὺς αὐτῶν ἐπορεύθησαν. γνοὺς δὲ τὰ ἔργα αὐτῶν, παρέδωκεν αὐτοὺς εἰς σκότος, καὶ νυκτὸς ἔσται, ὡς κλέπτης. καὶ ὀφθαλμὸς μοιχοῦ ἐφύλαξε σκότος, λέγων, οὐ προνοήσει με ὀφθαλμός. καὶ ἀποκρυβὴν προσώπου ἔθετο, διώρυξεν ἐν σκότει οἰκίας. ἡμέρας ἐσφράγισαν ἑαυτοὺς, οὐκ ἐπέγνωσαν φῶς. ὅτι ὁμοθυμαδὸν τῶν πρωὶ αὐτοῖς σκιὰ θανάτου, ὅτι ἐπιγνώσεται ταραχὰς σκιᾶς θανάτου. ἐλαφρότερός ἐστιν ἐπὶ πρόσωπον ὕδατος. καταραθείη ἡ μερὶς αὐτῶν ἐπὶ γῆς, ἀναφανείη δὲ τὰ ὀστᾶ αὐτῶν ἐπὶ γῆς ξηρά. ἀγκαλίδα δὲ ὀρφανῶν ἥρπασαν. εἶτ' ἀνεμνήσθη αὐτῶν ἡ ἁμαρτία. ὥσπερ δὲ ὁμίχλη δρόσου ἀφανὴς ἐγένετο, ἀποδοθείη δὲ αὐτῷ, ἃ ἔπραξε. συντριβείη δὲ πᾶς ἄδικος, ἴσα ξύλῳ ἀνιάτῳ. στεῖραν δ' οὐκ εὖ ἐποίησε, καὶ γυναῖον οὐκ ἠλέησε,

mē induerūt. Rapuerunt pupillū ab ubere, excidentem aūt humiliauerūt. Nudos aūt sopierunt iniuste, esurientium aūt frustū panis abstulerūt. In angustiis iniuste insidiati sunt, uiam autem iustorum non nouerunt, qui ex ciuitate et domibus propriis eiiciebāt. Anima autem infantiū gemuit ualde. Ipse autē quare horum inspectionē non fecit? In terra existentibus illis, & non cognouerūt. Viam autem iustitiæ non nouerunt, neq; semitas eorum ambulauerunt. Cognoscens autem opera eorum, tradidit eos in tenebras, & nocte erit, sicut fur. Et oculus adulteri custodiuit tenebras, dicens, Nō prænoscet me oculus. Et absconsionē cōspectus posuit, pfodit in tenebris domos Die obsignarūt se ipsos, nō cognouerunt lucē. Quia cōcordia eorū q mane eis umbra mortis, quia cognoscat turbationes umbræ mortis. Leuior est ad conspectū aquę. Execratione demoueatur pars eorū in terrā, appareant aūt ossa eorū in terra arida. Vlnā eñi pupillorū rapuerūt, deinde recordatū est eorū peccatū. Sicut aūt nebula roris obscurus fuit, reddātur aūt ei, quę fecit. Conteratur aūt oīs iniustus instar ligni immedicabilis. Sterili enim nō bene fecit, & mulierculæ nō misertus est,

furore autem subuertit impotẽtes. Surgens igitur nequaq̃ crediderit de sua uita. Lãguescẽs nõ spet sanari, sed cadet morbo. Multos enim male affecit altitudo eius, marcuit sicut malua in ardore, aut sicut spica à calamo spõte decidens. Si uerò non, quis est dicens falsa me narrare et ponet in nihilum uerba mea?

Cap.XXV Suscipiens autẽ Baldad Sauchites dicit, Quid enim? Exordium aut timor ab eo, qui facit uniuersam in altissimo? Non enim aliquis supputet, quod dilatio prædonibus. Ad quos autem non peruenient insidiæ ab eo? Quomodo enim erit iustus mortalis coram domino? Aut quis expurgauerit seipsum, natus mulieris? Si luna cõstruit, non illucet. Stellæ autem non mundæ coram eo. Sine autem, homo putredo, & filius hominis uermis.

Cap.XXVI Suscipiens autem Iob, dicit, Cui adiũctus es? Aut cui futurus es auxiliari? Vtrum non, cui multa uis, et cui brachium, robustus est? Cui consuluisti, non, cui omnis sapientia? Aut quem insequeris, nõ, cui maxima potẽtia? Cui renunciasti uerba? Spiritus aũt cuius ẽ egressus ex te? Nũ Gigantes nutrient, sub

θυμῷ δὲ κατέστρεψεν ἀδυνάτους. ἀναστὰς τοιγαροῦν οὐ μὴ πιστεύσῃ κατὰ τῆς ἑαυτοῦ ζωῆς. μαλακισθεὶς μὴ ἐλπιζέτω ὑγιασθῆναι, ἀλλὰ πεσεῖται νόσῳ. πολλοὺς γὰρ ἐκάκωσεν τὸ ὕψωμα αὐτοῦ, ἐμαράνθη ὥσπερ ὁμίχλη ἐν καύματι, ἢ ὥσπερ στάχυς ἀπὸ καλάμης αὐτομάτως ἀποπεσών. εἰ δὲ μή, τίς ἐστιν ψευδῆ με λέγειν, καὶ θήσει εἰς οὐδὲν τὰ ῥήματά μου;

Ὑπολαβὼν δὲ Βαλδὰδ ὁ Σαυχίτης λέγει, τί γάρ; προοίμιον ἢ φόβος παρ' αὐτοῦ, ὁ ποιῶν τὴν σύμπασαν ἐν ὑψίστῳ; μὴ γάρ τις ὑπολάβῃ, ὅτι παρέλκυσις πειραταῖς. ἐπὶ τίνας δὲ οὐκ ἐπελεύσεται ἔνεδρα παρ' αὐτοῦ; πῶς γὰρ ἔσται δίκαιος βροτὸς ἔναντι κυρίου; ἢ τίς ἂν ἀποκαθαρίσαι ἑαυτόν, γεννητὸς γυναικός; εἰ σελήνῃ συντάσσει, καὶ οὐκ ἐπιφαύσκει. ἄστρα δὲ οὐ καθαρὰ ἐναντίον αὐτοῦ. ἔα δέ, ἄνθρωπος σαπρία, καὶ υἱὸς ἀνθρώπου σκώληξ.

Ὑπολαβὼν δὲ Ἰὼβ, λέγει, τίνι πρόσκεισαι; ἢ τίνι μέλλεις βοηθεῖν; πότερον οὐχ ᾧ πολλὴ ἰσχὺς, καὶ ᾧ βραχίων κραταιός ἐστι; τίνι συμβεβούλευσαι, οὐχ ᾧ πᾶσα σοφία; τίνι ἐπακολουθήσεις, οὐχ ᾧ μεγίστη δύναμις; τίνι ἀνήγγειλας ῥήματα; πνοὴ δὲ τίνος ἐστὶν ἡ ἐξελθοῦσα ἐκ σοῦ; μὴ γίγαντες μαιωθήσονται ὑπὸ

ὑποκάτωθεν ὕδατος καὶ τῶν γειτόνων αὐτοῦ; γυμνὸς ὁ ᾅδης ἐνώπιον αὐτοῦ, καὶ οὐκ ἔστι περιβόλαιον τῇ ἀπωλείᾳ αὐτοῦ. ἐκτείνων βορέαν ἐπ' οὐδὲν, κρεμάζων γῆν ἐπὶ οὐδενός. δεσμεύων ὕδωρ ἐν νεφέλαις αὐτοῦ, καὶ οὐκ ἐρράγη νέφος ὑποκάτω αὐτοῦ. ὁ κρατῶν πρόσωπον θρόνου, ἐκπετάζων ἐπ' αὐτὸν νέφος αὐτοῦ. πρόσταγμα ἐγύμνωσεν ἐπὶ πρόσωπον ὕδατος, μέχρι συντελείας φωτὸς μετὰ σκότους. στύλοι δὲ οὐρανοῦ διεπετάσθησαν, καὶ ἐξέστησαν ἀπὸ τῆς ἐπιτιμήσεως αὐτοῦ. ἰσχύι κατέπαυσε τὴν θάλασσαν, ἐπιστήμῃ δὲ ἔστρωσε τὸ κῆτος. κλεῖθρα δὲ οὐρανοῦ δεδοίκασιν αὐτόν, προστάγματι δὲ ἐθανάτωσε δράκοντα ἀποστάτην. ἰδοὺ ταῦτα μέρη ὁδοῦ αὐτοῦ, καὶ ἐπὶ ἰκμάδα λόγου ἀκουσόμεθα ἐν αὐτῷ. σθένος δὲ βροντῆς αὐτοῦ τίς οἶδεν, ὁπότε ποιήσει;

Ἔτι δὲ προσθεὶς Ἰὼβ, εἶπε τῷ προοιμίῳ. ζῇ ὁ θεὸς, ὃς οὕτω με κέκρικε, καὶ ὁ παντοκράτωρ ὁ πικράνας μου τὴν ψυχήν. ἦ μὴν ἔτι τῆς πνοῆς μου ἐνούσης, πνεῦμα δὲ θεῖον τὸ περιόν μοι ἐν ῥισὶ μὴ λαλήσει τὰ χείλη μου ἄνομα, οὐδὲ ἡ ψυχή μου μελετήσει ἄδικα. μή μοι εἴη δικαίους ὑμᾶς ἀποφῆναι, ἕως ἂν ἀποθάνω. οὐ γὰρ ἀπαλλάξω μου τὴν ἀκακίαν μου. δικαιοσύνῃ δὲ

sub aqua & uicinis eius? Nudus infernus coram illo, & non est amictus perniciei eius. Extendens Boream in nihil, pendens terram in nihilo. Ligans aquam in nubibus suis, & nō dispersit nubes sub eo. Tenens conspectum solii, expandens super illud nubem suam. Præceptum nudauit in conspectum aquæ, usq; ad consummationem lucis cū tenebris. Columnæ uerò cœli distentæ sunt, & obstupuerunt ab increpatiōe eius. Robore sedauit mare, scientia autem strauit cete. Claustra autem cœli timuerunt eum. Præcepto autem interfecit draconem desertorem. Ecce hæ partes uiæ eius, & ad humorem sermonis audiamus in eo. Vim autem tonitrus eius quis nouit, quādo faciet?

Cap. XXVII

Adhuc autem addens Iob, dixit exordio, Viuit Deus, qui ita me iudicauit, & omnipotens amaram reddens meam animam. At uero adhuc halitu meo intus existente, spiritus autem diuinus circū existens mihi in naribus, non loquentur labia mea iniqua, neque anima mea meditabitur iniusta. Ne mihi sit iustos uos ostendere, donec moriar. Non enim abalienabo innocentiam meam. Iustitiæ autem

aũt attendens nequaquã præmittar. Nõ em̃ cõsciꝰ sum mihiipsi, quod iniqua fecerim. Quin uerò sint inimici mei, sicut subuersio impiorũ, & in me insurgẽtes, sicut pernicies iniquorũ. Et quæ enim est spes impio, quoniã continet? Confisus in dñm nũ saluabit? An precationẽ eius exaudiet dñs? Aut superueniente ei necessitate, num habendo aliquã audaciã loquendi corã illo, aut ut inuocante eo, exaudiet eũ? Sed iam renunciabo uobis, quid est in manu dñi. Quæ sunt apud omnipotẽtem, non mentiar. Ecce iã omnes nostis, quod uana uanis iniicitis. Hæc pars hominis impii à domino. Possessio aũt potentiũ ueniet ab omnipotẽte super eos. Si autẽ multi fuerint filii eius, in mactationem erunt, si autẽ & uiri euaserint, mendicabunt. At superstites eius in morte morientur, uiduas autem eorum nullus miserabitur. Si collegerit sicut terram, argentum, instar uerò luti parauerit aurum, hæc omnia iusti uendicabunt, at opes eius ueraces obtinebunt. Euasit autẽ domus eius sicut tineæ, et sicut araneæ, quæ cõseruauit. Diues dormiet, & non addet, oculos

δὲ προσέχων, οὐ μὴ προῶμαι. οὐ γὰρ σύνοιδα ἐμαυτῷ ἄτοπα πράξας. οὐ μὴν δὲ ἀλλὰ εἴησαν οἱ ἐχθροί μου, ὥσπερ ἡ καταστροφὴ τῶν ἀσεβῶν, καὶ οἱ ἐπ' ἐμὲ ἐπανιστάμενοι, ὥσπερ ἡ ἀπώλεια τῶν παρανόμων. καὶ τίς γάρ ἐστιν ἐλπὶς ἀσεβεῖ, ὅτι ἐπέχει; πεποιθὼς ἐπὶ κύριον ἆρα σωθήσεται; ἢ τὴν δέησιν αὐτοῦ εἰσακούσεται ὁ θεός; ἢ ἐπελθούσης αὐτῷ ἀνάγκης, μὴ ἔχειν τινὰ παρρησίαν ἔναντι αὐτοῦ, ἢ ὡς ἐπικαλεσαμένου αὐτοῦ, εἰσακούσεται αὐτοῦ; ἀλλὰ δὴ ἀναγγελῶ ὑμῖν, τί ἐστιν ἐν χειρὶ κυρίου. ἅ ἐστι παρὰ παντοκράτορι, οὐ ψεύσομαι. ἰδοὺ, πάντες οἴδατε, ὅτι κενὰ κενοῖς ἐπιβάλλετε. αὕτη ἡ μερὶς ἀνθρώπου ἀσεβοῦς παρὰ κυρίου. κτῆμα δὲ δυναστῶν ἐλεύσεται παρὰ παντοκράτορος ἐπ' αὐτούς. ἐὰν δὲ πολλοὶ γένωνται οἱ υἱοὶ αὐτῶν, εἰς σφαγὴν ἔσονται, ἐὰν δὲ καὶ ἀνδρωθῶσι, προσαιτήσουσιν. οἱ δὲ περιόντες αὐτοῦ ἐν θανάτῳ τελευτήσουσι, χήρας δ' αὐτῶν οὐδεὶς ἐλεήσει. ἐὰν συναγάγῃ ὥσπερ γῆν, ἀργύριον, ἴσα δὲ πηλῷ ἑτοιμάσῃ χρυσίον, ταῦτα πάντα δίκαιοι περιποιήσονται, τὰ δὲ χρήματα αὐτοῦ ἀληθινοὶ καθέξουσιν. ἀπέβη δὲ ὁ οἶκος αὐτοῦ ὥσπερ σῆτες, καὶ ὥσπερ ἀράχνη, ἃ συνετήρησε. πλούσιος κοιμηθήσεται, καὶ οὐ προσθήσει, ὀφθαλ-

ὀφθαλμοὺς αὐτοῦ διήνοιξε, καὶ οὐκ ἔστι. συνήντησαν αὐτῷ ὥσπερ ὕδωρ, αἱ ὀδύναι, νυκτὶ δὲ ὑφείλετο αὐτὸν γνόφος. ἀναλήψεται δὲ αὐτὸν καύσων, καὶ ἀπελεύσεται, καὶ λικμήσει αὐτὸν ἐκ τοῦ τόπου αὐτοῦ. καὶ ἐπιῤῥίψει ἐπ' αὐτὸν, καὶ οὐ φείσεται. ἐκ χειρὸς αὐτοῦ φυγῇ φεύξεται, κροτήσει ἐπ' αὐτὸν χεῖρας αὐτοῦ, καὶ συριεῖ αὐτὸν ἐκ τοῦ τόπου αὐτοῦ.

Ἔστι γὰρ ἀργυρίῳ τόπος, ὅθεν γίνεται, τόπος δὲ χρυσίῳ, ὅθεν διηθεῖται. σίδηρος μὲν γὰρ ἐκ γῆς γίνεται, χαλκὸς δὲ ἴσα λίθῳ λατομεῖται. τάξιν ἔθετο σκότει, καὶ πᾶν πέρας αὐτὸς διακριβάζεται. λίθος, σκοτία καὶ σκιὰ θανάτου. διακοπὴ χειμάῤῥου ἀπὸ κονίας, οἱ δὲ ἐπιλανθανόμενοι ὁδὸν δικαίαν ἠσθένησαν ἐκ βροτῶν. ἐσαλεύθησαν γῆ, ἐξ αὐτῆς ἐξελεύσεται ἄρτος, ὑποκάτω αὐτὸς ἐστράφη, ὡς πῦρ. τόπος σαπφείρου, οἱ λίθοι αὐτῆς, καὶ χῶμα χρυσίου, αὐτῷ τρίβος. οὐκ ἔγνω αὐτὴν πετεινὸν, καὶ οὐ παρέβλεψεν αὐτὴν ὀφθαλμὸς γυπὸς, καὶ οὐκ ἐπάτησαν αὐτὸν υἱοὶ ἀλαζόνων, οὐ παρῆλθεν ἐπ' αὐτῆς λέων. ἐν ἀκροτόμῳ ἐξέτεινε χεῖρα αὐτοῦ, κατέστρεψε δὲ ἐκ ῥιζῶν ὄρη. τὰ κοιλώματα, τῶν ὑδάτων τὰς σύριγγας, δίνας δὲ ποταμῶν διέῤῥηξε. πᾶν δὲ ἔντιμον

εἶδε

oculos suos aperuit, & nō est. Occurrerunt ei sicut aqua, dolores, nocte autē abstulit eum caligo. Recipiet eum uentus urens, & abibit, & uentilabit eum de loco suo. Et inuciet super eum, & non parcet. E manu eius fuga fugiet, pulsabit super eum manus suas, & trahet eum de loco suo.

Ca. XXVIII.

Est enim argēto locus, unde fit, locus autem auri, unde conflatur. Ferrū quidem è terra fit, æs autem instar lapidis inciditur. Ordinem posuit tenebris, & omnem terminū ipse scrutatur. Lapis, tenebræ & umbra mortis. Incisio torrentis à calce, at obliuiscē tes uiæ iustæ, imbecilles fuerunt ex mortalibus. Concussa est terra, ex ea exibit panis, subtus ipse uersus est ut ignis. Locus sapphiri, lapides eius, & tumulus auri, ei semita. Non nouit eam uolucris, & non aspexit eam oculus uulturis, & non calcauerunt eam filii superborum, non præteriit in ea leo. In rupe extendit manum suam, subuertit autem à radicibus montes. Alueos, aquarum fistulas, ripas autem fluuiorum disrupit. Omne autem preciosum

uidit

uidit meus oculus. Profun
da autem fluuiorum rete-
xit, ostendit autem suã po
Prouerb.3 tentiam in lucem. At sapiẽ
Ibid.8 tia unde inuenta est? Qua
lis autem locus est sciẽtię?
Non nouit mortalis uiam
eius, neq; inuẽta est in ho-
minibus. Abyssus dixit,
Non inest in me. Et Ma-
re dixit, Non inest mecũ.
Non dabit conclusionem
pro ea, & non statuetur ar
gentum commutatio eius.
Et nõ portabitur cum au
ro sopheir, in onyche pre-
cioso & sappheiro. Non
æquabitur ei aurum & ui
trum, & mutatio eius uasa
aurea. Excelsa et sublimia
non memorabuntur, et tra
he sapientiam super intu-
ma. Non æquabitur ei to
pazium Aethiopiæ, cum
auro puro nõ portabitur.
At sapientia unde inuen-
ta est? Qualis autem locus
est intellectus? Latuit om
nem hominem, & a uolu-
cribus cœli abscõdita est.
Pernicies & Mors dixe-
runt, Audiuimus uero e-
ius gloriã. Deus bene con
stituit eius uiam, ipse autẽ
nouit locum eius. Ipse e-
nim eã quæ sub cœlo om-
nem inspicit, noscens quæ
in terra, omnia, quæ fe-
cit, uentorũ pondus, aquę
mensuras, quando fecit.
Sic uidens, numerauit &
uiam in concussione uo-
cis. Tunc uidit illam,
enar-

εἶδέ μου ὀφθαλμός. βάθη δὲ ποτα-
μῶν ἀνεκάλυψε, ἔδειξε δὲ αὐτῆς
δύναμιν εἰς φῶς. ἡ δὲ σοφία πό-
θεν εὑρέθη; ποῖος δὲ τόπος ἐστὶ
τῆς ἐπιστήμης; οὐκ οἶδε βροτὸς ὁ-
δὸν αὐτῆς, οὐδὲ μὴ εὑρέθη ἐν ἀν-
θρώποις. ἄβυσσος εἶπεν, οὐκ ἔνεστιν
ἐν ἐμοί. καὶ ἡ θάλασσα εἶπεν, οὐκ
ἔνεστιν μετ' ἐμοῦ. οὐ δώσει συγκλει-
σμὸν ἀντ' αὐτῆς, καὶ οὐ σταθήσεται
ἀργύριον ἀντάλλαγμα αὐτῆς. καὶ
οὐ συμβαστασχθήσεται σωφεὶρ, ἐν ὄνυ-
χι τιμίῳ καὶ σαπφείρῳ. οὐκ ἰσω-
θήσεται αὐτῇ χρυσίον καὶ ὕαλος.
καὶ τὸ ἄλλαγμα αὐτῆς σκεύη χρυ-
σᾶ. μετέωρα καὶ γάβις οὐ μνησθή-
σεται, καὶ ἕλκυσον σοφίαν ὑπὲρ
τὰ ἐσώτατα. οὐκ ἰσωθήσεται αὐ-
τῇ τοπάζιον αἰθιοπίας, χρυσίῳ κα-
θαρῷ οὐ συμβαστασχθήσεται. ἡ δὲ
σοφία πόθεν εὑρέθη; ποῖος δὲ
τόπος ἐστὶ τῆς συνέσεως; λέληθε
πάντα ἄνθρωπον, καὶ ἀπὸ πετει-
νῶν τοῦ οὐρανοῦ ἐκρύβη. ἡ ἀπώλεια
καὶ ὁ θάνατος εἶπαν, ἀκηκόαμεν
δὲ αὐτῆς τὸ κλέος. ὁ θεὸς εὖ συ-
νέστησεν αὐτῆς τὴν ὁδὸν, αὐτὸς
δὲ οἶδε τὸν τόπον αὐτῆς. αὐτὸς γὰρ
τὴν ὑπ' οὐρανὸν πᾶσαν ἐφορᾷ, εἰ-
δὼς τὰ ἐν τῇ γῇ πάντα, ἃ ἐ-
ποίησεν, ἀνέμων σταθμὸν, ὕδα-
τος μέτρα, ὅτε ἐποίησεν. οὕτως ἰ-
δὼν, ἠρίθμησε καὶ ὁδὸν ἐν τινάγ-
ματι φωνῆς. τότε εἶδεν αὐτὴν,

διηγήσατο αὐτὴν, ἑτοιμάσας ἐξιχνίασεν. εἶπε δὲ ἀνθρώπῳ, ἰδοὺ ἡ θεοσέβειά ἐστι σοφία, τὸ δὲ ἀπέχεσθαι ἀπὸ κακῶν, ἐστὶν ἐπιστήμη.

ΤΟΥ ΙΩΒ ΠΡΟΣ ΤΟΥΣ φίλους διάλεξις ἑνδεκάτη.

Ἔτι δὲ προσθεὶς ἰὼβ εἶπε τῷ προοιμίῳ, τίς ἄν με θείη κατὰ μῆνα ἔμπροσθεν ἡμερῶν, ὧν με ὁ θεὸς ἐφύλαξεν, ὡς ὅτε ηὔγει ὁ λύχνος αὐτοῦ ὑπὲρ κεφαλῆς μου, ὅτε τῷ φωτὶ αὐτοῦ ἐπορευόμην ἐν σκότει. ὅτε ἤμην ἐπιβρίθων ὁδοῖς, ὅτε ὁ θεὸς ἐπισκοπὴν ἐποιεῖτο τοῦ οἴκου μου, ὅτε ἤμην ὑλώδης λίαν, κύκλῳ δέ μου οἱ παῖδες. ὅτε ἐχέοντο αἱ ὁδοί μου βουτύρῳ, τὰ δὲ ὄρη μου ἐχέοντο γάλακτι. ὅτε ἐξεπορευόμην ὄρθριος ἐν πόλει, ἐν δὲ πλατείαις ἐτίθετό μου ὁ δίφρος. ἰδόντες με νεανίσκοι ἐκρύβησαν, πρεσβῦται δὲ πάντες ἔστησαν. ἁδροὶ δὲ ἐπαύσαντο λαλοῦντες, δάκτυλον ἐπιθέντες ἐπὶ στόματι, οἱ δὲ ἀκούσαντες ἐμακάρισάν με, καὶ γλῶσσα αὐτῶν τῷ λάρυγγι αὐτῶν ἐκολλήθη. ὅτι οὖς ἤκουσε, καὶ ἐμακάρισέ με, ὀφθαλμὸς δὲ ἰδὼν ἐξέκλινε. διέσωσα γὰρ πτωχὸν ἐκ χειρὸς δυνάστου, καὶ ὀρφανῷ, ᾧ οὐκ ἦν βοηθὸς, ἐβοήθησα. εὐλογία ἀπολλυμένου ἐπ' ἐμὲ ἔλθοι, στόμα δὲ χήρας με εὐλόγησεν. δικαιοσύνην δὲ ἐνεδεδύκειν, ἠμφιεσάμην δὲ κρίμα, ἴσα διπλοΐδι.

enarrauit eam, parans inuestigauit. Dixit autem homini, Ecce Dei cultus, est sapientia, at abstinere à malis, est scientia. Psal. 11 Pro. 10

IOB AD AMICOS differtatio undecima.

Adhuc aũt addẽs Iob dixit exordio, Quis me ponat p mẽsem ante dies, qb. me deus custodiuit, ut quãdo splẽdebat lucerna eius sup caput meũ, quando lumine eius ambulabã in tenebris. Quando fui onus gerens uiis, quando Deus inspectionem faciebat domus meæ, quando fui materia copiosus ualde, in circuitu autẽ mei pueri. Quãdo perfundebantur uiæ meę bu yro, at mõtes mei perfundebãtur lacte. Quãdo egrediebar matutinus in urbe, in plateis uero ponebatur mea sella. Videntes me iuuenes absconsi sunt, senes autem et omnes steterunt. Crassi autẽ quieuerunt loquentes, digitum imponẽtes in ore. At audiẽtes beatũ dixerunt me, & lingua eorũ gutturi suo agglutinata est. Quia auris audiuit, et beatũ dixit me, oculus aũt uidẽs declinauit. Cõseruaui eñ mẽdicũ è manu potẽtis, et pupillo, cui nõ erat auxiliator, auxiliatus sũ. Bñdictio peuntis sup me ueniat, os aũt uiduę mihi bñdixit. Iustitiã induerã, uestitus sum autẽ iudicium instar diploidis. Cap. XXIX

Oculus fui cæcorum, pes autem claudorum. Ego fui pater impotentum, causam autem, quam non noueram, inuestigaui. Contriui autem molas iniustorum, è medio dentium eorum raptum extraxi. Dixi autem, Aetas mea senescet, sicut truncus palmæ, multum tempus uiuam. Radix mea aperta est in aqua, & ros diuersabitur in messe mea. Gloria mea uana mecum, & arcus meus in manu eius ambulat. Me audientes attendebant, tacuerunt autem in meo consilio. In meo autem uerbo nō addiderūt, læti autem erant, quando illis loquebar. Sicut terra sitiens accipiēs imbrē, sic isti locutionē meā. Si riseto ad eos, nequaquam crediderīt, & lux cōspect⁹ mei nō decidit. Elegi uiam eorū, & consedi imperās. Et in tabernaculo eram, sicut rex in accinctis, quēadmodum humiles consolabar.

Cap.XXX Nunc autem deriserunt me minimi. Nunc admonent me in parte, quorum nihili feci patres eorum, quos non putaui esse dignos canibus meorum pascuorū. Et sanè robur manuum ipsorum quid mihi? Super ipsos periit consummatio, egestate et fame ductus. Fugientes sine aquis heri constrictionem & miseriam. Circumagentes

ὀφθαλμὸς ἤμην τυφλῶν, ποὺς δὲ χωλῶν. ἐγὼ ἤμην πατὴρ ἀδυνάτων, δίκην δὲ, ἣν οὐκ ᾔδειν, ἐξιχνίασα. συνέτριψα δὲ μύλας ἀδίκων, ἐκ μέσου τῶν ὀδόντων αὐτῶν ἅρπαγμα ἐξέσπασα. εἶπα δὲ, ἡ ἡλικία μου γηράσει, ὥσπερ στέλεχος φοίνικος, πολὺν χρόνον βιώσω. ἡ ῥίζα διήνοικται ἐπὶ ὕδατος, καὶ δρόσος αὐλισθήσεται ἐν τῷ θερισμῷ μου. ἡ δόξα μου κενὴ μετ' ἐμοῦ, καὶ τὸ τόξον μου ἐν χειρὶ αὐτοῦ πορεύεται. ἐμοῦ ἀκούσαντες προσέσχον, ἐσιώπησαν δὲ ἐπὶ τῇ ἐμῇ βουλῇ. ἐπὶ τῷ ἐμῷ ῥήματι οὐ προσέθεντο, περιχαρεῖς δὲ ἐγίνοντο, ὁπότ' ἂν αὐτοῖς ἐλάλουν. ὥσπερ γῆ διψῶσα προσδεχομένη τὸν ὑετὸν, οὕτως οὗτοι τὴν ἐμὴν λαλιάν. ἐὰν γελάσω πρὸς αὐτοὺς, οὐ μὴ πιστεύσωσι, καὶ φῶς τοῦ προσώπου μου οὐκ ἀπέπιπτεν. ἐξελεξάμην ὁδὸν αὐτῶν, καὶ ἐκάθισα ἄρχων. καὶ κατεσκήνουν ὡσεὶ βασιλεὺς ἐν μονοζώνοις, ὃν τρόπον ταπεινοὺς παρακαλῶν.

Νυνὶ δὲ κατεγέλασάν μου ἐλάχιστοι. νῦν νουθετοῦσί με ἐν μέρει, ὧν ἐξουδένουν πατέρας αὐτῶν, οὓς οὐχ ἡγησάμην ἀξίους κυνῶν τῶν ἐμῶν νομάδων. καί γε ἰσχὺς χειρῶν αὐτῶν ἵνα τί μοι; ἐπ' αὐτοὺς ἀπώλετο συντέλεια, ἐν ἐνδείᾳ καὶ λιμῷ ἄγονος. οἱ φεύγοντες ἄνυδρον ἐχθὲς συνοχὴν καὶ ταλαιπωρίαν, οἱ περικυκλοῦντες

ντες ἅλιμα ἐπὶ ἠχοῦντι, οἵ τε δὲ ἅ-
λιμα ἦν αὐτῶν τὰ σῖτα. ἄτιμοι δὲ
καὶ πεφαυλισμένοι, ἐνδεεῖς παν-
τὸς ἀγαθοῦ, οἳ καὶ ξύλων ἐμασῶντο
ὑπὸ λιμοῦ μεγάλου, ἐπανέστησάν μοι
κλέπται. ὧν οἱ οἶκοι αὐτῶν ἦσαν
τρῶγλαι πετρῶν, καὶ ἀνὰ μέσον
εὐήχων βοήσονται. οἳ ὑπὸ φρύγα-
να ἄγρια διῃτῶντο, ἀφρόνων υἱοί,
καὶ ἀτίμων ὄνομα καὶ κλέος ἐσβε-
σμένον ἀπὸ γῆς. νυνὶ δὲ κιθάρα
ἐγώ εἰμι αὐτῶν, καὶ ἐμὲ θρύλλημα
ἔχουσιν. ἐβδελύξαντο δέ με ἀποστάν-
τες μακράν, ἀπὸ δὲ τοῦ προσώπου
μου οὐκ ἐφείσαντο πτύελον. ἀνοίξας
γὰρ φαρέτραν αὐτοῦ, ἐκάκωσέ με, καὶ
χαλινὸν τοῦ προσώπου μου ἐξαπέστει-
λεν. ἐπὶ δεξιῶν βλαστοῦ ἐπανέστη-
σαν, πόδα αὐτοῦ ἐξέτειναν, καὶ ὡδο-
ποίησαν ἐπ᾽ ἐμὲ τρίβους ἀπωλείας
αὐτῶν. ἐξετρίβησαν τρίβοι μου, ἐξέ-
δυσε γάρ μου τὴν στολήν, βέλεσιν
αὐτοῦ κατηκόντισέ με. κέχρηται δέ
μοι, ὡς βούλεται, ἐν ὀδύναις πέφυρ-
μαι. ἐπιστρέφονταί μου αἱ ὀδύναι, ᾤ-
χετό μου ἡ ἐλπίς, ὥσπερ πνεῦμα καὶ
ὥσπερ νέφος, ἡ σωτηρία μου. καὶ νῦν
ἐπ᾽ ἐμὲ ἐκχυθήσεται ἡ ψυχή μου, ἔ-
χουσιν δέ με ἡμέραι ὀδυνῶν. νυκτὶ
δέ μου τὰ ὀστᾶ μου συγκέκαυται, τὰ
δὲ νεῦρά μου διαλέλυται. ἐν πολλῇ
ἰσχύϊ ἐπελάβετό μου τῆς στολῆς, ὥσ-
περ τὸ περιστόμιον τοῦ χιτῶνός μου
περιέσχε με, ἥγησαι δέ με ἴσα πηλῷ,
ἐν

tes aurones in sonante, qui
que uerò aurones erãt eo-
rum frumenta. Inhonesti
autem & uiles habiti, in-
digentes omnis boni, qui
& radices lignorũ mande
bant præ fame magna, in-
surrexerunt mihi fures.
Quorũ domus eorũ erant
foramina petrarũ, & p me
diũ bñ sonãtiũ clamabũt.
Qui sub sarmẽtis agresti-
bus uiuebãt, insipientiũ fi-
lii, & inhonestorũ nomẽ
et gloria extincta à terra.
nunc aũt cithara ego sum
eorũ, & me fabulã habẽt.
Fastidiuerũt aũt me rece-
dẽtes lõge, à cõspectu ue-
rò meo nõ abstinuerũt spu
tum. Aperiens enim pha-
retram suam male affecit
me, & frenum conspectus
mei emisit. In dextris ger-
minis insurrexerunt, pedẽ
eius extendit, & uiam fe-
cit in me semitas perniciei
eorum. Attritæ sunt semi-
tæ meæ, exuit enim meã
stolam, sagittis suis iacula-
tus est me. Usus est autem
me, ut uult, in doloribus
mixtus sum. Reuertunt aũt
mei dolores, abiit mea spes
quasi uẽtus, & quasi nebu
la, salus mea. Et nũc in me
effundet aĩa mea, hñt aũt
me dies dolorũ. Nocte aũt
ossa mea cõbusta sunt, at
nerui mei dissoluti sunt. In
multo robore apprehẽdit
meã uestẽ, sicut oræ tunicę
meę circundedit me, æsti-
masti autẽ me instar luti.

Oculus fui cæcorum, pes autem claudorum. Ego fui pater impotentum, causam autem, quam non noueram, inuestigaui. Contriui autem molas iniustorum, è medio dentium eorum raptum extraxi. Dixi autem, Aetas mea senescet, sicut truncus palmæ, multum tempus uiuam. Radix mea aperta est in aqua, & ros diuersabitur in messe mea. Gloria mea uana mecum, & arcus meus in manu eius ambulat. Me audientes attendebant, tacuerunt autem in meo consilio. In meo autem uerbo nō addiderūt, læti autem erant, quando illis loquebar. Sicut terra sitiens accipiēs imbrē, sic isti locutionē meā. Si risero ad eos, nequaquam crediderit, & lux cōspect⁹ mei nō decidit. Elegi uiam eorū, & consedi imperās. Et in tabernaculo eram sicut rex in accinctis, quēadmodum humiles consolabar.

Cap. XXX. Nunc autem deriserunt me minimi. Nunc admonent me in parte, quorum nihili feci patres eorum, quos non putaui esse dignos canibus meorum pascuorū. Et sanè robur manuum ipsorum quid mihi? Super ipsos periit consummatio, egestate et fame ductus. Fugientes sine aquis heri constrictionem & miseriam. Circumagentes

ὀφθαλμὸς ἤμην τυφλῶν, ποὺς δὲ χωλῶν. ἐγὼ ἤμην πατὴρ ἀδυνάτων, δίκην δέ, ἣν οὐκ ᾔδειν, ἐξιχνίασα. συνέτριψα δὲ μύλας ἀδίκων, ἐκ μέσου τῶν ὀδόντων αὐτῶν ἅρπαγμα ἐξέσπασα. εἶπα δέ, ἡ ἡλικία μου γηράσει, ὥσπερ στέλεχος φοίνικος, πολὺν χρόνον βιώσω. ἡ ῥίζα διήνοικται ἐπὶ ὕδατος, καὶ δρόσος αὐλισθήσεται ἐν τῷ θερισμῷ μου. ἡ δόξα μου κενὴ μετ' ἐμοῦ, καὶ τὸ τόξον μου ἐν χειρὶ αὐτοῦ πορεύεται. ἐμοῦ ἀκούσαντες προσέσχον, ἐσιώπησαν δὲ ἐπὶ τῇ ἐμῇ βουλῇ. ἐπὶ τῷ ἐμῷ ῥήματι οὐ προσέθεντο, περιχαρεῖς δὲ ἐγίνοντο, ὁπότ' ἂν αὐτοῖς ἐλάλουν. ὥσπερ γῆ διψῶσα προσδεχομένη τὸν ὑετόν, οὕτως οὗτοι τὴν ἐμὴν λαλιάν. ἐὰν γελάσω πρὸς αὐτούς, οὐ μὴ πιστεύσωσι, καὶ φῶς τοῦ προσώπου μου ἀπέπιπτεν. ἐξελεξάμην ὁδὸν αὐτῶν, καὶ ἐκάθισα ἄρχων, καὶ κατεσκήνουν ὡσεὶ βασιλεὺς ἐν μονοζώνοις, ὃν τρόπον ταπεινοὺς παρακαλῶν.

Νυνὶ δὲ κατεγέλασάν μου ἐλάχιστοι. νῦν νουθετοῦσί με ἐν μέρει, ὧν ἐξουδένουν πατέρας αὐτῶν, οὓς οὐχ ἡγησάμην ἀξίους κυνῶν τῶν ἐμῶν νομάδων. καί γε ἰσχὺς χειρῶν αὐτῶν ἵνα τί μοι; ἐπ' αὐτοὺς ἀπώλετο συντέλεια, ἐν ἐνδείᾳ καὶ λιμῷ ἀγόμενος. οἱ φεύγοντες ἄνυδρον ἐχθὲς συνοχὴν καὶ ταλαιπωρίαν, οἱ περικυκλοῦν-

περὶ ἅλιμα ἐπὶ ἠχοῦντι, οἵτε δὲ ἅλιμα ἦν αὐτῶν τὰ σῖτα. ἄτιμοι δὲ καὶ πεφαυλισμένοι, ἐνδεεῖς παντὸς ἀγαθοῦ, οἳ καὶ ξύλων ἐμασῶντο ὑπὸ λιμοῦ μεγάλου, ἐπανέστησάν μοι κλέπται. ὧν οἱ οἶκοι αὐτῶν ἦσαν τρῶγλαι πετρῶν, καὶ ἀνὰ μέσον εὐήχων βοήσονται. οἳ ὑπὸ φρύγανα ἄγρια διῃτῶντο, ἀφρόνων υἱοὶ, καὶ ἀτίμων ὄνομα καὶ κλέος ἐσβεσμένον ἀπὸ γῆς, νυνὶ δὲ κιθάρα ἐγώ εἰμι αὐτῶν, καὶ ἐμὲ θρύλλημα ἔχουσιν. ἐβδελύξαντο δέ με ἀποστάντες μακράν, ἀπὸ δὲ τοῦ προσώπου μου οὐκ ἐφείσαντο πτύελον. ἀνοίξας γὰρ φαρέτραν αὐτοῦ, ἐκάκωσέ με, καὶ χαλινὸν τοῦ προσώπου μου ἐξαπέστειλεν. ἐπὶ δεξιῶν βλαστοῦ ἐπανέστησαν, πόδα αὐτοῦ ἐξέτειναν, καὶ ὡδοποίησαν ἐπ' ἐμὲ τρίβους ἀπωλείας αὐτῶν. ἐξετρίβησαν τρίβοι μου, ἐξέδυσε γάρ μου τὴν στολὴν, βέλεσιν αὐτοῦ κατηκόντισέ με. κέχρηται δέ μοι, ὡς βούλεται, ἐν ὀδύναις πέφυρμαι. ἐπιστρέφονταί μου αἱ ὀδύναι, ᾤχετό μου ἡ ἐλπὶς, ὥσπερ πνεῦμα καὶ ὥσπερ νέφος, ἡ σωτηρία μου. καὶ νῦν ἐπ' ἐμὲ ἐκχυθήσεται ἡ ψυχή μου, ἔχουσιν δέ με ἡμέραι ὀδυνῶν. νυκτὶ δέ μου τὰ ὀστᾶ μου συγκέκαυται, τὰ δὲ νεῦρά μου διαλέλυται. ἐν πολλῇ ἰσχύϊ ἐπελάβετό μου τῆς στολῆς, ὥσπερ τὸ περιστόμιον τοῦ χιτῶνός μου περιέσχε με, ἥγησαι δέ με ἴσα πηλῷ,

ἐν

tes aurones in sonante, qui que uerô aurones erãt eorum frumenta. Inhonesti autem & uiles habiti, indigentes omnis boni, qui & radices lignorũ mandebant præ fame magna, insurrexerunt mihi fures. Quorũ domus eorũ erant foramina petrarũ, & p medıũ bñ sonãtiũ clamabũt. Qui sub sarmẽtis agrestibus uiuebãt, insipientiũ filii, & inhonestorũ nomẽ et gloria extincta à terra, nunc aũt cithara ego sum eorũ, & me fabulã habẽt. Fastidiuerũt aũt me recedẽtes lõge, à cõspectu uero meo nõ abstinuerũt sputum. Aperiens enim pharetram suam male affecit me, & frenum conspectus mei emisit. In dextris germinis insurrexerunt, pedẽ eius extendit, & uiam fecit in me semitas perniciei eorum. Attritæ sunt semitæ meæ, exuit enim meã stolam, sagittis suis iaculatus est me. Vsus est autem me, ut uult, in doloribus mixtꝰ sum. Reuertunẽ aũt mei dolores, abiit mea spes quasi uẽtus, & quasi nebula, salus mea. Et nũc in me effundeẽ aĩa mea, hñt aũt me dies dolorũ. Nocte aũt ossa mea cõbusta sunt, at nerui mei dissoluti sunt. In multo robore apprehẽdit meã ueste, sicut oræ tunicę meę circundedit me, æstimasti autẽ me instar luti.

 In

In terra & cinere mea pars. Clamaui autē ad te, & non exaudis me. Steterunt autem, & cōsiderauerunt me, insultauerunt aūt mihi sine misericordia. Manu forti me flagellasti, destinasti autem me in doloribus, & eiecisti me à salute. Noui enim, quod mors me cōteret. Domus ēm omni mortali, terra. Vtinā ēm, possem meipsum deprehēdere, aut precatus saltem alium, & faciet mihi hoc. Ego autem super omni impotente fleui, gemui autem uidens uirū in necessitatibus. Ego autē attendens bonis, ecce, occurrerunt mihi magis dies malorum. Cor meum efferbuit, & non tacebit. Præuenerunt me dies mendicitatis. Gemens ambulaui sine strangulatione, steti autē in cōcione clamās. Frater fui Sirenū, socius autē struthionū. At pellis mea obscurata est magnopere, at ossa mea aruerunt ab ardore. Euasit aūt in luctum mea cithara, at carmē meū in fletum mihi.

Cap.XXXI Fœdus posui oculis meis, & nō intelligā sup uirginē, & adhuc partitus est deus. Moriamur, & hęreditas sufficientis ex altissimis: Vę pernicies iniusto, & abalienatio facientibus iniquitatē. Nonne ipse uidebit uiam meam, & oēs gressus meos enumerabit? Au

ἐν γῇ καὶ σποδῷ μου ἡ μερίς. κέκραγα δὲ πρός σε, καὶ οὐκ εἰσακούεις μου. ἔστησαν δὲ, καὶ κατενόησάν με, ἐπέβησαν δέ μοι ἀνελεημόνως. χειρὶ κραταιᾷ με ἐμαστίγωσας, ἔταξας δέ με ἐν ὀδύναις, καὶ ἀπέρριψάς με ἀπὸ σωτηρίας. οἶδα γὰρ, ὅτι θάνατός με ἐκτρίψει. οἰκία γὰρ παντὶ θνητῷ, γῆ. εἰ γὰρ ὄφελον, δυναίμην ἐμαυτὸν διαχειρώσασθαι, ἢ δεηθείς γε ἑτέρου, καὶ ποιήσει μοι τοῦτο. ἐγὼ δὲ ἐπὶ παντὶ ἀδυνάτῳ ἔκλαυσα, ἐστέναξα ἰδὼν ἄνδρα ἐν ἀνάγκαις. ἐγὼ δὲ ἐπέχων ἀγαθοῖς, ἰδοὺ, συνήντησάν μοι μᾶλλον ἡμέραι κακῶν. ἡ καρδία μου ἐξέζεσε, καὶ οὐ σιωπήσεται. προέφθασάν με ἡμέραι πτωχείας. στένων πεπόρευμαι ἄνευ φιμοῦ, ἕστηκα δὲ ἐν ἐκκλησίᾳ κεκραγώς. ἀδελφὸς γέγονα δὲ σειρήνων, ἑταῖρος δὲ στρουθῶν. τὸ δὲ δέρμα μου ἐσκότωται μεγάλως, τὰ δὲ ὀστᾶ συνεφρύγη ἀπὸ καύματος. ἀπέβη δὲ εἰς πένθος μου ἡ κιθάρα, ὁ δὲ ψαλμός μου εἰς κλαυθμὸν ἐμοί.

Διαθήκην ἐθέμην τοῖς ὀφθαλμοῖς μου, καὶ οὐ συνήσω ἐπὶ παρθένον, καὶ ἔτι ἐμέρισεν ὁ θεός. ἀποθάνωμεν, καὶ κληρονομία ἱκανοῦ ἐξ ὑψίστων. οὐαὶ ἀπώλεια τῷ ἀδίκῳ, καὶ ἀπαλλοτρίωσις τοῖς ποιοῦσιν ἀνομίαν. οὐχὶ αὐτὸς ὄψεται ὁδόν μου, καὶ πάντα τὰ διαβήματά μου ἐξαριθμήσεται; εἰ δὲ

εἰ δὲ ἤμην πεπορευμένος μετὰ γελοιαστῶν; εἰ δὲ καὶ ἐσπούδασεν ὁ πούς μου εἰς δόλον; ἵσταμαι γὰρ ἐν ζυγῷ δικαίῳ. εἶδεν δὲ ὁ κύριος τὴν ἀκακίαν μου. εἰ ἐξέκλινεν ὁ πούς μου ἐκ τῆς ὁδοῦ, εἰ δὲ καὶ τῷ ὀφθαλμῷ ἐπηκολούθησεν ἡ καρδία μου. εἰ δὲ καὶ ταῖς χερσί μου ἡψάμην δώρων, σπείραιμι ἄρα, καὶ ἄλλοι φάγοισαν, ἄρριζος δὲ γενοίμην ἐπὶ γῆς. εἰ δὲ καὶ ἐξηκολούθησεν ἡ καρδία μου γυναικὶ ἀνδρὸς ἑτέρου, εἰ καὶ ἐγκάθετος ἐγενόμην ἐπὶ θύραις αὐτῆς, ἀρέσαι ἄρα καὶ ἡ γυνή μου ἀνδρὶ ἑτέρῳ, τὰ δὲ νήπιά μου ταπεινωθείη. θυμὸς γὰρ ὀργῆς ἀκατάσχετος, τὸ μιᾶναι ἀνδρὸς γυναῖκα. πῦρ γάρ ἐστι καιόμενον ἐπὶ πάντων τῶν ἡμερῶν, ᾧ δ' ἂν ἐπέλθῃ, ἐκ ῥιζῶν ἀπώλεσεν. εἰ δὲ καὶ ἐφαύλισα κρίμα θεράποντός μου ἢ θεραπαίνης, κρινομένων αὐτῶν πρός με, τί γὰρ ποιήσω, ἐὰν ἔτασίν μου ποιήσηται ὁ κύριος, ἐὰν δὲ καὶ ἐπισκοπήν, τίνα ἀπόκρισιν ποιήσομαι; πότερον οὐχ, ὡς καὶ ἐγὼ ἐγενόμην ἐν γαστρί, καὶ ἐκεῖνοι γεγόνασι; γεγόναμεν δὲ ἐν τῇ αὐτῇ κοιλίᾳ. ἀδύνατοι δὲ χρείαν, ἥν ποτε εἶχον, οὐκ ἀπέτυχον. χήρας δὲ τὸν ὀφθαλμὸν οὐκ ἐξέτηξα. εἰ δὲ καὶ τὸν ψωμόν μου ἔφαγον μόνος, καὶ οὐχὶ ὀρφανῷ μετέδωκα ἐξ αὐτοῦ; ὅτι ἐκ νεότητός μου ἐξέτρεφον ὡς πατήρ, καὶ ἐκ γαστρὸς

μητρὸς

An uerò fui ambulans cū scurris? An uerò et festinauit pes meus in dolū? Statutus sum enim in libra iusta. Vidit aūt dñs innocētiā meā. Si declinauit pes meus è uia, si aūt & oculū sequutū est cor meū, si adt et manibus meis tetigi dona, serā sane, & alii edāt. sine radice aūt sim in terra. Si aūt & sequutum est cor meū mulierē uiri alterius, si & insidiator fui ad ostia eius, placeat sanè & uxor mea alii, at infantes mei humilientur. Furor enim iræ non retētus ad cōtaminandum uiri uxorē. Ignis enim est ardens in omnibus diebus, cui autē superuenerit, à radicibus perdidit. Si autem & uile habui iudicium serui mei aut ancillę, disceptantibus illis aduersum me, quid ēm faciam, cum inquisitionē mei faciet dominus, si autē & inspectionem, quod responsum faciam? Vtrum non, ut & ego factus sum in utero, & illi facti sunt? Nati sumus uerò in eodē uentre. Impotentes autem usu, quem'q; habuerunt, non aberrarūt. Viduę autem oculum non tabefeci. An autem & buccellam meam edi solus, & non pupillo tradidi ex ea? Quoniā ab adolescētia mea enutriui, ut pater, et ex utero

matris

matris meæ deduxi. An aũt et despexi nudum pereũtem, & nõ uestiui: Impotentes autem an nõ benedixerunt mihi, à tonsura autem agnorum meorũ calefacti sunt humeri eorum: An intuli pupillo manum confisus, quod mihi multum auxiliũ adest: Decedat igit̃ humerus me⁹ à iũctura, at brachiũ meũ à cubito meo cõfringat̃. Timor enĩ dñi cõtinuit me. Et à sũptione eius nõ sustinebo: An destinaui aurũ, robur meum: An uero & lapide precioso fisus sum: An uero & lætatus sum, multis diuitiis mihi existẽtibus: An autem & in innumerabilibus posui manũ meã: Aut nõ uideo quidẽ solẽ illucescentẽ, deficiẽtem, lunam aũt decrescentem, non enim in eis est.

Et num deceptũ est clam cor meum: An autem manum meã imponens in ore meo osculatus sum: Et hoc mihi igit̃ iniquitas maxima cõputetur, qđ mẽtitus sum coram dño altissimo. An aũt & lętus factus sum ruina inimicorũ meorũ, et dixit cor meũ, Euge: Audiat sane auris mea execrationẽ meã, diuulget uero sane à poplo meo male affectus. An aũt et sępe dixerũt ancillę meę, Quis daret nobis carnibus eius impleri: Valde me utili existente, extra autem non diuersa-

μητρός μου ὡδήγησα. εἰ δὲ καὶ ὑπερεῖδον γυμνὸν ἀπολλύμενον, καὶ οὐκ ἠμφίασα; ἀδύνατοι δὲ εἰ μὴ εὐλόγησάν με, ἀπὸ δὲ κουρᾶς ἀμνῶν μου ἐθερμάνθησαν οἱ ὦμοι αὐτῶν; εἰ ἐπῆρα ὀρφανῷ χεῖρα πεποιθὼς, ὅτι μοι πολλὴ βοήθεια περίεστιν; ἀποσταίη ἄρα ὁ ὦμός μου ἀπὸ τῆς κλειδὸς, ὁ δὲ βραχίων μου ἀπὸ τοῦ ἀγκῶνος συντριβῇ. φόβος γὰρ κυρίου συνέσχε με. ἀπὸ τοῦ λήμματος αὐτοῦ οὐχ ὑποίσω; εἰ ἔταξα χρυσίον, ἰσχύν μου; εἰ δὲ καὶ λίθῳ πολυτελεῖ ἐπεποίθησα; εἰ δὲ καὶ εὐφράνθην, πολλοῦ πλούτου μοι γενομένου; εἰ δὲ καὶ ἐπ' ἀναριθμήτοις ἐθέμην χεῖρά μου; ἢ οὐχ ὁρῶ μὲν ἥλιον τὸν ἐπιφαύσκοντα, ἐκλείποντα, σελήνην δὲ φθίνουσαν, οὐ γὰρ ἐπ' αὐτοῖς ἐστι. καὶ εἰ ἠπατήθη λάθρα ἡ καρδία μου; εἰ δὲ χεῖρά μου ἐπιθεὶς ἐπὶ στόματί μου ἐφίλησα; καὶ τοῦτό μοι ἄρα ἀνομία ἡ μεγίστη λογισθείη, ὅτι ἐψευσάμην ἐναντίον κυρίου τοῦ ὑψίστου. εἰ δὲ καὶ ἐπιχαρὴς ἐγενόμην πτώματι ἐχθρῶν μου, καὶ εἶπεν ἡ καρδία μου, εὖγε; ἀκούσαι ἄρα τὸ οὖς μου τὴν κατάραν μου, θρυλληθείην δὲ ἄρα ὑπὸ λαοῦ μου κακούμενος. εἰ δὲ καὶ πολλάκις εἶπον αἱ θεράπαιναί μου, τίς ἂν δῴη ἡμῖν τῶν σαρκῶν αὐτοῦ πλησθῆναι; λίαν μου χρηστοῦ ὄντος, ἔξω δὲ οὐκ ηὐλί-

ζετο

-ζετο ξένος, ἡ δὲ θύρα μου παντὶ ἐλθόντι ἀνέῳκτο. εἰ δὲ καὶ ἁμαρτὼν ἀκουσίως, ἔκρυψα τὴν ἁμαρτίαν μου; οὐ γὰρ διετράπην πολυοχλίαν πλήθους, τοῦ μὴ ἐξαγορεῦσαι ἐνώπιον αὐτῶν. εἰ δὲ καὶ εἴασα ἀδύνατον ἐξελθεῖν τὴν θύραν μου κόλπῳ κενῷ; εἰ μὴ ἐδεδοίκειν, τίς δῴη ἀκούοντά μου; χεῖρα δὲ κυρίου εἰ μὴ ἐδεδοίκειν; συγγραφὴν δὲ, ἣν εἶχον κατά τινος, ἐπ' ὤμοις ἂν περιθέμενος στέφανον, ἀνεγίνωσκον; καὶ εἰ μὴ ῥήξας αὐτὴν ἀπέδωκα, οὐθὲν λαβὼν παρὰ χρεωφειλέτου; εἰ ἐπ' ἐμοί ποτε ἡ γῆ ἐστέναξεν, εἰ δὲ καὶ οἱ αὔλακες αὐτῆς ἔκλαυσαν ὁμοθυμαδόν; εἰ δὲ καὶ τὴν ἰσχὺν αὐτῆς ἔφαγον μόνος, ἄνευ τιμῆς; εἰ δὲ καὶ ψυχὴν κυρίου τῆς γῆς ἐκλαβὼν ἐλύπησα; ἀντὶ πυροῦ ἄρα ἐξέλθοι μοι κνίδη, ἀντὶ δὲ κριθῆς βάτος. καὶ ἐπαύσατο ἰὼβ ῥήμασιν.

Ἡσύχασαν δὲ καὶ οἱ τρεῖς φίλοι αὐτοῦ ἔτι ἀντειπεῖν ἰὼβ, ἦν γὰρ ἰὼβ δίκαιος ἐναντίον αὐτοῦ. ὠργίσθη δὲ ἐλιοῦς ὁ τοῦ βαραχιὴλ ὁ βουζίτης, ἐκ τῆς συγγενείας ῥὰμ τῆς αὐσίτιδος χώρας. ὠργίσθη δὲ τῷ ἰὼβ σφόδρα, διότι ἀπέφηνεν ἑαυτὸν δίκαιον ἐναντίον κυρίου, καὶ κατὰ τῶν τριῶν δὲ φίλων ὠργίσθη σφόδρα, διότι οὐκ ἠδυνήθησαν ἀποκριθῆναι ἀντίθετα ἰὼβ, καὶ ἔθεντο αὐτὸν εἶναι ἀσεβῆ.

ἐλιοῦ

uersabatur peregrinus, at ostium meũ omni uenienti apertum est. An autẽ & peccans inuitè, abscondi peccatũ meum? Nõ enim dimoui frequentiã multitudinis, ne edisſererem corã eis. An autem & siui impotentẽ exire ostiũ meum sinu uacuo? An non timueram, quis daret audientem me? Manum aũt mei dñi an non timueram? Scripti confessionẽ, quã habui cõtra quenpiam, in humeris circũponens coronã, legebam? Et non rumpẽs eam reddidi, nihil accipiens à pecuniæ debitore? An in me aliquando terra gemuit, an aũt et sulci eius fleuerũt concordes? An aũt & uim eius edi solus, sine ptecio? An aũt & animã dñi terræ apprehẽdẽs afflixi? Pro tritico igit egrediatur mihi urtica, pro ordeo autem spina. Et quieuit Iob uerbis.

Cessarũt aũt et tres amici eius amolius cõtradicere Iob, erat enim Iob iustus coram se. Iratus est autem Elius qui Barachiel Buzites, ex cognatione Ram, Ausitidis regionis. Iratus est autem Iob ualde quod ostendit seipsum iustum coram domino. Et contra tres uerò amicos iratus est ualde, quoniam non potuerunt respondere opposita Iob, & posuerũt ipsũ esse impiũ. Cap. XXXII

Elius

Elius autem sustinuit dare responsionem Iob, quod seniores eo sunt diebus. Et uidit Elius, quod non est respõsum in ore triũ uirorũ, & incitata est ira eius.

ELIV AD AMIcos & Iob obiectiõ.

Suscipiens autẽ Elius, ꝗ Barachiel Buzites, dixit, Iunior quidem sum tẽpore, uos autem estis seniores, ideo quieui, timẽs uobis renunciare meam scientiam. Dixi autem, quod non tempus est loquens. In multis autem annis nõ noui sapientiam, sed spiritus est in hominibus, flatus autem omnipotentis est docens. Non longæui sunt sapientes? Neq; senes norunt iudicium? Ideo dixi, Audite me, & renunciabo uobis, quæ noui. Auribus haurite mea uerba. Dicam enim uobis audientibus, usquequo scrutemini sermones, & usq; ad uos intelligam. Et ecce non fuit ipsi Iob arguens, respondẽs uerba eius ex uobis, ne dicatis, Inuenimus sapientiam domino addentes, homini aũt commisistis loqui talia uerba. Timuerunt, non respõderunt amplius, ueteres reddiderunt ex eis sermones. Sustinui, non enim loquutus sum. Quia steterunt, non responderunt. quia

ἐλιοῦς δὲ ὑπέμεινε δοῦναι ἀπόκρισιν ἰὼβ, ὅτι πρεσβύτεροι αὐτοῦ εἰσιν ἡμέραις. καὶ εἶδεν ἐλιοῦς, ὅτι οὐκ ἔστιν ἀπόκρισις ἐν στόματι τῶν τριῶν ἀνδρῶν, καὶ ἐθυμώθη ὀργὴ αὐτοῦ.

ΤΟΥ ΕΛΙΟΥ ΠΡΟΣ ΤΟΥΣ φίλους καὶ τὸν ἰὼβ ἀντίρρησις.

Ὑπολαβὼν δὲ ἐλιοῦς ὁ τοῦ βαραχιὴλ ὁ βουζίτης, εἶπεν, νεώτερος μέν εἰμι τῷ χρόνῳ, ὑμεῖς δέ ἐστε πρεσβύτεροι, διὸ ἡσύχασα, φοβηθεὶς τοῦ ὑμῖν ἀναγγεῖλαι τὴν ἐμαυτοῦ ἐπιστήμην. εἶπα δὲ, ὅτι οὐχ ὁ χρόνος ἐστὶν ὁ λαλῶν. ἐν πολλοῖς δὲ ἔτεσιν οὐκ οἴδασι σοφίαν, ἀλλὰ πνεῦμά ἐστιν ἐν βροτοῖς, πνοὴ δὲ παντοκράτορός ἐστιν ἡ διδάσκουσα. οὐχ οἱ πολυχρόνιοί εἰσιν οἱ σοφοί; οὐδ᾽ οἱ γέροντες οἴδασι κρίμα; διὸ εἶπα, ἀκούσατέ μου, καὶ ἀναγγελῶ ὑμῖν, ἃ οἶδα. ἐνωτίζεσθέ μου τὰ ῥήματα. ἐρῶ γὰρ ὑμῶν ἀκουόντων, ἄχρις οὗ ἐτάσητε λόγους, καὶ μέχρι ὑμῶν συνήσω. καὶ ἰδοὺ οὐκ ἦν τῷ ἰὼβ ἐλέγχων, ἀνταποκρινόμενος ῥήματα αὐτοῦ ἐξ ὑμῶν, ἵνα μὴ εἴπητε, εὕρομεν σοφίαν κυρίῳ προσθέμενοι, ἀνθρώπῳ δὲ ἐπιτρέψατε λαλῆσαι τοιαῦτα ῥήματα. ἐπτοήθησαν, οὐκ ἀπεκρίθησαν ἔτι, ἐπαλαίωσαν ἐξ αὐτῶν λόγους. ὑπέμεινα, οὐ γὰρ ἐλάλησα, ὅτι ἔστησαν, οὐκ ἀπεκρίθησαν, ὅτι

ὅτι ἀποκριθῶ κἀγὼ μέρος. Ὑπολαβὼν δὲ Ἐλιοῦς λέγει, πάλιν λαλήσω. πλήρης γάρ εἰμι ῥημάτων. ὀλέκει γάρ με τὸ πνεῦμα τῆς γαστρός. ἡ δὲ γαστήρ μου, ὥσπερ ἀσκὸς γλεύκους, ζέων, δεδεμένος, ἢ ὡς φυσητὴρ χαλκέως ἐῤῥηγώς. λαλήσω, ἵνα ἀναπαύσωμαι ἀνοίξας τὰ χείλη. ἀλλὰ μὴν οὐδὲ βροτὸν οὐ μὴ ἐντραπῶ. οὐ γὰρ ἐπίσταμαι θαυμάσαι πρόσωπον, εἰ δὲ μὴ, καὶ ἐμὲ σῆτες ἔδονται.

Οὐ μὴν δὲ, ἀλλὰ ἄκουσον Ἰὼβ τὰ ῥήματά μου, καὶ λαλιὰν ἐνωτίζου μου. ἰδοὺ γὰρ, ἤνοιξα τὸ στόμά μου, καὶ ἐλάλησεν ἡ γλῶσσά μου. καθαρά μου ἡ καρδία ῥήμασιν, σύνεσις δὲ χειλέων μου καθαρὰ νοήσει. πνεῦμα θεῖον τὸ ποιῆσάν με, πνοὴ δὲ παντοκράτορος ἡ διδάσκουσά με. ἐὰν δύνῃ, δός μοι ἀπόκρισιν πρὸς ταῦτα. ὑπόμεινον, στῆθι κατ᾽ ἐμὲ, καὶ ἐγὼ κατὰ σέ. ἐκ πηλοῦ διήρτισαι σὺ, ὡς καὶ ἐγώ. ἐκ τοῦ αὐτοῦ διηρτίσμεθα. οὐχ ὁ φόβος μου σὲ στροβήσει; οὐδὲ ἡ χείρ μου βαρεῖα ἔσται ἐπί σοι; πλὴν εἶπας, ἐν ὠσί μου φωνὴν ῥημάτων σου ἀκήκοα, διότι λέγεις, καθαρός εἰμι, οὐχ ἁμαρτών. ἄμεμπτος δὲ ἤμην, οὐκ ἠνόμησα, μέμψιν δὲ κατ᾽ ἐμοῦ εὗρεν. ἥγηται δέ με, ὥσπερ ὑπεναντίον, ἔθετο δὲ ἐν ξύλῳ τὸν πόδα μου, ἐφύλαξε δέ μου πάσας τὰς ὁδούς. πῶς γὰρ λέγεις, δίκαιος,

quia respondero & ego partem. Suscipiens autem Eli' dicit, Rursus loquar. Plenus enim sum uerbis. Perdit enim me spiritus uteri. At uēter meus, sicut uter musti, feruēs, ligatus, aut sicut follis fabri ferrarii ruptus. Loquar, ut requiescam aperiens labia. Quin uero neq; hominē unquam reueritus fuero. Nō enī scio mirari psonā, si aūt nō, et me tineæ edēt.

Ca. XXXIII

Veruntamen audi Iob uerba mea, & locutionē auribus hauri meā. Ecce enim, aperui os meū, & loquuta est lingua mea. Mūdum meū cor uerbis, intellectus labiorū meorū munda cogitabit. Spiritus diuinus faciens me, flatus autem omnipotentis docens me. Si potueris, da mihi responsum ad hæc. Sustine, sta cōtra me, & ego cōtra te. E luto cōpactus es tu, ut & ego. Ex eodē cōpacti sumus. Nō timor meus te uersabit? Neq; manus mea grauis erit in te: Quin dixisti, In aurib' meis uocē uerborū tuorū audiui, qm̄ dicis, Mūdus sum, nō peccās. Irreprehēsibilis uero fui, nō iniquè feci, reprehēsionē aūt contra me inuenit. Aestimauit autem me, sicut aduersarium, posuit autem in ligno pedem meum, custodiuit autem meas omnes uias. Quomodo enim dicis, iustus

iustus sum, & non exaudiuit me: Aeternus enim est supra homines. Dicis aũt, Quare iustitiæ meæ non exaudiuit meũ omne uerbum? Cum enim semel loquatur dominus, in secundo autem insomnium, aut in meditatione nocturna, aut ut cum incidat grauis timor super homines, in dormitationibus, in cubili. Tunc retegit mentem hominis, in speciebꝰ timoris talibus illis exterruit. Auertat hominem ab iniustitia, at corpus eius à ruina liberauit. Pepercit aũt animæ eius à morte, & ne caderet ipse in bello. Rursus autem arguit eum in languore, in cubili, & multitudinem ossium eius debilitauit. Omne autẽ cibum aptum frumenti nequaq̃ poterit accipere, & anima eius cibum desiderat, quousq; putrescant eius carnes, & ostendat ossa eius uacua. Propinquauit aũt in mortem anima eius, at uita eius in inferno. Si fuerint mille nuncii mortẽ ferentes, unus eorũ nequaquam uulnerauerit eum, si cogitauerit corde reuerti ad dñm. Renũciabit autẽ homini suã accusationẽ, at iniquitatem eius ostẽdet, cohibebit, ne cadat in eũ mors. Restaurabit autem eius corpus, sicut unctionẽ in pariete, at ossa eiꝰ implebit

δίκαιός εἰμι, καὶ οὐκ ἐπακήκοέ μου; αἰώνιος γάρ ἐστιν ὁ ἐπάνω βροτῶν. λέγεις δέ, διὰ τί τῆς δικαιοσύνης μου οὐκ ἐπακήκοέ μου πᾶν ῥῆμα; ἐν γὰρ τῷ ἅπαξ λαλῆσαι ὁ κύριος, ἐν δὲ τῷ δευτέρῳ ἐνύπνιον, ἢ ἐν μελέτῃ νυκτερινῇ, ἢ ὡς ὅταν ἐπιπίπτῃ δεινὸς φόβος ἐπ᾽ ἀνθρώπους, ἐπὶ νυσταγμάτων, ἐπὶ κοίτης. τότε ἀνακαλύπτει νοῦν ἀνθρώπων, ἐν εἴδεσι φόβου τοιούτοις αὐτοὺς ἐξεφόβησεν. ἀποστρέψαι ἄνθρωπον ἀπὸ ἀδικίας, τὸ δὲ σῶμα αὐτοῦ ἀπὸ πτώματος ἐρρύσατο. ἐφείσατο δὲ τῆς ψυχῆς αὐτοῦ ἀπὸ θανάτου, καὶ μὴ πεσεῖν αὐτὸν ἐν πολέμῳ. πάλιν δὲ ἤλεγξεν αὐτὸν ἐπὶ μαλακίᾳ, ἐπὶ κοίτης, καὶ πλῆθος ὀστῶν αὐτοῦ ἐνάρκησε. πᾶν δὲ βρωτὸν σίτου οὐ μὴ δύνηται προσδέξασθαι, καὶ ἡ ψυχὴ αὐτοῦ βρῶσιν ἐπιθυμεῖ, ἕως ἂν σαπρῶσιν αὐτοῦ αἱ σάρκες, καὶ ἀποδείξῃ τὰ ὀστᾶ αὐτοῦ κενά. ἤγγισε δὲ εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ, ἡ δὲ ζωὴ αὐτοῦ ἐν ᾅδῃ. ἐὰν ὦσι χίλιοι ἄγγελοι θανατηφόροι, εἷς αὐτῶν οὐ μὴ τρώσῃ αὐτόν, ἐὰν νοήσῃ τῇ καρδίᾳ ἐπιστραφῆναι ἐπὶ κύριον. ἀναγγελεῖ δὲ ἀνθρώπῳ τὴν ἑαυτοῦ μέμψιν, τὴν δὲ ἀνομίαν αὐτοῦ δείξει, ἀνθέξεται τοῦ μὴ πεσεῖν εἰς αὐτὸν θάνατον. ἀνανεώσει δὲ αὐτοῦ τὸ σῶμα, ὥσπερ ἀλοιφὴν ἐπὶ τοίχου, τὰ δὲ ὀστᾶ αὐτοῦ ἐμπλή-

σει

σει μυελῶ. ἁπαλυνεῖ δὲ αὐτοῦ τὰς σάρκας, ὥσπερ νηπίου, ἀποκαταστήσει δὲ αὐτὸν, ἀνδρωθέντα ἐν ἀνθρώποις. εὐξάμενος δὲ πρὸς κύριον, καὶ δεκτὰ αὐτῷ ἔσται. εἰσελεύσεται δὲ προσώπῳ ἱλαρῷ, σὺν ἐξηγορίᾳ, ἀποδώσει ἀνθρώποις δικαιοσύνην. εἶτα τότε ἀπομέμψεται ἄνθρωπος αὐτὸς ἑαυτῷ, λέγων, οἷα συνετέλουν, καὶ οὐκ ἄξια ἤτασέ με, ὧν ἥμαρτον. σῶσον ψυχήν μου τοῦ μὴ ἐλθεῖν εἰς διαφθοράν. καὶ ἡ ζωή μου φῶς ὄψεται. ἰδοὺ, ταῦτα πάντα ἐργᾶται ὁ ἰσχυρὸς, ὁδοὺς τρεῖς μετὰ ἀνδρός. ἀλλὰ ἐρρύσατο τὴν ψυχήν μου ἐκ θανάτου, ἵνα ἡ ζωή μου ἐν φωτὶ αἰνῇ αὐτόν. ἐνωτίζου ἰὼβ, καὶ ἄκουέ μου. κώφευσον, καὶ ἐγώ εἰμι λαλήσω. εἰ εἰσί σοι λόγοι, ἀποκρίθητί μοι. λάλησον, θέλω γὰρ δικαιωθῆναί σε, εἰ μὴ, σὺ ἄκουσόν μου. κώφευσον, καὶ διδάξω σε σοφίαν.

Ὑπολαβὼν δὲ ἐλιοῦς λέγει, ἀκούσατέ μου σοφοί. ἐπιστάμενοι ἐνωτίζεσθε τὸ καλόν. ὅτι οὖς λόγους δοκιμάζει, καὶ λάρυγξ γεύεται βρῶσιν. κρίσιν ἑλώμεθα ἑαυτοῖς, γνῶμεν ἀνὰ μέσον ἑαυτῶν, ὅτι καλόν. ὅτι εἴρηκεν ἰὼβ, δίκαιός εἰμι. ὁ κύριος ἀπήλλαξέ μου τὸ κρίμα. ἐψεύσατο δὲ τῷ κρίματί μου. βίαιον τὸ βέλος μου ἄνευ ἀδικίας. τίς

ἀνὴρ,

bit medulla. Molles reddet eius carnes, sicut infantis, restituet autem eum, uirũ factum in hominibus. Precatus autem ad dominũ, & accepta ei erunt. Ingredietur autem cõspectu puro cum enarratione, reddet hominibus iustitiam. Deinde tunc accusabit homo ipse seipsum, dicens, Qualia conficiebam, & non digna examinauit me, quæ peccaui. Salua animam meam, ne eat in perniciem Et uita mea lucem uidebit. Ecce, hæc omnia operatur fortis, uias tres cum uiro. Sed liberauit animam meam è morte, ut uita mea in luce laudet eum. Auribus hauri Iob, & audi me. Obmutesce, & ego sum locuturus. Si sunt tibi sermones, responde mihi. Loquere, uolo enim iustum reddi te, si non, tu audi me. Obmutesce, & docebo te sapientiam.

Caput XXXIIII

Suscipiens autem Elius dicit, Audite me sapientes. Scientes auribus haurite bonum. Quoniam auris sermones probat, & guttur gustat escam. Iudiciũ eligamus sibiipsis, cognoscamus in medio ipsorum, quod bonũ. Quoniã dixit Iob, Iustus sum. Dñs abalienauit meũ iudiciũ, mẽtitus est autem iudicio meo. Violenta sagitta mea sine iustitia. Quis

uir,

uir ſicut Iob? Bibens ſubſannationem ſicut aquam, non peccans, neq; impiè agens, neq; omnino communicans cum facientibus iniqua, ut ambulet cū impiis. Non enim dicas, qđ nō erit inſpectio uiri à domino. Ideo conſulti corde audite me. Ne mihi ſit coram domino impium eſſe, & coram omnipotēte turbaſſe iuſtum. Sed reddat homini, ſicut facit unuſquiſq; eorum, & in ſemita uiri inueniet eum. Putas autem dñm abſurda facturum, qui fecit terram. Quis aūt eſt faciens eam, quæ ſub cœlo & quæ inſunt omnia? Si enim uoluerit continere, & ſpiritum apud eum detinere, morietur omnis caro concors. Omnis enim homo in terram redibit, unde & formatus eſt. Si autem non admonitus es, audi hæc, auribus hauri uocem uerborum. Vide tu facientem iniqua, & perdentem prauos, exiſtentem æternum iuſtum. Impius dicens regi, Iniquus es, impiiſsimus principibus. Qui non reueritus eſt conſpectum honeſti, neq; nouit honorē ponere craſsis, mirari conſpectus eorum. Vana autem ipſis euenient, clamaſſe & oraſſe uirū. Vſi ſunt enim inique, incluſis impotentibus. Ipſe enim in-

ἀνὴρ, ὥσπερ ἰώβ; πίνων μυκτηρισμὸν ὥσπερ ὕδωρ, οὐχ ἁμαρτὼν, οὐδὲ ἀσεβήσας, οὐδ᾽ ὅλως κοινωνήσας μετὰ ποιούντων τὰ ἄνομα, τοῦ πορευθῆναι μετὰ ἀσεβῶν. μὴ γὰρ εἴπῃς, ὅτι οὐκ ἔσται ἐπισκοπὴ ἀνδρὸς παρὰ κυρίου. διὸ συνετοὶ καρδίας, ἀκούσατέ μου. μή μοι εἴη ἔναντι κυρίου ἀσεβῆσαι, καὶ ἔναντι παντοκράτορος ταράξαι τὸ δίκαιον. ἀλλὰ ἀποδιδοῖ ἀνθρώπῳ, καθὰ ποιεῖ ἕκαστος αὐτῶν, καὶ ἐν τρίβῳ ἀνδρὸς εὑρήσει αὐτόν. οἴει δὲ τὸν κύριον ἄτοπα ποιήσειν; ὃς ἐποίησε τὴν γῆν. τίς δ᾽ ἐστὶν ὁ ποιῶν τὴν ὑπ᾽ οὐρανὸν, καὶ τὰ ἐνόντα πάντα; εἰ γὰρ βούλοιτο συνέχειν, καὶ τὸ πνεῦμα παρ᾽ αὐτῷ κατασχεῖν, τελευτήσει πᾶσα σὰρξ ὁμοθυμαδόν. πᾶς γὰρ βροτὸς εἰς γῆν ἀπελεύσεται, ὅθεν καὶ ἐπλάσθη. εἰ δὲ μὴ νουθετῇ, ἄκουε ταῦτα, ἐνωτίζου φωνὴν ῥημάτων. ἴδε σὺ τὸν ποιοῦντα ἄνομα, καὶ τὸν ὀλλύντα τοὺς πονηροὺς, ὄντα αἰώνιον δίκαιον. ἀσεβὴς ὁ λέγων βασιλεῖ, παρανομεῖς, ἀσεβέστατε τοῖς ἄρχουσιν. ὃς οὐκ ἐπῃσχύνθη πρόσωπον ἐντίμου, οὐδὲ οἶδε τιμὴν θέσθαι ἁδροῖς, θαυμασθῆναι πρόσωπα αὐτῶν. κενὰ δὲ αὐτοῖς ἀποβήσεται, τὸ κεκραγέναι καὶ δεῖσθαι ἀνδρός. ἐχρήσαντο γὰρ παρανόμως, ἐκκλειομένων ἀδυνάτων. αὐτὸς γὰρ

ὁρᾷ

ὁρατὴς ἐστὶν ἔργων ἀνθρώπων, λέληθε δὲ αὐτὸν οὐδὲν, ὧν πράσσουσιν. οὐδέ ἐστι τόπος τοῦ κρυβῆναι τοὺς ποιοῦντας τὰ ἄνομα, ὅτι οὐκ ἐπ' ἄνδρα θήσει ἔτι. ὁ γὰρ κύριος πάντας ἐφορᾷ, ὁ καταλαμβάνων ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός. ὁ γνωρίζων αὐτῶν τὰ ἔργα, καὶ στρέψει νύκτα, καὶ ταπεινωθήσονται. ἔσβεσε δὲ ἀσεβεῖς, ὁρατοὶ δὲ ἐναντίον αὐτοῦ, ὅτι ἐξέκλιναν ἐκ νόμου θεοῦ. δικαιώματα αὐτοῦ οὐκ ἐπέγνωσαν, τοῦ ἐπαγαγεῖν ἐπ' αὐτὸν κραυγὴν πένητος. καὶ κραυγὴν πτωχῶν εἰσακούσεται. καὶ αὐτὸς ἡσυχίαν παρέξεται, καὶ τίς καταδικάσεται; καὶ κρύψει πρόσωπον, καὶ τίς ὄψεται αὐτόν; καὶ κατὰ ἔθνους καὶ κατὰ ἀνθρώπου ὁμοῦ, βασιλεύων ἄνθρωπον ὑποκριτὴν, ἀπὸ δυσκολίας λαοῦ, ὅτι πρὸς τὸν ἰσχυρὸν ὁ λέγων, εἴληφα, οὐκ ἐνεχυράσω, ἄνευ ἐμαυτοῦ ὄψομαι. σὺ δεῖξόν μοι, εἰ ἀδικίαν εἰργασάμην, οὐ μὴ προσθήσω. μὴ παρά σου ἀποτίσῃς αὐτὴν, ὅτι σὺ ἀπώσῃ, ὅτι σὺ ἐκλέξῃ, καὶ οὐκ ἐγώ. καὶ τί ἔγνως; λάλησον. διὸ συνετοὶ καρδίας ἐροῦσι ταῦτα, ἀνὴρ δὲ σοφὸς ἀκήκοέ μου τὸ ῥῆμα. ἰὼβ δὲ οὐκ ἐν συνέσει ἐλάλησε, τὰ δὲ ῥήματα αὐτοῦ οὐκ ἐν ἐπιστήμῃ. οὐ μὴν δὲ ἀλλὰ μάθε ἰὼβ, μὴ δῷς ἔτι ἀνταπόκρισιν, ὥσπερ οἱ

inspector est operũ hominum, latuit autem illum nihil eorum, quæ faciunt. Neq; est locus abscondendi facientes iniqua, quia non in uirũ ponet adhuc. Nam dominus omnes inspicit, deprehendens imperuestigabilia, gloriosaque & excellentia, quorũ non est numerus. Cognoscens eorum opera, & uertet noctem, & humiliabũtur. Extinxit autem impios, cõspicui autem coram eo, quod declinauerunt à lege dei. Iudicia eius non cognouerũt, ut adducerẽt ad eum clamorem pauperis. Et clamorem mẽdicorum exaudiet. Et ipse trãquillitatem præbebit, & quis condemnabit? Et abscondet conspectũ, et quis uidebit eũ? Et contra gentem & contra hominem simul, regem statuens hominem simulatorẽ, ob difficultatẽ populi, quod ad fortem dicens, Accepi, nõ oppignorabo, sine meipso uidebo. Tu ostende mihi, an iniustitiam operatus sim, nequaquam addam. Num à te psoluas eã, qđ tu expuleris, quia tu elegeris, et nõ ego. Et qđ nosti? Loquere. Ideo cõsulti corde dicẽt hęc, uir aũt sapiẽs audiuit meũ uerbũ. Iob autẽ nõ in itellectu locut⁹ ẽ, at uerba ei⁹ nõ in sciẽtia. Verũtñ disce Iob, ne dederis ampli⁹ respõsionẽ, sicut

insipientes, ne addamus super peccatis nostris. Iniquitas autem à nobis reputabitur, multa loquẽtibus uerba coram domino.

Cap. XXXV Suscipiens autem Elius dicit, Quid hoc æstimasti in iudicio? Tu quis es, qđ dixisti, Iustus sum coram domino. Aut dices, quid faciam peccans? Ego autem tibi dabo responsum & tribus amicis. Suspice in cœlum, & uide. Considera nubes, ut altæ à te. Si peccasti, quid ages? Si autem & multa iniquè egisti, quid poteris facere? Quoniam igitur iustus es, quid dabis ei, aut quid ẽ manu tua accipiet? Viro simili tui impietas tua, & filio hominis iustitia tua. A multitudine calumniati clamabunt, uociferabuntur à brachio multorum. Et non dixit, Vbi est deus, faciens me, instruẽs custodias nocturnas, diuidẽs me à quadrupedibus terræ, à uolucribus autẽ cœli. Ibi clamabũt, & nequaquam exaudiet ab iniuria malorum. Indigna enim uidere non uult dominus. Ipse enim omnipotens inspector est conficientium iniqua, & saluabit me. Iudicare autem coram eo, si potes eum laudare, ut est. Et nunc, quia non est considerans iram eius, non nouit delicto ualde.

οἱ ἄφρονες, ἵνα μὴ προσθῶμεν ἐφ' ἁμαρτίαις ἡμῶν· ἀνομία δὲ ἀφ' ἡμῖν λογισθήσεται, πολλὰ λαλούντων ῥήματα ἐναντίον κυρίου.

Ὑπολαβὼν δὲ ἔτι Ἐλιοὺς λέγει, τί τοῦτο ἡγήσω ἐν κρίσει; σὺ τίς εἶ, ὅτι εἶπας, δίκαιός εἰμι ἐναντίον κυρίου. ἢ ἐρεῖς, τί ποιήσω ἁμαρτών; ἐγὼ δέ σοι δώσω ἀπόκρισιν καὶ τοῖς τρισὶ φίλοις. ἀνάβλεψον εἰς τὸν οὐρανόν, καὶ ἴδε. κατάμαθε δὲ νέφη, ὡς ὑψηλὰ ἀπὸ σοῦ. εἰ ἥμαρτες, τί πράξεις; εἰ δὲ καὶ πολλὰ ἠνόμησας, τί δύνασαι ποιῆσαι; ἐπεὶ δ' οὖν δίκαιος εἶ, τί δώσεις αὐτῷ, ἢ τί ἐκ χειρός σου λήψεται; ἀνδρὶ τῷ ὁμοίῳ σου ἡ ἀσέβειά σου, καὶ υἱῷ ἀνθρώπου ἡ δικαιοσύνη σου. ἀπὸ πλήθους συκοφαντούμενοι κεκράξονται, βοήσονται ἀπὸ βραχίονος πολλῶν. καὶ οὐκ εἶπε, ποῦ ἐστιν ὁ θεὸς, ὁ ποιήσας με, ὁ κατατάσσων φυλακὰς νυκτερινάς, ὁ διορίζων με ἀπὸ τετραπόδων γῆς, ἀπὸ δὲ πετεινῶν οὐρανοῦ. ἐκεῖ κεκράξονται, καὶ οὐ μὴ εἰσακούσῃ ἀπὸ ὕβρεως πονηρῶν. ἄτοπα γὰρ ἰδεῖν οὐ βούλεται ὁ κύριος, αὐτὸς γὰρ ὁ παντοκράτωρ, ὁρατής ἐστι τῶν συντελούντων τὰ ἄνομα, καὶ σώσει με. κρίθητι δὲ ἐναντίον αὐτοῦ, εἰ δύνασαι αὐτὸν αἰνέσαι, ὥς ἐστι. καὶ νῦν, ὅτι οὐκ ἔστιν ἐπισκεπτόμενος ὀργὴν αὐτοῦ, οὐκ ἔγνω παραπτώματι σφόδρα.

δ᾽ ἔχει. καὶ ἰὼβ ματαίως ἀνοίγει τὸ στόμα αὐτοῦ, ἐν ἀγνωσίᾳ ῥήματα βαρύνει.

ΕΛΙΟΥΣ ΔΙΑΛΕξις πέμπτη.

Προσθεὶς δὲ ἔτι λέγει, μεῖνόν με μικρὸν ἔτι, ἵνα διδάξω σε. ἔτι γὰρ ἐν ἐμοί ἐστι λέξις. ἀναλαβὼν τὴν ἐπιστήμην μου μακρὰν, ἔργοις δέ μου δίκαια ἐρῶ ἐπ᾽ ἀληθείας. καὶ οὐκ ἄδικα ῥήματα ἀδίκως συνιεῖς. γίνωσκε δὲ, ὅτι ὁ μὴ ἀποποιήσηται τὸν ἄκακον δυνατὸς ἰσχύϊ. καρδίας ἀσεβῶν οὐ μὴ ζωοποιήσῃ, καὶ κρίματα πτωχῶν δώσει. οὐκ ἀφελεῖ ἀπὸ δικαίου ὀφθαλμοὺς αὐτοῦ, καὶ μετὰ βασιλέων εἰς θρόνον καθιεῖ αὐτοὺς, εἰς νῖκος, καὶ ὑψωθήσονται. καὶ οἱ πεπεδημένοι ἐν χειροπέδαις συσχεθήσονται, ἐν σχοινίῳ πενίας. καὶ ἀναγγελεῖ αὐτοῖς τὰ ἔργα αὐτῶν καὶ τὰ παραπτώματα αὐτῶν, ὅτι ἰσχύσουσιν. ἀλλὰ τοῦ δικαίου εἰσακούσεται, καὶ εἶπεν, ὅτι ἐπιστραφήσονται ἐξ ἀδικίας. ἐὰν ἀκούσωσι, καὶ δουλεύσωσι, συντελέσουσι τὰς ἡμέρας αὐτῶν ἐν ἀγαθοῖς, καὶ τὰ ἔτη αὐτῶν ἐν εὐπρεπείαις. ἀσεβεῖς δὲ οὐ διασώζει, παρὰ τὸ μὴ βούλεσθαι αὐτοὺς εἰδέναι τὸν κύριον, καὶ διότι νουθετούμενοι, ἀνήκοοι ἦσαν. καὶ ὑποκριταὶ καρδίᾳ τάξουσι θυμὸν, οὐ βοήσονται, ὅτι

ἔδη-

de. Et Iob frustra aperit os suum, in ignorantia uerba ponderat.

ELIVS DISSERtatio quinta.

Ὑπολαβὼν δὲ ἰὼβ, τῷ κυρίῳ λέγει, οἶδα, ὅτι πάντα δύνασαι, ἀδυνατεῖ δέ σοι οὐδέν. τίς γάρ ἐστιν ὁ κρύπτων σε βουλὴν, φειδόμενος δὲ ῥημάτων, καί σε οἴεται κρύπτειν; τίς δὲ ἀναγγελεῖ μοι, ἃ οὐκ ᾔδειν, μεγάλα καὶ θαυμαστὰ, ἃ οὐκ ἐπιστάμην; ἄκουσον δέ μου κύριε, ἵνα κἀγὼ λαλήσω. ἐρωτήσω δέ σε, σὺ δέ με δίδαξον. ἀκοὴν μὲν ὠτὸς, ἤκουόν σου τὸ πρότερον, νῦν δὲ ὀφθαλμός μου ἑώρακέ σε. διὸ ἐφαύλισα ἐμαυτὸν, καὶ ἐτάκην, ἥγησα δὲ ἐμαυτὸν γῆν καὶ σποδόν. Ἐγένετο δὲ μετὰ τὸ λαλῆσαι τὸν κύριον πάντα τὰ ῥήματα ταῦτα τῷ ἰὼβ, εἶπεν ὁ κύριος ἐλιφὰζ τῷ θαιμανίτῃ, ἥμαρτες σὺ,

καὶ

lapidis iactum, quidem fœnum. Vt calamus æstimati sunt mallei, deridet autem concussionẽ igniferam. Stratus eius obelisci acuti, omne aũt aurũ maris ad illum, sicut lutũ. Indictus ebullit profundũ, tanquam officina ferrarii. Aestimauit autem mare tanquam spongiã, at Tartarũ profundi sicut captiuum. Aestimauit profundum in deambulacrum. Non est quicquam in terra simile illi factũ, ut illudatur ab angelis meis. Omne sublime uidet, ipse autem rex omnium in aquis.

Cap. XLII

Suscipiens autem Iob, domino dicit, Noui, quod omnia potes, impossibile autem est tibi nihil. Quis enim est qui cælans te cõsilium, parcens autem uerbis, & te putat celare? Quis autem renunciabit mihi, quæ non noueram, magna & mirabilia, quæ non sciueram? Audi autem me domine, ut & ego loquar. Interrogabo autem te, tu autem me doce. Auditionem quidem auris, audiui te prius, nunc aũt oculus meus uidit te. Ideo uilipendi meipsum, & contabui, æstimaui autem meipsum terram & cinerem. Factum est autem, postquam loquutus est dominus omnia uerba hæc Iob, dixit dñs Eliphaz Thaimanitę, Peccasti tu,

& duo amici tui. Non enim loquuti estis corã me uerum ullum, sicut seruus meus Iob. Nunc autem accipite septem uitulos & septẽ arietes, & ite ad seruum meum Iob, & faciet libamen pro uobis. Iob uero minister meus orabit pro uobis, quia nõ nisi cõspectum eius suscipiam, si non enim propter eũ, perdidissem utiq; uos. Non enim loquuti estis uerum contra seruum meum Iob. Abiit autẽ Eliphaz Thaimanites & Baldad Sauchites & Sophar Menæus, & fecerunt, sicut præcepit eis dominus, & soluit peccatum eis propter Iob. At dominus auxit Iob. Orante autem eo & pro amicis suis, & remisit illis peccatũ. Dedit autẽ dominus dupla, quotquot erant prius Iob, in duplicationem. Audierunt autem omnes fratres eius & sorores eius omnia contingentia ei, et uenerunt ad eũ, et oẽs, quotquot nouerũt eũ à primo. Edentes autem & bibentes apud eum, consolati sunt eum, & mirati sunt in omnibus, quæ induxit in eum dominus. Dedit autem ei unusquisque agnam unam, & quadridrachmam auream sine signo. At dominus bene-

καὶ οἱ δύο φίλοι σου. οὐ γὰρ ἐλαλήσατε ἐνώπιόν μου ἀληθὲς οὐδέν, ὥσπερ ὁ θεράπων μου ἰώβ. νῦν δὲ λάβετε ἑπτὰ μόσχους καὶ ἑπτὰ κριούς, καὶ πορεύθητε πρὸς τὸν θεράποντά μου ἰώβ, καὶ ποιήσει κάρπωσιν ὑπὲρ ὑμῶν. ἰὼβ δὲ ὁ θεράπων μου εὔξεται περὶ ὑμῶν, ὅτι εἰ μὴ πρόσωπον αὐτοῦ λήψομαι, εἰ μὴ γὰρ δι' αὐτόν, ἀπώλεσα ἂν ὑμᾶς. οὐ γὰρ ἐλαλήσατε ἀληθὲς κατὰ τοῦ θεράποντός μου ἰώβ. Ἐπορεύθη δὲ ἐλιφὰζ ὁ θαιμανίτης καὶ βαλδὰδ ὁ σαυχίτης καὶ σωφὰρ ὁ μιναῖος, καὶ ἐποίησαν, καθὼς συνέταξεν αὐτοῖς ὁ κύριος, καὶ ἔλυσε τὴν ἁμαρτίαν αὐτοῖς διὰ ἰώβ. ὁ δὲ κύριος ηὔξησε τὸν ἰώβ. εὐξαμένου δὲ αὐτοῦ καὶ περὶ τῶν φίλων αὐτοῦ, καὶ ἀφῆκεν αὐτοῖς τὴν ἁμαρτίαν. ἔδωκε δὲ ὁ κύριος διπλᾶ, ὅσα ἦν ἔμπροσθεν ἰώβ, εἰς διπλασιασμόν. Ἤκουσαν δὲ πάντες οἱ ἀδελφοὶ αὐτοῦ καὶ αἱ ἀδελφαὶ αὐτοῦ πάντα τὰ συμβεβηκότα αὐτῷ, καὶ ἦλθον πρὸς αὐτόν, καὶ πάντες, ὅσοι ᾔδεισαν αὐτὸν ἐκ πρώτου. φαγόντες δὲ καὶ πιόντες παρ' αὐτῷ, παρεκάλεσαν αὐτόν, καὶ ἐθαύμασαν ἐπὶ πᾶσιν, οἷς ἐπήγαγεν ἐπ' αὐτῷ ὁ κύριος. Ἔδωκε δὲ αὐτῷ ἕκαστος ἀμνάδα μίαν, καὶ τετράδραχμον χρυσοῦν ἄσημον. ὁ δὲ κύριος εὐλό-

εὐλόγησε τὰ ἔσχατα ἰὼβ, ἢ τὰ ἔμ-
προσθεν. ἦν δὲ τὰ κτήνη αὐτοῦ,
πρόβατα μύρια, τετρακισχίλια, κα-
μῆλοι ἑξακισχίλιαι, ζεύγη βοῶν χί-
λια, ὄνοι θήλειαι, νομάδες, χι-
λίαι. γεννῶνται δὲ αὐτῷ υἱοὶ ἑπτὰ
καὶ θυγατέρες τρεῖς, καὶ ἐκάλεσε
τὴν μὲν πρώτην, ἡμέραν, τὴν δὲ
δευτέραν, κασίαν, τὴν δὲ τρί-
την, ἀμαλθαίας κέρας. καὶ οὐχ
εὑρέθησαν κατὰ τὰς θυγατέρας
ἰὼβ βελτίους αὐτῶν, ἐν τῇ ὑπ' οὐ-
ρανόν. ἔδωκε δὲ αὐταῖς ὁ πατὴρ
κληρονομίαν ἐν τοῖς ἀδελφοῖς. ἔ-
ζησε δὲ ἰὼβ μετὰ τὴν πληγὴν, ἔτη
ἑκατὸν ἑβδομήκοντα. τὰ δὲ πάν-
τα ἔζησεν ἔτη, διακόσια, τεσσαρά-
κοντα ὀκτώ. καὶ εἶδεν ἰὼβ τοὺς υἱοὺς
τῶν υἱῶν αὐτοῦ, τετάρτην γενεάν.
καὶ ἐτελεύτησεν ἰὼβ πρεσβύτε-
ρος, καὶ πλήρης ἡμερῶν. γέγρα-
πται δὲ, αὐτὸν πάλιν ἀναστή-
σεσθαι, μεθ' ὧν ὁ κύριος ἀνίστη-
σιν. οὗτος ἑρμηνεύεται ἐκ τῆς
συριακῆς βίβλου, ἐν μὲν γῇ κα-
τοικῶν τῇ αὐσίτιδι, ἐπὶ τοῖς ὁρί-
οις τῆς ἰδουμαίας καὶ ἀραβίας.
προϋπῆρχεν δὲ αὐτῷ ὄνομα ἰωβάβ.
λαβὼν δὲ γυναῖκα ἀράβισσαν, γεν-
νᾷ υἱὸν, ᾧ ὄνομα ἐννών. ἦν δὲ αὐτὸς
πατρὸς μὲν ζαρὲ τῶν ἡσαῦ υἱῶν υἱὸς,
μητρὸς δὲ βοσσόρας, ὥστε εἶναι αὐτὸν
πέμπτον ἀπὸ ἀβραάμ. καὶ οὗτοι οἱ βα-
σιλεῖς οἱ βασιλεύσαντες ἐν ἐδὼμ,

ἧς

benedixit ultimis Iob su-
pra quàm prioribus. Fue-
runt autem pecora eius,
oues decē & quatuor mil-
le, cameli sex mille, iuga
boum mille, asinæ fœmi-
næ pascentes mille. Na-
scūtur autem ei filii septē,
& filiæ tres. Et uocauit
quidem primam, Diem, at
secundam, Cassan, at ter-
tiam Almathaiæ cornu.
Et non inuentæ sunt secū
dum filias Iob meliores eis
in ea quæ sub cœlo. Dedit
autem eis pater hæredita-
tem in fratribus. Vixit au
tem Iob post plagam, an-
nos centum quadraginta.
At omnes uixit annos, du-
centos, quadragintaocto.
Et uidit Iob filios suos &
filios filiorum suorū, quar-
tam progeniem. Et mortu
us est Iob senior et plenus
dierum. Scriptum est au-
tem, cum rursus resurrectu
rum, cum quibus Domi-
nus resurgit. Hic trāslatus
est interpretatione ex Sy
riaco libro, in terra quidē
inhabitans Ausitide, in cō
finiis Idumaiæ & Ara-
biæ. Antè uero extitit ei
nomen Iobab. Accipiens
uerò uxorē Arabissan, gig
nit filium, cui nomen En-
non. Erat autem ipse pa-
tris quidem Zare, Esau fi
liorum filius, matris uerò
Bossoras, ut sit ipse quin-
tus ab Habraam. Et hi re
ges regnantes in Edom,

Ψαλμὸς τῷ Δαβὶδ ἀνεπίγραφος παρ' ἑβραίοις α.



Μακάριος ἀνὴρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη, καὶ ἐπὶ καθέδρᾳ λοιμῶν οὐκ ἐκάθισεν. Ἀλλ' ἢ ἐν τῷ νόμῳ κυρίου τὸ θέλημα αὐτοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός. Καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ. Καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀποῤῥυήσεται, καὶ πάντα ὅσα ἂν ποιῇ, κατευοδωθήσεται. Οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως, ἀλλ' ἢ ὡσεὶ χνοῦς, ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς. Διὰ τοῦτο οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει, οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων. Ὅτι γινώσκει κύριος ὁδὸν δικαίων, καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται.

Ψαλμὸς Δαβὶδ β.

Ἱνατί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ, κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ χριστοῦ αὐτοῦ. Διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν, καὶ ἀποῤῥίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν. Ὁ κατοικῶν ἐν οὐρανοῖς, ἐκγελάσεται

Psalmus Dauid sine inscriptione apud Hebræos, I.



Beat⁹ uir qui non ambulauit in cōsilio impiorū, & in uia peccatorum nō stetit, & in consessu pestilentum non consedit. Sed in lege Domini uoluntas eius, & in lege eius meditabitur die ac nocte. Et erit tanquam lignum plantatum ad exitus aquarum, quod fructum suum dabit in tempore suo. Et folium eius non defluet, & omnia quæcūq; faciet, successum habebunt. Non sic impii, non sic, sed tanq̄ puluis, quem eiicit uentus à conspectu terræ. Ideo nō resurgēt impii in iudicio, neq̃ peccatores in cōsilio iustorū. Qm̄ nouit Dñs uiā iustorū, et iter impiorum peribit. Hiere. 17

Psalmus David II.

Quare fremuerunt gentes, & populi meditati sūt inania? Adstiterūt reges terræ, & principes cōgregati sunt in unū, aduersus Dñm, & aduersus Christū eius. Dirūpamus uincula eorum, et abiiciamus à nobis iugū ipsorū. Habitans in coelis, irridebit Act. 4.

bit eos, & Dominus subsannabit eos. Tūc loquētur ad eos in ira sua, & in furore suo turbabit eos.

Ego autem constitutus sum rex ab eo, super Sion montem sanctum eius, denuncians praeceptum Do-
Heb.1 mini. Dominus dixit ad
Act.13 me, Filius meus es tu, ego
Apoc.2.19 hodie genui te. Postula à me, & dabo tibi gētes hæreditatem tuam, & possessionem tuam, terminos terræ. Reges eos in uirga ferrea, tanquam uasa figuli confringes eos. Et nūc reges intelligite, erudimini omnes iudicantes terram. Seruite Domino in timore, & lætemini ei in tremore. Apprehendite disciplinam, ne quando irascatur Dominus, et pereatis è uia iusta. Vnde exarserit in breui ira eius. Beati omnes confisi in eo.

Psalmus Dauid, quando aufugit à conspectu Abessalom filii sui III.

Domine, quid multiplicati sunt affligētes me? Multi insurgunt aduersum me. Multi dicunt animæ meæ, non est salus ipsi in Deo eius. Tu autem Domine susceptor meus es, gloria mea, et exaltās caput meū. Voce mea ad Dn̄m clamaui,

ται αὐτοὺς, καὶ ὁ κύριος ἐκμυκτηριεῖ αὐτούς. Τότε λαλήσει πρὸς αὐτοὺς ἐν τῇ ὀργῇ αὐτοῦ, καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς. Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ᾽ αὐτοῦ, ἐπὶ σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ, διαγγέλλων τὸ πρόσταγμα κυρίου. Κύριος εἶπε πρός με, υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε. Αἴτησαι παρ᾽ ἐμοῦ, καὶ δώσω σοὶ ἔθνη, τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου, τὰ πέρατα τῆς γῆς. Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, ὡς σκεῦος κεραμέως συντρίψεις αὐτούς. Καὶ νῦν βασιλεῖς συνίετε, παιδεύθητε πάντες οἱ κρίνοντες τὴν γῆν. Δουλεύσατε τῷ κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ. Δράξασθε παιδείας, μήποτε ὀργισθῇ κύριος, καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας. Ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ. μακάριοι πάντες οἱ πεποιθότες ἐπ᾽ αὐτῷ.

Ψαλμὸς τῷ Δαβίδ, ὁπότε ἀπεδίδρασκεν ἀπὸ προσώπου ἀβεσσαλὼμ τοῦ υἱοῦ αὐτοῦ γ.

Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; πολλοὶ ἐπανίστανται ἐπ᾽ ἐμέ. πολλοὶ λέγουσι τῇ ψυχῇ μου, οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ θεῷ αὐτοῦ. Σὺ δὲ κύριε ἀντιλήπτωρ μου εἶ, δόξα μου, καὶ ὑψῶν τὴν κεφαλήν μου. Φωνῇ μου πρὸς κύριον ἐκέκραξα,

κέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ. Ἐγὼ δὲ ἐκοιμήθην, καὶ ὕπνωσα, ἐξηγέρθην, ὅτι κύριος ἀντιλήψεταί μου. Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ, τῶν κύκλῳ συνεπιτιθεμένων μοι. Ἀνάστα κύριε, σῶσόν με ὁ θεός μου. Ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως, ὀδόντας ἁμαρτωλῶν συνέτριψας. Τοῦ κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.

Εἰς τὸ τέλος, ἐν ὕμνοις ψαλμὸς τῷ Δαβὶδ δ.

Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσέ μου ὁ θεὸς τῆς δικαιοσύνης μου, ἐν θλίψει ἐπλάτυνάς με. Οἰκτείρησόν με, καὶ εἰσάκουσον τῆς προσευχῆς μου. Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; Ἵνα τί ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖτε ψεῦδος; Καὶ γνῶτε, ὅτι ἐθαυμάστωσε κύριος τὸν ὅσιον αὐτοῦ. Κύριος εἰσακούσεταί μου ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν. Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε. Ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε. Θύσατε θυσίαν δικαιοσύνης, καὶ ἐλπίσατε ἐπὶ κύριον. Πολλοὶ λέγουσι, τίς δείξει ἡμῖν τὰ ἀγαθά; Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, κύριε, ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου. Ἀπὸ καρποῦ σίτου, οἴνου καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν. Ἐν

maui, & exaudiuit me de monte sancto suo. Ego autem sopitus sum, & dormiui, surrexi, quia Dominus suscipiet me. Non timebo à decenis milibus populi, in orbem simul insidiantibus mihi. Exurge Domine, salua me Deus meus. Quoniam tu percussisti omnes exosos me frustra, dentes peccatorum contriuisti. Domini est salus, et super populum tuum benedictio tua.

In finem, in cantibus Psalmus Dauid IIII.

Cum inuocarē ego, exaudiuit me Deus iustitiæ meæ, in afflictione dilatasti mihi. Miserere mei, & exaudi orationē meā. Filii hominum usq; quo graui corde? Quare diligitis uanitatem, & quæritis mendacium? Et cognoscite, quod mirabilem reddidit Dñs sanctum suum. Dñs exaudiet me, cum clamauero ego ad eum. Irascimini, & nolite peccare. (Eph. 4) Quæ dicitis in cordibus uestris, in cubilib. uestris compungimini. Sacrificate sacrificium iustitię, et sperate in Dñum. Multi dicūt, quis ostēdet nobis bona? Signatū est super nos lumen uultus tui, Dñe, dedisti lętitiā in corde meo. A fructu frumenti, uini & olei sui multiplicati sūt. In

pace, in unum dormiam, & requiescam. Quoniã tu Domine singulariter in spe collocasti me.

Pro ea quæ hæreditatem adiit, Psalmus David V.

Verba mea auribus percipe Dñe, intellige clamorem meum. Intende uoci orationis meæ, rex meus & Deus meus. Quoniã ad te orabo Dñe, mane exaudies uocẽ meã. Mane adstabo tibi, & uidebis me. Quia nõ Deus uolẽs iniquitatẽ tu es. Non habitabit iuxta te malignè agẽs, neq; permanebũt iniusti ex aduerso oculorum tuorũ. Odisti oẽs operantes iniquitatem, perdes omnes loquentes mendacium. Virum sanguinũ & dolosum fastidiet Dñs.

Ego autem in multitudine misericordię tuæ, introibo in domũ tuam, adorabo ad templũ sanctũ tuũ, in timore tuo. Dñe deduc me in iustitia tua, propter inimicos meos dirige

Rom. 3 corã te uiã meã. Qm̃ non est in ore eorũ ueritas, cor eorũ uanũ. Sepulchrũ patẽs guttur eorũ, linguis suis dolose agebãt, iudica illos Deus. Decidãt à cogitationib. suis. Pro multitudine impietatũ eorum expelle eos, quoniã irritauerũt te Dñe. Et lætentur

εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι, καὶ ὑπνώσω. Ὅτι σὺ κύριε κατὰ μόνας ἐπ' ἐλπίδι κατῴκισάς με.

Ὑπὲρ τῆς κληρονομούσης ψαλμὸς Δαβὶδ ε.

Τὰ ῥήματα ἐνώτισαι κύριε, σύνες τῆς κραυγῆς μου, πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ὁ βασιλεύς μου καὶ ὁ θεός μου. Ὅτι πρὸς σὲ προσεύξομαι κύριε, τὸ πρωῒ εἰσακούσῃ τῆς φωνῆς μου. Τὸ πρωῒ παραστήσομαί σοι, καὶ ἐπόψει με. ὅτι οὐχὶ θεὸς θέλων ἀνομίαν σὺ εἶ. Οὐ παροικήσει σοι πονηρευόμενος, οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου. Ἐμίσησας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν, ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος.

Ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται κύριος. Ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου, εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, προσκυνήσω πρὸς ναὸν ἅγιόν σου, ἐν φόβῳ σου. Κύριε ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου, ἕνεκα τῶν ἐχθρῶν μου κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν μου. Ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια, ἡ καρδία αὐτῶν ματαία. Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν, κρῖνον αὐτοὺς ὁ θεός.

Ἀποπεσάτωσαν ἀπὸ τῶν διαβουλιῶν αὐτῶν. Κατὰ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν ἔξωσον αὐτούς, ὅτι παρεπίκρανάν σε κύριε. Καὶ εὐφρανθήτω-

σαν

σαν πάντες οἱ ἐλπίζοντες ἐπί σε, εἰς αἰῶνα ἀγαλλιάσονται, καὶ κατασκηνώσεις ἐν αὐτοῖς. Καὶ καυχήσονται ἐν σοὶ πάντες οἱ ἀγαπῶντες τὸ ὄνομά σου, ὅτι σὺ εὐλογήσεις δίκαιον. Κύριε ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς.

Εἰς τὸ τέλος, ἐν ὕμνοις ὑπὲρ τῆς ὀγδόης ψαλμὸς τῷ Δαβίδ ϛ.

Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. Ἐλέησόν με κύριε, ὅτι ἀσθενής εἰμι. Ἴασαί με κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου. Καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα, καὶ σὺ κύριε ἕως πότε; ἐπίστρεψον κύριε, καὶ ῥῦσαι τὴν ψυχήν μου. Σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου. ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου. Ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι; Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω καθ᾽ ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω. Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου, ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου.

Ἀπόστητε ἀπ᾽ ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ὅτι εἰσήκουσε κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου. Ἤκουσε κύριος τῆς δεήσεώς μου; κύριος τὴν προσευχήν μου προσεδέξατο. Αἰσχυνθείησαν, καὶ ταραχθείησαν πάντες οἱ ἐχθροί μου, ἀποστραφείησαν, καὶ καταισχυνθείησαν σφόδρα, διὰ τάχους.

tur omnes ſperantes in te, in ſeculum lætabuntur. et inhabitabis in eis. Et gloriabũtur in te omnes amãtes nomen tuum, quoniam tu benedices iuſto. Dñe ut armis bonæ uoluntatis coronaſti nos.

In finem, in hymnis pro octaua, Pſalmus Dauid VI.

Domine ne in furore tuo arguas me, neq; in ira tua erudias me. Miſerere mei Dñe, quoniã imbecillis ſum. Sana me Dñe, qm̃ turbata ſunt oſſa mea. Et anima mea turbata eſt ualde, & tu Dñe uſq; quo? Cõuerte Dñe, eripe aĩam meã. Saluũ me fac, ꝑpter miſericordiã tuã. qm̃ non eſt in morte memorans te. In inferno aũt quis cõfitebitur tibi? Laboraui in gemitu meo, lauabo ꝑ unã quanq; noctẽ lectũ meum, in lacrymis meis ſtratum meum rigabo. Turbatus eſt à furore oculus meus, inueteraui in omnibus inimicis meis. Deſiſtite à me oĩs operãtes iniquitatem, quoniam exaudiuit Dñs uocem fletus mei. Exaudiuit Dominus precationem meam, Dominus orationem meam ſuſcepit. Erubeſcant, & turbentur omnes inimici mei, auertantur, & pudore afficiantur ualde, per celeritatem.

Infr. 37

Matth. 7. 23

Lucæ 3

Psalmus David, quem cecinit Domino pro sermonibus Chusi filii Iemenei VII.

Domine Deus meus in te speraui, salua me ex omnibus persequentibus me, et libera me. Ne quãdo rapiat ut leo animam meam, non existente liberante, neq; saluante. Dñe Deus meus si feci istud, si est iniquitas in manibus meis, Si reddidi reddentibus mihi mala, decidã fane ab inimicis meis uan⁹. Persequatur sane inimic⁹ animam meam, & cõprehendat, & cõculcet in terra uitam meã, & gloriam meam in puluerem collocet. Surge Dñe in ira tua, exaltare in finibus inimicorũ tuorũ. Et excitare Dñe Deus meus in pręcepto, qđ mandasti, & concio populorũ cinget te. Et super hanc in altum regredere. Dñs iudicabit populos. Iudica me Domine pro iustitia mea, et pro innocentia mea in me.

Conficiatur iam prauitas peccatorum, et diriges iustum, scrutans corda & renes Deus. Iustum auxilium meum à Deo, saluante rectos corde. Deus iudex iustus & fortis & lõganimis, & non iram inducens per unamquãq; diem.

Ψαλμὸς τῷ Δαβίδ, ὃν ᾖσε τῷ κυρίῳ, ὑπὲρ τῶν λόγων χουσὶ υἱοῦ ἰεμενεῖ. ζ.

Κύριε ὁ θεός μου ἐπὶ σοὶ ἤλπισα, σῶσόν με ἐκ πάντων τῶν διωκόντων με, καὶ ῥῦσαί με. Μήποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν μου, μὴ ὄντος λυτρουμένου, μηδὲ σώζοντος.

Κύριε ὁ θεός μου εἰ ἐποίησα τοῦτο, εἰ ἔστιν ἀδικία ἐν χερσί μου. Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά, ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός. Καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου, καὶ καταλάβοι, καὶ καταπατήσαι εἰς γῆν τὴν ζωήν μου, καὶ τὴν δόξαν μου εἰς χοῦν κατασκηνώσαι. Ἀνάστηθι κύριε ἐν ὀργῇ σου, ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν σου. Καὶ ἐξεγέρθητι κύριε, ὁ θεός μου ἐν προστάγματι, ᾧ ἐνετείλω, καὶ συναγωγὴ λαῶν κυκλώσει σε. Καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεψον. Κύριος κρινεῖ λαούς. Κρῖνόν με κύριε, κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν ἀκακίαν μου ἐπ' ἐμοί.

Συντελεσθήτω δὴ πονηρία ἁμαρτωλῶν, καὶ κατευθυνεῖς δίκαιον, ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεός. Δικαία βοήθειά μου παρὰ τοῦ θεοῦ τοῦ σώζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ. Ὁ θεὸς, κριτὴς δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος, καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡ-

μήσει. Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει, τὸ τόξον αὐτοῦ ἐνέτεινε, καὶ ἡτοίμασεν αὐτό. Καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θανάτου, τὰ βέλη αὐτοῦ τοῖς καιομένοις ἐξειργάσατο. Ἰδοὺ ὠδίνησεν ἀδικίαν, συνέλαβε πόνον, καὶ ἔτικεν ἀνομίαν. Λάκκον ὤρυξε, καὶ ἀνέσκαψεν αὐτὸν, καὶ ἐμπεσεῖται εἰς βόθρον, ὃν εἰργάσατο. Ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται. Ἐξομολογήσομαι τῷ κυρίῳ κατὰ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ψαλῶ τῷ ὀνόματι κυρίου τοῦ ὑψίστου.

Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν ψαλμὸς τῷ Δαβίδ η.

Κύριε ὁ κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ. Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν. Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον, ἕνεκα τῶν ἐχθρῶν σου τοῦ καταλῦσαι ἐχθρὸν καὶ ἐκδικητήν. Ὅτι ὄψομαι τοὺς οὐρανοὺς, ἔργα τῶν δακτύλων σου, σελήνην καὶ ἀστέρας, ἃ σὺ ἐθεμελίωσας. Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτὸν, καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου. Πάντα ὑπέταξας

em. Si non conuersi fueritis, gladium suum uibrabit, arcum suum intendit, et parauit illum. Et in eo parauit arma mortis, sagitta sua ardentibus effecit. Ecce parturiuit iustitiã, concepit dolorem, & peperit iniquitatem. Lacũ aperuit, & effodit eum, & incidet in foueam, quã operatus est. Reuertetur dolor eius in caput eius, & in uerticem ipsius iniquitas eius descẽdet. Cõfitebor Domino pro iustitia eius, & canam nomini Domini altissimi.

In finem, pro torcularibus Psalmus Dauid VIII.

Domine Deus noster, quàm mirabile nomen tuum in omni terra! Quoniam elata est magnificentia tua super coelos. Ex ore infantium & lactentium conciliasti laudem, propter inimicos tuos, ut destruas inimicum & ultorem. Quoniam uidebo coelos, opera digitorũ tuorum, lunam & stellas, quę tu fundasti. Quid est homo, quod memor es eius, aut filius hominis, qđ inuisis eum. Minuisti eũ paulum præter angelos, gloria & honore coronasti eum, & constituisti eum super opera manuum tuarum. Omnia sub

iecisti sub pedibus eius, o-
mnes & boues oēs, adhuc
sūt & pecora cāpi. Volu
cres cœli, & pisces maris,
perambulātes semitas ma-
rium. Domine Dominus
noster, quàm mirabile no
men tuum in omni terra.

In finem, pro occultis
filii, Psalmus Da-
uid IX.

Confitebor tibi Domi-
ne in toto corde meo, de-
narrabo omnia mirabilia
tua. Lætabor, & exulta
bo in te, canā nomini tuo
altissime. In conuertēdo
inimicum meum retro, im
becilles erunt, & peribūt
à conspectu tuo. Quoni
am fecisti iudiciū meū &
causam meam. Consedisti
in solio iudicans iustitiā.
Increpasti gentes, & per
iit impius. Nomen eorum
deleuisti in seculū, & in se
culum seculi. Inimici de
fecerūt gladii in finem, &
ciuitates destruxisti. Pe
riit monumētum eius cum
sonitu, & Dominus in se-
culum permanet. Para-
uit in iudicio solium su-
um, & ipse iudicabit or-
bem terræ in iustitia, iudi-
cabit populos in æquita-
te. Et factus est Domi-
nus confugium pauperi,
auxiliator in opportunita
tibus, in afflictionibus. Et
sperēt in te, cognoscentes
nomē tuum, quoniam non
dere-

τάξας ὑπὸ κάτω τῶν ποδῶν αὐτοῦ,
πρόβατα, καὶ βόας ἁπάσας, ἔτι δὲ καὶ
κτήνη τοῦ πεδίου. Τὰ πετεινὰ τοῦ
οὐρανοῦ, καὶ τοὺς ἰχθύας τῆς θαλάσσης,
τὰ διαπορευόμενα τρίβους θαλασ-
σῶν. Κύριε ὁ κύριος ἡμῶν, ὡς θαυ-
μαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ.

Εἰς τὸ τέλος, ὑπὲρ τῶν κρυφίων τοῦ
υἱοῦ, ψαλμὸς τῷ Δαβὶδ θ.

Ἐξομολογήσομαί σοι κύριε ἐν ὅ-
λῃ καρδίᾳ μου, διηγήσομαι πάντα
τὰ θαυμάσιά σου. Εὐφρανθήσομαι,
καὶ ἀγαλλιάσομαι ἐν σοί, ψαλῶ τῷ
ὀνόματί σου ὕψιστε. Ἐν τῷ ἀποστρα-
φῆναι τὸν ἐχθρόν μου εἰς τὰ ὀπίσω, ἀ-
σθενήσουσι, καὶ ἀπολοῦνται ἀπὸ προσώ-
που σου. Ὅτι ἐποίησας τὴν κρίσιν
μου καὶ τὴν δίκην μου. Ἐκάθισας ἐπὶ
θρόνου ὁ κρίνων δικαιοσύνην.
Ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο
ὁ ἀσεβής. Τὸ ὄνομα αὐτῶν ἐξήλει-
ψας εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶ-
να τοῦ αἰῶνος. Τοῦ ἐχθροῦ ἐξέλιπον
αἱ ῥομφαῖαι εἰς τέλος, καὶ πόλεις
καθεῖλες. Ἀπώλετο τὸ μνημόσυ-
νον αὐτοῦ μετ' ἤχου, καὶ ὁ κύριος εἰς
τὸν αἰῶνα μένει. Ἡτοίμασεν ἐν
κρίσει τὸν θρόνον αὐτοῦ, καὶ αὐτὸς
κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύ-
νῃ, κρινεῖ λαοὺς ἐν εὐθύτητι. καὶ ἐγέ-
νετο κύριος καταφυγὴ τῷ πένητι,
βοηθὸς ἐν εὐκαιρίαις, ἐν θλίψεσι,
Καὶ ἐλπισάτωσαν ἐπί σε οἱ γι-
νώσκοντες τὸ ὄνομά σου, ὅτι οὐκ
ἐγκατ-

ἐγκατέλιπες τοὺς ἐκζητοῦντάς σε κύ-
ριε. Ψάλατε τῷ κυρίῳ τῷ κατοι-
κοῦντι ἐν σιὼν, ἀναγγείλατε ἐν
τοῖς ἔθνεσιν τὰ ἐπιτηδεύματα αὐ-
τοῦ. Ὅτι ὁ ἐκζητῶν τὰ αἵματα αὐ-
τῶν ἐμνήσθη, οὐκ ἐπελάθετο τῆς κραυ-
γῆς τῶν πενήτων. Ἐλέησόν με κύ-
ριε, ἴδε τὴν ταπείνωσίν μου ἐκ
τῶν ἐχθρῶν μου. Ὁ ὑψῶν με ἐκ
τῶν πυλῶν τοῦ θανάτου, ὅπως ἂν
ἐξαγγείλω πάσας τὰς αἰνέσεις σου,
ἐν ταῖς πύλαις τῆς θυγατρὸς σι-
ών. Ἀγαλλιασόμεθα ἐπὶ τῷ σωτη-
ρίῳ σου, ἐνεπάγησαν ἔθνη ἐν δια-
φθορᾷ, ᾗ ἐποίησαν. Ἐν παγίδι ταύ-
τῃ ᾗ ἔκρυψαν, συνελήφθη ὁ ποὺς αὐ-
τῶν. Γινώσκεται κύριος κρίματα
ποιῶν, ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐ-
τοῦ συνελήφθη ὁ ἁμαρτωλός. Ἀπο-
στραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν
ᾅδην, πάντα τὰ ἔθνη τὰ ἐπιλανθανό-
μενα τοῦ θεοῦ. Ὅτι οὐκ εἰς τέλος
ἐπιλησθήσεται ὁ πτωχὸς, καὶ ὑπομονὴ
τῶν πενήτων οὐκ ἀπολεῖται εἰς τέλος.
Ἀνάστηθι κύριε, μὴ κραταιούσθω
ἄνθρωπος. Κριθήτωσαν ἔθνη ἐνώ-
πιόν σου, κατάστησον κύριε νομοθέ-
την ἐπ᾽ αὐτούς. Γνώτωσαν ἔθνη, ὅτι
ἄνθρωποί εἰσιν. Ἵνα τί κύριε ἀφέ-
στηκας μακρόθεν, ὑπερορᾷς ἐν εὐ-
καιρίαις, ἐν θλίψεσιν; Ἐν τῷ ὑπερη-
φανεύεσθαι τὸν ἀσεβῆ ἐμπυρίζεται
ὁ πτωχὸς, συλλαμβάνονται ἐν δια-
βουλίοις, οἷς διαλογίζονται. Ὅτι ἐπαι-

νεῖται

dereliquisti quærẽtes Do
mine. Cantate Domino
habitanti in Sion, renun-
ciate in gentibus studia e-
ius. Quoniam requirens
sanguines eorũ meminit,
non oblitus est clamoris
pauperum. Miserere mei
Domine, uide humilitatẽ
meam ex inimicis meis.
Qui exaltas me è portis
mortis, ut enũciem omnes
laudationes tuas in portis
filiæ Sion. Lætabimur
in salutari tuo, infixæ sunt
gentes in pernicie, quã fe-
cerũt. In laqueo isto quẽ
absconderunt, comprehẽ-
sus est pes eorum. Cog-
noscitur Dominus iudicia
faciens, in operibus manu
um suarum comprehẽsus
est peccator. Auertantur
peccatores in infernũ, om
nes gentes obliuiscentes
Dei. Quoniam non in
finem obliuioni tradetur
pauper, & patientia pau-
perum non peribit in finẽ.
Surge Dñe, non robore-
tur homo. Iudicentur gen
tes in conspectu tuo, con-
stitue Domine legislatorẽ
super eos. Sciant gentes,
quod homines sunt. Qua
re Domine recessisti lon-
ge, despicis in opportuni-
tatibus, in afflictionibus?
Dum superbit impius, in-
cenditur pauper, compre-
henduntur in cõsiliis, qui-
bus cogitant. Qm̃ collau-

datur

dat peccator in desideriis
animae suae, et iniuste agēs
benedicitur. Exacuit Do
minum peccator, pro mul
titudine irae suae non quae
ret. Non est Deus in cō-
spectu eius, contaminatae
sunt uiae illius in omni tem
pore. Auferūtur iudicia
tua a conspectu eius, omni
um inimicorum suorū do-
minabitur. Dixit enim
in corde suo, nequaquam
emouebor a progenie in
progeniem sine malo. Cu
ius maledictione os eius
plenum est, & amaritudi-
ne et dolo, sub lingua eius
labor et dolor. Insidet in
insidiis cum diuitibus in
occultis, ut interficiat in-
nocētem. Oculi eius in
pauperem respiciunt, insi-
diatur in abscondito, qua-
Inf. 10 si leo in spelunca sua. In-
sidiatur ut rapiat paupe-
rem, rapere pauperē, dum
trahit eum. In laqueo suo
humiliabit eum, nutabit,
& cadet, cum ipse domi-
natus fuerit pauperū. Di
xit enim in corde suo, ob-
litus est Deus, auertit con-
spectum suum, ne uideat in
finem. Surge Dn̄e Deus
meus, efferatur manus tua,
ne obliuiscaris pauperum
tuorum in finē. Propter
quid irritauit impius Deū?
Dixit enim in corde suo,
Nō requiret. Vides, qd
in laborem & dolorē cōsi
deras, ut tradas eum in ma
nus

νεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμί-
αις τῆς ψυχῆς αὐτοῦ, καὶ ὁ ἀδικῶν
εὐλογεῖται. Παρώξυνε τὸν κύριον ὁ ἁ-
μαρτωλὸς, κατὰ τὸ πλῆθος τῆς ὀρ-
γῆς αὐτοῦ οὐκ ἐκζητήσει. Οὐκ ἔστιν
ὁ θεὸς ἐνώπιον αὐτοῦ, βεβηλοῦνται αἱ ὁ-
δοὶ αὐτοῦ ἐν παντὶ καιρῷ. Ἀνταίρε-
ται τὰ κρίματά σου ἀπὸ προσώπου αὐ-
τοῦ, πάντων τῶν ἐχθρῶν αὐτοῦ κατακυ-
ριεύσει. Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ, οὐ
μὴ σαλευθῶ ἀπὸ γενεᾶς εἰς γενεὰν
ἄνευ κακοῦ. Οὗ ἀρᾶς τὸ στόμα αὐτοῦ
γέμει, καὶ πικρίας καὶ δόλου, ὑπὸ
τὴν γλῶσσαν αὐτοῦ κόπος καὶ πόνος.
Ἐγκάθηται ἐν ἐνέδρᾳ μετὰ πλουσί-
ων, ἐν ἀποκρύφοις, τοῦ ἀποκτεῖναι
ἀθῷον. Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πέ-
νητα ἀποβλέπουσιν, ἐνεδρεύει ἐν ἀ-
ποκρύφῳ, ὡς λέων ἐν τῇ μάνδρᾳ αὐ-
τοῦ. Ἐνεδρεύει τοῦ ἁρπάσαι πτω-
χὸν, ἁρπάσαι πτωχὸν ἐν τῷ ἑλκύσαι
αὐτόν. Ἐν τῇ παγίδι αὐτοῦ ταπεινώσει
αὐτὸν, κύψει, καὶ πεσεῖται ἐν τῷ αὐ-
τὸν κατακυριεῦσαι τῶν πενήτων.
Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ ἐπιλέλη-
σται ὁ θεὸς, ἀπέστρεψε τὸ πρόσωπον
αὐτοῦ, τοῦ μὴ βλέπειν εἰς τέλος. Ἀνά-
στηθι κύριε ὁ θεός μου, ὑψωθήτω ἡ χείρ
σου, μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέ-
λος. Ἕνεκεν τίνος παρώξυνεν ὁ
ἀσεβὴς τὸν θεόν; εἶπε γὰρ ἐν καρ-
δίᾳ αὐτοῦ, οὐκ ἐκζητήσει. Βλέ-
πεις, ὅτι σὺ πόνον καὶ θυμὸν κατα-
νοεῖς, τοῦ παραδοῦναι αὐτὸν εἰς χεῖ-
ρας

ρας σου. Σοὶ ἐγκαταλέλειπται ὁ πτωχὸς, ὀρφανῷ σὺ ἦσθα βοηθός.

Σύντριψον τὸν βραχίονα τοῦ ἁμαρτωλοῦ καὶ πονηροῦ, ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ, καὶ οὐ μὴ εὑρεθῇ.

Κύριος βασιλεὺς εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ἀπολεῖσθε ἔθνη ἐκ τῆς γῆς αὐτοῦ. Τὴν ἐπιθυμίαν τῶν πενήτων εἰσήκουσας κύριε, τῇ ἑτοιμασίᾳ τῆς καρδίας αὐτῶν προσέσχε τὸ οὖς σου. Κρῖναι ὀρφανῷ καὶ ταπεινῷ, ἵνα μὴ προσθῇ ἔτι τοῦ μεγαλαυχεῖν ἄνθρωπος ἐπὶ τῆς γῆς.

nus tuas. Tibi derelictus eſt pauper, pupillo tu fuiſti auxiliator. Contere brachium peccatoris & maligni, quæretur peccatum illius, & nequaquam inuentum fuerit. Dominus rex in ſeculum, & in ſeculum ſeculi, peribitis gentes è terra illius. Deſiderium pauperum exaudiſti Domine, præparationi cordis eorum attendit auris tua. Iudica pupillo & humili, ut nō apponat ultra magna iactare homo in terra.

Εἰς τέλος ψαλμὸς Δαβὶδ ι.

In finem Pſalmus Dauid X.

Ἐπὶ τῷ κυρίῳ πέποιθα, πῶς ἐρεῖτε τῇ ψυχῇ μου, μεταναστεύου ἐπὶ τὰ ὄρη ὡς στρουθίον; Ὅτι ἰδοὺ οἱ ἁμαρτωλοὶ ἐνέτειναν τόξον, ἡτοίμασαν βέλη εἰς φαρέτραν, τοῦ κατατοξεῦσαι ἐν σκοτομήνῃ τοὺς εὐθεῖς τῇ καρδίᾳ. Ὅτι ἃ σὺ κατηρτίσω, αὐτοὶ καθεῖλον. ὁ δὲ δίκαιος τί ἐποίησε;

Κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ, κύριος, ἐν οὐρανῷ ὁ θρόνος αὐτοῦ. Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἐπιβλέπουσι, τὰ βλέφαρα αὐτοῦ ἐξετάζει τοὺς υἱοὺς τῶν ἀνθρώπων. Κύριος ἐξετάζει τὸν δίκαιον καὶ τὸν ἀσεβῆ, ὁ δὲ ἀγαπῶν τὴν ἀδικίαν μισεῖ τὴν ἑαυτοῦ ψυχήν.

Ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδας. Πῦρ καὶ θεῖον καὶ πνεῦμα καται-
γίδος:

In Domino confiſus ſum, quomodo dicitis animæ meæ, Commigra in montem ſicut paſſer? Quoniam ecce peccatores intenderunt arcum, parauerunt ſagittas in pharetra, ut iaculent in obſcuro rectos corde. Quoniam quæ tu concinnas, ipſi deſtruxerunt. Iuſtus autem quid fecit? Dn̄s in tēplo ſancto ſuo, Dn̄s, in cœlo ſoliū eius. Oculi eius in Abbac.2 Sup.9
pauperem reſpiciunt, palpebræ eius examināt filios hominū. Dn̄s examinat iuſtum & impium, amans uerò iniquitatem, odit ſuā animam. Pluet ſuper peccatores laqueos. Ignis & ſulphur, & ſpiritus procel
larum

starum, pars poculi eorum.

Quoniam iustus Dominus, & iustitias dilexit, æquitates uidit conspectus eius.

In finem, pro octaua Psalmus Dauid XI.

Saluum me fac Domine, quoniam defecit sanctus, quoniam diminutæ sunt ueritates à filiis hominum. Vana locutus est unusquisque ad propinquū suum, labia dolosa in corde, & in corde locutus est mala. Disperdat Dominus omnia labia dolosa, linguam magniloquā, Dicentes, Linguam nostram magnificabimus, labia nostra à nobis sunt. Quis noster Dominus est? Propter miseriam inopum & gemitum pauperū, nūc surgam, dicit Dominus. Sacrificabo in salutari, audacter loquar in eo. Eloquia Domini, eloquia casta. Argentum ignitum, probabile terræ, purgatum septuplū. Tu Domine seruabis nos, & custodies nos à pgenie hac & in seculum. In circuitu impii ambulant, pro altitudine tua multiplicasti filios hominum.

In finem Psalmus Dauid XII.

Quandiu Domine obliuisceris mei in finem? Quandiu auertis conspectum

γίδος, ἡ μερὶς τοῦ ποτηρίου αὐτῶν.

Ὅτι δίκαιος κύριος, καὶ δικαιοσύνας ἠγάπησεν, εὐθύτητας εἶδε τὸ πρόσωπον αὐτοῦ.

Εἰς τὸ τέλος, ὑπὲρ τῆς ὀγδόης ψαλμὸς δαβὶδ ια.

Σῶσόν με κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος, ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων. Μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, χείλη δόλια ἐν καρδίᾳ, καὶ ἐν καρδίᾳ ἐλάλησε κακά. Ἐξολοθρεύσει κύριος πάντα τὰ χείλη τὰ δόλια, καὶ γλῶσσαν μεγαλορρήμονα, Τοὺς εἰπόντας, τὴν γλῶσσαν ἡμῶν μεγαλυνοῦμεν, τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστι· τίς ἡμῶν κύριός ἐστιν; Ἕνεκεν τῆς ταλαιπωρίας τῶν πτωχῶν καὶ τοῦ στεναγμοῦ τῶν πενήτων, νῦν ἀναστήσομαι, λέγει κύριος. Θήσομαι ἐν σωτηρίῳ, παῤῥησιάσομαι ἐν αὐτῷ. Τὰ λόγια κυρίου, λόγια ἁγνά. ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ, κεκαθαρισμένον ἑπταπλασίως.

Σὺ κύριε φυλάξεις ἡμᾶς, καὶ διατηρήσεις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης, καὶ εἰς τὸν αἰῶνα. Κύκλῳ οἱ ἀσεβεῖς περιπατοῦσι, κατὰ τὸ ὕψος σου ἐπολυώρησας τοὺς υἱοὺς ἀνθρώπων.

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαβὶδ ιβ.

Ἕως πότε κύριε ἐπιλήσῃ μου κύριε εἰς τέλος; Ἕως πότε ἀποστρέψεις τὸ πρόσω-

πρόσωπόν σου ἀπ' ἐμοῦ; Ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου, ὀδύνας ἐν καρδίᾳ μου, ἡμέρας καὶ νυκτός; Ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ' ἐμέ; Ἐπίβλεψον, εἰσάκουσόν μου κύριε, ὁ θεός μου. Φώτισον τοὺς ὀφθαλμούς, μή ποτε ὑπνώσω εἰς θάνατον, μή ποτε εἴποι ὁ ἐχθρός μου, ἴσχυσα πρὸς αὐτόν. Οἱ θλίβοντές με ἀγαλλιάσονται, ἐὰν σαλευθῶ, ἐγὼ δὲ ἐπὶ τῷ ἐλέει σου ἤλπισα. Ἀγαλλιάσεται ἡ καρδία μου ἐπὶ τῷ σωτηρίῳ σου. ᾌσω τῷ κυρίῳ τῷ εὐεργετήσαντί με, καὶ ψαλῶ τῷ ὀνόματι κυρίου τοῦ ὑψίστου.

Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβίδ ιγ.

Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι θεός. Διεφθάρησαν, καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασιν, οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός. Κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων, τοῦ ἰδεῖν, εἰ ἔστι συνιῶν ἢ ἐκζητῶν τὸν θεόν.

Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν. Οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός. Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, οἱ ἐσθίοντες τὴν ἀνομίαν, οἱ ἐσθίοντες τὸν λαόν μου ἐν βρώσει ἄρτου.

Τὸν κύριον οὐκ ἐπεκαλέσαντο. Ἐκεῖ ἐδειλίασαν φόβῳ, οὗ οὐκ ἦν φόβος.

Ὅτι κύριος ἐν γενεᾷ δικαίᾳ. Βουλὴν πτωχοῦ κατῃσχύνατε, ὅτι κύριος

ἐλπὶς

conspectum tuum à me? Quandiu ponã cõsilia in anima mea, dolores in corde meo, die & nocte? Quãdiu efferetur inimicus meus in me? Inspice, exaudi me Domine, Deus meus. Illumina oculos meos, ne unquam obdormiam in morte, ne quãdo dicat inimicus meus, Obtinui aduersus eum. Affligentes me lætabuntur, si emotus fuero, ego aũt in misericordia tua speraui. Lætabitur cor meum in salutari tuo. Canam Dño bene afficienti me, & canam nomini Dñi altissimi.

In finem, Psalmus Dauid XIII.

Dixit insipiẽs in corde suo, non est Deus. Corrupti sunt & fastiditi sunt in studiis, non est faciens ꝑbitatem, non est usq; ad unum. Dñs è cœlo prospexit sup filios hominũ, ut uideat, num est coniiciens aut requirens Deũ.

Omnes declinauerunt, simul inutiles facti sunt, non est faciens ꝑbitatem, non est usq; ad unũ. Nõne cognoscent oẽs operantes iniquitatẽ, edentes populum meum in esca panis. Dominum non inuocauerũt. Illic trepidauerunt timore, ubi non erat timor.

Quia dominus in ꝑgenie iusta. Consiliũ mẽdici deturpastis, quia Dominus

spes

ſpes eius eſt. Quis dabit ex Sion ſalutare Iſrael? Cū auerterit Dominus captiuitatem plebis ſuæ, lætabitur Iacob, & gaudebit Iſrael.

In finem, Pſalmus Dauid XIIII

Domine quis habitabit in tabernaculo tuo? Aut quis requieſcet in monte ſancto tuo? Ambulans inculpatus, & operans iuſtitiam, loquens ueritatem in corde ſuo, qui non egit doloſe in lingua ſua, Et nō fecit proximo ſuo malum, et conuicium non accepit inter proximos ſuos. Ad nihilum redactus eſt coram eo malignè agens, timentes autem Dominū gloria afficit. Iurans propinquo ſuo, & non fallēs, argentum ſuum non dedit in uſura, & munera ſuper innocentes non accepit. Faciens hæc non mouebitur in ſeculum.

Tituli inſcriptio Dauid XV.

Cuſtodi me Domine, quia in te ſperaui. Dixi Domino, Dominus meus es, quia bonorum meorū non opus habes. Sanctis in terra eius mirabilia fecit Dominus, omnes uolūtates ſuas in eis. Multiplicatę ſunt imbecillitates eorum, poſt eā accelerauerunt. Nequaquam cogam conciones eorum ex ſan-

ἐλπὶς αὐτοῦ ἐστι. Τίς δώσει ἐκ σιὼν τὸ σωτήριον τοῦ ἰσραήλ; Ἐν τῷ ἐπιστρέψαι κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ, ἀγαλλιάσεται ἰακὼβ, καὶ εὐφρανθήσεται ἰσραήλ.

Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβὶδ ιδ.

Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου; ἢ τίς κατασκηνώσει ἐν ὄρει ἁγίῳ σου; Πορευόμενος ἄμωμος, καὶ ἐργαζόμενος δικαιοσύνην, λαλῶν ἀλήθειαν ἐν καρδίᾳ αὐτοῦ, ὃς οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ, Καὶ οὐκ ἐποίησε τῷ πλησίον αὐτοῦ κακὸν, καὶ ὀνειδισμὸν οὐκ ἔλαβεν ἐπὶ τοῖς ἔγγιστα αὐτοῦ. Ἐξουδένωται ἐνώπιον αὐτοῦ πονηρευόμενος, τοὺς δὲ φοβουμένους τὸν κύριον δοξάζει. Ὁ ὀμνύων τῷ πλησίον αὐτοῦ, καὶ οὐκ ἀθετῶν, τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ, καὶ δῶρα ἐπ' ἀθώοις οὐκ ἔλαβεν.

Ὁ ποιῶν ταῦτα οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα.

Στηλογραφία τῷ Δαβὶδ ιε.

Φύλαξόν με κύριε, ὅτι ἐπὶ σοὶ ἤλπισα. Εἶπα τῷ κυρίῳ, κύριός μου εἶ σύ, ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ κύριος, πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς. Ἐπληθύνθησαν αἱ ἀσθένειαι αὐτῶν, μετὰ ταῦτα ἐτάχυναν. Οὐ μὴ συναγάγω τὰς συναγωγὰς αὐτῶν ἐξ αἱμά-

αἱμάτων, οὐδὲ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου. Κύριος, μερὶς τῆς κληρονομίας μου καὶ τοῦ ποτηρίου μου. Σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου ἐμοί.

Σχοινία ἐπέπεσάν μοι ἐν τοῖς κρατίστοις. Καὶ γὰρ ἡ κληρονομία μου κρατίστη μοί ἐστιν. Εὐλογήσω τὸν κύριον τὸν συνετίσαντά με, ἔτι δὲ καὶ ἕως νυκτὸς ἐπαίδευσάν με οἱ νεφροί μου. Προωρώμην τὸν κύριον ἐνώπιόν μου διὰ παντός, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ.

Διὰ τοῦτο εὐφράνθη ἡ καρδία μου, καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου, ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλπίδι. Ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. Ἐγνώρισάς μοι ὁδοὺς ζωῆς, πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου. Τερπνότητες ἐν τῇ δεξιᾷ σου εἰς τέλος.

Προσευχὴ τῷ Δαβὶδ ις.

Εἰσάκουσον κύριε δικαιοσύνης μου, πρόσχες τῇ δεήσει μου. Ἐνώτισαι τὴν προσευχήν μου, οὐκ ἐν χείλεσι δολίοις. Ἐκ προσώπου σου τὸ κρίμα μου ἐξέλθοι, οἱ ὀφθαλμοί μου ἰδέτωσαν εὐθύτητας. Ἐδοκίμασας τὴν καρδίαν μου, ἐπεσκέψω νυκτός. Ἐπύρωσάς με, καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία. Ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου

sanguinibus, neq; memor ero nominũ eorum per labia mea. Dominus pars hæreditatis meæ & poculi mei. Tu es restituens hæreditatem meam mihi. Funes inciderũt mihi in fortissimis. Etenim hæreditas mea potentissima mihi est. Benedicam Dñm, instituentẽ me, insuper uerò & usq; ad noctem erudierunt me renes mei. Prouidebam Dñm coram me per omne tempus, quia à dextris meis est, ut nõ cõmouear. Propter hoc lætatũ est cor meum, et exultauit lingua mea, insuper aũt & caro mea inhabitabit in spe. Quia non derelinques animam meam in inferno, neq; dabis sanctum tuum uidere pernici em. Notas fecisti mihi uias uitę, implebis me gaudio cum conspectu tuo. Delectationes in dextera tua in finem. Act.2.13

Oratio Dauid XVI.

Exaudi Domine iustitiam meam, aduerte precationem meam. Auribus percipe orationem meam, non in labiis dolosis. Et conspectu tuo iudicium exeat, oculi mei uideãt æquitates. Probasti cor meũ, inuisisti nocte. Igne examinasti me, & non est inuenta in me iniustitia.

Vt non loquatur os meum

meum opera hominũ, propter sermones labiorũ tuorum ego custodiui uias duras. Coapta gressus meos in semitis tuis, ut nõ emoueantur uestigia mea. Ego clamaui, quoniam exaudisti me Deus. Inclinata aurem tuam mihi, et exaudi uerba mea. Mirabiles redde misericordias tuas saluans sperãtes in te. A resistentibus dexteræ tuæ custodi me Dñe, ut pupillam oculi. In tegmine alarum tuarum teges me, à conspectu impiorum affligentium me. Inimici mei animam meam circunderunt, adipem suum cõncluserunt, os eorum loquutum est superbiam. Eiicientes me nunc circunderunt me, oculos suos statuerũt declinare in terra.

Susceperunt me sicut leo paratus ad prædam, & sicut catulus leonis habitãs in abditis. Surge Domine, præueni eos, & supplãta eos. Libera animam meam ab impio, gladium tuum ab inimicis man⁹ tuę.

Dñe à paucis à terra diuide eos in uita eorum, & absconditis tuis impletus est uenter eorum. Saturati sunt filiis, & dimiserunt reliquias infantibus suis.

Ego autem in iustitia uidebor conspectui tuo, satiabor, cũ uisa fuerit mihi gloria tua.

Con-

μου τὰ ἔργα τῶν ἀνθρώπων, διὰ τοὺς λόγους τῶν χειλέων σου ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς. Καταρτίσαι τὰ διαβήματά μου ἐν ταῖς τρίβοις σου, ἵνα μὴ σαλευθῶσι τὰ διαβήματά μου.

Ἐγὼ ἐκέκραξα, ὅτι ἐπήκουσάς μου ὁ θεός. Κλῖνον τὸ οὖς σου ἐμοί, καὶ εἰσάκουσον τῶν ῥημάτων μου. Θαυμάστωσον τὰ ἐλέη σου, ὁ σώζων τοὺς ἐλπίζοντας ἐπί σε. Ἐκ τῶν ἀνθεστηκότων τῇ δεξιᾷ σου φύλαξόν με κύριε, ὡς κόρην ὀφθαλμοῦ. Ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με, ἀπὸ προσώπου ἀσεβῶν τῶν ταλαιπωρησάντων με.

Οἱ ἐχθροί μου τὴν ψυχήν μου περιέσχον, τὸ στέαρ αὐτῶν συνέκλεισαν, τὸ στόμα αὐτῶν ἐλάλησεν ἐν ὑπερηφανίᾳ.

Ἐκβαλόντες με νυνὶ περιεκύκλωσάν με, τοὺς ὀφθαλμοὺς αὐτῶν ἔθεντο ἐκκλῖναι ἐν τῇ γῇ. Ὑπέλαβόν με ὡσεὶ λέων ἕτοιμος εἰς θήραν, καὶ ὡσεὶ σκύμνος οἰκῶν ἐν ἀποκρύφοις.

Ἀνάστηθι κύριε, πρόφθασον αὐτούς, καὶ ὑποσκέλισον αὐτούς. Ῥῦσαι τὴν ψυχήν μου ἀπὸ ἀσεβοῦς, ῥομφαίαν σου ἀπὸ ἐχθρῶν τῆς χειρός σου. Κύριε ἀπὸ ὀλίγων ἀπὸ γῆς διαμέρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν, καὶ τῶν κεκρυμμένων σου ἐπλήσθη ἡ γαστὴρ αὐτῶν. Ἐχορτάσθησαν υἱῶν, καὶ ἀφῆκαν τὰ κατάλοιπα τοῖς νηπίοις αὐτῶν. Ἐγὼ δὲ ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ σου, χορτασθήσομαι ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν σου.

Κα-

Κάθισμα β. εἰς τὸ τέλος τῷ παιδὶ κυρίου τῷ Δαβίδ, ἃ ἐλάλησε τῷ κυρίῳ τοὺς λόγους τῆς ᾠδῆς ταύτης, ἐν ἡ ἡμέρᾳ, ᾗ ἐρρύσατο αὐτὸν ὁ κύριος, ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτοῦ, καὶ ἐκ χειρὸς Σαοὺλ, ιζ.

Ἀγαπήσω σε κύριε ἡ ἰσχύς μου. Κύριος στερέωμά μου καὶ καταφυγή μου, καὶ ῥύστης μου. Ὁ θεός μου, βοηθός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν. Ὑπερασπιστής μου, καὶ κέρας σωτηρίας μου, καὶ ἀντιλήπτωρ μου. Αἰνῶν ἐπικαλέσομαι τὸν κύριον, καὶ ἐκ τῶν ἐχθρῶν μου σωθήσομαι. Περιέσχον με ὠδῖνες θανάτου, καὶ χείμαῤῥοι ἀνομίας ἐξετάραξάν με. Ὠδῖνες ᾅδου περιεκύκλωσάν με, προέφθασάν με παγίδες θανάτου. Καὶ ἐν τῷ θλίβεσθαί με ἐπεκαλεσάμην τὸν κύριον, καὶ πρὸς τὸν θεόν μου ἐκέκραξα. Ἤκουσεν ἐκ ναοῦ ἁγίου αὐτοῦ φωνῆς μου, καὶ ἡ κραυγή μου ἐνώπιον αὐτοῦ εἰσελεύσεται εἰς τὰ ὦτα αὐτοῦ. Καὶ ἐσαλεύθη, καὶ ἔντρομος ἐγενήθη ἡ γῆ, καὶ τὰ θεμέλια τῶν ὀρέων ἐταράχθησαν, καὶ ἐσαλεύθησαν, ὅτι ὠργίσθη αὐτοῖς ὁ θεός.

Ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ, καὶ πῦρ ἀπὸ προσώπου αὐτοῦ καταφλογήσεται, ἄνθρακες ἀνήφθησαν ἀπ' αὐτοῦ. Καὶ ἔκλινεν οὐρανούς, καὶ κατέβη, καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ. Καὶ ἐπέβη ἐπὶ χερουβίμ, καὶ ἐπετάσθη, ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων. Καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ,

κύκλῳ

Confessus secundus, in finẽ puero domini Dauid, quę loquutus est Domino sermones cãtici huius, in die qua eripuit eũ Dominus, è manu omnium inimicorum eius, & è manu Saul, XVII.

Diligã te Dñe fortitudo mea. Dñs confirmatio mea & refugium meum, & liberator meus. Deus meus auxiliator meus, & sperabo in eum. Defensor meus, & cornu salutis meæ, & susceptor meus. Laudans inuocabo Dominũ, et ab inimicis meis saluabor. Circumdederũt me dolores mortis, & torrentes iniquitatis exturbauerunt me. Dolores inferni circũdederũt me, præoccupauerunt me laquei mortis. Et in afflictione mea inuocaui Dñm, et ad Deum meũ clamaui. Audiuit de tẽplo sãcto suo uocẽ meã, et clamor meus corã eo introibit in aures eius. Et cõmota est, & cõtremuit terra, & fundamẽta montiũ turbata sunt, & cõmota sunt, qa iratus est eis Deus. Ascẽdit fumus in ira eius, & ignis à conspectu eius succẽdet, carbones succẽsi sunt ab eo. Et inclinauit coelos, & descẽdit, et caligo sub pedibus eius. Et ascẽdit sup Cherubim, et intẽsus est, intẽsus ẽ in pẽnis uẽtorũ. Et posuit tenebras absconsionẽ suã

 in circuitu

in circuitu eius tabernaculum eius, tenebrosa aqua in nubibus aeris. Ab illustratione coram eo nubes transierunt, grando et carbones ignis. Et intonuit de cœlo Dominus, & altissimus dedit uocē suam.

Emisit iacula, & dissipauit eos, & fulgura multiplicauit, & conturbauit eos. Et uisi sunt fontes aquarum, & tecta sunt fundamenta orbis terrę, ab increpatione tua Dñe, ab inspiratione spiritus iræ tuę.

Emisit ex alto, & accepit me, assumpsit me de aquis multis. Liberabit me de inimicis meis potētibus, & ab exosis me, quia roborati sunt super me. Præuenerunt me in die afflictionis meæ, & factus est Dominus fulcrum meū. Et eduxit me in latitudinem, liberabit me, quoniam uoluit me. Et retribuet mihi Dominus ꝑ iustitia mea, & pro puritate manuum mearum retribuet mihi. Quia custodiui uias Domini, & nō impiè egi à Deo meo. Quia omnia iudicia eius in conspectu meo, & iniustitiæ eius non destiterunt à me. Et ero immaculatus cum eo, & custodiam me ab iniquitate mea. Et retribuet mihi Dominus ꝑ iustitia mea,

&

κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ, σκοτεινὸν ὕδωρ ἐν νεφέλαις ἀέρων. Ἀπὸ τῆς τηλαυγήσεως ἐνώπιον αὐτοῦ αἱ νεφέλαι διῆλθον, χάλαζα καὶ ἄνθρακες πυρός. Καὶ ἐβρόντησεν ἐξ οὐρανοῦ ὁ κύριος, καὶ ὁ ὕψιστος ἔδωκε φωνὴν αὐτοῦ. Ἐξαπέστειλε βέλη, καὶ διεσκόρπισεν αὐτοὺς, καὶ ἀστραπὰς ἐπλήθυνε, καὶ συνετάραξεν αὐτούς. Καὶ ὤφθησαν αἱ πηγαὶ τῶν ὑδάτων, καὶ ἀνεκαλύφθη τὰ θεμέλια τῆς οἰκουμένης, ἀπὸ ἐπιτιμήσεώς σου κύριε, ἀπὸ ἐμπνεύσεως πνεύματος ὀργῆς σου.

Ἐξαπέστειλεν ἐξ ὕψους, καὶ ἔλαβέ με, προσελάβετό με ἐξ ὑδάτων πολλῶν. Ῥύσεταί με ἐξ ἐχθρῶν μου δυνατῶν, καὶ ἐκ τῶν μισούντων με, ὅτι ἐστερεώθησαν ὑπὲρ ἐμέ. Προέφθασάν με ἐν ἡμέρᾳ κακώσεώς μου, καὶ ἐγένετο κύριος ἀντιστήριγμά μου. Καὶ ἐξήγαγέ με εἰς πλατυσμὸν, ῥύσεταί με, ὅτι ἠθέλησέ με. Καὶ ἀνταποδώσει μοι κύριος κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἀνταποδώσει μοι. Ὅτι ἐφύλαξα τὰς ὁδοὺς κυρίου, καὶ οὐκ ἠσέβησα ἀπὸ τοῦ θεοῦ μου. Ὅτι πάντα τὰ κρίματα αὐτοῦ ἐνώπιόν μου, καὶ τὰ δικαιώματα αὐτοῦ οὐκ ἀπέστησαν ἀπ᾽ ἐμοῦ. Καὶ ἔσομαι ἄμωμος μετ᾽ αὐτοῦ, καὶ φυλάξομαι ἀπὸ τῆς ἀνομίας μου. Καὶ ἀνταποδώσει μοι κύριος κατὰ τὴν δικαιοσύνην μου.

καὶ

καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου, ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ. Μετὰ ὁσίου ὅσιος ἔσῃ, καὶ μετὰ ἀνδρὸς ἀθώου ἀθῶος ἔσῃ. Καὶ μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ, καὶ μετὰ στρεβλοῦ διαστρέψεις.

Ὅτι σὺ λαὸν ταπεινὸν σώσεις, καὶ ὀφθαλμοὺς ὑπερηφάνων ταπεινώσεις. Ὅτι σὺ φωτιεῖς λύχνον μου κύριε, ὁ θεός μου φωτιεῖς τὸ σκότος μου. Ὅτι ἐν σοὶ ῥυσθήσομαι ἀπὸ πειρατηρίου, καὶ ἐν τῷ θεῷ μου ὑπερβήσομαι τεῖχος. Ὁ θεός μου, ἄμωμος ἡ ὁδὸς αὐτοῦ, τὰ λόγια κυρίου πεπυρωμένα, ὑπερασπιστής ἐστι πάντων τῶν ἐλπιζόντων ἐπ' αὐτόν. Ὅτι τίς ὁ θεὸς πάρεξ τοῦ κυρίου; ἢ τίς θεὸς πλὴν τοῦ θεοῦ ἡμῶν;

Ὁ θεὸς ὁ περιζωννύων με δύναμιν, καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου. Καταρτιζόμενος τοὺς πόδας μου ὡσεὶ ἐλάφου, καὶ ἐπὶ τὰ ὑψηλὰ ἱστῶν με. Διδάσκων χεῖράς μου εἰς πόλεμον, καὶ ἔθου τόξον χαλκοῦν τοὺς βραχίονάς μου. Καὶ ἔδωκάς μοι ὑπερασπισμὸν σωτηρίας, καὶ ἡ δεξιά σου ἀντελάβετό μου.

Καὶ ἡ παιδεία σου ἀνώρθωσέ με εἰς τέλος, καὶ ἡ παιδεία σου αὐτή με διδάξει. Ἐπλάτυνας τὰ διαβήματά μου ὑποκάτω μου, καὶ οὐκ ἠσθένησε τὰ ἴχνη μου. Καταδιώξω τοὺς ἐχθρούς μου, καὶ καταλήψομαι αὐτούς, καὶ οὐκ ἀποστραφήσομαι, ἕως ἂν ἐκλείπωσιν.

et p puritate manuũ mearum, in conspectu oculorum eius. Cum sancto sanctus eris, et cum uiro innocente innocens eris. Et cum electo electus eris, & cum peruerso peruertes. 2 Reg. 22.

Quia tu populum humilem saluabis, & oculos superborum humiliabis. Quia tu illuminabis lucernam meam Domine, Deus meus illuminabis tenebras meas. Quia in te liberabor à tentatione, & in Deo meo transgrediar murum. Deus meus, inculpata uia eius, eloquia Domini ignita, defensor est omnium sperantium in eum. Quia quis Deus, præter Dominũ? Aut quis Deus, præter Deum nostrum? Deus præcingens me potentia, et posuit immaculatam uiam meam.

Coaptans pedes meos tanquam cerui, & in excelsa statuens me. Docens manus meas in bellum, & posuisti arcum æreum brachia mea. Et dedisti mihi defensionem salutis, & dextera tua suscepit me. Inf. 141

Et disciplina tua erexit me in finem, & disciplina tua ipsa me docebit. Dilatasti gressus meos subtus me, et non sunt imbecillia uestigia mea. Persequar inimicos meos, & comprehendam illos, & non auertar, donec deficiant.

Conterā illos, nec potuerunt stare, cadēt subtus pedes meos. Et præcinxisti me potentia ad bellum, supplātasti omnes surgētes in me subtus me. Et inimicos meos dedisti mihi dorsum, & exosos me disperdisti. Clamauerunt, nec erat qui saluos faceret, ad Dñm, & non exaudiuit eos. Et extenuabo eos uelut puluerē ante conspectum uenti, ut lutū plateaꝝ læuigabo eos. Liberabis me ex cōtradictiōe populi, constitues me in caput gentium. Populus quē non cognoui, seruiuit mihi, in auditu auris obediuit mihi. Filii alieni mētiti sunt mihi, filii alieni inueterati sunt, & claudicauerunt à semitis suis. Viuit Dominus, & benedictus Deus. Et exaltetur Deus salutis meæ. Deus dans uindictas mihi, & subdēs populos sub me, liberator meus de inimicis

2.Reg.22 meis iracundis. Ab insur

Rom.15 gentibus in me exaltabis me, à uiro iniquo libera me. Propterea cōfitebor tibi in gentibus Dñe, & nomini tuo canam, magnificans salutes regis, & faciens misericordiā Christo suo, Dauid & semini eius usq; in seculum.

In finem, Psalmus David, XVIII

Cœli denarrant gloriā Dei,

Ἐκθλίψω αὐτοὺς, καὶ οὐ μὴ δύνωνται στῆναι, πεσοῦνται ὑπὸ τοὺς πόδας μου. Καὶ περιέζωσάς με δύναμιν εἰς πόλεμον, συνεπόδισας πάντας τοὺς ἐπανισταμένους ἐπ' ἐμὲ ὑποκάτω μου. Καὶ τοὺς ἐχθρούς μου ἔδωκάς μοι νῶτον, καὶ τοὺς μισοῦντάς με ἐξωλόθρευσας. Ἐκέκραξαν, καὶ οὐκ ἦν ὁ σώζων, πρὸς κύριον, καὶ οὐκ εἰσήκουσεν αὐτῶν. Καὶ λεπτυνῶ αὐτοὺς ὡσεὶ χοῦν κατὰ πρόσωπον ἀνέμου, ὡς πηλὸν πλατειῶν λεανῶ αὐτούς. Ῥύσῃ με ἐξ ἀντιλογίας λαοῦ, καταστήσεις με εἰς κεφαλὴν ἐθνῶν. Λαὸς ὃν οὐκ ἔγνων, ἐδούλευσέ μοι, εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου. Υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι, υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν, καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν. Ζῇ κύριος, καὶ εὐλογητὸς ὁ θεός. Καὶ ὑψωθήτω ὁ θεὸς τῆς σωτηρίας μου. Ὁ θεὸς ὁ διδοὺς ἐκδικήσεις ἐμοί, καὶ ὑποτάξας λαοὺς ὑπ' ἐμέ, ὁ ῥύστης μου ἐξ ἐχθρῶν μου ὀργίλων. Ἀπὸ τῶν ἐπανισταμένων ἐπ' ἐμέ ὑψώσεις με, ἀπὸ ἀνδρὸς ἀδίκου ῥύσαί με. Διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσι κύριε, καὶ τῷ ὀνόματί σου ψαλῶ, μεγαλύνων τὰς σωτηρίας τοῦ βασιλέως, καὶ ποιῶν ἔλεος τῷ χριστῷ αὐτοῦ, τῷ Δαβὶδ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβὶδ ιη.

Οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ,

θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα. Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν. Οὐκ εἰσὶ λαλιαί, οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. Ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ, καὶ αὐτὸς ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ.

Ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδὸν, ἀπ᾽ ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ. Καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ, καὶ οὐκ ἔστιν, ὃς ἀποκρυβήσεται τῆς θέρμης αὐτοῦ. Ὁ νόμος κυρίου ἄμωμος, ἐπιστρέφων ψυχάς. Ἡ μαρτυρία κυρίου πιστὴ, σοφίζουσα νήπια. Τὰ δικαιώματα κυρίου εὐθέα, εὐφραίνοντα καρδίαν. Ἡ ἐντολὴ κυρίου τηλαυγὴς, φωτίζουσα ὀφθαλμούς. Ὁ φόβος κυρίου ἁγνὸς, διαμένων εἰς αἰῶνα αἰῶνος. Τὰ κρίματα κυρίου ἀληθινὰ, δεδικαιωμένα ἐπὶ τὸ αὐτὸ, ἐπιθυμητὰ ὑπὲρ χρυσίον, καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον. Καὶ γὰρ ὁ δοῦλός σου φυλάσσει αὐτὰ, ἐν τῷ φυλάσσειν αὐτὰ ἀνταπόδοσις πολλή. Παραπτώματα τίς συνήσει; Ἐκ τῶν κρυφίων μου καθάρισόν με, καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου.

Ἐὰν μή μου κατακυριεύσωσι, τότε ἄμωμος ἔσομαι, καὶ καθαρισθήσομαι

ἀπὸ

Dei, fabricationẽ aũt manuum eius renunciat firmamentum. Dies diei eructat uerbum, & nox nocti renũciat cognitionẽ. Nõ sunt loquelæ neq; sermones, quorũ non audiuntur uoces eorũ. In omnẽ terram exiuit sonus eorũ, & in fines orbis terræ uerba eorũ. In sole posuit tabernaculũ suum, et ipse tanq; sponsus egrediens è decore. Lętabitur ut Gigas ad currendũ uiam, à summo cœlo egressio eius. Et occursus eius usq; ad summũ cœli, & nõ est qui abscõdetur à calore eius. Lex Dñi immaculata, conuertens animas. Testimoniũ Dñi fidum, sapientiã præstans infantibus. Iustitię Domini rectæ, exhilarantes cor. Præceptum Domini procul lucidum, illuminans oculos. Timor Domini sanctus, permanẽs in seculum seculi. Iudicia Domini uera, iusta reddita in unũ, desiderabilia super aurum et lapidem preciosum multum, & dulciora super mel & fauũ. Etenim seruus tuus custodit ea, in custodiendis illis retributio multa. Delicta quis intelliget? Ab occultis meis munda me, & ab alienis parce seruo tuo.

Si mei non fuerint dominati, tunc immaculatus ero, & mundabor

à peccato magno. Et erũt in approbationẽ eloquia oris mei, & meditatio cordis mei coram te per omne tempus. Domine auxiliator meus, & liberator meus.

In finem, Psalmus David XIX

Exaudiat te Dominus in die afflictionis, defendat te nomen Dei Iacob. Emittat tibi auxilium è sancto, & è Sion recipiat te. Memor sit omnis sacrificii tui, & solidũ incensum tuũ pinguescat. Det tibi dominus pro corde tuo, & omne consiliũ tuũ impleat. Lætabimur in salutari tuo, et in nomine domini dei nostri magni reddemur. Impleat dominus omnes petitiones tuas. Nunc cognoui, quod saluauit dominus Christum suum. Exaudiet illum de coelo sancto suo, in potestatibus salus dexteræ eius. Hi in curribus & hi in equis, nos autem in nomine domini dei nostri inuocabimus. Ipsi simul sunt, & ceciderũt, nos autem surreximus, & erecti sumus. Domine salua regem, & exaudi nos, in qua sanè die inuocauerimus te.

Psalm' David XX.

Domine in potentia tua gaudebit rex, & in salu-

πὸ ἁμαρτίας μεγάλης. Καὶ ἔσονται εἰς εὐδοκίαν τὰ λόγια τοῦ στόματός μου, καὶ ἡ μελέτη τῆς καρδίας μου ἐνώπιόν σου διὰ παντός. Κύριε βοηθέ μου, καὶ λυτρωτά μου.

Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβίδ ιθ.

Ἐπακούσαι σου κύριος ἐν ἡμέρᾳ θλίψεως, ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ θεοῦ Ἰακώβ. Ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου, καὶ ἐκ Σιὼν ἀντιλάβοιτό σου. Μνησθείη πάσης θυσίας σου, καὶ τὸ ὁλοκαύτωμά σου πιανάτω. Δώη σοι κύριος κατὰ τὴν καρδίαν σου, καὶ πᾶσαν τὴν βουλήν σου πληρώσαι. Ἀγαλλιασόμεθα ἐπὶ τῷ σωτηρίῳ σου, καὶ ἐν ὀνόματι κυρίου θεοῦ ἡμῶν μεγαλυνθησόμεθα.

Πληρώσαι κύριος πάντα τὰ αἰτήματά σου. Νῦν ἔγνων, ὅτι ἔσωσε κύριος τὸν χριστὸν αὐτοῦ. Ἐπακούσεται αὐτοῦ ἐξ οὐρανοῦ ἁγίου αὐτοῦ, ἐν δυναστείαις ἡ σωτηρία τῆς δεξιᾶς αὐτοῦ. Οὗτοι ἐν ἅρμασι καὶ οὗτοι ἐν ἵπποις, ἡμεῖς δὲ ἐν ὀνόματι κυρίου θεοῦ ἡμῶν ἐπικαλεσόμεθα. Αὐτοὶ συνεποδίσθησαν, καὶ ἔπεσον, ἡμεῖς δὲ ἀνέστημεν, καὶ ἀνωρθώθημεν. Κύριε σῶσον τὸν βασιλέα, καὶ ἐπάκουσον ἡμῶν, ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε.

Ψαλμὸς τῷ Δαβίδ κ.

Κύριε ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεύς, καὶ ἐπὶ

τῷ

τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα. Τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ, καὶ τὴν θέλησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν. Ὅτι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος, ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου. Ζωὴν ᾐτήσατό σε, καὶ ἔδωκας αὐτῷ μακρότητα ἡμερῶν, εἰς αἰῶνα αἰῶνος. Μεγάλη ἡ δόξα αὐτοῦ ἐν τῷ σωτηρίῳ σου, δόξαν καὶ μεγαλοπρέπειαν ἐπιθήσεις ἐπ' αὐτόν. Ὅτι δώσεις αὐτῷ εὐλογίαν εἰς αἰῶνα αἰῶνος, εὐφρανεῖς αὐτὸν ἐν χαρᾷ μετὰ τοῦ προσώπου σου. Ὅτι ὁ βασιλεὺς ἐλπίζει ἐπὶ κύριον, καὶ ἐν τῷ ἐλέει τοῦ ὑψίστου οὐ μὴ σαλευθῇ. Εὑρεθείη ἡ χείρ σου πᾶσι τοῖς ἐχθροῖς, ἡ δεξιά σου εὕροι πάντας τοὺς μισοῦντάς σε. Ὅτι θήσεις αὐτοὺς ὡς κλίβανον πυρὸς εἰς καιρὸν τοῦ προσώπου σου. Κύριος ἐν ὀργῇ αὐτοῦ συνταράξει αὐτούς, καὶ καταφάγεται αὐτοὺς πῦρ. Τὸν καρπὸν αὐτῶν ἀπὸ τῆς γῆς ἀπολεῖς, καὶ τὸ σπέρμα αὐτῶν ἀπὸ υἱῶν ἀνθρώπων. Ὅτι ἔκλιναν εἰς σὲ κακά, διελογίσαντο βουλάς, αἷς οὐ μὴ δύνωνται στῆσαι. Ὅτι θήσεις αὐτοὺς νῶτον ἐν τοῖς περιλοίποις σου, ἑτοιμάσεις τὸ πρόσωπον αὐτῶν. Ὑψώθητι κύριε ἐν τῇ δυνάμει σου, ᾄσομεν, καὶ ψαλοῦμεν τὰς δυναστείας σου. Δόξα.

salutari tuo lætabitur ualde. Desiderium cordis eius dedisti ei, & uoluntate labiorum eius non priuasti eum. Quoniam præuenisti eum in benedictionibus ꝓbitatis, posuisti in capite eius coronam è lapide precioso. Vitam petiit à te, & dedisti ei longitudinem dierum in seculū seculi. Magna est gloria eius in salutari tuo, gloriam & magnificentiam impones super eū. Quia dederis ei benedictionem in seculum seculi, exhilarabis eum in gaudio cū conspectu tuo. Quia rex sperat in domino, & in misericordia altissimi nequaquam emotus fuerit. Inueniatur manus tua omnibus inimicis tuis, dextera tua inueniat omnes exosos te. Quia eos pones ut fornacem ignis in tempus conspectus tui. Dominus in ira sua cōturbabit eos, & comedet eos ignis. Fructum eorum è terra perdes, & semen eorum à filiis hominum. Quia declinauerunt in te mala, excogitauerunt consilia, quibus non potuerunt stare. Quia pones eos dorsum in reliquiis tuis, parabis conspectum eorū. Exaltare domine in potētia tua, canemus, & cantabimus potestates tuas. Gloria.

In finem, pro susceptione matutina, Psalmus David XXI.

Matth. 27 Deus, deus meus atten-
Marci 15 de mihi, quare dereliqui-
sti me? Lõge à salute mea sermões delictorũ meorũ. Deus meus clamabo die, & nõ exaudies, & nocte, et nõ ad insipientiã mihi. Tu autem in sancto habitas, laus Israel. In te sperauerunt patres nostri, sperauerunt, & liberasti eos. Ad te clamauerunt, & salui facti sunt. In te sperauerũt, et nõ pudore affecti sunt. Ego autẽ sum uermis, & non homo, conuicium hominũ, & abiectio populi.
Matth. 27 Omnes uidẽtes me subsannauerunt me, locuti sunt labiis, mouerunt caput. Sperauit in dominum, liberet eum, saluet eum, quoniam uult eum. Quoniã tu es extrahens me e uentre, spes mea ab uberibus matris meæ. In te proiectus sum ex matrice, e uẽtre matris meæ deus meus es tu. Ne desistas à me, qñ afflictio prope, quiñ non est auxilians mihi. Circũdederũt me uituli multi, tauri pingues cinxerunt me. Aperuerunt in me os suum, ut leo rapiens et rugiens. Sicut aqua effusus sum, et dispersa sunt õmia ossa mea. Factum est cor meum tanquam cera liquescens, in

Εἰς τὸ τέλος, ὑπὲρ τῆς ἀντιλήψεως τῆς ἑωθινῆς, ψαλμὸς τῷ Δαβὶδ κά.

Ὁ Θεὸς, ὁ θεός μου πρόσχες μοι, ἵνα τί ἐγκατέλιπές με; Μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου. Ὁ θεός μου κεκράξομαι ἡμέρας, καὶ οὐκ εἰσακούσῃ, καὶ νυκτὸς, καὶ οὐκ εἰς ἄνοιαν ἐμοί.

Σὺ δὲ ἐν ἁγίῳ κατοικεῖς, ὁ ἔπαινος τοῦ ἰσραήλ. Ἐπί σοι ἤλπισαν οἱ πατέρες ἡμῶν, ἤλπισαν, καὶ ἐρρύσω αὐτούς. Πρός σε ἐκέκραξαν, καὶ ἐσώθησαν. Ἐπί σοι ἤλπισαν, καὶ οὐ κατῃσχύνθησαν. Ἐγὼ δέ εἰμι σκώληξ, καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπων, καὶ ἐξουθένημα λαοῦ. Πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με, ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν. Ἤλπισεν ἐπὶ κύριον, ῥυσάσθω αὐτόν, σωσάτω αὐτόν, ὅτι θέλει αὐτόν. Ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρὸς, ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου. Ἐπί σε ἐπερρίφην ἐκ μήτρας, ἀπὸ γαστρὸς μητρός μου θεός μου εἶ σύ. Μὴ ἀποστῇς ἀπ' ἐμοῦ, ὅτι θλίψις ἐγγὺς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν μοι. Περιεκύκλωσάν με μόσχοι πολλοὶ, ταῦροι πίονες περιέσχον με. Ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, ὡς λέων ἁρπάζων καὶ ὠρυόμενος.

Ὡσεὶ ὕδωρ ἐξεχύθην, καὶ διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου. Ἐγενήθη ἡ καρδία μου ὡσεὶ κηρὸς τηκόμενος, ἐν

ἐν μέσῳ τῆς κοιλίας μου. Ἐξηράνθη ὡς ὄστρακον ἡ ἰσχύς μου, καὶ ἡ γλῶσσά μου κεκόλληται τῷ λάρυγγί μου, καὶ εἰς χοῦν θανάτου κατήγαγές με. Ὅτι ἐκύκλωσάν με κύνες πολλοί, συναγωγὴ πονηρευομένων περιέσχον με. Ὤρυξαν χεῖράς μου καὶ πόδας μου, ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου, αὐτοὶ δὲ κατενόησαν, καὶ ἐπεῖδόν με. Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. Σὺ δὲ κύριε μὴ μακρύνῃς τὴν βοήθειάν σου ἀπ' ἐμοῦ, εἰς τὴν ἀντίληψίν μου πρόσχες. Ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου, καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου. Σῶσόν με ἐκ στόματος λέοντος, καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου. Διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε. Οἱ φοβούμενοι τὸν κύριον αἰνέσατε αὐτόν, ἅπαν τὸ σπέρμα Ἰακὼβ δοξάσατε αὐτόν. Φοβηθήτω δὴ ἀπ' αὐτοῦ ἅπαν τὸ σπέρμα Ἰσραήλ, ὅτι οὐκ ἐξουδένωσεν, οὐδὲ προσώχθισε τῇ δεήσει τοῦ πτωχοῦ. Οὐδὲ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ, καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν εἰσήκουσέ μου. Παρὰ σοῦ ὁ ἔπαινός μου, ἐν ἐκκλησίᾳ μεγάλῃ ἐξομολογήσομαί σοι. Τὰς εὐχάς μου ἀποδώσω ἐνώπιον τῶν φοβουμένων αὐτόν. Φάγονται πένητες, καὶ ἐμπλησθήσονται. Καὶ αἰνέσουσι κύριον οἱ ἐκζητοῦντες αὐτόν,

in medio uentris mei.
Exiccata est ut testa robur meum, & lingua mea agglutinata est faucibus meis, & in puluerem mortis deduxisti me. Quoniã cinxerunt me canes multi, concio malignè agentium circumdederunt me. Foderunt manus meas & pedes meos, dinumerauerunt omnia ossa mea, ipsi uero considerauerunt, &
inspexerunt me. Diuiserũt Matth. 27
uestes meas sibiipsis, & su Ioan. 19
per uestimentũ meum iecerunt sortem. Tu autẽ domine ne amoueas auxiliũ tuum à me, in acceptionẽ meam attende. Libera à gladio animam meam, & è manu canis unigenitum meum. Salua me ex ore leonis, & à cornib⁹ unicornium humilitatem meam.
Denarrabo nomen tuum Hebr. 2
fratrib. meis, in medio concionis laudabo te. Timẽtes dominũ laudate eum, uniuersum semen Iacob gloria afficite eũ. Timeat iã ab eo uniuersum semen Israel, quia nõ nihili fecit, neq; molestia affecit precationem mendici. Neq; auertit cõspectum suum à me, & cum clamarem ego ad eum, exaudiuit me. A te laus mea, in concione magna confitebor tibi. Vota mea reddam coram timentib. eum. Edent pauperes, & implebuntur. Et laudabũt dñm, requirẽtes eum,

eum, uiuent corda eorum in seculum seculi. Reminiscentur, & conuertētur ad dominum omnes fines terrae, & adorabūt coram eo omnes familiȩ gentium. Quia domini regnum, & ipse dominatur gentium. Ederunt, & adorauerunt omnes pingues terrae, coram eo procidēt omnes descendentes in terram. Et anima mea illi uiuit, & semen meum seruiet ipsi. Annunciabitur domino progenies ueniens, & annunciabunt iustitiam eius populo nascituro, quem fecit dominus.

Psalmus Dauid
XXII

Dominus pascit me, & nihil me deficiet, in locum herbae, ibi me collocauit. In aqua requiei enutriuit me, animam meam conuertit. Deduxit me in semitas iustitiae, propter nomen suum. Nam & si ambulauero in medio umbrȩ mortis, non timebo mala, quia tu mecum es. Virga tua & baculus tuus, ipsa me cōsolata sunt. Parasti coram me mensam, ex aduerso affligētium me. Pingue reddisti in oleo caput meum, et poculum tuum inebrians me perquā fortissimum. Et misericordia tua subsequet me oēs dies uitae meȩ, et ut inhabitē ego in

αὐτόν, ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος. Μνησθήσονται, καὶ ἐπιστραφήσονται πρὸς κύριον πάντα τὰ πέρατα τῆς γῆς, καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν. Ὅτι τοῦ κυρίου ἡ βασιλεία, καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν. Ἔφαγον, καὶ προσεκύνησαν πάντες οἱ πίονες τῆς γῆς, ἐνώπιον αὐτοῦ προπεσοῦνται πάντες οἱ καταβαίνοντες εἰς γῆν. Καὶ ἡ ψυχή μου αὐτῷ ζῇ, καὶ τὸ σπέρμα μου δουλεύσει αὐτῷ. Ἀναγγελήσεται τῷ κυρίῳ γενεὰ ἡ ἐρχομένη, καὶ ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ κύριος.

Ψαλμὸς τῷ Δαβὶδ κβ.

Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει, εἰς τόπον χλόης, ἐκεῖ με κατεσκήνωσεν. Ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με, τὴν ψυχήν μου ἐπέστρεψεν. Ὡδήγησέ με ἐπὶ τρίβους δικαιοσύνης, ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ. Ἐὰν γὰρ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ. Ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου, αὗταί με παρεκάλεσαν. Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν, ἐξεναντίας τῶν θλιβόντων με. Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου, καὶ τὸ ποτήριόν σου μεθύσκον ὡσεὶ κράτιστον. Καὶ τὸ ἔλεός σου καταδιώξει με, πάσας τὰς ἡμέρας τῆς ζωῆς μου, καὶ τὸ κατοικεῖν με

ἐν

ἐν οἴκῳ κυρίου, εἰς μακρότητα ἡμερῶν.

Ψαλμὸς τῷ Δαβίδ, τῆς μιᾶς σαββάτων κγ.

Τοῦ κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ. Αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτὴν, καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτήν.

Τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ κυρίου, ἢ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ; Ἀθῷος χερσὶ καὶ καθαρὸς τῇ καρδίᾳ, ὃς οὐκ ἔλαβεν ἐπὶ ματαίῳ τὴν ψυχὴν αὐτοῦ, καὶ οὐκ ὤμοσεν ἐπὶ δόλῳ τῷ πλησίον αὐτοῦ. Οὗτος λήψεται εὐλογίαν παρὰ κυρίου, καὶ ἐλεημοσύνην παρὰ θεοῦ σωτῆρος αὐτοῦ. Αὕτη ἡ γενεὰ ζητούντων τὸν κύριον, ζητούντων τὸ πρόσωπον τοῦ θεοῦ ἰακώβ. Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; Κύριος κραταιὸς καὶ δυνατὸς, κύριος δυνατὸς ἐν πολέμῳ. Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; Κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης. Δόξα. κάθισμα γ.

Ψαλμὸς τῷ Δαβίδ κδ.

Πρός σε κύριε ἦρα τὴν ψυχήν μου, ὁ θεός μου ἐπί σοι πέποιθα,

go in domo dñi in longitudinem dierum.

Psalmus Dauid, una feriarum XXIII.

Domini terra & plenitudo eius, orbis habitabilis & omnes inhabitantes in ea. Ipse super maria fundauit eam, & in fluminibus parauit eam. Quis ascendet in montem domini, aut quis stabit in loco sancto eius? Innocens manibus & mundus corde, qui non accepit in uanum animam suam, & non iurauit cũ dolo propinquo suo. Hic accipiet benedictionem à domino, & misericordiam à deo saluatore suo. Hæc progenies quærentium dominum, quærentium conspectum dei Iacob. Tollite portas principes uestras, & eleuamini portæ æternæ, & introibit rex gloriæ. Quis est iste rex gloriæ? Dominus fortis & potens, dominus potens in bello. At tollite portas principes uestras, & eleuamini portæ æternæ, & introibit rex gloriæ. Quis est iste rex gloriæ? Dominus potestatũ, ipse est rex gloriæ. Gloria. Confessus tertius.

Sup. 14

Psalmus Dauid XXIIII.

Ad te dñe extuli animã meã, deus meus in te confisus.

fiſus ſum, ne uerecunder
in ſeculum. Neq; derideāt
me inimici mei, etenim o-
mnes ſuſtinentes te nequa
quā ignominia affecti fue
rint. Ignominia afficiant̄
iniquè agētes ſuperuacue.
Vias tuas domine demon
ſtra mihi, & ſemitas tuas
doce me, quia tu es deus
ſaluator meus, & te ſuſti-
nui totam diem. Memor
ſis miſerationū tuarum do
mine, & miſericordiarum
tuarū, quia à ſeculo ſunt.
Peccata iuuentutis meæ,
& ignorātias meas ne me
mineris. Pro miſericordia
tua memento mei tu, pro-
pter probitatem tuam do
mine. Probus et rectus do
minus, propter hoc legem
ponet peccantibus in uia.
Deducet mites in iudicio,
docebit mites uias ſuas.
Omnes uiæ domini, miſe
ricordia & ueritas, requi
rentibus teſtamentū eius
& teſtimonia eius. Propt̄
nomen tuum domine &
propiti⁹ ſis peccato meo,
multum enim eſt. Quis eſt
homo timens dominum?
Legem ſtatuet ei in uia,
quam elegit. Anima eius
in bonis diuerſabitur, &
ſemen eius hæreditate ca
piet terram. Robur domi
nus timentium eum, & te
ſtamentum ipſius declara-
bit illis. Oculi mei per
omne tempus ad domi-
num, quia ipſe extrahet è
laqueo pedes meos. Inſpi
ce in

ποιθα, μὴ καταισχυνθείην εἰς τὸν αἰ
ῶνα. Μηδὲ καταγελασάτωσαί με
οἱ ἐχθροί μου, καὶ γὰρ πάντες οἱ ὑπομέ
νοντές σε οὐ μὴ καταισχυνθῶσιν.
Αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διὰ
κενῆς. Τὰς ὁδούς σου κύριε γνώρι-
σόν μοι, καὶ τὰς τρίβους σου δίδαξόν
με. Ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν
σου, καὶ δίδαξόν με, ὅτι σὺ εἶ ὁ θεὸς ὁ
σωτήρ μου, καὶ σὲ ὑπέμεινα ὅλην τὴν
ἡμέραν. Μνήσθητι τῶν οἰκτιρμῶν
σου κύριε, καὶ τὰ ἐλέη σου, ὅτι ἀπὸ τοῦ
αἰῶνός εἰσιν. Ἁμαρτίας νεότητός
μου καὶ ἀγνοίας μου μὴ μνησθῇς. Κα
τὰ τὸ ἔλεός σου μνήσθητί μου σύ, ἕνε
κεν τῆς χρηστότητός σου κύριε. Χρη-
στὸς καὶ εὐθὴς ὁ κύριος, διὰ τοῦτο νομο
θετήσει ἁμαρτάνοντας ἐν ὁδῷ. Ὁ-
δηγήσει πραεῖς ἐν κρίσει, διδάξει
πραεῖς ὁδοὺς αὐτοῦ. Πᾶσαι αἱ ὁδοὶ
κυρίου, ἔλεος καὶ ἀλήθεια, τοῖς ἐκζητοῦσι
τὴν διαθήκην αὐτοῦ καὶ τὰ μαρτύρια
αὐτοῦ. Ἕνεκεν τοῦ ὀνόματός σου κύριε
καὶ ἱλάσθητι τῇ ἁμαρτίᾳ μου, πολλὴ
γάρ ἐστι. Τίς ἄνθρωπος ὁ φοβούμε-
νος τὸν κύριον; νομοθετήσει αὐτῷ ἐν
ὁδῷ, ᾗ ᾑρετίσατο. Ἡ ψυχὴ αὐτοῦ ἐν
ἀγαθοῖς αὐλισθήσεται, καὶ τὸ σπέρμα
αὐτοῦ κληρονομήσει γῆν. Κραταίω-
μα κύριος τῶν φοβουμένων αὐτόν, καὶ
ἡ διαθήκη αὐτοῦ δηλώσει αὐτοῖς.
Οἱ ὀφθαλμοί μου διὰ παντὸς πρὸς
τὸν κύριον, ὅτι αὐτὸς ἐκσπάσει ἐκ πα
γίδος τοὺς πόδας μου. Ἐπίβλε-
ψον

ψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με, ὅτι μονογενὴς καὶ πτωχός εἰμι ἐγώ. Αἱ θλίψεις τῆς καρδίας μου ἐπληθύνθησαν, ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με. Ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου. Ἴδε τοὺς ἐχθρούς μου, ὅτι ἐπληθύνθησαν, καὶ μῖσος ἄδικον ἐμίσησάν με. Φύλαξον τὴν ψυχήν μου, καὶ ῥῦσαί με, μὴ καταισχυνθείην, ὅτι ἤλπισα ἐπί σε. Ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι, ὅτι ὑπέμεινά σε, κύριε. Λύτρωσαι ὁ θεὸς τ̄ ἰσραὴλ, ἐκ πασῶν τ̄ θλίψεων αὐτοῦ.

Ψαλμὸς τῷ Δαβὶδ κέ.

Κρῖνόν μοι κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην. Καὶ ἐπὶ τῷ κυρίῳ ἐλπίζων οὐ μὴ ἀσθενήσω. Δοκίμασόν με κύριε, καὶ πείρασόν με, πύρωσον τοὺς νεφρούς μου καὶ τὴν καρδίαν μου. Ὅτι τὸ ἔλεός σου κατέναντι τῶν ὀφθαλμῶν μου ἐστὶ, καὶ εὐηρέστησα ἐν τῇ ἀληθείᾳ σου. Οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος, καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω. Ἐμίσησα ἐκκλησίαν πονηρευομένων, καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω. Νίψομαι ἐν ἀθώοις τὰς χεῖράς μου, καὶ κυκλώσω τὸ θυσιαστήριόν σου κύριε, τοῦ ἀκοῦσαί με φωνῆς αἰνέσεώς σου, καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου. Κύριε ἠγάπησα εὐπρέπειαν οἴκου σου, καὶ τόπον σκηνώματος δόξης σου.

ce in me, et miserere mei, quia unigenitus & mendicus sum ego. Afflictiões cordis mei multiplicatæ sunt, ex necessitatib. meis educ me. Vide humilitatem meam et laborẽ meũ, & remitte omnia peccata mea. Vide inimicos meos, quia multiplicati sunt, & odio iniusto oderunt me. Custodi animam meã, & libera me, ne ignominia afficiar, quod speraui in te. Innocẽtes & recti agglutinabãtur mihi, quia sustinui te dñe. Libera deus Israel, ex omnibus afflictionibus suis.

Psalmus Dauid XXV.

Iudica me dñe, quia ego in innocẽtia mea ambulaui. Et in dño sperãs nequaq̃ imbecillis ero. Proba me dñe, & tẽta me, ure renes meos & cor meum. Quia misericordia tua ex aduerso oculorũ meorum est, & complacui in ueritate tua. Non consedi cum consessu uanitatis, & cum iniquè agentibus nequaq̃ ingredior. Odio habui concionẽ maligne agẽtium, & cũ impiis nequaquam considebo. Lauabo inter innocentes manus meas, & circundabo altare tuum, domine, ut audiã ego uocem laudatiõis tuæ, et denarrẽ omnia mirabilia tua. Dñe amaui decorẽ domus tuæ, & locũ habitationis gloriæ tuæ.

Μὴ Gg Ne

Ne simul perdas cum impiis animam meam, & cū uiris sanguinum uitam meam. Quorum in manibus iniquitates, dextera eorū impleta est muneribus. Ego aūt in innocentia mea ambulaui, libera me domine, et miserere mei. Pes meus stetit in rectitudine, in concionibus benedicā te, domine.

Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου, καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου. Ὧν ἐν χερσὶν αἱ ἀνομίαι, ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων. Ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην, λύτρωσαί με κύριε, καὶ ἐλέησόν με. Ὁ πούς μου ἔστη ἐν εὐθύτητι, ἐν ἐκκλησίαις εὐλογήσω σε, κύριε.

Psalmus Dauid, antequā ungeretur XXVI.

Ψαλμὸς τῷ Δαβίδ, πρὸ τοῦ χρισθῆναι. κθ.

Dominus illuminatio mea & saluator meus, quē timebo? Dominus defensor uitæ meæ, à quo metuam? Cum propinquant in me male afficientes, ut edant carnes meas affligentes me & inimici mei, ipsi imbecilles fuerunt, & ceciderūt. Si instruātur in me castra, nō timebit cor meum. Si exurgat in me bellū, in hac ego spero. Vnam petii à domino, hanc quæram, ut inhabitē ego in domo domini, omnes dies uitæ meæ, ut uideam ego uoluptatem domini, & inuisam templum sanctum eius. Quia abscondit me in tabernaculo suo, in die malorum meorum texit me, in abscondito tabernaculi sui. In petra extulit me. & nunc ecce, extulit caput meum in hostes meos. Circumdedi, & sacrificaui in taber-

Κύριος φωτισμός μου, καὶ σωτήρ μου, τίνα φοβηθήσομαι; Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου, ἀπὸ τίνος δειλιάσω; Ἐν τῷ ἐγγίζειν ἐπ᾽ ἐμὲ κακοῦντας, τοῦ φαγεῖν τὰς σάρκας μου, οἱ θλίβοντές με καὶ οἱ ἐχθροί μου, αὐτοὶ ἠσθένησαν, καὶ ἔπεσον. Ἐὰν δὲ παρατάξηται ἐπ᾽ ἐμὲ παρεμβολή, οὐ φοβηθήσεται ἡ καρδία μου. Ἐὰν ἐπαναστῇ ἐπ᾽ ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω. Μίαν ᾐτησάμην παρὰ κυρίου, ταύτην ζητήσω, τοῦ κατοικεῖν με ἐν οἴκῳ κυρίου, πάσας τὰς ἡμέρας τῆς ζωῆς μου, τοῦ θεωρεῖν με τὴν τερπνότητα κυρίου, καὶ ἐπισκέπτεσθαι τὸν ναὸν τοῦ ἁγίου αὐτοῦ. Ὅτι ἔκρυψέ με ἐν σκηνῇ αὐτοῦ, ἐν ἡμέρᾳ κακῶν μου ἐσκέπασέ με, ἐν ἀποκρύφῳ τῆς σκηνῆς αὐτοῦ. Ἐν πέτρᾳ ὕψωσέ με, καὶ νῦν ἰδοὺ, ὕψωσε κεφαλήν μου ἐπ᾽ ἐχθρούς μου. Ἐκύκλωσα, καὶ ἔθυσα ἐν τῇ σκη-

σκηνῇ αὐτοῦ θυσίαν αἰνέσεως καὶ ἀλαλαγμοῦ, ᾄσω, καὶ ψαλῶ τῷ κυρίῳ. Εἰσάκουσον κύριε τῆς φωνῆς μου, ἧς ἐκέκραξα, ἐλέησόν με, καὶ εἰσάκουσόν μου. Σοὶ εἶπεν ἡ καρδία μου, Κύριον ζητήσω, ἐξεζήτησέ σε τὸ πρόσωπόν μου, τὸ πρόσωπόν σου κύριε ζητήσω. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου. Βοηθός μου γενοῦ, μὴ ἀποσκορακίσῃς με, καὶ μὴ ἐγκαταλίπῃς με ὁ θεὸς ὁ σωτήρ μου. Ὅτι ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με, ὁ δὲ κύριος προσελάβετό με. Νομοθέτησόν με κύριε ἐν τῇ ὁδῷ σου, καὶ ὁδήγησόν με ἐν τρίβῳ εὐθείᾳ, ἕνεκα τῶν ἐχθρῶν μου. Μὴ παραδῷς με εἰς ψυχὰς θλιβόντων με, ὅτι ἐπανέστησάν μοι μάρτυρες ἄδικοι, καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ. Πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ κυρίου ἐν γῇ ζώντων. Ὑπόμεινον τὸν κύριον, ἀνδρίζου, καὶ κραταιούσθω ἡ καρδία σου, καὶ ὑπόμεινον τὸν κύριον. Δόξα.

Ψαλμὸς τῷ Δαβίδ κζ.

Πρὸς σὲ κύριε κεκράξομαι, ὁ θεός μου μὴ παρασιωπήσῃς ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Εἰσάκουσον κύριε τῆς φωνῆς τῆς δεήσεώς μου, ἐν τῷ δεῖσθαί με πρὸς σέ, ἐν τῷ αἴρειν με

χεῖρας

tabernaculo eius hostiam laudationis & iubilationis, canam, & cantabo domino. Exaudi domine uocem meam, qua clamaui, miserere mei, & exaudi me. Tibi dixit cor meum, Dominũ quæram, exquisiuit te conspectus meus, conspectum tuum, domine, quæram. Ne auerteris conspectum tuum à me, et ne declines in ira à seruo tuo. Auxiliator meus esto, ne dissipes me, & ne relinquas me Deus salutator meus. Quia pater meus & mater mea dereliquerunt me, at dominus assumpsit me. Legem pone mihi domine in uia tua, & deduc me in semita recta, propter inimicos meos. Ne tradideris me in animas affligentium me, quia insurrexerunt in me testes iniusti, & mentita est iniustitia sibiipsi. Credo uidere bona domini, in terra uiuentium. Sustine Dominum, uir sis, & roboretur cor tuum, & sustine dominum. Gloria.

Psalmus Dauid XXVII.

Ad te dñe clamabo, deus meus ne obticeas à me, & assimilabor descendentibus in lacũ. Exaudi dñe uocẽ precatiõis meę, dũ oro ego ad te, dũ tollo ego ma-

Hier.9

manus meas ad templum sanctum tuũ. Ne simul trahas me cum peccatoribꝰ, & cum operantibus iniustitiam ne simul disperdas me, loquẽtibus pacẽ cum propinquis suis, mala autẽ in cordibus eorum. Da illis dñe pro operibus eorũ, & pro prauitate studiorum suorum. Pro operibus manuũ eorum da illis, redde retributionẽ eorum eis. Quia non intellexerũt in opera domini et in opera manuũ eius, destrues illos, & nequaquam ædificabis eos. Benedictus dominus, quia exaudiuit uocem precationis meę. Dominus auxiliator meus & defensor meus, in ipso sperauit cor meum, & adiutus sum. Et refloruit caro mea, & ex uoluntate mea cõfitebor ei. Dominus robur populi sui, et defensor saluationum Christi sui est. Salua populum tuum, & benedic hæreditati tuæ, et pasce eos, & extolle illos usq; in seculum.

Psalmus Dauid, Exitus tabernaculi XXVIII.

Ferte domino filii dei, ferte domino filios arietum. Ferte domino gloriam & honorem. Ferte domino gloriam nomini eiꝰ. Adorate dñm in atrio sancto

χεῖράς μου πρὸς ναὸν ἅγιόν σου.

Μὴ συνελκύσῃς με μετὰ ἁμαρτωλῶν, καὶ μετὰ ἐργαζομένων ἀδικίαν μὴ συναπολέσῃς με, τῶν λαλούντων εἰρήνην μετὰ τῶν πλησίον αὐτῶν, κακὰ δὲ ἐν ταῖς καρδίαις αὐτῶν.

Δὸς αὐτοῖς κύριε κατὰ τὰ ἔργα αὐτῶν, καὶ κατὰ τὴν πονηρίαν τῶν ἐπιτηδευμάτων αὐτῶν. Κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτῶν δὸς αὐτοῖς, ἀπόδος τὸ ἀνταπόδομα αὐτῶν αὐτοῖς.

Ὅτι οὐ συνῆκαν εἰς τὰ ἔργα κυρίου καὶ εἰς τὰ ἔργα τῶν χειρῶν αὐτοῦ, καθελεῖς αὐτοὺς, καὶ οὐ μὴ οἰκοδομήσεις αὐτούς. Εὐλογητὸς κύριος, ὅτι εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.

Κύριος βοηθός μου, καὶ ὑπερασπιστής μου, ἐπ' αὐτῷ ἤλπισεν ἡ καρδία μου, καὶ ἐβοηθήθην. Καὶ ἀνέθαλεν ἡ σάρξ μου, καὶ ἐκ θελήματός μου ἐξομολογήσομαι αὐτῷ. Κύριος κραταίωμα τοῦ λαοῦ αὐτοῦ, καὶ ὑπερασπιστὴς τῶν σωτηρίων τοῦ χριστοῦ αὐτοῦ ἐστι. Σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, καὶ ποίμανον αὐτοὺς, καὶ ἔπαρον αὐτοὺς ἕως τοῦ αἰῶνος.

Ψαλμὸς τῷ Δαβίδ, Ἐξοδίου σκηνῆς κη.

Ἐνέγκατε τῷ κυρίῳ υἱοὶ θεοῦ, ἐνέγκατε τῷ κυρίῳ υἱοὺς κριῶν. Ἐνέγκατε τῷ κυρίῳ δόξαν καὶ τιμήν. Ἐνέγκατε τῷ κυρίῳ δόξαν ὀνόματι αὐτοῦ. Προσκυνήσατε τῷ κυρίῳ ἐν αὐλῇ ἁγίᾳ

ἁγίᾳ αὐτοῦ. Φωνὴ κυρίου ἐπὶ τῶν ὑδάτων, ὁ θεὸς τῆς δόξης ἐβρόντησε, κύριος ἐπὶ ὑδάτων πολλῶν.

Φωνὴ κυρίου ἐν ἰσχύϊ, φωνὴ κυρίου ἐν μεγαλοπρεπείᾳ. Φωνὴ κυρίου συντρίβοντος κέδρους, καὶ συντρίψει κύριος τὰς κέδρους τοῦ Λιβάνου.

Καὶ λεπτυνεῖ αὐτὰς ὡς τὸν μόσχον τοῦ Λιβάνου, καὶ ὁ ἠγαπημένος ὡς υἱὸς μονοκερώτων. Φωνὴ κυρίου διακόπτοντος φλόγα πυρός. Φωνὴ κυρίου συσσείοντος ἔρημον, καὶ συσσείσει κύριος τὴν ἔρημον Κάδης.

Φωνὴ κυρίου καταρτιζομένου ἐλάφους, καὶ ἀποκαλύψει δρυμούς, καὶ ἐν τῷ ναῷ αὐτοῦ πᾶς τις λέγει δόξαν.

Κύριος τὸν κατακλυσμὸν κατοικιεῖ, καὶ καθιεῖται κύριος βασιλεὺς εἰς τὸν αἰῶνα. Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει. Κύριος εὐλογήσει τὸν λαὸν αὐτοῦ ἐν εἰρήνῃ.

Ψαλμὸς ᾠδῆς τοῦ ἐγκαινισμοῦ τοῦ οἴκου Δαβίδ κθ.

Ὑψώσω σε κύριε, ὅτι ὑπέλαβές με, καὶ οὐκ εὔφρανας τοὺς ἐχθρούς μου ἐπ᾽ ἐμέ. Κύριε ὁ θεός μου, ἐκέκραξα πρός σε, καὶ ἰάσω με. Κύριε ἀνήγαγες ἐξ ᾅδου τὴν ψυχήν μου, ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον. Ψάλατε τῷ κυρίῳ οἱ ὅσιοι αὐτοῦ, καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ. Ὅτι ὀργὴ ἐν τῷ θυμῷ αὐτοῦ, καὶ ζωὴ ἐν τῷ θελήματι αὐτοῦ. Τὸ ἑσπέρας

αὐλι-

sancto eius. Vox domini super aquas, deus gloriae intonuit, dominus super aquas multas. Vox domini in robore, uox domini in magnificentia. Vox domini confringētis cedros, & confringet dominus cedros Libani. Et comminuet eas ut uitulum Libani, & amatus ut filius unicornium. Vox domini discindētis flammam ignis. Vox domini concutientis desertum, & concutiet dominus desertum Cades.

Vox domini compingēs ceruos, & reteget saltus, & in templo eius omnis quidam dicit gloriam. Dominus diluuium inhabitat & cōsidebit dominus rex in seculum. Dominus robur populo suo dabit. Dominus benedicet populo suo in pace.

Psalmus carminis dedicationis domus Dauid XXIX.

Exaltabo te Domine, quia suscepisti me, & non exhilarasti inimicos meos in me. Domine deus meus, clamaui ad te, & sanasti me. Domine reduxisti ex inferno animam meam, saluasti me à descēdentibus in lacum. Canite domino sancti eius, & cōfitemini memoriae sanctitatis eius. Quia ira in furore eius, & uita in uoluntate eius. Vespera

 diuer-

diuersabitur fletus, & in mane lætitia. Ego autem dixi in benignitate mea, nequaquam concussus fuero in seculum. Domine in uoluntate tua præbe pulchritudini meæ potentiam. Auertisti autem conspectum tuum, & sui turbatus. Ad te domine clamabo, & ad deum meum precabor. Quæ utilitas in sanguine meo, dum descendo ego in corruptionem? Num confitebitur tibi puluis, aut renunciabit ueritatem tuam? Audiuit dominus, et misertus est mei. Dominus fuit auxiliator meus. Vertisti planctum meum in gaudium mihi, dirupisti saccum meum, & accinxisti me lætitiam, ut canat tibi gloria mea, & nequaquam compungar. Domine deus meus, in seculum confitebor tibi. Gloria.

In finem, Psalmus Dauid, horroris, XXX.

In te dñe speraui, ne ignominia afficiar in seculum, in iustitia tua libera me, et eripe me. Inclina ad me aurem tuam, festina ad eripiendum me. Esto mihi in deum defensorem, & in domum confugii ad saluandum me. Quia robur meum & confugium meum es tu, & propter nomen tuum deduces me, et enutries me. Educes me e laqueo hoc, quem absconderunt mihi quia tu es defensor meus dñe.

In

αὐλισθήσεται κλαυθμὸς, καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις. Ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ μου, οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα. Κύριε ἐν τῷ θελήματί σου παράσχου τῷ κάλλει μου δύναμιν. Ἀπέστρεψας δὲ τὸ πρόσωπόν μου, καὶ ἐγενήθην τεταραγμένος. Πρός σε κύριε κεκράξομαι, καὶ πρὸς τὸν θεόν μου δεηθήσομαι. Τίς ὠφέλεια ἐν τῷ αἵματί μου, ἐν τῷ καταβαίνειν με εἰς διαφθοράν; Μὴ ἐξομολογήσεταί σοι χοῦς, ἢ ἀναγγελεῖ τὴν ἀλήθειάν σου; Ἤκουσε κύριος, καὶ ἠλέησέ με. Κύριος ἐγενήθη βοηθός μου.

Ἔστρεψας τὸν κοπετόν μου εἰς χαρὰν ἐμοί, διέρρηξας τὸν σάκκον μου, καὶ περιέζωσάς με εὐφροσύνην, ὅπως ἂν ψάλῃ σοι ἡ δόξα μου, καὶ οὐ μὴ κατανυγῶ. Κύριε ὁ θεός μου, εἰς τὸν αἰῶνα ἐξομολογήσομαί σοι. Δόξα.

Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβίδ, ἐκστάσεως, λ.

Ἐπί σοι κύριε ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα, ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με, καὶ ἐξελοῦ με. Κλῖνον πρός με τὸ οὖς σου, τάχυνον τοῦ ἐξελέσθαί με. Γενοῦ μοι εἰς θεὸν ὑπερασπιστήν, καὶ εἰς οἶκον καταφυγῆς τοῦ σῶσαί με. Ὅτι κραταίωμά μου καὶ καταφυγή μου εἶ σύ, καὶ ἕνεκεν τοῦ ὀνόματός σου ὁδηγήσεις με, καὶ διαθρέψεις με. Ἐξάξεις με ἐκ παγίδος ταύτης, ἧς ἔκρυψάν μοι, ὅτι σὺ εἶ ὁ ὑπερασπιστής μου κύριε.

Εἰς

Εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου, ἐλυτρώσω με κύριε ὁ θεὸς τῆς ἀληθείας. Ἐμίσησας τοὺς διαφυλάσσοντας ματαιότητας διὰ κενῆς, ἐγὼ δὲ ἐπὶ τῷ κυρίῳ ἤλπισα. Ἀγαλλιάσομαι, καὶ εὐφρανθήσομαι ἐπὶ τῷ ἐλέει σου, ὅτι ἐπεῖδες ἐπὶ τὴν ταπείνωσίν μου, ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου. Καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν, ἔστησας ἐν εὐρυχώρῳ τοὺς πόδας μου. Ἐλέησόν με κύριε, ὅτι θλίβομαι, ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μου, ἡ ψυχή μου καὶ ἡ γαστήρ μου. Ὅτι ἐξέλιπεν ἐν ὀδύνῃ ἡ ζωή μου, καὶ τὰ ἔτη μου ἐν στεναγμοῖς. Ἠσθένησεν ἐν πτωχείᾳ ἡ ἰσχύς μου, καὶ τὰ ὀστᾶ μου ἐταράχθησαν. Παρὰ πάντας τοὺς ἐχθρούς μου ἐγενήθην ὄνειδος, καὶ τοῖς γείτοσί μου σφόδρα, καὶ φόβος τοῖς γνωστοῖς μου. Οἱ θεωροῦντές με ἔξω ἔφυγον ἀπ' ἐμοῦ, ἐπελήσθην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας. Ἐγενήθην ὡσεὶ σκεῦος ἀπολωλὸς, ὅτι ἤκουσα ψόγον πολλῶν παροικούντων κυκλόθεν. Ἐν τῷ ἐπισυναχθῆναι αὐτοὺς ἅμα ἐπ' ἐμὲ, τοῦ λαβεῖν τὴν ψυχήν μου ἐβουλεύσαντο. Ἐγὼ δὲ ἐπί σοι, κύριε, ἤλπισα. Εἶπα, σὺ εἶ ὁ θεός μου, ἐν ταῖς χερσί σου οἱ κλῆροί μου. Ῥῦσαί με ἐκ χειρὸς ἐχθρῶν μου, καὶ ἐκ τῶν καταδιωκόντων με. Ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου, σῶσόν με ἐν τῷ ἐλέει σου. Κύριε μὴ καταισχυνθείην, ὅτι

In manus tuas reponã spi Lu.23
ritum meum, liberasti me domine, deus ueritatis. Odisti obseruãtes uanitates superuacue, ego autem in domino speraui. Lętabor, & gaudebo in misericordia tua, quia inspexisti in humilitatem meam, saluasti è necessitatibus animã meam. Et non conclusisti me in manus inimicorum, statuisti in loco spacioso pedes meos. Miserere mei domine, quia affligor, turbatus est in furore oculus meus, anima mea & uenter meus. Quia defecit in dolore uita mea, & anni mei in gemitibus. Imbecille fuit in mendicitate robur meum, et ossa mea turbata sunt. Supra omnes inimicos meos factus sum conuitium, & uicinis meis ualde, et timor notis me
is. Inspicientes me extra Hie.21
fugerunt à me, obliuioni datus sum uelut mortuus à corde. Factus sum tanquã uas perditum, quod audiui uituperiũ multorũ accolentiũ à circuitu. Cum cõgregarentur ipsi simul aduersum me, ad capiendum animã meã consuluerunt. Ego aũt in te, dñe, spaui. Dixi, Tu es deus meus, in manib. tuis sortes meæ. Libera me è manu inimicorũ meorũ, et à psequẽtib. me. Illustra cõspectũ tuum ad seruũ tuũ, salua me in mi[s]a tua. Domine nõ cõfundar

ὅτι quod

quod inuocaui te. Ignominia afficiãtur impii, & deducantur in infernum. Muta fiant labia dolosa, loquentia contra iustum iniquitatẽ, in superbia et contemptu. Quàm multa multitudo probitatis tuæ domine, quam abscondisti timẽtibus te. Operatus es sperantibus in te, corã filiis hominum. Abscondes eos in abscondito conspectus tui, à turbatiõe hominum. Teges eos in tabernaculo, à contradictione linguarum. Benedictus dominus, quod mirabilem reddidit misericordiã suam in ciuitate munitiõis. Ego autem dixi in horrore meo, abiectus sum à cõspectu oculorum tuorum.

Propter hoc exaudisti uocem precationis meæ, dum clamarem ego ad te.

Diligite dominum omnes sancti eius, quia ueritates requirit dominus, & reddit superfluè facientibus superbiam. Viri sitis, & roboretur cor uestrum, omnes sperantes in dominum.

Psalmus Dauid, intellectus, XXXI.

Rmo.4 Beati, quorum remissæ sunt iniquitates, & quorum obtecta sunt peccata. Beatus uir, cui nequaquã imputauerit dñs peccatũ, neque est in ore eius dolus.

ὅτι ἐπεκαλεσάμην σε. Αἰσχυνθείησαν ἀσεβεῖς, καὶ καταχθείησαν εἰς ᾅδου. Ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλια, τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν, ἐν ὑπερηφανίᾳ καὶ ἐξουδενώσει. Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, κύριε, ἧς ἔκρυψας τοῖς φοβουμένοις σε.

Ἐξειργάσω τοῖς ἐλπίζουσιν ἐπὶ σε, ἐναντίον τῶν υἱῶν τῶν ἀνθρώπων.

Κατακρύψεις αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προσώπου σου, ἀπὸ ταραχῆς ἀνθρώπων. Σκεπάσεις αὐτοὺς ἐν σκηνῇ ἀπὸ ἀντιλογίας γλωσσῶν. Εὐλογητὸς κύριος, ὅτι ἐθαυμάστωσε τὸ ἔλεος αὐτοῦ ἐν πόλει περιοχῆς.

Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου, ἀπέρριμμαι ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου. Διὰ τοῦτο εἰσήκουσας τῆς φωνῆς τῆς δεήσεώς μου, ἐν τῷ ἐκκεκραγέναι με πρός σε. Ἀγαπήσατε τὸν κύριον πάντες οἱ ὅσιοι αὐτοῦ, ὅτι ἀληθείας ἐκζητεῖ κύριος, καὶ ἀνταποδίδωσι τοῖς περισσῶς ποιοῦσιν ὑπερηφανίαν. Ἀνδρίζεσθε, καὶ κραταιούσθω ἡ καρδία ὑμῶν, πάντες οἱ ἐλπίζοντες ἐπὶ κύριον.

Ψαλμὸς τοῦ Δαβίδ, συνέσεως λά.

Μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι. Μακάριος ἀνήρ, ᾧ οὐ μὴ λογίσηται κύριος ἁμαρτίαν, οὐδέ ἐστιν ἐν τῷ στόματι αὐτοῦ δόλος.

λος. Ὅτι ἐσίγησα, ἐπαλαιώθη τὰ ὀστᾶ μου, ἀπὸ τοῦ κράζειν με ὅλην τὴν ἡμέραν. Ὅτι ἡμέρας καὶ νυκτὸς ἐβαρύνθη ἐπ' ἐμὲ ἡ χείρ σου, ἐστράφην εἰς ταλαιπωρίαν ἐν τῷ ἐμπαγῆναί μοι ἄκανθα. Τὴν ἀνομίαν μου ἐγνώρισα, καὶ τὴν ἁμαρτίαν μου οὐκ ἐκάλυψα. Εἶπα, ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου. Ὑπὲρ ταύτης προσεύξεται πρὸς σὲ πᾶς ὅσιος, ἐν καιρῷ εὐθέτῳ. Πλὴν ἐν κατακλυσμῷ ὑδάτων πολλῶν, πρὸς αὐτὸν οὐκ ἐγγιοῦσι. Σύ μου εἶ καταφυγὴ ἀπὸ θλίψεως τῆς περιεχούσης με, τὸ ἀγαλλίαμά μου λύτρωσαί με ἀπὸ τῶν κυκλωσάντων με. Συνετιῶ σε, καὶ συμβιβῶ σε ἐν ὁδῷ ταύτῃ, ᾗ πορεύσῃ, ἐπιστηριῶ ἐπὶ σὲ τοὺς ὀφθαλμούς μου. Μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις. Ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξαις, τῶν μὴ ἐγγιζόντων πρὸς σέ. Πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ, τὸν δὲ ἐλπίζοντα ἐπὶ κύριον ἔλεος κυκλώσει. Εὐφράνθητε ἐπὶ κύριον, καὶ ἀγαλλιᾶσθε δίκαιοι, καὶ καυχᾶσθε πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ. Δόξα. Κάθισμα Δ.

Ψαλμὸς τῷ Δαβίδ, ἀνεπίγραφος παρ' ἑβραίοις, λβ.

Ἀγαλλιᾶσθε δίκαιοι ἐν κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις. Ἐξο-

μολο-

lus. Quia tacui, inueterauerunt ossa mea, quod clamem ego totã diem. Quia die ac nocte grauata est in me manus tua, uersus sum in ærumnam, dum infigitur mihi spina. Iniquitatẽ meam notam reddidi, & iniustitiam meam non abscondi. Dixi, Edisserã contra me iniquitatẽ meam domino, & tu remisisti impietatẽ cordis mei. Pro hac orabit ad te omnis sanctus, in tempore bene constituto. Verum in diluuio aquarum multarum, ad eum non propinquant. Tu meum es confugium ab afflictione circundante me, lętitia mea liberet, me à cingentibus me. Intellectu instruam te, & collocabo te in uia hac, qua gradieris, infigam in te oculos meos. Ne sitis, ut equus & mulus, quibus nõ est intellectus. In camo et freno maxillas corũ stringas, qui non propinquant ad te. Multa flagella peccatoris, sperantem autem in dominum misericordia cinget. Gaudete ad Dominum, & lætemini iusti, & gloriemini omnes recti corde. Gloria. Consessus quartus.

Psalmus Dauid, sine inscriptione apud Hebræos. XXXII.

Lætemini iusti in dño, rectos decet laudatio. Cõ

fitemini domino in cithara, in psalterio decē chordarum canite illi. Cantate ei canticum nouum, pulchre canite ei in uociferatione. Quia rectus sermo domini, & omnia opera eius in fide. Amat misericordiam & iudicium dominus, misericordia domini plena terra. Sermone domini coeli firmati sunt, & spiritu oris eius omnis potentia eorum. Congregans sicut utrē aquas maris, ponens in thesauris abyssos. Timeat dominum omnis terra, ab eo autem commoueantur omnes inhabitantes orbem habitabilem. Quia ipse dixit, & facta sunt, ipse praecepit,
Inf. 148 & creata sunt. Dominus
Judith 16 dissipat consilia gentium, improbat uerò meditationes populorum, & improbat consilia principum. Consilium autem domini in seculum manet, cogitationes cordis eius in progeniem & progeniem. Beata gens, cuius est dominus deus eius, populus quem elegit in haereditatem sibi ipsi. E coelo respexit dominus, uidit omnes filios hominum. Ex parata habitatione sua inspexit in oēs inhabitātes terrā, fingēs singillatim corda eorum, aduertens in omnia opera eorum. Non saluatur rex per multam potentiam, & Gigas non sal-

μολογεῖσθε τῷ κυρίῳ ἐν κιθάρᾳ, ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψάλατε αὐτῷ. Ἄσατε αὐτῷ ᾆσμα καινόν, καλῶς ψάλατε αὐτῷ ἐν ἀλαλαγμῷ. Ὅτι εὐθὴς ὁ λόγος τοῦ κυρίου, καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει. Ἀγαπᾷ ἐλεημοσύνην καὶ κρίσιν ὁ κύριος, τοῦ ἐλέους κυρίου πλήρης ἡ γῆ. Τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν. Συνάγων ὡσεὶ ἀσκὸν ὕδατα θαλάσσης, τιθεὶς ἐν θησαυροῖς ἀβύσσους. Φοβηθήτω τὸν κύριον πᾶσα ἡ γῆ, ἀπ᾽ αὐτοῦ δὲ σαλευθήτωσαν πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην. Ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν. Κύριος διασκεδάζει βουλὰς ἐθνῶν, ἀθετεῖ δὲ λογισμοὺς λαῶν, καὶ ἀθετεῖ βουλὰς ἀρχόντων. Ἡ δὲ βουλὴ τοῦ κυρίου εἰς τὸν αἰῶνα μένει, λογισμοὶ τῆς καρδίας αὐτοῦ εἰς γενεὰν καὶ γενεάν. Μακάριον τὸ ἔθνος, οὗ ἐστι κύριος ὁ θεὸς αὐτοῦ, λαὸς ὃν ἐξελέξατο εἰς κληρονομίαν ἑαυτῷ. Ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ κύριος, εἶδε πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων. Ἐξ ἑτοίμου κατοικητηρίου αὐτοῦ ἐπέβλεψεν ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν, ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν, ὁ συνιεὶς εἰς πάντα τὰ ἔργα αὐτῶν. Οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ

σωθή-

σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ. Ψευδὴς ἵππος εἰς σωτηρίαν, ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται. Ἰδοὺ οἱ ὀφθαλμοὶ κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτόν, τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ, ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν, καὶ διαθρέψαι αὐτοὺς ἐν λιμῷ. Ἡ δὲ ψυχὴ ἡμῶν ὑπομενεῖ τῷ κυρίῳ, ὅτι βοηθὸς καὶ ὑπερασπιστὴς ἡμῶν ἐστιν. Ὅτι ἐν αὐτῷ εὐφρανθήσεται ἡ καρδία ἡμῶν, καὶ ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ ἠλπίσαμεν. Γένοιτο κύριε τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σοί.

Ψαλμὸς τῷ Δαβίδ, ὅτε ἠλλοίωσε τὸ πρόσωπον αὐτοῦ ἐναντίον Ἀβιμέλεχ, καὶ ἀπέλυσεν αὐτόν, καὶ ἀπῆλθεν, λγ.

Εὐλογήσω τὸν κύριον ἐν παντὶ καιρῷ, διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου. Ἐν τῷ κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου, ἀκουσάτωσαν πραεῖς, καὶ εὐφρανθήτωσαν. Μεγαλύνατε τὸν κύριον σὺν ἐμοί, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό. Ἐξεζήτησα τὸν κύριον, καὶ ἐπήκουσέ μου, καὶ ἐκ πασῶν τῶν θλίψεών μου ἐρρύσατό με. Προσέλθετε πρὸς αὐτόν, καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ. Οὗτος ὁ πτωχὸς ἐκέκραξε, καὶ ὁ κύριος εἰσήκουσεν αὐτοῦ, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ ἔσωσεν αὐτόν.

saluabitur in multitudine roboris sui. Fallax equus ad salutem, at in multitudine potentiæ suæ non saluabitur. Ecce oculi domini super metuentes eum, sperantes in misericordiam eius, ut liberet è morte animas eorum, et enutriat eos in fame. Anima autem nostra sustinebit domino, quia auxiliator & defensor noster est. Quia in eo gaudebit cor nostrum, & in nomine sancto eius sperauimus. Fiat domine misericordia tua super nos, quemadmodum sperauimus in te.

Psalmus David, quando mutauit conspectum suum corā Abimelech, & dimisit eū, et abiit. XXXIII.

Benedicam dominū in omni tempore, per omne tēpus laudatio eius in ore meo. In domino collaudabitur anima mea, audiant mansueti, & gaudeāt. Magnificate dominum mecum, & exaltemus nomen eius in hoc ipsum. Exquisiui dominum, & exaudiuit me, & ex omnibus afflictionibus meis liberauit me. Accedite ad eū, & illuminamini, & conspectus uestri nequaquam ignominia afficiantur. Hic mendicus clamauit, & dominus exaudiuit eum, & ex omnibus afflictionibus eius saluauit eum.

fitemini domino in cithara, in psalterio decẽ chordarum canite illi. Cantate ei canticum nouum, pulchre canite ei in uociferatione. Quia rectus sermo domini, & omnia opera eius in fide. Amat misericordiam & iudicium dominus, misericordia domini plena terra. Sermone domini coeli firmati sunt, & spiritu oris eius omnis potentia eorum. Congregans sicut utrẽ aquas maris, ponens in thesauris abyssos. Timeat dominum omnis terra, ab eo autem commoueantur omnes inhabitantes orbem habitabilem. Quia ipse dixit, & facta sunt, ipse praecepit,
Inf. 148 & creata sunt. Dominus
Judith 16 dissipat consilia gentium,
improbat uerò meditationes populorum, & improbat consilia principum.
Consilium autem domini in seculum manet, cogitationes cordis eius in progeniem & progeniem.
Beata gens, cuius est dominus deus eius, populus quem elegit in hæreditatem sibiipsi. E coelo respexit dominus, uidit omnes filios hominum. Ex parata habitatione sua inspexit in oẽs inhabitãtes terrã, fingẽs singillatim corda eorum, aduertens in omnia opera eorum. Non saluatur rex per multam potentiam, & Gigas non sal-

μολογεῖσθε τῷ κυρίῳ ἐν κιθάρᾳ, ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψάλατε αὐτῷ. Ἄσατε αὐτῷ ᾆσμα καινόν, καλῶς ψάλατε αὐτῷ ἐν ἀλαλαγμῷ. Ὅτι εὐθὴς ὁ λόγος τοῦ κυρίου, καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει. Ἀγαπᾷ ἐλεημοσύνην καὶ κρίσιν ὁ κύριος, τοῦ ἐλέους κυρίου πλήρης ἡ γῆ. Τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν. Συνάγων ὡσεὶ ἀσκὸν ὕδατα θαλάσσης, τιθεὶς ἐν θησαυροῖς ἀβύσσους. Φοβηθήτω τὸν κύριον πᾶσα ἡ γῆ, ἀπ' αὐτοῦ δὲ σαλευθήτωσαν πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην. Ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν. Κύριος διασκεδάζει βουλὰς ἐθνῶν, ἀθετεῖ δὲ λογισμοὺς λαῶν, καὶ ἀθετεῖ βουλὰς ἀρχόντων. Ἡ δὲ βουλὴ τοῦ κυρίου εἰς τὸν αἰῶνα μένει, λογισμοὶ τῆς καρδίας αὐτοῦ εἰς γενεὰν καὶ γενεάν. Μακάριον τὸ ἔθνος, οὗ ἐστι κύριος ὁ θεὸς αὐτοῦ, λαὸς ὃν ἐξελέξατο εἰς κληρονομίαν ἑαυτῷ. Ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ κύριος, εἶδε πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων. Ἐξ ἑτοίμου κατοικητηρίου αὐτοῦ ἐπέβλεψεν ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν, ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν, ὁ συνιεὶς εἰς πάντα τὰ ἔργα αὐτῶν. Οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ σωθή-

σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ. Ψευδὴς ἵππος εἰς σωτηρίαν, ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται. Ἰδοὺ οἱ ὀφθαλμοὶ κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτόν, τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ, ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν, καὶ διαθρέψαι αὐτοὺς ἐν λιμῷ. Ἡ δὲ ψυχὴ ἡμῶν ὑπομένει τῷ κυρίῳ, ὅτι βοηθὸς καὶ ὑπερασπιστὴς ἡμῶν ἐστιν. Ὅτι ἐν αὐτῷ εὐφρανθήσεται ἡ καρδία ἡμῶν, καὶ ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ ἠλπίσαμεν. Γένοιτο κύριε τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπί σε.

Ψαλμὸς τῷ Δαβίδ, ὅτε ἠλλοίωσε τὸ πρόσωπον αὐτοῦ ἐναντίον Ἀβιμέλεχ, καὶ ἀπέλυσεν αὐτόν, καὶ ἀπῆλθεν, λγ.

Εὐλογήσω τὸν κύριον ἐν παντὶ καιρῷ, διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου. Ἐν τῷ κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου, ἀκουσάτωσαν πραεῖς, καὶ εὐφρανθήτωσαν. Μεγαλύνατε τὸν κύριον σὺν ἐμοί, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό. Ἐξεζήτησα τὸν κύριον, καὶ ἐπήκουσέ μου, καὶ ἐκ πασῶν τῶν θλίψεών μου ἐρρύσατό με. Προσέλθετε πρὸς αὐτόν, καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ. Οὗτος ὁ πτωχὸς ἐκέκραξε, καὶ ὁ κύριος εἰσήκουσεν αὐτοῦ, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ ἔσωσεν αὐτόν.

saluabitur in multitudine roboris sui. Fallax equus ad salutem, at in multitudine potentiae suae non saluabitur. Ecce oculi domini super metuentes eum, sperantes in misericordiam eius, ut liberet e morte animas eorum, et enutriat eos in fame. Anima autem nostra sustinebit domino, quia auxiliator & defensor noster est. Quia in eo gaudebit cor nostrum, & in nomine sancto eius sperauimus. Fiat domine misericordia tua super nos, quemadmodum sperauimus in te.

Psalmus Dauid, quando mutauit conspectum suum coram Abimelech, & dimisit eum, et abiit. XXXIII.

Benedicam dominum in omni tempore, per omne tempus laudatio eius in ore meo. In domino collaudabitur anima mea, audiant mansueti, & gaudeant. Magnificate dominum mecum, & exaltemus nomen eius in hoc ipsum. Exquisiui dominum, & exaudiuit me, & ex omnibus afflictionibus meis liberauit me. Accedite ad eum, & illuminamini, & conspectus uestri nequaquam ignominia afficiantur. Hic mendicus clamauit, & dominus exaudiuit eum, & ex omnibus afflictionibus eius saluauit eum.

eum. Castra figet legatus domini in circuitu timentium eũ, & liberabit eos. Gustate, & uidete, quod probus dominus, beatus uir, qui sperat in eũ. Timete dominum omnes sancti eius, quia non est cunctatio timentibus eum. Diuites mendicauerunt, & esurierunt, inquirentes autem dominum non minuentur omni bono. Agite filii, audite me, timorem domini docebo uos. Quis est homo uolens uitam, amans

1.Pet.3 dies uidere bonos? Seda linguam tuam à malo, & labia tua nec loquantur dolum. Inclina à malo, &

Esa.16 fac bonum. Quære pacẽ, & persequere eam. Oculi domini super iustos, & aures eius in precationẽ eorum. Conspectus autẽ domini super facientes mala, ut perdat è terra monumẽ-

Heb.4 tum eorum. Clamauerunt iusti, & dominus exaudiuit eos, & ex omnibus afflictionibus eorum liberauit eos. Prope Dominus confractis corde, & humiles spiritu saluabit. Multæ afflictiones iustorum, & ex omnibus iis liberabit eos dominus. Custodiet omnia ossa eorum, unum ex iis non confringetur. Mors peccatorum praua, &

αὐτόν. Παρεμβαλεῖ ἄγγελος κυρίου κύκλῳ τῶν φοβουμένων αὐτόν, καὶ ῥύσεται αὐτούς. Γεύσασθε, καὶ ἴδετε, ὅτι χρηστὸς ὁ κύριος, μακάριος ἀνήρ, ὃς ἐλπίζει ἐπ' αὐτόν.

Φοβήθητε τὸν κύριον πάντες οἱ ἅγιοι αὐτοῦ, ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν. Πλούσιοι ἐπτώχευσαν, καὶ ἐπείνασαν, οἱ δὲ ἐκζητοῦντες τὸν κύριον οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ. Δεῦτε τέκνα, ἀκούσατέ μου, φόβον κυρίου διδάξω ὑμᾶς. Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωήν, ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς; Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον. Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν. Ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν. Ὀφθαλμοὶ κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν. Πρόσωπον δὲ κυρίου ἐπὶ ποιοῦντας κακά, τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν. Ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ κύριος εἰσήκουσεν αὐτῶν, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐρρύσατο αὐτούς.

Ἐγγὺς κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν, καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει. Πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ κύριος. Φυλάσσει κύριος πάντα τὰ ὀστᾶ αὐτῶν, ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται.

Θάνατος ἁμαρτωλῶν πονηρός,

καὶ

καὶ οἱ μισοῦντες τὸν δίκαιον πλημμελήσουσι. Λυτρώσεται κύριος ψυχὰς δούλων αὐτοῦ, καὶ οὐ μὴ πλημμελήσουσι πάντες οἱ ἐλπίζοντες ἐπ' αὐτόν. Δόξα.

Ψαλμὸς τῷ Δαβὶδ λδ.

Δίκασον κύριε τοὺς ἀδικοῦντάς με, πολέμησον τοὺς πολεμοῦντάς με.

Ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ, καὶ ἀνάστηθι εἰς τὴν βοήθειάν μου. Ἔκχεον ῥομφαίαν, καὶ σύγκλεισον ἐξ ἐναντίας τῶν καταδιωκόντων με.

Εἶπον τῇ ψυχῇ μου, σωτηρία σου εἰμὶ ἐγώ. Αἰσχυνθήτωσαν, καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου, ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθήτωσαν. Οἱ λογιζόμενοί μοι κακὰ γενηθήτωσαν ὡσεὶ χνοῦς κατὰ πρόσωπον ἀνέμου, καὶ ἄγγελος κυρίου ἐκθλίβων αὐτούς. Γενηθήτω ἡ ὁδὸς αὐτῶν σκότος καὶ ὀλίσθημα, καὶ ἄγγελος κυρίου καταδιώκων αὐτούς. Ὅτι δωρεὰν ἔκρυψάν μοι διαφθορὰν παγίδος αὐτῶν, μάτην ὠνείδισαν τὴν ψυχήν μου. Ἐλθέτω αὐτῷ παγίς, ἣν οὐ γινώσκει, καὶ ἡ θήρα, ἣν ἔκρυψε συλλαβέτω αὐτόν, καὶ ἐν τῇ παγίδι πεσεῖται ἐν αὐτῇ. Ἡ δὲ ψυχή μου ἀγαλλιάσεται ἐπὶ τῷ κυρίῳ, τερφθήσεται ἐπὶ τῷ σωτηρίῳ αὐτοῦ. Πάντα τὰ ὀστᾶ μου ἐροῦσι, κύριε κύριε, τίς ὅμοιός σοι; Ῥυόμενος πτωχὸν ἐκ χειρὸς στερεωτέρων αὐτοῦ, καὶ πτω-

χδα

& exosi iusti delinquent. Redimet dominus animas seruorum suorum, & nequaquam delinquēt omnes sperantes in eum.

Gloria.

Psalmus David XXXIIII.

Iudica domine iniuria afficientes me, bello impe te bello impetentes me. Apprehende arma et scutum, & surge in auxilium meum. Effunde gladium, & conclude ex aduerso persequentium me. Dic animæ meę, Salus tua sum ego. Verecundentur, et reuereantur quærentes animam meam, auertantur retro, & ignominia afficiantur. Cogitātes mihi mala, fiant tanquàm puluis in conspectu uenti; et legatus Domini elidens eos. Inf. 39. b

Fiat uia eorum tenebrę et lapsus, et legatus domini persequens eos. Quia gratis absconderunt mihi pernicιem laquei sui, frustra uituperarunt animam meam. Veniat ei laqueus, quem non noscit, & præda, quam abscondit, comprehendat eum, & in laqueo cadat in eo. Anima autem mea lætabitur in domino, delectabitur in salutari suo. Omnia ossa mea dicent, Domine domine, quis similis tibi? Liberans mendicum è manu firmiorum ipso, & mendicum.

dicum & pauperem à di-
ripientibus eum. Surgen-
tes mihi testes iniusti, quę
non noui, rogabant me.
Reddiderunt mihi mala
pro bonis, & sterilitatem
animæ meæ. Ego autem
cum ipsi molestias infer-
rent mihi, induebar saccō.
Et humiliabam in ieiunio
animam meam, & oratio
mea in sinum meum auer-
tetur. Vt propinquo,
ut fratri nostro, sic compla-
cebam. Vt lugens & mœ-
rens multu sic humiliabar.
Et contra me gauisi sunt,
& coacti sunt. Congrega-
ta sunt in me flagella, &
non noui. Dissipati sunt,
& non compuncti sunt.
Tentauerunt me, subsan-
nauerunt me subsannatio-
ne, frenduerunt in me den-
tibus suis. Domine quan-
do inspicies? Restitue ani-
mam meam à maleficio eo-
rum, à leonibus unigenitā
meam. Confitebor tibi in
concione multa, in popu-
1.Ioan.1 lo graui laudabo te. Non
congratulentur mihi ad-
uersantes mihi iniuste, ex
osi me gratis, & annuētes
oculis. Quia mihi quidē
peccata loquebantur, &
ad iram dolos excogita-
bant. Et dilatauerūt in me
os suum. Dixerunt, Euge
euge, uiderunt oculi no-
stri. Vidisti domine, ne ob-
ticeas. Dñe ne desistas à
me. Excitare domine, &
attende iudicio meo,
Deus

χὸν καὶ πένητα ἀπὸ τῶν διαρπα-
ζόντων αὐτόν. Ἀναστάντες μοι
μάρτυρες ἄδικοι, ἃ οὐκ ἐγίνω-
σκον, ἠρώτων με. Ἀνταπεδίδοσάν
μοι πονηρὰ ἀντὶ ἀγαθῶν, καὶ ἀ-
τεκνίαν τῇ ψυχῇ μου. Ἐγὼ δὲ ἐν
τῷ αὐτοὺς παρενοχλεῖν μοι ἐνεδυό-
μην σάκκον. Καὶ ἐταπείνουν ἐν
νηστείᾳ τὴν ψυχήν μου, καὶ ἡ προ-
σευχή μου εἰς κόλπον μου ἀποστρα-
φήσεται. Ὡς πλησίον, ὡς ἀδελφῷ
ἡμετέρῳ, οὕτως εὐηρέστουν. Ὡς πεν-
θῶν καὶ σκυθρωπάζων, οὕτως ἐταπει-
νούμην. Καὶ κατ' ἐμοῦ εὐφράνθη-
σαν, καὶ συνήχθησαν. Συνήχθησαν ἐπ'
ἐμὲ μάστιγες, καὶ οὐκ ἔγνων. Διεσχί-
σθησαν, καὶ οὐ κατενύγησαν. Ἐπείρα-
σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐ-
μοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν
τοῦ σωτηρίου, καὶ πνεύματι ἡγεμονι-
κῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς
ὁδούς σου, καὶ ἀσεβεῖς ἐπί σε ἐπιστρέ-
ψουσι. Ῥῦσαί με ἐξ αἱμάτων ὁ θεὸς,
ὁ θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσε-
ται ἡ γλῶσσά μου τὴν δικαιοσύνην
σου. Κύριε τὰ χείλη μου ἀνοίξεις, καὶ
τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν
σου. Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα
ἄν. Ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.
Θυσία τῷ θεῷ, πνεῦμα συντετριμ-
μένον. Καρδίαν συντετριμμένην
καὶ

malum coram te feci. Ut Rom. 3
iustus redditus sis in ser-
monibus tuis, & uiceris,
cum iudicaris tu. Ecce e-
nim, in iniquitatibus con
ceptus sum, & in peccatis
gestauit me mater mea. Ec
ce enim ueritatem dilexisti,
incerta & occulta sapien-
tiæ tuæ declarasti mihi.
Cõsperges me hyssopo,
& purgatus fuero. Laua
bis me, & super niuem al-
bus effectus fuero. Audi-
re me facies lætitiam &
gaudium, lætabuntur ossa
humiliata. Auerte conspe
ctum tuum à peccatis me-
is, & omnes iniquitates
mea dele. Cor mundum
crea in me deus, & spiri-
tum rectum innoua in ui-
sceribus meis. Ne abijci-
as me à conspectu tuo, &
spiritum tuum sanctum ne
auferas à me. Redde mihi
lætitiam salutaris tui, &
spiritu principali firma
me. Docebo iniquos uias
tuas, & impii ad te con-
uertent. Libera me de san
guinibus deus, deus salu-
tis meæ, lætabitur lingua
mea iustitiam tuam. Do-
mine labia mea aperies,
& os meum renunciabit
laudationem tuam. Quia
si uoluisses sacrificium, de
dissem utique. Solida incen
sa non approbabis. Sacri-
ficium deo, spiritus af-
flictus. Cor afflictum &

& oppressum deus non nihili faciet. Benefac domine in bona uoluntate tua Sion, & ædificentur muri Hierusalem. Tunc approbabis sacrificium iustitię, oblationem & solida incensa, tunc offerent per altare tuũ uitulos. Gloria.

In finem intellectus David, cum uenit Doëc Idumæus, & renunciauit Sauli, & dixit ei, Venit David in domum Abimelech, L.

Quid iactas in malitia potens? Iniquitatem totã diem, iniustitiam cogitauit lingua tua, sicut nouacula acuta fecisti dolum. Dilexisti malitiam super bonitatem, iniustitiam magis quàm loqui iustitiam. Dilexisti omnia uerba submersionis, linguam dolosam. Propter hoc deus destruat te in finem, euellat te, et transferat te de tabernaculo tuo, & radicẽ tuam è terra uiuentium. Videbunt iusti, & timebunt, & super eum ridebunt. Et dicent, Ecce homo, qui non posuit deum auxiliatorẽ suum, sed sperabit in multitudine diuitiarum suarũ, & potens factus est in uanitate sua. Ego autem sicut oliua fructifera in domo dei. Speraui in misericordia dei in

καὶ τεταπεινωμένην ὁ θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον κύριε ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα, τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους. Δόξα.

Εἰς τὸ τέλος συνέσεως τῷ Δαβίδ, ἐν τῷ ἐλθεῖν Δωὴκ τὸν Ἰδουμαῖον, καὶ ἀναγγεῖλαι τῷ Σαοὺλ. καὶ εἰπεῖν αὐτῷ, ἦλθε Δαβὶδ εἰς τὸν οἶκον Ἀβιμέλεχ, να.

Τί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατός; Ἀνομίαν ὅλην τὴν ἡμέραν, ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου, ὡσεὶ ξυρὸν ἠκονημένον ἐποίησας δόλον. Ἠγάπησας κακίαν ὑπὲρ ἀγαθωσύνην, ἀδικίαν ὑπὲρ τὸ λαλῆσαι δικαιοσύνην. Ἠγάπησας πάντα ῥήματα καταποντισμοῦ, γλῶσσαν δολίαν. Διὰ τοῦτο ὁ θεὸς καθελεῖ σε εἰς τέλος, ἐκτίλαι σε, καὶ μεταναστεύσαι σε ἀπὸ σκηνώματός σου, καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων. Ὄψονται δίκαιοι, καὶ φοβηθήσονται, καὶ ἐπ' αὐτὸν γελάσονται. Καὶ ἐροῦσιν, Ἰδοὺ ἄνθρωπος, ὃς οὐκ ἔθετο τὸν θεὸν βοηθὸν αὐτοῦ, ἀλλ' ἐπήλπισεν ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτοῦ, καὶ ἐνεδυναμώθη ἐπὶ τῇ ματαιότητι αὐτοῦ. Ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ θεοῦ. Ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ θεοῦ

εἰς

εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἐξομολογήσομαί σοι εἰς τὸν αἰῶνα, ὅτι ἐποίησας. Καὶ ὑπομενῶ τὸ ὄνομά σου, ὅτι χρηστὸν ἐναντίον τῶν ὁσίων σου.

Εἰς τὸ τέλος, ὑπὲρ μαελὲθ συνέσεως τῷ Δαβὶδ νβ.

Εἶπεν ἄφρων ἐν τῇ καρδίᾳ αὐτοῦ, οὐκ ἔστι θεός. Διεφθάρησαν, καὶ ἐβδελύχθησαν ἐν ἀνομίαις, οὐκ ἔστι ποιῶν ἀγαθόν. Ὁ θεὸς ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων, τοῦ ἰδεῖν εἰ ἔστι συνιῶν ἢ ἐκζητῶν τὸν θεόν. Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν. Οὐκ ἔστι ποιῶν ἀγαθόν, οὐκ ἔστιν ἕως ἑνός. Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, οἱ κατεσθίοντες τὸν λαόν μου ἐν βρώσει ἄρτου. Τὸν κύριον οὐκ ἐπεκαλέσαντο, ἐκεῖ ἐφοβήθησαν φόβον, οὗ οὐκ ἦν φόβος. Ὅτι ὁ θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων, κατῃσχύνθησαν, ὅτι ὁ θεὸς ἐξουδένωσεν αὐτούς. Τίς δώσει ἐκ σιὼν τὸ σωτήριον τοῦ ἰσραήλ; Ἐν τῷ ἐπιστρέψαι τὸν θεὸν τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ, ἀγαλλιάσεται ἰακώβ, καὶ εὐφρανθήσεται ἰσραήλ.

Εἰς τὸ τέλος, ἐν ὕμνοις συνέσεως τῷ δαβίδ, ἐν τῷ ἐλθεῖν τοὺς ζιφαίους, καὶ εἰπεῖν τῷ σαοὺλ, οὐκ ἰδοὺ δαβὶδ κέκρυπται παρ' ἡμῖν; νγ.

Ὁ θεὸς ἐν τῷ ὀνόματί σου σῶσόν με, καὶ ἐν τῇ δυνάμει σου κρινεῖς με.

in seculum, & in seculum seculi. Confitebor tibi in seculum, quia fecisti. Et expectabo nomen tuũ, q̃ probũ coram sanctis tuis.

In finem, pro Maeleth intellectus Dauid LII.

Dixit insipiens in corde suo, non est deus. Corrupti sunt, & contaminati sunt in iniquitatibus, nõ est faciens bonum. Deus è coelo prospexit super filios hominum, ut uideat, num est intelligens aut requirens deum. Omnes declinauerunt, simul inutiles facti sunt, Non est faciens bonum, non est usque ad unum. Non cognoscẽt omnes operantes iniquitatem, deuorantes populum meum in cibo panis. Dominum non inuocauerũt, ibi timuerunt timore, ubi non fuit timor. Quia deus dissipauit ossa hominibus placentiũ, ignominia affecti sunt, quia deus ad nihilũ redegit eos. Quis dabit ex Sion salutare Israel? Cũ auertet deus captiuitatem populi sui, lætabitur Iacob, & gaudebit Israel.

In finem, in canticis intellectus Dauid, cum uenissent Ziphæi, & dixissent Saul, Nonne Dauid absconditus est apud nos? LIII.

Deꝰ in nõie tuo sal̃ua me, et ĩ potẽtia tua iudica me.

Deus exaudi orationem meam, auribus hauri uerba oris mei. Quia alieni surrexerunt in me, & fortes quæsiuerunt animam meam, & non proposuerunt deum coram eis. Ecce eñ deus auxiliatur mihi, & dominus susceptor animæ meæ. Auertet mala inimicis meis, in ueritate tua disperde illos. Voluntarie sacrificabo tibi, confitebor nomini tuo domine, quia bonum. Quia ex omni afflictione liberasti me, et in hostibus meis inspexit oculus meus.

Infinem, in canticis intellectus Asaph, LIIII.

Auribus hauri deus orationem meam; et ne despexeris precationem meam. Attende mihi, & exaudi me. Tristatus sum in exercitatione mea, & turbatus sum à uoce inimici, et ab afflictione peccatoris. Quia declinauerũt in me iniquitatem, & in ira molesti erant mihi. Cor meũ turbatum est in me, & formido mortis incidit in me. Timor & tremor uenit in me, & texerunt me tenebræ. Et dixi, Quis dabis mihi pennas sicut columbæ, & uolabo, & requiescam. Ecce, longe abfui fugitans, & diuersatus sum in deserto. Expectabã deum saluantẽ me à pusillanimitate

Ὁ θεὸς εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου. Ὅτι ἀλλότριοι ἐπανέστησαν ἐπ' ἐμέ, καὶ κραταιοὶ ἐζήτησαν τὴν ψυχήν μου, καὶ οὐ προέθεντο τὸν θεὸν ἐνώπιον αὐτῶν. Ἰδοὺ γάρ, ὁ θεὸς βοηθεῖ μοι, καὶ ὁ κύριος ἀντιλήπτωρ τῆς ψυχῆς μου. Ἀποστρέψει τὰ κακὰ τοῖς ἐχθροῖς μου, ἐν τῇ ἀληθείᾳ σου ἐξολόθρευσον αὐτούς. Ἑκουσίως θύσω σοί, ἐξομολογήσομαι τῷ ὀνόματί σου κύριε, ὅτι ἀγαθόν. Ὅτι ἐκ πάσης θλίψεως ἐῤῥύσω με, καὶ ἐν τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου.

Εἰς τὸ τέλος, ἐν ὕμνοις συνέσεως τῷ Ἀσάφ, νδ.

Ἐνώτισαι ὁ θεὸς τὴν προσευχήν μου, καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου. Πρόσχες μοι, καὶ εἰσάκουσόν μου. Ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου, καὶ ἐταράχθην ἀπὸ φωνῆς ἐχθροῦ, καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ. Ὅτι ἐξέκλιναν ἐπ' ἐμὲ ἀνομίαν, καὶ ἐν ὀργῇ ἐνεκότουν μοι. Ἡ καρδία μου ἐταράχθη ἐν ἐμοί, καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ' ἐμέ. Φόβος καὶ τρόμος ἦλθον ἐπ' ἐμέ, καὶ ἐκάλυψέ με σκότος. Καὶ εἶπα, τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς, καὶ πετασθήσομαι, καὶ καταπαύσω. Ἰδού, ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ. Προσεδεχόμην τὸν θεὸν τὸν σῴζοντά με, ἀπὸ ὀλιγοψυχίας

ψυχίας καὶ ἀπὸ καταιγίδος. Κα-
ταπόντισον κύριε, καὶ καταδίελε τὰς
γλώσσας αὐτῶν, ὅτι εἶδον ἀνομίαν
καὶ ἀντιλογίαν ἐν τῇ πόλει. Ἡμέ-
ρας καὶ νυκτὸς κυκλώσει αὐτὴν ἐπὶ
τὰ τείχη αὐτῆς, καὶ ἀνομία καὶ κό-
πος ἐν μέσῳ αὐτῆς καὶ ἀδικία. Καὶ
οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐ-
τῆς τόκος καὶ δόλος. Ὅτι εἰ ὁ ἐχ-
θρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν.
Καὶ εἰ ὁ μισῶν με ἐπ' ἐμὲ ἐμεγα-
λοῤῥημόνησεν, ἐκρύβην ἂν ἀπ' αὐ-
τοῦ. Σὺ δὲ ἄνθρωπε ἰσόψυχε, ἡγε-
μών μου καὶ γνωστέ μου, ὃς ἐπὶ τὸ
αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα, ἐν
τῷ οἴκῳ τοῦ θεοῦ ἐπορεύθημεν ἐν ὁ-
μονοίᾳ. Ἐλθέτω δὴ θάνατος ἐπ'
αὐτοὺς, καὶ καταβήτωσαν εἰς ᾅδου
ζῶντες, ὅτι πονηρία ἐν ταῖς παροι-
κίαις αὐτῶν, ἐν μέσῳ αὐτῶν. Ἐ-
γὼ πρὸς τὸν θεὸν ἐκέκραξα, καὶ ὁ
κύριος εἰσήκουσέ μου. Ἑσπέρας καὶ
πρωῒ καὶ μεσημβρίας διηγήσομαι,
καὶ ἀπαγγελῶ, καὶ εἰσακούσεται τῆς
φωνῆς μου. Λυτρώσεται ἐν εἰρήνῃ
τὴν ψυχήν μου, ἀπὸ τῶν ἐγγιζόντων
μοι, ὅτι ἐν πολλοῖς ἦσαν σὺν ἐμοί.
Εἰσακούσεται ὁ θεὸς, καὶ ταπεινώσει αὐ-
τοὺς ὁ ὑπάρχων πρὸ τῶν αἰώνων. Οὐ
γάρ ἐστιν αὐτοῖς ἀντάλλαγμα, ὅτι
οὐκ ἐφοβήθησαν τὸν θεόν. Ἐξέτεινε τὴν
χεῖρα αὐτοῦ ἐν τῷ ἀποδιδόναι. Ἐβε-
βήλωσαν τὴν διαθήκην αὐτοῦ, διε-
μερίσθησαν ἀπὸ ὀργῆς τοῦ προσώπου
αὐτοῦ.

nimitate et à procella. De
merge domine, & diuide
linguas eorum, quoniã ui
di iniquitatem & contra
dictionem in ciuitate. Die
ac nocte cinget eam per
muros eius, & iniquitas
& labor in medio eius &
iniustitia. Et nõ defecit ex
plateis eius fœnus & do-
lus. Quia si inimicus uitu-
perasset me, sustinuissem
utique. Et si exosus me
in me magna iactasset,
absconditus fuissem sanè
ab eo. Tu uero homo æ-
quanimis, dux meus et no
tus meus, qui in hoc ipsum
dulces reddebas mihi e-
scas, in domo dei ambula-
uimus in concordia. Ve-
niat iam mors super illos,
& descendant in infernũ
uiuentes, quia prauitas in
uiciniis eorum, in medio
eorum. Ego ad deum cla-
maui, & dominus exaudi-
uit me. Vespere & mane
& meridie denarrabo, &
renunciabo, & exaudiet
uocem meam. Liberabit
in pace animã meã à pro
pinquantibus mihi, quia
in multis erant mecũ. Ex-
audiet deus, et humiliabit
illos existens ante secula.
Non enĩ est illis cõmuta-
tio, quia non timuerunt
deum. Extendit manum
suam in reddendo. Teme-
rarunt testamentũ eius, di
uisi sunt ab ira conspectus

eius, & propinquauerunt corda eorum. Molliti ſunt ſermones eorum ſuper oleum, & ipſi ſunt iacula. Iniice in dominum curã tuam, & ipſe te enutriet, non dabit in ſeculum fluctum iuſto. Tu uero deus deduces eos in puteũ perniciei. Viri ſanguinum et doli nequaq̃ dimidiũ habuerint dies ſuos, ego autem domine ſperabo in te. Gloria. Confeſſus ſeptimus.

In finem, pro populo à ſanctis longe abſentis, Dauid in columnæ inſcriptionẽ, quando tenuerunt eum alienigenæ in Geth.

LV.

Miſerere mei deus, quia conculcauit me homo, totam diem belligerans afflixit me. Conculcauerũt me inimici mei totam diem, quia multi bello impetentes me ab altitudine. Die non timebo, ego uero ſperabo in te. In deo collaudabo ſermones meos. In deo ſperaui, non timebo, quid faciet mihi caro. Totam diem ſermones meos faſtidiebant, cõtra me omnes cogitationes eorum in malum. Inhabitabunt, et abſcondẽt, ipſi calcaneum meum cuſtodient. Sicut ſuſtinuerũt animam me m, pro nihilo pelles eos, in ira populos con-

αὐτοῦ, καὶ ἤγγισαν αἱ καρδίαι αὐτῶν. Ἡπαλύνθησαν οἱ λόγοι αὐτῶν ὑπὲρ ἔλαιον, καὶ αὐτοί εἰσι βολίδες. Ἐπίρριψον ἐπὶ κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει, οὐ δώσει εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ. Σὺ δὲ ὁ θεὸς κατάξεις αὐτοὺς εἰς φρέαρ διαφθορᾶς. Ἄνδρες αἱμάτων καὶ δολιότητος οὐ μὴ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν, ἐγὼ δὲ κύριε ἐλπιῶ ἐπί σε. Δόξα. Κάθισμα ζ.

Εἰς τὸ τέλος, ὑπὲρ τοῦ λαοῦ τοῦ ἀπὸ τῶν ἁγίων μεμακρυμμένου, τῷ Δαβὶδ εἰς στηλογραφίαν, ὁπότε ἐκράτησαν αὐτὸν οἱ ἀλλόφυλοι ἐν γέθ, νε.

Ἐλέησόν με ὁ θεὸς, ὅτι κατεπάτησέ με ἄνθρωπος, ὅλην τὴν ἡμέραν πολεμῶν ἔθλιψέ με. Κατεπάτησάν με οἱ ἐχθροί μου ὅλην τὴν ἡμέραν, ὅτι πολλοὶ οἱ πολεμοῦντές με ἀπὸ ὕψους. Ἡμέρας οὐ φοβηθήσομαι, ἐγὼ δὲ ἐλπιῶ ἐπί σε. Ἐν τῷ θεῷ ἐπαινέσω τοὺς λόγους μου. Ἐπὶ τῷ θεῷ ἤλπισα, οὐ φοβηθήσομαι, τί ποιήσει μοι σάρξ. Ὅλην τὴν ἡμέραν τοὺς λόγους μου ἐβδελύσσοντο, κατ' ἐμοῦ πάντες οἱ διαλογισμοὶ αὐτῶν εἰς κακόν. Παροικήσουσι, καὶ κατακρύψουσιν, αὐτοὶ τὴν πτέρναν μου φυλάξουσι. Καθάπερ ὑπέμειναν τὴν ψυχήν μου, ὑπὲρ τοῦ μηθενὸς σώσεις αὐτοὺς, ἐν ὀργῇ λαοὺς κατά-

κατάξεις. Ὁ θεὸς τὴν ζωήν μου ἐξη-
ήγγειλά σοι, ἔθου τὰ δάκρυά μου ἐν-
ώπιόν σου, ὡς καὶ ἐν τῇ ἐπαγγε-
λίᾳ σου. Ἐπιστρέψουσιν οἱ ἐχθροί
μου εἰς τὰ ὀπίσω. Ἐν ᾗ ἂν ἡμέρᾳ ἐ-
πικαλέσωμαί σε, ἰδοὺ, ἔγνων, ὅτι
θεός μου εἶ σύ. Ἐπὶ τῷ θεῷ αἰνέσω
ῥῆμα, ἐπὶ τῷ κυρίῳ αἰνέσω λόγον.
Ἐπὶ τῷ θεῷ ἤλπισα, οὐ φοβηθήσομαι,
τί ποιήσει μοι ἄνθρωπος. Ἐν ἐ-
μοὶ ὁ θεὸς εὐχαὶ, ἃς ἀποδώσω, αἰ-
νέσεώς σου. Ὅτι ἐρρύσω τὴν ψυχήν
μου ἐκ θανάτου, τοὺς ὀφθαλμούς μου
ἀπὸ δακρύων, καὶ τοὺς πόδας μου ἀ-
πὸ ὀλισθήματος. Εὐαρεστήσω ἐνώ-
πιον κυρίου, ἐν φωτὶ ζώντων.

Εἰς τὸ τέλος, μὴ διαφθείρῃς, τῷ Δα-
βὶδ εἰς στηλογραφίαν, ἐν τῷ αὐτὸν ἀπο-
διδράσκειν ἀπὸ προσώπου Σαοὺλ,
εἰς τὸ σπήλαιον, νϛ.

Ἐλέησόν με ὁ θεὸς, ἐλέησόν με, ὅ-
τι ἐπί σοι πέποιθεν ἡ ψυχή μου.
Καὶ ἐν τῇ σκιᾷ τῶν πτερύγων σου
ἐλπιῶ, ἕως οὗ παρέλθῃ ἡ ἀνομία.
Κεκράξομαι πρὸς τὸν θεὸν τὸν ὕ-
ψιστον, τὸν θεὸν τὸν εὐεργετήσαντά
με. Ἐξαπέστειλεν ἐξ οὐρανοῦ, καὶ ἔ-
σωσέ με, ἔδωκεν εἰς ὄνειδος τοὺς
καταπατοῦντάς με. Ἐξαπέστειλεν
ὁ θεὸς τὸ ἔλεος αὐτοῦ καὶ τὴν ἀ-
λήθειαν αὐτοῦ, καὶ ἐρρύσατο τὴν ψυ-
χήν μου ἐκ μέσου σκύμνων, ἐκοι-
μήθην τεταραγμένος. Υἱοὶ ἀνθρώ-
πων, οἱ ὀδόντες αὐτῶν, ὅπλα καὶ
βέλη,

confringes. Deus uitam meam enunciaui tibi, posuisti lachrymas meas coram te, ut & in promissione tua. Conuertent inimici mei in posteriora. In quacunque die inuocauero te, ecce, cognoui, quod deus meus es tu. In deo laudabo uerbum, in domino laudabo sermonem. In deo speraui, non timebo, quid faciet mihi homo. In me deus uota, quę reddā, laudatiōis tuę. Quia liberasti animā meam è morte, oculos meos à lachrymis, & pedes meos à lapsu. Placebo coram domino, in lumine uiuentium.

In finem, ne disperdas, Dauid in columnæ inscriptionem, cum ipse fugeret à conspectu Saul in speluncam, LVI.

Miserere mei deus, miserere mei, quia in te fisa est anima mea. Et in umbra alarum tuarum sperabo, donec transeat iniquitas. Clamabo ad deum altissimum, deum bene afficientem me. Dimisit è coelo, & liberauit me, dedit in uituperium conculcantes me. Dimisit deus misericordiam suam & ueritatem suam, & liberauit animam meam, è medio catulorum leonum, sopitus sum turbatus. Filii hominum, dētes eorū, arma & iacula,

iacula, & lingua eorũ gladius acutus. Exaltare per coelos deus, & in omnem terram gloria tua. Laqueum parauerunt pedibus meis, & incuruauerunt animam meam. Foderunt ante conspectum meum foueam, & inciderunt in eam. Diapsalma. Paratum cor meum, deus, paratum cor meum. Canam, et cantabo in gloria mea. Excitare gloria mea, excitare psalterium & cithara, excitabor diluculo. Cõfitebor tibi in populis domine, canam tibi in gentibus, magna reddita est usque ad coelos misericordia tua, & usque ad nubes ueritas tua. Exaltare per coelos deus, & super omnem terram gloria tua.

Infra 107

In finẽ, ne disperdas, Dauid in columnæ inscriptionem, LVII.

Si uere utique iustitiam loquimini, recta iudicate filii hominum. Etenim in corde iniquitatem operamini in terra, iniustitiam manus uestræ connectũt. Abalienati sunt peccatores à matrice, errauerunt ab utero, loquuti sunt falsa. Furor illis pro similitudine serpentis, sicut aspidis surdę & obturantis aures suas. Quæ non exaudiet uocem incantantiũ, fascinantur fascinata à sapiẽte.

Deus

βέλη, καὶ ἡ γλῶσσα αὐτῶν μάχαιρα ὀξεῖα. Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ θεὸς, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου. Παγίδα ἡτοίμασαν τοῖς ποσί μου, καὶ κατέκαμψαν τὴν ψυχήν μου. Ὤρυξαν πρὸ προσώπου μου βόθρον, καὶ ἐνέπεσον εἰς αὐτόν. Διάψαλμα. Ἑτοίμη ἡ καρδία μου, ὁ θεὸς, ἑτοίμη ἡ καρδία μου· ᾄσομαι, καὶ ψαλῶ ἐν τῇ δόξῃ μου. Ἐξεγέρθητι ἡ δόξα μου, ἐξεγέρθητι ψαλτήριον καὶ κιθάρα, ἐξεγερθήσομαι ὄρθρου. Ἐξομολογήσομαί σοι ἐν λαοῖς κύριε, ψαλῶ σοι ἐν ἔθνεσιν. Ὅτι ἐμεγαλύνθη ἕως τῶν οὐρανῶν τὸ ἔλεός σου, καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου. Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ θεὸς, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

Εἰς τὸ τέλος, μὴ διαφθείρῃς, τῷ Δαβὶδ εἰς στηλογραφίαν, νζ.

Εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε, εὐθείας κρίνετε υἱοὶ τῶν ἀνθρώπων. Καὶ γὰρ ἐν καρδίᾳ ἀνομίαν ἐργάζεσθε ἐν τῇ γῇ, ἀδικίαν αἱ χεῖρες ὑμῶν συμπλέκουσιν. Ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας, ἐπλανήθησαν ἀπὸ γαστρός, ἐλάλησαν ψευδῆ. Θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως, ὡσεὶ ἀσπίδος κωφῆς καὶ βυούσης τὰ ὦτα αὐτῆς. Ἥτις οὐκ εἰσακούσεται φωνῆς ἐπᾳδόντων, φαρμακοῦ τε φαρμακευομένου παρὰ σοφοῦ.

Ὁ θεὸς

Ὁ θεὸς συνέτριψε τοὺς ὀδόντας αὐτῶν ἐν τῷ στόματι αὐτῶν, τὰς μύλας τῶν λεόντων συνέθλασεν ὁ κύριος. Ἐξουδενωθήσονται ὡσεὶ ὕδωρ διαπορευόμενον, ἐντενεῖ τὸ τόξον αὐτοῦ, ἕως οὗ ἀσθενήσουσιν. Ὡσεὶ κηρὸς τακεὶς ἀνταναιρεθήσονται, ἔπεσε πῦρ ἐπ' αὐτοὺς, καὶ οὐκ εἶδον τὸν ἥλιον. Πρὸ τοῦ συνιέναι τὰς ἀκάνθας ὑμῶν τὴν ῥάμνον, ὡσεὶ ζῶντας, ὡσεὶ ἐν ὀργῇ καταπίεται αὐτούς. Εὐφρανθήσεται δίκαιος, ὅταν ἴδῃ ἐκδίκησιν, τὰς χεῖρας αὐτοῦ νίψεται ἐν τῷ αἵματι τοῦ ἁμαρτωλοῦ. Καὶ ἐρεῖ ἄνθρωπος, εἰ ἄρα ἐστὶ καρπὸς τῷ δικαίῳ; Ἄρα ἐστὶν ὁ θεὸς κρίνων αὐτοὺς ἐν τῇ γῇ. Δόξα.

Deus conteret dentes eorum in ore ipsorum, molas leonum confregit dominus. Ad nihilum redigentur tanquam aqua decurrens, intendet arcum suum, donec imbecilles erunt. Sicut cera liquescens auferentur, cecidit ignis super eos, & non uiderũt solem. Priusquam intelligerent spinę uestræ rhamnum, sicut uiuentes, sicut in ira deglutiet eos. Gaudebit iustus, cum uiderit uindictam, manus suas lauabit in sanguine peccatoris. Et dicet homo, Nũ sanè est fructus iusto? Sane est deus iudicans eos in terra. Gloria.

Εἰς τὸ τέλος, μὴ διαφθείρῃς, τῷ Δαβὶδ εἰς στηλογραφίαν, ὁπότε ἀπέστειλε Σαοὺλ, καὶ ἐφύλαξε τὸν οἶκον αὐτοῦ τοῦ θανατῶσαι αὐτὸν, νή.

In finem, ne disperdas, Dauid in columnæ inscriptionem, cum dimisit Saul, et custodiuit domum eius, ut interficeret eum, LVIII.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου ὁ θεὸς, καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ λύτρωσαί με. Ῥῦσαί με ἐκ τῶν ἐργαζομένων τὴν ἀνομίαν, καὶ ἐξ ἀνδρῶν αἱμάτων σῶσόν με. Ὅτι ἰδοὺ ἐθήρευσαν τὴν ψυχήν μου, ἐπέθεντο ἐπ' ἐμὲ κραταιοί. Οὔτε ἡ ἀνομία μου, οὔτε ἡ ἁμαρτία μου, κύριε. Ἄνευ ἀνομίας ἔδραμον, καὶ κατεύθυνα. Ἐξεγέρθητι εἰς συνάντησίν μου, καὶ ἴδε. Καὶ σὺ κύριε, ὁ θεὸς τῶν δυνάμεων, ὁ θεὸς τοῦ Ἰσραὴλ,

Eripe me ex hostibus meis deus, & ab insurgentibus in me redime me. Libera me de operantibus iniquitatem, & de uiris sanguinum salua me. Quia ecce uenati sunt animam meam, inuaserunt in me fortes. Neq; iniquitas mea, neq; peccatum meũ, domine. Sine iniquitate cucurri, & direxi. Excitare in occursum meum, & uide. Et tu domine, deus potestatum, deus Israel,

πρόσχες attende

attende ad uisitandas omnes gentes, ne miserearis omnibus operantibus iniquitatem. Auertentur ad uesperam, & famem patientur ut canis, & cingēt ciuitatē. Ecce ipsi loquentur in ore suo, & gladius in labijs eorū. Quia quis audiuit? Et tu domine deridebis eos, ad nihilum rediges omnes gentes. Robur meum ad te custodiā, quia tu deus redemptor meus es. Deus meus, misericordia eius præueniet me, deus meus ostēdet mihi in inimicis meis. Ne occidas eos, ne unquam obliuiscantur legis tuæ. Disperge illos in potentia tua, & deduc eos defensor meus domine. Peccatū oris eorum, sermo labiorum ipsorum, et comprehendantur in superbia sua. Et ex execratione & mendacio denunciabuntur in consummatione, in ira consummationis, & nequaquam exciterint. Et cognoscent, quia deus dominatur Iacob, & finiū terræ. Reuertentur ad uesperā, & famē patientur ut canis, & cingēt ciuitatem. Ipsi dispergentur ad manducandū, si uero nō fuerint saturati, & murmurabūt. Ego aūt cantabo potentiæ tuæ, & lætabor mane misericordiam tuam. Quia factus es susceptor meus & refugium meum, in die afflictionis

πρόσχες τοῦ ἐπισκέψασθαι πάντα τὰ ἔθνη, μὴ οἰκτειρήσῃς πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν. Ἐπιστρέψουσιν εἰς ἑσπέραν, καὶ λιμώξουσιν ὡς κύων, καὶ κυκλώσουσι πόλιν. Ἰδοὺ, αὐτοὶ ἀποφθέγξονται ἐν τῷ στόματι αὐτῶν, καὶ ῥομφαία ἐν τοῖς χείλεσιν αὐτῶν. ὅτι τίς ἤκουσε; Καὶ σὺ κύριε ἐκγελάσεις αὐτοὺς, ἐξουδενώσεις πάντα τὰ ἔθνη.

Τὸ κράτος μου πρὸς σὲ φυλάξω, ὅτι σὺ ὁ θεὸς ἀντιλήπτωρ μου εἶ. Ὁ θεός μου, τὸ ἔλεος αὐτοῦ προφθάσει με, ὁ θεός μου δείξει μοι ἐν τοῖς ἐχθροῖς μου. Μὴ ἀποκτείνῃς αὐτοὺς, μήποτε ἐπιλάθωνται τοῦ νόμου σου.

Διασκόρπισον αὐτοὺς ἐν τῇ δυνάμει σου, καὶ κατάγαγε αὐτοὺς ὁ ὑπερασπιστής μου κύριε. Ἁμαρτία στόματος αὐτῶν, λόγος χειλέων αὐτῶν, καὶ συλληφθήτωσαν ἐν τῇ ὑπερηφανίᾳ αὐτῶν. Καὶ ἐξ ἀρᾶς καὶ ψεύδους διαγγελήσονται ἐν συντελείᾳ, ἐν ὀργῇ συντελείας, καὶ οὐ μὴ ὑπάρξωσι.

Καὶ γνώσονται, ὅτι ὁ θεὸς δεσπόζει τοῦ ἰακὼβ, καὶ τῶν περάτων τῆς γῆς. Ἐπιστρέψουσιν εἰς ἑσπέραν, καὶ λιμώξουσιν ὡς κύων, καὶ κυκλώσουσι πόλιν.

Αὐτοὶ διασκορπισθήσονται τοῦ φαγεῖν, ἐὰν δὲ μὴ χορτασθῶσι, καὶ γογγύσουσιν. Ἐγὼ δὲ ᾄσομαι τῇ δυνάμει σου, καὶ ἀγαλλιάσομαι τὸ πρωῒ τὸ ἔλεός σου. Ὅτι ἐγενήθης ἀντιλήπτωρ μου καὶ καταφυγή μου, ἐν ἡμέρᾳ θλίψεώς

ψεώς μου. Βοηθός μου εἶ, σοὶ ψαλῶ. Ὅτι σὺ ὁ θεὸς ἀντιλήπτωρ μου εἶ, ὁ θεός μου, τὸ ἔλεός μου.

Εἰς τὸ τέλος, τοῖς ἀλλοιωθησομένοις ἔτι εἰς στηλογραφίαν τῷ δαβίδ, ἐς διδαχὴν, ὁπότε ἐνεπύρισε τὴν μεσοποταμίαν συρίας καὶ τὴν συρίαν σοβὰ, καὶ ἐπέστρεψεν ἰωὰβ, καὶ ἐπάταξε τὸν ἐδὼμ ἐν τῇ φάραγγι τῶν ἁλῶν, δώδεκα χιλιάδας, νθ.

Ὁ θεὸς ἀπώσω ἡμᾶς, καὶ καθεῖλες ἡμᾶς, ὠργίσθης, καὶ ᾠκτείρησας ἡμᾶς. Συνέσεισας τὴν γῆν, καὶ συνετάραξας αὐτὴν, ἴασαι τὰ συντρίμματα αὐτῆς, ὅτι ἐσαλεύθη. Ἔδειξας τῷ λαῷ σου σκληρά. Ἐπότισας ἡμᾶς οἶνον κατανύξεως. Ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν, τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου. Διάψαλμα. Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου, σῶσον τῇ δεξιᾷ σου, καὶ ἐπάκουσόν μου. Ὁ θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ· ἀγαλλιάσομαι. Καὶ διαμεριῶ σίκιμα, καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω. Ἐμός ἐστι γαλαὰδ, καὶ ἐμός ἐστι μανασσῆς. Καὶ ἐφραὶμ κραταίωσις τῆς κεφαλῆς μου. Ἰούδας βασιλεύς μου, μωὰβ λέβης τῆς ἐλπίδος μου. Ἐπὶ τὴν ἰδουμαίαν ἐκτενῶ τὸ ὑπόδημά μου, ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν. Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς; Ἢ τίς ὁδηγήσει με ἕως τῆς ἰδουμαίας;

Οὐχὶ

onis meæ. Auxiliator meus es, tibi canam. Quia tu deus susceptor meus es, deus meus, misericordia mea.

In finem, mutandis in columnæ inscriptionē Dauid, in doctrinam, quando incendit Mesopotamiam Syriæ & Syriam Soba, & conuertit Ioab, & percussit Edom in ualle Salinarum, duodecim millia. LIX.

Deus amouisti nos, & destruxisti nos, iratus es, & misertus es nobis. Cōmouisti terram, & conturbasti eam, sana corruptiones eius, quia cōmota est. Ostendisti populo tuo dura. Potasti nos uino compunctionis. Dedisti metuentibus te significationē, ut fugiāt à cōspectu arcꝰ. Diapsalma. Vt liberentur dilecti tui, salua dextera tua, & exaudi me. Deus loquutus est in sancto suo, lætabor. Et diuidam Sicima, & Vallem tabernaculorum dimetiar. Meus est Galaad, & meus est Manasses. Et Ephraim firmitas capitis mei. Iuda rex meus, Moab olla spei meæ. In Idumæam extendam calceamentum meū, mihi alienigenæ subditi sunt. Quis abducet me in ciuitatem munimenti? Aut quis per uiam deducet me usq; in Idumæam?

Non

Non'ne tu deus amouens nos? Et non egredieris deus in potestatibus nostris. Da nobis auxilium ex afflictione, & uana salus hominis. In deo faciemus potentiam, et ipse ad nihilum rediget affligentes nos.

In finem in cantibus, Dauid Psalmus LX.

Exaudi deus precationem meam, attende orationem meã. A finibus terrę ad te clamaui. Dum anxium erat cor meũ, in petra exaltasti me. Per uiam eduxisti me, quia factus es spes mea, turris roboris à conspectu hostis. Accolam in tabernaculo tuo in secula, tegar in tegmine alarum tuarum. Quia tu deus exaudisti orationes meas, dedisti hæreditatem timẽtibus nomen tuũ. Dies ad dies regis adijcies. Anni eius usq; ad diem progeniei & progeniei, permanebit in seculum coram deo. Misericordiam & ueritatem eius quis requiret? Sic canã nomini tuo in secula, ut reddam ego uota mea, diem ex die. Gloria.

In finem pro Idithum, Psalmus Dauid LXI.

Nõne deo subijciet anima mea? Apud ipsũ enĩ salutare

Οὐχὶ σὺ ὁ θεὸς ὁ ἀπωσάμενος ἡμᾶς; Καὶ οὐκ ἐξελεύσῃ ὁ θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν. Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, καὶ ματαία σωτηρία ἀνθρώπου. Ἐν τῷ θεῷ ποιήσομεν δύναμιν, καὶ αὐτὸς ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς.

Εἰς τὸ τέλος ἐν ὕμνοις, τῷ Δαβὶδ ψαλμὸς ξ.

Εἰσάκουσον ὁ θεὸς τῆς δεήσεώς μου, πρόσχες τῇ προσευχῇ μου. Ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα. Ἐν τῷ ἀκηδιάσαι τὴν καρδίαν μου, ἐν πέτρᾳ ὕψωσάς με. Ὡδήγησάς με, ὅτι ἐγενήθης ἐλπίς μου, πύργος ἰσχύος ἀπὸ προσώπου ἐχθροῦ. Παροικήσω ἐν τῷ σκηνώματί σου εἰς τοὺς αἰῶνας, σκεπασθήσομαι ἐν τῇ σκέπῃ τῶν πτερύγων σου. Ὅτι σὺ ὁ θεὸς εἰσήκουσας τῶν εὐχῶν μου, ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου. Ἡμέρας ἐφ' ἡμέρας τοῦ βασιλέως προσθήσεις. Τὰ ἔτη αὐτοῦ ἕως ἡμέρας γενεᾶς καὶ γενεᾶς, διαμενεῖ τὸν αἰῶνα ἐνώπιον τοῦ θεοῦ. Ἔλεος καὶ ἀλήθειαν αὐτοῦ τίς ἐκζητήσει; Οὕτως ψαλῶ τῷ ὀνόματί σου εἰς τοὺς αἰῶνας, τοῦ ἀποδοῦναί με τὰς εὐχάς μου, ἡμέραν ἐξ ἡμέρας. Δόξα.

Εἰς τὸ τέλος ὑπὲρ Ἰδιθοὺμ, ψαλμὸς τῷ Δαβὶδ ξα.

Οὐχὶ τῷ θεῷ ὑποταγήσεται ἡ ψυχή μου; Παρ' αὐτῷ γὰρ τὸ σω-

τήριόν

ϱιόν μου. Καὶ γὰρ αὐτὸς θεός μου καὶ σωτήρ μου, ἀντιλήπτωρ μου, οὐ μὴ σαλευθῶ ἐπὶ πλεῖον. Ἕως πότε ἐπιτίθεσθε ἐπ᾽ ἄνθρωπον, φονεύετε πάντες ὑμεῖς, ὡς τοίχῳ κεκλιμένῳ καὶ φραγμῷ ὠσμένῳ. Πλὴν τὴν τιμήν μου ἐβουλεύσαντο ἀπώσασθαι, ἔδραμον ἐν δίψῃ. Τῷ στόματι αὐτῶν εὐλόγουν, καὶ τῇ καρδίᾳ αὐτῶν κατηρῶντο. Πλὴν τῷ θεῷ ὑποτάγηθι ἡ ψυχή μου, ὅτι παρ᾽ αὐτῷ ἡ ὑπομονή μου.

Ὅτι αὐτὸς θεός μου καὶ σωτήρ μου, ἀντιλήπτωρ μου, οὐ μὴ μεταναστεύσω. Ἐπὶ τῷ θεῷ τὸ σωτήριόν μου, καὶ ἡ δόξα μου. Ὁ θεὸς τῆς βοηθείας μου, καὶ ἡ ἐλπίς μου ἐπὶ τῷ θεῷ. Ἐλπίσατε ἐπ᾽ αὐτὸν πᾶσα συναγωγὴ λαῶν. Ἐκχέατε ἐνώπιον αὐτοῦ τὰς καρδίας ὑμῶν, ὅτι ὁ θεὸς βοηθὸς ὑμῶν. Πλὴν μάταιοι οἱ υἱοὶ τῶν ἀνθρώπων, ψευδεῖς οἱ υἱοὶ τῶν ἀνθρώπων ἐν ζυγοῖς, τοῦ ἀδικῆσαι αὐτοὶ ἐκ ματαιότητος ἐπὶ τὸ αὐτό. Μὴ ἐλπίζετε ἐπ᾽ ἀδικίαν, καὶ ἐπὶ ἅρπαγμα μὴ ἐπιποθεῖτε. Πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν. Ἅπαξ ἐλάλησεν ὁ θεὸς, δύο ταῦτα ἤκουσα, ὅτι τὸ κράτος τοῦ θεοῦ, καὶ σοῦ, κύριε, τὸ ἔλεος. Ὅτι σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

Ψαλμὸς τῷ Δαβίδ, ἐν τῷ εἶναι αὐτὸν ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας, ξβ.

Ὁ θεὸς, ὁ θεός μου, πρὸς σὲ ὀρθρίζω.

lutare meũ. Etẽm ipse de⁹ meus & saluator meus, susceptor meus, nequaꝗ̃ mouebor amplius. Quousqꝫ inuaditis in hominẽ, interficitis omnes uos, ut parieti inclinato et sepi amotæ? Verum honorẽ meum cõsultarunt amouere, cucurri in siti. Ore suo benedicebant, & corde suo execrabantur. Verũ deo subijcere anima mea, quia apud ipsũ expectatio mea. Quia ipse deus meus & saluator meus, redemptor me⁹, nequaꝗ̃ demigrabo. In deo salutare meũ et gloria mea. Deus auxilii mei. & spes mea in deo. Sperate in eũ omnis congregatio populorũ. Effundite coram illo corda uestra. quia deus auxiliator noster. Verum uani filij hominũ, mendaces filii hominum in stateris, ut iniuste agant, ipsi ex uanitate in hoc ipsum. Non sperate in iniquitatẽ, et ad rapinã ne desiderate. Diuitię si affluant, ne apponatis cor. Semel locutus est Deus, duo hæc audiui, Quod robur dei, & tua, domine, misericordia. Quia tu reddes unicuique pro operibus suis.

Psalmus Dauid, cum esset ipse in deserto Iudææ. LXII.

Deus, deus meus ad te ma

ne surgo. Sitiuit te anima mea. Quotiescũq; tibi caro mea in terra deserta et inuia & aquis carẽte, ita in sancto uisus sum tibi, ut uiderem potentiã tuam & gloriam tuam. Quia melior misericordia tua superuitas, labia mea collaudabunt te. Ita benedicam te in uita mea, in nomine tuo tollam manus meas. Vt ex adipe & pinguedine impleatur anima mea, & labia lætitia, laudabit os meum. Si memoraui te in stratum meum, in matutinis meditabar in te. Quia fuisti auxiliator meus, & in tegmine alarum tuarum lætabor. Agglutinata est anima mea post te, me autem suscepit dextera tua. Ipsi uero in uacuũ quęsierunt animam meam, introibunt in infima terræ. Tradentur in manus gladii, partes uulpium erunt. Rex uerò gaudebit in deo, collaudabitur omnis iurans in eo. Quia obstructum est os loquentium iniusta.

In finem, Psalmus Dauid LXIII.

Exaudi deus uocem meam, cum precor ad te. A timore inimici eripe animam meam. Tege me à commixtione maligne agentium, à multitudine operantium iniquitatem,

ζω. Ἐδίψησέ σε ἡ ψυχή μου. Ποσαπλῶς σοι ἡ σάρξ μου ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ, οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι, τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου. Ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς, τὰ χείλη μου ἐπαινέσουσί σε.

Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου, ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου. Ὡς ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου, καὶ χείλη ἀγαλλιάσεως, αἰνέσει τὸ στόμα μου. Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ. Ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι. Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου. Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου, εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς. Παραδοθήσονται εἰς χεῖρας ῥομφαίας, μερίδες ἀλωπέκων ἔσονται.

Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ θεῷ, ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ. Ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.

Εἰς τὸ τέλος, ψαλμὸς τῷ δαβὶδ ξγ.

Εἰσάκουσον ὁ θεὸς φωνῆς μου, ἐν τῷ δέεσθαί με πρὸς σέ. Ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν μου. Σκέπασόν με ἀπὸ συστροφῆς πονηρευομένων, ἀπὸ πλήθους ἐργαζομένων

ἀδι

ἀδικίαν. Οἵτινες ἠκόνησαν ὡς ῥομφαίαν τὰς γλώσσας αὐτῶν, ἐνέτειναν τόξον αὐτῶν, πρᾶγμα πικρὸν, τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον, ἐξάπινα κατατοξεύσουσιν αὐτὸν, καὶ οὐ φοβηθήσονται. Ἐκραταίωσαν ἑαυτοῖς λόγον πονηρὸν, διηγήσαντο τοῦ κρύψαι παγίδα. Εἶπον, τίς ὄψεται αὐτούς; ἐξηρεύνησαν ἀνομίαν, ἐξέλιπον ἐξερευνῶντες ἐξερευνήσεις. Προσελεύσεται ἄνθρωπος καὶ καρδία βαθεῖα, καὶ ὑψωθήσεται ὁ θεός.

Βέλος νηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐτῶν, καὶ ἐξησθένησαν ἐπ' αὐτοὺς αἱ γλῶσσαι αὐτῶν. Ἐταράχθησαν πάντες οἱ θεωροῦντες αὐτοὺς, καὶ ἐφοβήθη πᾶς ἄνθρωπος. Καὶ ἀνήγγειλαν τὰ ἔργα τοῦ θεοῦ, καὶ τὰ ποιήματα αὐτοῦ συνῆκαν. Εὐφρανθήσεται δίκαιος ἐν τῷ κυρίῳ, καὶ ἐλπιεῖ ἐπ' αὐτόν. Καὶ ἐπαινεθήσονται πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ. Δόξα. Κάθισμα η.

Εἰς τὸ τέλος, ψαλμὸς ᾠδῆς τῷ Δαβὶδ, ᾠδὴ Ἱερεμίου καὶ Ἰεζεκιὴλ, ὑπὲρ τοῦ λαοῦ παροικίας, ὅτε ἔμελλον ἐκπορεύεσθαι, ξδ.

Σοὶ πρέπει ὕμνος ὁ θεὸς ἐν Σιὼν, καί σοι ἀποδοθήσεται εὐχὴ ἐν Ἱερουσαλήμ. Εἰσάκουσον προσευχῆς μου, πρὸς σὲ πᾶσα σὰρξ ἥξει. Λόγοι ἀνόμων ὑπερεδυνάμωσαν ἡμᾶς, καὶ

quitatem. Quicunque acuerunt ut gladium linguas suas, intenderunt arcum suum, actionem amaram ut eiaculentur in occultis inculpatū, illico ab arcu ferient eum, et nō timebunt. Prehenderunt sibiipsis sermonem prauum, denarrauerunt, ut absconderent laqueum. Dixerunt, Quis uidebit eos? Perscrutati sunt iniquitatem, defecerunt perscrutātes perscrutationes. Adueniet homo & cor profundum, & exaltabitur deus. Iaculum infantium factæ sunt plagæ eorum, & imbecilles redditę sunt in eos linguæ eorū. Turbati sunt omnes contemplantes eos, & territus est omnis homo. Et renunciauerunt opera dei, & facta eius intellexerūt. Gaudebit iustus in domino, & sperabit in eum. Et collaudabuntur omnes recti corde. Gloria. Confessus octauus.

In finem, Psalmus carminis Dauid, carmen Hieremiæ & Iezekiel, de populi colonia, quando egressuri erant,

LXIIII.

Te decet canticum deus in Sion, & tibi reddetur uotum in Hierusalem. Exaudi orationem meam, ad te omnis caro ueniet. Sermones exlegum euicerunt nos,

& impietatibus nostris tu propitiaberis. Beatus, quem elegisti, & assumpsisti, inhabitabit in atriis tuis. Replebimur in bonis domus tuæ. Sanctum templum tuum, mirabile in iustitia. Exaudi nos deus, saluator noster, spes omnium finium terræ, & eorum qui in mari longe. Parans montes in robore suo, accinctus in potentia, conturbans cetum maris, sonos fluctuum eius quis sustinebit?

Turbabuntur gentes, & terrebuntur inhabitantes fines à signis tuis.

Exitus matutini & uesperæ delectabis, inuisisti terram, & inebriasti eam, multiplicasti locupletare eam. Flumē dei repletum est aquis. Parasti alimentum illorum, quia ita præparatio, sulcos eius inebria. Multiplica germina eius, in stillicidiis eius gaudebit exoriens. Benedices coronæ anni probitatis tuæ, & campi tui replebuntur pinguedine.

Pinguescent speciosa deserti, & lætitia colles accingentur. Induti sunt arietes ouium, & ualles multiplicabunt frumentum, clamabunt, etenim canent.

In

καὶ ταῖς ἀσεβείαις ἡμῶν σὺ ἱλάσῃ. Μακάριος, ὃν ἐξελέξω, καὶ προσελάβου, κατασκηνώσει ἐν ταῖς αὐλαῖς σου. Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου. Ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ. Ἐπάκουσον ἡμῶν ὁ θεὸς, ὁ σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακράν.

Ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύϊ αὐτοῦ, περιεζωσμένος ἐν δυναστείᾳ, ὁ συνταράσσων τὸ κύτος τῆς θαλάσσης, ἤχους κυμάτων αὐτῆς τίς ὑποστήσεται; Ταραχθήσονται τὰ ἔθνη, καὶ φοβηθήσονται οἱ κατοικοῦντες τὰ πέρατα ἀπὸ τῶν σημείων σου. Ἐξόδους πρωΐας καὶ ἑσπέρας τέρψεις. Ἐπεσκέψω τὴν γῆν, καὶ ἐμέθυσας αὐτήν, ἐπλήθυνας τοῦ πλουτίσαι αὐτήν. Ὁ ποταμὸς τοῦ θεοῦ ἐπληρώθη ὑδάτων. Ἡτοίμασας τὴν τροφὴν αὐτῶν, ὅτι οὕτως ἡ ἑτοιμασία, τοὺς αὔλακας αὐτῆς μέθυσον. Πλήθυνον τὰ γεννήματα αὐτῆς, ἐν ταῖς σταγόσιν αὐτῆς εὐφρανθήσεται ἀνατέλλουσα. Εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου, καὶ τὰ πεδία σου πλησθήσονται πιότητος.

Πιανθήσονται τὰ ὡραῖα τῆς ἐρήμου, καὶ ἀγαλλίασιν οἱ βουνοὶ περιζώσονται. Ἐνεδύσαντο οἱ κριοὶ τῶν προβάτων, καὶ αἱ κοιλάδες πληθυνοῦσι σῖτον, κεκράξονται, καὶ γὰρ ὑμνήσουσιν.

Εἰς

Εἰς τὸ τέλος, ᾠδὴ ψαλμοῦ ἀναστάσεως ξέ.

Ἀλαλάξατε τῷ κυρίῳ πᾶσα ἡ γῆ, ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ, δότε δόξαν αἰνέσει αὐτοῦ. Εἴπατε τῷ θεῷ, ὡς φοβερὰ τὰ ἔργα σου. Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σοι οἱ ἐχθροί σου. Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι, καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν δὴ τῷ ὀνόματί σου, ὕψιστε. Διάψαλμα. Δεῦτε, καὶ ἴδετε τὰ ἔργα τοῦ θεοῦ, ὡς φοβερὸς ἐν βουλαῖς ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων. Ὁ μεταστρέφων τὴν θάλασσαν εἰς ξηράν, ἐν ποταμῷ διελεύσονται ποδί. Ἐκεῖ εὐφρανθησόμεθα ἐπ᾽ αὐτῷ, τῷ δεσπόζοντι ἐν τῇ δυναστείᾳ αὐτοῦ τοῦ αἰῶνος. Οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τὰ ἔθνη ἐπιβλέπουσιν, οἱ παραπικραίνοντες μὴ ὑψούσθωσαν ἐν ἑαυτοῖς. Διάψαλμα. Εὐλογεῖτε ἔθνη τὸν θεὸν ἡμῶν, καὶ ἀκουτίσατε τὴν φωνὴν τῆς αἰνέσεως αὐτοῦ, τοῦ θεμένου τὴν ψυχήν μου εἰς ζωήν, καὶ μὴ δόντος εἰς σάλον τοὺς πόδας μου. Ὅτι ἐδοκίμασας ἡμᾶς ὁ θεός, ἐπύρωσας ἡμᾶς, ὡς πυροῦται τὸ ἀργύριον, εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα. Ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν, ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν. Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν. Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου ἐν ὁλοκαυτώμασιν. Ἀπο-

In finem, carmen psalmi resurrectionis LXV.

Iubilate domino omnis terra, canite iam nomini eius, date gloriā laudationi eius. Dicite deo, Quàm terribilia opera tua. In multitudine potentiæ tuæ mentientur te inimici tui. Omnis terra adorent te, & canant tibi, canant iam nomini tuo, altissime.

Diapsalma. Agite, & uidete opera dei, q̃ terribilis in consiliis super filios hominum. Conuertēs mare in aridam, in flumine transibunt pede. Ibi gaudebimus in ipso, dominanti in potestate ipsius seculi. Oculi eius in gentes inspiciunt, exacerbantes non exaltentur in semetipsis. Diapsalma. Benedicite gentes deum nostrum, & auditam reddite animam meam laudationis eius, ponentis animā meam in uitā, & non dantis in motum pedes meos. Quia probasti nos deus, ignitos reddidisti nos, ut ignitum redditur argentū. Induxisti nos in laqueū. Posuisti afflictiōes in dorsum nostrū, imposuisti homines in capita nostra.

Transiuimus per ignem & aquā, & eduxisti nos in refocillationem. Introibo in domum tuam in solidis incensis. Red-

dam tibi uota mea, quę distinxerunt labia mea, & loquutum est os meum in afflictione mea. Solida incensa medullata offerā tibi cum incenso & arietibus, offeram tibi boues cum hircis. Diapsalma. Agite, audite, & denarrabo uobis, omnes timentes deum, quanta fecit animę meæ. Ad ipsum ore meo clamaui, & exaltaui sub linguā meā. Iniustitiam si aspexi in corde meo, non exaudiat me dominus. Propter hoc exaudiuit me deus, attendit uoci precationis meæ. Benedictus deus, qui non amouit orationem meam & misericordiam suam à me.

In finem, in canticis Psalmus Dauid, LXVI.

Deus misereatur nostri, & benedicat nobis, illuminet conspectum suū super nos, & misereatur nostri, ut cognoscamus in terra uiam tuam, in omnibus gentibus salutare meum. Confiteantur tibi populi deus, confiteantur tibi populi omnes. Gaudeant, & lætentur gentes, quia iudicabis populos in rectitudine, & gentes in terra per uiam deduces. Confiteantur tibi populi, deus, confiteanē tibi populi omnes. Terra dedit fructum suū. Benedicat nos deus, deus noster. Benedicat nos deus,

δώσω σοὶ τὰς εὐχάς μου, ἃς διέστειλε τὰ χείλη μου, καὶ ἐλάλησε τὸ στόμα μου ἐν τῇ θλίψει μου. Ὁλοκαυτώματα μεμυελωμένα ἀνοίσω σοὶ μετὰ θυμιάματος καὶ κριῶν, ἀνοίσω σοὶ βόας μετὰ χιμάρων. Διάψαλμα. Δεῦτε, ἀκούσατε, καὶ διηγήσομαι ὑμῖν, πάντες οἱ φοβούμενοι τὸν θεὸν, ὅσα ἐποίησε τῇ ψυχῇ μου. Πρὸς αὐτὸν τῷ στόματί μου ἐκέκραξα, καὶ ὕψωσα ὑπὸ τὴν γλῶσσάν μου. Ἀδικίαν εἰ ἐθεώρουν ἐν καρδίᾳ μου, μὴ εἰσακουσάτω μου κύριος. Διὰ τοῦτο εἰσήκουσέ μου ὁ θεὸς, προσέσχε τῇ φωνῇ τῆς δεήσεώς μου. Εὐλογητὸς ὁ θεὸς, ὃς οὐκ ἀπέστησε τὴν προσευχήν μου καὶ τὸ ἔλεος αὐτοῦ ἀπ' ἐμοῦ.

Εἰς τὸ τέλος, ἐν ὕμνοις ψαλμὸς ᾠδῆς τῷ Δαβίδ, ξϛ.

Ὁ θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς, τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου. Ἐξομολογησάσθωσάν σοι, λαοί, ὁ θεὸς, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. Εὐφρανθήτωσαν, καὶ ἀγαλλιάσθωσαν ἔθνη, ὅτι κρινεῖς λαοὺς ἐν εὐθύτητι, καὶ ἔθνη ἐν τῇ γῇ ὁδηγήσεις. Ἐξομολογησάσθωσάν σοι λαοί, ὁ θεὸς, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. Γῆ ἔδωκε τὸν καρπὸν αὐτῆς. Εὐλογήσαι ἡμᾶς ὁ θεὸς, ὁ θεὸς ἡμῶν. Εὐλογήσαι ἡμᾶς ὁ θεὸς,

θεὸς, καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς. Δόξα.

Εἰς τὸ τέλος, ᾠδῆς ψαλμὸς τῷ δαβὶδ ξζ.

Ἀναστήτω ὁ θεὸς, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν. Ὡς ἐκλείπει καπνὸς, ἐκλιπέτωσαν. Ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρὸς, οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ θεοῦ. Καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν, ἀγαλλιάσθωσαν ἐνώπιον τοῦ θεοῦ, τερφθήτωσαν ἐν εὐφροσύνῃ. Ἄσατε τῷ θεῷ, ψάλατε τῷ ὀνόματι αὐτοῦ, ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν. Κύριος ὄνομα αὐτῷ, καὶ ἀγαλλιᾶσθε ἐνώπιον αὐτοῦ. Ταραχθήτωσαν ἀπὸ προσώπου αὐτοῦ, τοῦ πατρὸς τῶν ὀρφανῶν καὶ κριτοῦ τῶν χηρῶν. Ὁ θεὸς ἐν τόπῳ ἁγίῳ αὐτοῦ, ὁ θεὸς κατοικίζει μονοτρόπους ἐν οἴκῳ, ἐξάγων πεπεδημένους ἐν ἀνδρείᾳ, ὁμοίως τοὺς παραπικραίνοντας, τοὺς κατοικοῦντας ἐν τάφοις. Ὁ θεὸς ἐν τῷ ἐκπορεύεσθαί σε ἐνώπιον τοῦ λαοῦ σου, ἐν τῷ διαβαίνειν σε ἐν τῇ ἐρήμῳ, γῆ ἐσείσθη. Καὶ γὰρ οἱ οὐρανοὶ ἔσταξαν, ἀπὸ προσώπου τοῦ θεοῦ τοῦ σινᾶ, ἀπὸ προσώπου τοῦ θεοῦ ἰσραήλ. Βροχὴν ἑκούσιον ἀφοριεῖς ὁ θεὸς τῇ κληρονομίᾳ σου, καὶ ἠσθένησε, σὺ δὲ κατηρτίσω αὐτήν. Τὰ ζῶά σου κατοικοῦσιν ἐν

deus, & metuant eum omnes fines terræ. Gloria.

In finem, carminis Psalmus Dauid LXVII.

Exurgat deus, & dissipentur inimici eius, & fugiāt à cōspectu eius exosi eum. Vt deficit fumus, deficiant. Vt liquescit cera à conspectu ignis, sic peribunt peccatores à conspectu dei. Et iusti gaudeant, lætentur coram deo, delectentur in gaudio. Cantate deo, canite nomini eius, iter facite conscendenti in occasus. Dominus nomen illi, & lętemini coram eo. Turbati sint à conspectu eius, patris pupillorum & iudicis uiduarum. Deus in loco sancto suo, Deus collocat solitarios in domo, educens impeditos in uirtute, similiter exsperantes, inhabitantes in sepulchris. Deus cū egredereris tu coram populo tuo, cum transires tu in deserto, terra mota est. Etenim cœli distillauerunt à conspectu dei Sina, à conspectu dei Israel. Pluuiam uoluntariam separasti deus hæreditati tuæ, & imbecillis fuit, tu uero compegisti eam. Animalia tua inhabitant in

in ea, parasti in probitate tua mendico deus. Dominus dabit uerbũ bene nunciantibus potestate multa, rex potestatum amati, pulchritudini domus diuidere spolia. Si sopiti fueritis per medium sortium, pennæ columbæ argento obductæ, & tergora eius in pallore auri. Dum discernit cœlestis reges in ea, niue spargentur in Selmon. Mons dei, mons pinguis. Mons coagulatus, mõs pinguis. Quare suspicamini montes coagulatos? Mons quem approbauit deus inhabitare in eo. Etenim dominus habitabit in finem, currus dei decem millibus multiplex, millia concupiscentiũ. Dñs in eis in Sinain, in sancto. Ascẽdisti in altitudinẽ, captiuã duxisti captiuitatẽ. Accepisti dona in hominibus, etenim diffidentes inhabitare. Dominus, deus benedictus. Benedictus dominus diem per diem. Viam fortunabit nobis deus salutarium nostrorũ, de⁹ noster, deus ad saluandum, & domini domini exitus mortis. At deus cõfringet capita inimicorum suorũ, uerticem capilli perambulantium in delictis suis. Dixit dominus, Ex Basan conuertam, conuertam in profundis maris, ut tingatur

ἐν αὐτῇ, ἡτοίμασας ἐν τῇ χρηστότητί σου τῷ πτωχῷ ὁ θεός. Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ, ὁ βασιλεὺς τῶν δυνάμεων τοῦ ἀγαπητοῦ, τῇ ὡραιότητι τοῦ οἴκου διελέσθαι σκῦλα. Ἐὰν κοιμηθῆτε ἀνὰ μέσον τῶν κλήρων, πτέρυγες περιστερᾶς περιηργυρωμέναι, καὶ τὰ μετάφρενα αὐτῆς ἐν χλωρότητι χρυσίου. Ἐν τῷ διαστέλλειν τὸν ἐπουράνιον βασιλεῖς ἐπ' αὐτῆς, χιονωθήσονται ἐν Σελμών. Ὄρος τοῦ θεοῦ, ὄρος πῖον. Ὄρος τετυρωμένον, ὄρος πῖον. Ἵνα τί ὑπολαμβάνετε ὄρη τετυρωμένα; Τὸ ὄρος, ὃ εὐδόκησεν ὁ θεὸς κατοικεῖν ἐν αὐτῷ. Καὶ γὰρ κύριος κατασκηνώσει εἰς τέλος, τὸ ἅρμα τοῦ θεοῦ μυριοπλάσιον, χιλιάδες εὐθυνούντων. Κύριος ἐν αὐτοῖς ἐν Σινᾷ, ἐν τῷ ἁγίῳ. Ἀνέβης εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν. Ἔλαβες δόματα ἐν ἀνθρώποις, καὶ γὰρ ἀπειθοῦντας τοῦ κατασκηνῶσαι. Κύριος, ὁ θεὸς εὐλογητός. Εὐλογητὸς κύριος ἡμέραν καθ' ἡμέραν. Κατευοδώσαι ἡμῖν ὁ θεὸς τῶν σωτηρίων ἡμῶν, ὁ θεὸς ἡμῶν, ὁ θεὸς τοῦ σώζειν, καὶ τοῦ κυρίου κυρίου αἱ διέξοδοι τοῦ θανάτου. Πλὴν ὁ θεὸς συνθλάσει κεφαλὰς ἐχθρῶν αὐτοῦ, κορυφὴν τριχὸς διαπορευομένων ἐν πλημμελείαις αὐτῶν. Εἶπε κύριος, ἐκ Βασὰν ἐπιστρέψω, ἐπιστρέψω ἐν βυθοῖς θαλάσσης, ὅπως ἂν βα-

φῇ ὁ πούς σου ἐν αἵματι, ἡ γλῶσσα τῶν κυνῶν σου ἐξ ἐχθρῶν, παρ' αὐτοῦ. Ἐθεωρήθησαν αἱ πορεῖαί σου ὁ θεὸς, αἱ πορεῖαι τοῦ θεοῦ μου τοῦ βασιλέως τοῦ ἐν τῷ ἁγίῳ. Προέφθασαν ἄρχοντες ἐχόμενοι ψαλλόντων, ἐν μέσῳ νεανίδων τυμπανιστριῶν.

Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν θεὸν, κύριον ἐκ πηγῶν ἰσραήλ. Ἐκεῖ βενιαμὶν νεώτερος ἐν ἐκστάσει, ἄρχοντες ἰούδα, ἡγεμόνες αὐτῶν, ἄρχοντες ζαβουλὼν, ἄρχοντες νεφθαλείμ. Ἔντειλαι ὁ θεὸς τῇ δυνάμει σου, δυνάμωσον ὁ θεὸς τοῦτο, ὃ κατειργάσω ἐν ἡμῖν, ἀπὸ τοῦ ναοῦ σου ἐπὶ ἱερουσαλήμ. Σοὶ οἴσουσι βασιλεῖς δῶρα, ἐπιτίμησον τοῖς θηρίοις τοῦ καλάμου. Ἡ συναγωγὴ τῶν ταύρων ἐν ταῖς δαμάλεσι τῶν λαῶν, τοῦ ἐγκλεισθῆναι τοὺς δεδοκιμασμένους τῷ ἀργυρίῳ.

Διασκόρπισον ἔθνη τὰ τοὺς πολέμους θέλοντα. Ἥξουσι πρέσβεις ἐξ αἰγύπτου, αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ θεῷ. Αἱ βασιλεῖαι τῆς γῆς ᾄσατε τῷ θεῷ, ψάλατε τῷ κυρίῳ.

Διάψαλμα. Τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολὰς, ἰδοὺ δώσει τῇ φωνῇ αὐτοῦ φωνὴν δυνάμεως, δότε δόξαν τῷ θεῷ.

Ἐπὶ τὸν ἰσραὴλ ἡ μεγαλοπρέπεια αὐτοῦ, καὶ ἡ δύναμις αὐτοῦ ἐν ταῖς νεφέλαις. Θαυμαστὸς ὁ θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, ὁ θεὸς ἰσραήλ. Αὐτὸς δώσει δύναμιν καὶ κραταίωσιν τῷ

λαῷ

gatur pes tuus in sanguine, lingua canum tuorum ex inimicis, ab ipso. Conspectæ sunt profectiones tuæ, deus, profectiones dei mei regis, qui in sancto.

Præuenerunt principes iuncti canentibus, in medio iuuencularum tympanis canentium. In concionibus benedicite deo, domino è fontibus Israel. Ibi Beniamin iunior in stupore, principes Iuda, duces eorum, principes Zabulon, principes Nephthaleim. Pręcipe deus potentiæ tuę, potens effice deus hoc, quod operatus es in nobis, à templo tuo in Hierusalem. Tibi ferent reges munera, increpa feras arundinis. Congregatio taurorum in uaccis populorum, ut includantur probati argento. Dissipa gẽtes bella uolentes. Venient legati ex Ægypto, Æthiopia præueniet manum eius deo. Regna terræ canite deo, cantate domino. Diapsalma. Ascẽdenti in cœlum cœli, ad ortus, ecce dabit uoci suæ uocem potentiæ, date gloriam deo. Per Israel magnificentia eius, & potentia eius in nubibus. Mirãdus deus in sanctis suis, deus Israel. Ipse dabit potentiam & firmitatem

populo suo. Benedictus deus.

In finem, pro mutandis Psalmus Dauid LXVIII.

Salua me deus, quoniã intrauerunt aquæ usq; ad animã meam. Infixus sum in limo profundi, & non est substantia. Veni in altitudinem maris, & procella demersit me. Laboraui clamãs, et raucuit guttur meum. Defecerũt oculi mei, dum spero in deũ meum. Multiplicati sunt super capillos capitis exosi me gratis. Roborati sunt inimici mei, persequẽtes me iniuste. Quę non rapui, tunc exoluebam.

Deus tu cognouisti insipientiam meam, & delicta mea a te non sunt abscondita. Ne ignominia afficiantur in me sustinentes te domine, domine potestatum, neq; reuereãtur in me quærentes te, deus Israel. Quia propter te sustinui uituperationem, texit reuerentia cõspectum meum. Abalienatus redditus sum fratribus meis, & pegrinus filijs matris meę. Quia ęmulatio domus tuę comedit me, & uituperationes uituperantium te inciderunt in me. Et contexi in ieiunio animam meam, & factum est in uituperationes mihi. Et posui uestimentum meum saccum, & factus sum illis

λαῷ αὐτοῦ. Εὐλογητὸς ὁ θεός.

Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων ψαλμὸς τῷ δαβὶδ ξή.

Σῶσόν με ὁ θεὸς, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου. Ἐνεπάγην εἰς ἰλὺν βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις. Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς κατεπόντισέ με. Ἐκοπίασα κράζων, ἐβραγχίασεν ὁ λάρυγξ μου. Ἐξέλιπον οἱ ὀφθαλμοί μου, ἀπὸ τοῦ ἐλπίζειν μὲ ἐπὶ τὸν θεόν μου. Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου οἱ μισοῦντές με δωρεάν. Ἐκραταιώθησαν οἱ ἐχθροί μου, οἱ ἐκδιώκοντές με ἀδίκως. Ἃ οὐχ ἥρπαζον, τότε ἀπετίννυον.

Ὁ θεὸς σὺ ἔγνως τὴν ἀφροσύνην μου, καὶ αἱ πλημμέλειαί μου ἀπό σου οὐκ ἀπεκρύβησαν. Μὴ αἰσχυνθείησαν ἐπ' ἐμὲ οἱ ὑπομένοντές σε κύριε, κύριε τῶν δυνάμεων, μὴ δὲ ἐντραπείησαν ἐπ' ἐμὲ οἱ ζητοῦντές σε, ὁ θεὸς τοῦ ἰσραήλ. Ὅτι ἕνεκά σου ὑπήνεγκα ὀνειδισμὸν, ἐκάλυψεν ἐντροπὴ τὸ πρόσωπόν μου. Ἀπηλλοτριωμένος ἐγενήθην τοῖς ἀδελφοῖς μου, καὶ ξένος τοῖς υἱοῖς τῆς μητρός μου. Ὅτι ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με, καὶ οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ. Καὶ συνεκάλυψα ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἐγενήθη εἰς ὀνειδισμοὺς ἐμοί. Καὶ ἔθέμην τὸ ἔνδυμά μου σάκκον, καὶ ἐγενόμην

αὐτοῖς εἰς παραβολήν. Κατ' ἐμοῦ ἠδολέσχουν οἱ καθήμενοι ἐν πύλαις, καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες οἶνον.

Ἐγὼ δὲ τῇ προσευχῇ μου πρός σε, κύριε, καιρὸς εὐδοκίας. Ὁ θεὸς ἐν τῷ πλήθει τοῦ ἐλέους σου ἐπάκουσόν μου.

Ἐν ἀληθείᾳ τῆς σωτηρίας σου σῶσόν με, ἀπὸ πηλοῦ, ἵνα μὴ ἐμπαγῶ. Ῥυσθείην ἐκ τῶν μισούντων με, καὶ ἐκ τῶν βαθέων τῶν ὑδάτων. Μή με καταποντισάτω καταιγὶς ὕδατος, μηδὲ καταπιέτω με βυθός, μὴ δὲ συσχέτω ἐπ' ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ.

Εἰσάκουσόν μου κύριε, ὅτι χρηστὸν τὸ ἔλεός σου, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐπίβλεψον ἐπ' ἐμέ. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου, ὅτι θλίβομαι. Ταχὺ ἐπάκουσόν μου, πρόσχες τῇ ψυχῇ μου, καὶ λύτρωσαι αὐτήν. Ἕνεκα τῶν ἐχθρῶν μου ῥῦσαί με, σὺ γὰρ γινώσκεις τὸν ὀνειδισμόν μου, καὶ τὴν αἰσχύνην μου, καὶ τὴν ἐντροπήν μου. Ἐναντίον σου πάντες οἱ θλίβοντές με, ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου καὶ ταλαιπωρίαν. Καὶ ὑπέμεινα συλλυπούμενον, καὶ οὐχ ὑπῆρξε, καὶ παρακαλοῦντας, καὶ οὐχ εὗρον.

Καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος. Γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐτῶν εἰς παγίδα, καὶ εἰς ἀνταπόδοσιν καὶ εἰς σκάνδαλον. Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ

αὐτῶν

illis in prouerbiũ. Cõtra me lasciuiebant considentes in portis, & in me canebant bibentes uinum. Ego uero oratione mea ad te domine, tempus approbationis. Deus in multitudine misericordiæ tuę exaudi me. In ueritate salutis tuæ salua me à luto, ut non infigar. Liberer ab exosis me, & è profundis aquarum. Non me demergat procella aquæ, neque deglutiat me profundum, neq; cohibeat in me puteus os suum. Exaudi me dñe, quia proba misericordia tua, pro multitudine miserationum tuarum inspice in me. Ne auerteris cõspectũ tuũ à puero tuo, quia affligor. Cito exaudi me, attende animæ meæ, & libera eam. Propter inimicos meos libera me, tu enim cognoscis uituperationem meam & ignominiam meam & reuerentiam meam. Ex aduerso tui omnes affligentes me, uituperationem expectauit anima mea & miseria.

Et expectaui simul tristantẽ, & nõ extitit, & cõsolantes, & nõ inueni. Et dederunt in escam meam fel, & in sitim meam potauerunt me aceto. Fiat mensa eorum coram ipsis in laqueum & in redditionem & in offensionẽ. Obscurentur oculi

eorum,

populo suo. Benedictus deus.

In finem, pro mutandis Psalmus Dauid LXVIII.

Salua me deus, quoniã intrauerunt aquæ usq; ad animã meam. Infixus sum in limo profundi, & non est substantia. Veni in altitudinem maris, & procella demersit me. Laboraui clamãs, et raucuit guttur meum. Defecerũt oculi mei, dum spero in deũ meum. Multiplicati sunt super capillos capitis exosi me gratis. Roborati sunt inimici mei, persequẽtes me iniuste. Quę non rapui, tunc exoluebam.

Deus tu cognouisti insipientiam meam, & delicta mea à te non sunt abscondita. Ne ignominia afficiantur in me sustinentes te domine, domine potestatum, neq; reuereãtur in me quærentes te, deus Israel. Quia propter te sustinui uituperationem, texit reuerentia cõspectum meum. Abalienatus redditus sum fratribus meis, & pegrinus filijs matris meę. Quia ęmulatio domus tuę comedit me, & uituperationes uituperantium te inciderunt in me. Et contexi in ieiunio animam meam, & factum est in uituperationes mihi. Et posui uestimentum meum saccum, & factus sum

illis

λαῷ αὐτοῦ. Εὐλογητὸς ὁ θεός.

Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων ψαλμὸς τῷ Δαβίδ ξη'.

Σῶσόν με ὁ θεὸς, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου. Ἐνεπάγην εἰς ἰλὺν βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις. Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς κατεπόντισέ με. Ἐκοπίασα κράζων, ἐβραγχίασεν ὁ λάρυγξ μου. Ἐξέλιπον οἱ ὀφθαλμοί μου, ἀπὸ τοῦ ἐλπίζειν με ἐπὶ τὸν θεόν μου. Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου οἱ μισοῦντές με δωρεάν. Ἐκραταιώθησαν οἱ ἐχθροί μου, οἱ ἐκδιώκοντές με ἀδίκως. Ἃ οὐχ ἥρπαζον, τότε ἀπετίννυον.

Ὁ θεὸς σὺ ἔγνως τὴν ἀφροσύνην μου, καὶ αἱ πλημμέλειαί μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβησαν. Μὴ αἰσχυνθείησαν ἐπ' ἐμὲ οἱ ὑπομένοντές σε κύριε, κύριε τῶν δυνάμεων, μὴ δὲ ἐντραπείησαν ἐπ' ἐμὲ οἱ ζητοῦντές σε, ὁ θεὸς τοῦ ἰσραήλ. Ὅτι ἕνεκα σοῦ ὑπήνεγκα ὀνειδισμὸν, ἐκάλυψεν ἐντροπὴ τὸ πρόσωπόν μου. Ἀπηλλοτριωμένος ἐγενήθην τοῖς ἀδελφοῖς μου, καὶ ξένος τοῖς υἱοῖς τῆς μητρός μου. Ὅτι ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με, καὶ οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ. Καὶ συνεκάλυψα ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἐγενήθη εἰς ὀνειδισμοὺς ἐμοί. Καὶ ἐθέμην τὸ ἔνδυμά μου σάκκον, καὶ ἐγενόμην

αὐτοῖς

αὐτοῖς εἰς παραβολήν. Κατ' ἐμοῦ ἠδολέσχουν οἱ καθήμενοι ἐν πύλαις, καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες οἶνον.

Ἐγὼ δὲ τῇ προσευχῇ μου πρός σε, κύριε, καιρὸς εὐδοκίας. Ὁ θεὸς ἐν τῷ πλήθει τοῦ ἐλέους σου ἐπάκουσόν μου.

Ἐν ἀληθείᾳ τῆς σωτηρίας σου σῶσόν με, ἀπὸ πηλοῦ, ἵνα μὴ ἐμπαγῶ. Ῥυσθείην ἐκ τῶν μισούντων με, καὶ ἐκ τῶν βαθέων τῶν ὑδάτων. Μή με καταποντισάτω καταιγὶς ὕδατος, μηδὲ καταπιέτω με βυθός, μηδὲ συσχέτω ἐπ' ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ.

Εἰσάκουσόν μου κύριε, ὅτι χρηστὸν τὸ ἔλεός σου, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐπίβλεψον ἐπ' ἐμέ. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου, ὅτι θλίβομαι. Ταχὺ ἐπάκουσόν μου, πρόσχες τῇ ψυχῇ μου, καὶ λύτρωσαι αὐτήν. Ἕνεκα τῶν ἐχθρῶν μου ῥῦσαί με, σὺ γὰρ γινώσκεις τὸν ὀνειδισμόν μου, καὶ τὴν αἰσχύνην μου, καὶ τὴν ἐντροπήν μου. Ἐναντίον σου πάντες οἱ θλίβοντές με, ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου καὶ ταλαιπωρίαν. Καὶ ὑπέμεινα συλλυπούμενον, καὶ οὐχ ὑπῆρξε, καὶ παρακαλοῦντας, καὶ οὐχ εὗρον.

Καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος. Γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐτῶν εἰς παγίδα, καὶ εἰς ἀνταπόδοσιν καὶ εἰς σκάνδαλον. Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ

αὐτῶ

illis in prouerbiũ. Cõtra me lasciuiebant confidentes in portis, & in me canebant bibentes uinum.

Ego uero oratione mea ad te domine, tempus approbationis. Deus in multitudine misericordiæ tuę exaudi me. In ueritate salutis tuæ salua me à luto, ut non infigar. Liberer ab exosis me, & è profundis aquarum. Non me demergat procella aquæ, neque deglutiat me profundum, neq; cohibeat in me puteus os suum. Exaudi me dñe, quia proba misericordia tua, pro multitudine miserationum tuarum inspice in me. Ne auerteris cõspectũ tuũ à puero tuo, quia affligor. Cito exaudi me, attende animæ meæ, & libera eam. Propter inimicos meos libera me, tu enim cognoscis uituperationem meam & ignominiam meam & reuerentiam meam. Ex aduerso tui omnes affligentes me, uituperationem expectauit anima mea & miseria.

Et expectaui simul tristantẽ, & nõ extitit, & cõsolantes, & nõ inueni. Et dederunt in escam meam fel, & in sitim meam potauerunt me aceto. Fiat mensa eorum coram ipsis in laqueum & in redditionem & in offensionẽ. Obscurentur oculi

eorum,

populo suo. Benedictus deus.

In finem, pro mutandis Psalmus Dauid LXVIII.

Salua me deus, quoniã intrauerunt aquæ usq; ad animã meam. Infixus sum in limo profundi, & non est substantia. Veni in altitudinem maris, & procella demersit me. Laboraui clamãs, et raucuit guttur meum. Defecerũt oculi mei, dum spero in deũ meum. Multiplicati sunt super capillos capitis exosi me gratis. Roborati sunt inimici mei, persequẽtes me iniuste. Quę non rapui, tunc exoluebam.

Deus tu cognouisti insipientiam meam, & delicta mea à te non sunt abscondita. Ne ignominia afficiantur in me sustinentes te domine, domine potestatum, neq; uereantur in me quærentes te, deus Israel. Quia propter te sustinui uituperationem, texit reuerentia cõspectum meum. Abalienatus redditus sum fratribus meis, & pegrinus filijs matris meę. Quia ęmulatio domus tuę comedit me, & uituperationes uituperantium te inciderunt in me. Et contexi in ieiunio animam meam, & factum est in uituperationes mihi. Et posui uestimentum meum saccum, & factus sum

illis

λαῷ αὐτοῦ. Εὐλογητὸς ὁ θεός.

Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων ψαλμὸς τῷ Δαβὶδ ξη.

Σῶσόν με ὁ θεὸς, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου. Ἐνεπάγην εἰς ἰλὺν βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις. Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς κατεπόντισέ με. Ἐκοπίασα κράζων, ἐβραγχίασεν ὁ λάρυγξ μου. Ἐξέλιπον οἱ ὀφθαλμοί μου, ἀπὸ τοῦ ἐλπίζειν με ἐπὶ τὸν θεόν μου. Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου οἱ μισοῦντές με δωρεάν. Ἐκραταιώθησαν οἱ ἐχθροί μου, οἱ ἐκδιώκοντές με ἀδίκως. Ἃ οὐχ ἥρπαζον, τότε ἀπετίννυον.

Ὁ θεὸς σὺ ἔγνως τὴν ἀφροσύνην μου, καὶ αἱ πλημμέλειαί μου ἀπό σου οὐκ ἀπεκρύβησαν. Μὴ αἰσχυνθείησαν ἐπ' ἐμὲ οἱ ὑπομένοντές σε κύριε, κύριε τῶν δυνάμεων, μὴ δὲ ἐντραπείησαν ἐπ' ἐμοὶ οἱ ζητοῦντές σε, ὁ θεὸς τοῦ ἰσραήλ. Ὅτι ἕνεκά σου ὑπήνεγκα ὀνειδισμὸν, ἐκάλυψεν ἐντροπὴ τὸ πρόσωπόν μου. Ἀπηλλοτριωμένος ἐγενήθην τοῖς ἀδελφοῖς μου, καὶ ξένος τοῖς υἱοῖς τῆς μητρός μου. Ὅτι ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με, καὶ οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ. Καὶ συνεκάλυψα ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἐγενήθη εἰς ὀνειδισμοὺς ἐμοί. Καὶ ἐθέμην τὸ ἔνδυμά μου σάκκον, καὶ ἐγενόμην

αὐτοῖς

αὐτοῖς εἰς παραβολήν. Κατ᾽ ἐμοῦ ἠδολέσχουν οἱ καθήμενοι ἐν πύλαις, καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες οἶνον.

Ἐγὼ δὲ τῇ προσευχῇ μου πρός σε, κύριε, καιρὸς εὐδοκίας. Ὁ θεὸς ἐν τῷ πλήθει τοῦ ἐλέους σου ἐπάκουσόν μου.

Ἐν ἀληθείᾳ τῆς σωτηρίας σου σῶσόν με, ἀπὸ πηλοῦ, ἵνα μὴ ἐμπαγῶ. Ῥυσθείην ἐκ τῶν μισούντων με, καὶ ἐκ τῶν βαθέων τῶν ὑδάτων. Μή με καταποντισάτω καταιγὶς ὕδατος, μηδὲ καταπιέτω με βυθός, μηδὲ συσχέτω ἐπ᾽ ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ.

Εἰσάκουσόν μου κύριε, ὅτι χρηστὸν τὸ ἔλεός σου, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐπίβλεψον ἐπ᾽ ἐμέ. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου, ὅτι θλίβομαι. Ταχὺ ἐπάκουσόν μου, πρόσχες τῇ ψυχῇ μου, καὶ λύτρωσαι αὐτήν. Ἕνεκα τῶν ἐχθρῶν μου ῥῦσαί με, σὺ γὰρ γινώσκεις τὸν ὀνειδισμόν μου, καὶ τὴν αἰσχύνην μου, καὶ τὴν ἐντροπήν μου. Ἐναντίον σου πάντες οἱ θλίβοντές με, ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου καὶ ταλαιπωρίαν. Καὶ ὑπέμεινα συλλυπούμενον, καὶ οὐχ ὑπῆρξε, καὶ παρακαλοῦντας, καὶ οὐχ εὗρον.

Καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος. Γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐτῶν εἰς παγίδα, καὶ εἰς ἀνταπόδοσιν καὶ εἰς σκάνδαλον. Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ

αὐτῶν

illis in prouerbiū. Cōtra me lasciuiebant confidentes in portis, & in me canebant bibentes uinum.

Ego uero oratione mea ad te domine, tempus approbationis. Deus in multitudine misericordiæ tuę exaudi me. In ueritate salutis tuæ salua me à luto, ut non infigar. Liberer ab exosis me, & è profundis aquarum. Non me demergat procella aquæ, neque deglutiat me profundum, neq; cohibeat in me puteus os suum. Exaudi me dn̄e, quia proba misericordia tua, pro multitudine miserationum tuarum inspice in me. Ne auerteris cōspectū tuū à puero tuo, quia affligor. Cito exaudi me, attende animæ meæ, & libera eam. Propter inimicos meos libera me, tu enim cognoscis uituperationem meam & ignominiam meam & reuerentiam meam. Ex aduerso tui omnes affligentes me, uituperationem expectauit anima mea & miseria.

Et expectaui simul tristantē, & nō extitit, & cō solantes, & nō inueni. Et dederunt in escam meam fel, & in sitim meam potauerunt me aceto. Fiat mensa eorum coram ipsis in laqueum & in redditionem & in offensionē. Obscurentur oculi

eorum,

eorum, ne uideant, & dorsum eorum per omne tempus contorque. Effunde in eos iram tuam & furor iræ tuæ comprehendat eos. Fiat atrium eorum desertum, & in tabernaculis eorum non sit inhabitans. Quia quem tu percussisti, ipsi persequuti sunt, & ad dolorem uulnerum meorum addiderunt. Appone iniquitatem ad iniquitatẽ eorum, & ne ingrediantur in iustitia tua. Deleantur de libro uiuentium, & cum iustis non scribantur. Mendicus & algens sum ego, salus tua deus respiciat me. Laudabo nomen dei mei cum carmine, magnificabo eum in laudatione, & placebit deo super uitulum nouum, cornua efferentem & ungulas. Videant mendici, et gaudeant. Quærite deũ, & uiuet anima uestra.

Quia exaudiuit pauperes dominus, & uinctos suos non nihili fecit. Laudent illum cœli & terra, mare & omnia repentina in eo. Quia deus saluabit Sion, & ædificabuntur ciuitates Iudææ. Et inhabitabunt ibi, & hæreditate capient eam, & semen seruorum tuorum obtinebunt eam. Et amantes nomen tuum, inhabitabunt in ea.

In

αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διὰ παντὸς σύγκαμψον. Ἔκχεον ἐπ' αὐτοὺς τὴν ὀργήν σου, καὶ ὁ θυμὸς τῆς ὀργῆς σου καταλάβοι αὐτούς. Γενηθήτω ἡ ἔπαυλις αὐτῶν ἠρημωμένη, καὶ ἐν τοῖς σκηνώμασιν αὐτῶν μὴ ἔστω ὁ κατοικῶν. Ὅτι ὃν σὺ ἐπάταξας, αὐτοὶ κατεδίωξαν, καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προσέθηκαν. Πρόσθες ἀνομίαν ἐπὶ τῇ ἀνομίᾳ αὐτῶν, καὶ μὴ εἰσελθέτωσαν ἐν δικαιοσύνῃ σου. Ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων, καὶ μετὰ δικαίων μὴ γραφήτωσαν. Πτωχὸς καὶ ἀλγῶν εἰμι ἐγώ, ἡ σωτηρία σου ὁ θεὸς ἀντιλάβοιτό μου. Αἰνέσω τὸ ὄνομα τοῦ θεοῦ μου μετ' ᾠδῆς, μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει, καὶ ἀρέσει τῷ θεῷ ὑπὲρ μόσχον νέον, κέρατα ἐκφέροντα καὶ ὁπλάς. Ἰδέτωσαν πτωχοί, καὶ εὐφρανθήτωσαν. Ἐκζητήσατε τὸν θεόν, καὶ ζήσεται ἡ ψυχὴ ὑμῶν. Ὅτι εἰσήκουσε τῶν πενήτων ὁ κύριος, καὶ τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξουδένωσεν. Αἰνεσάτωσαν αὐτὸν οἱ οὐρανοὶ καὶ ἡ γῆ, θάλασσα καὶ πάντα τὰ ἕρποντα ἐν αὐτῇ. Ὅτι ὁ θεὸς σώσει τὴν Σιών, καὶ οἰκοδομηθήσονται αἱ πόλεις τῆς Ἰουδαίας. Καὶ κατοικήσουσιν ἐκεῖ, καὶ κληρονομήσουσιν αὐτήν, καὶ τὸ σπέρμα τῶν δούλων σου καθέξουσιν αὐτήν. Καὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου κατασκηνώσουσιν ἐν αὐτῇ.

Εἰς

Εἰς τὸ τέλος, τῷ Δαβὶδ εἰς ἀνάμνησιν εἰς τὸ σῶσαί με κύριον, ξθ.

Ο θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες, κύριε εἰς τὸ βοηθῆσαί μοι σπεῦσον. Αἰσχυνθήτωσαν, καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου. Αποστραφήτωσαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθήτωσαν οἱ βουλόμενοί μοι κακά. Αποστραφήτωσαν παραυτίκα αἰσχυνόμενοι, οἱ λέγοντές μοι, εὖγε εὖγε. Αγαλλιάσθωσαν, καὶ εὐφρανθήτωσαν ἐπί σοι πάντες οἱ ζητοῦντές σε, ὁ θεός. Καὶ λεγέτωσαν διὰ παντὸς, μεγαλυνθήτω ὁ κύριος, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου. Εγὼ δὲ πτωχός εἰμι καὶ πένης, ὁ θεὸς βοήθησόν μοι. Βοηθός μου καὶ ῥύστης μου εἶ σὺ, κύριε μὴ χρονίσῃς. Δόξα. κάθισμα θ.

Τῷ Δαβὶδ ψαλμὸς τῶν υἱῶν Ιωναδὰβ, καὶ τῶν πρώτως αἰχμαλωτισθέντων, ἀνεπίγραφος παρ' ἑβραίοις, ο.

Επί σοι κύριε ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα. Εν τῇ δικαιοσύνῃ σου ῥῦσαί με, καὶ ἐξελοῦ με. Κλῖνον πρός με τὸ οὖς σου, καὶ σῶσόν με. Γενοῦ μοι εἰς θεὸν ὑπερασπιστὴν, καὶ εἰς τόπον ὀχυρὸν τοῦ σῶσαί με. Οτι στερέωμά μου καὶ καταφυγή μου εἶ σύ. Ο θεός μου ῥῦσαί με ἐκ χειρὸς ἁμαρτωλοῦ, ἐκ χειρὸς παρανομοῦντος καὶ ἀδικοῦντος.

In finem, Dauid in cõmemoratioñe, ad saluandum me dominũ, LXIX.

Deus in auxilium meũ attende, domine ad auxiliandum mihi festina. Ignominia afficiantur, & reuereantur quærentes animã meam. Auertantur in posteriora, & ignominia afficiantur uolẽtes mihi mala. Auertantur statim ignominia affecti, dicentes mihi, Euge euge. Lętentur, & gaudeant in te omnes quærentes te, deus. Et dicant per omne tẽpus, Magnificetur dominus, amantes salutare tuum. Ego uero mendicus sum & pauper, deus auxiliare mihi. Auxiliator meus & liberator meus es tu, domine ne moreris. Gloria. Consessus nonus.

Dauid Psalmus filiorum Ionadab, & primo in captiuitatem ductorum, sine inscriptione apud Hebræos, LXX.

In te domine speraui, nõ ignominia afficiar in seculum. In iustitia tua libera me, & eripe me. Inclina ad me aurem tuam, & salua me. Esto mihi in deum defensorem, & in locum munitum, ad saluandum me. Quia confirmatio mea, & refugium meum es tu. Deus meus libera me de manu peccatoris, è manu inique agentis & iniuste agentis

tis. Quia tu es patientia mea domine, domine spes mea à iuuentute mea. In te innixus sum ab utero, de uentre matris meæ tu meus es protector. In te cantio mea per omne tempus, uelut mõstrum factus sum multis, & tu auxiliator meus fortis. Repleatur os meum laudatione, ut canam gloriam tuam, totam diem magnificentiam tuam. Ne abijcias me in tempore senectutis, cum defecerit robur meum, ne derelinquas me. Quia dixerunt inimici mei mihi, & custodientes animam meam consultarunt in hoc ipsum, dicentes, Deus dereliquit eum. Persequimini, & comprehendite eum, quia non est liberans. Deus meus ne longe sis à me, deus meus in auxilium meum attende. Ignominia afficiantur, & deficiant calumniantes animam meam.

Circumtegantur ignominia & reuerentia quærentes mala mihi. Ego aũt per omne tempus sperabo in te, & apponã ad omnẽ laudationem tuam.

Os meũ renũciabit iustitiã tuã, totam diẽ salutem tuam. Quia non cognoui negociatiões, introibo in potentia dñi. Domine memor ero iustitię tuę solius. Deus meus, quæ docuisti me

τος. Ὅτι σὺ εἶ ἡ ὑπομονή μου κύριε, κύριε ἡ ἐλπίς μου ἐκ νεότητός μου. Ἐπί σε ἐπεστηρίχθην ἀπὸ γαστρός, ἐκ κοιλίας μητρός μου σύ μου εἶ σκεπαστής. Ἐν σοὶ ἡ ὕμνησίς μου διὰ παντός, ὡσεὶ τέρας ἐγενήθην τοῖς πολλοῖς, καί συ βοηθός μου κραταιός. Πληρωθήτω τὸ στόμα μου αἰνέσεως, ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειαν σου. Μὴ ἀποῤῥίψῃς με εἰς καιρὸν γήρως, ἐν τῷ ἐκλείπειν τὴν ἰσχύν μου μὴ ἐγκαταλίπῃς με. Ὅτι εἶπον οἱ ἐχθροί μου ἐμοί, καὶ οἱ φυλάσσοντες τὴν ψυχήν μου ἐβουλεύσαντο ἐπὶ τὸ αὐτό, λέγοντες, ὁ θεὸς ἐγκατέλιπεν αὐτόν. Καταδιώξατε, καὶ καταλάβετε αὐτόν, ὅτι οὐκ ἔστιν ὁ ῥυόμενος. Ὁ θεός μου μὴ μακρύνῃς ἀπ᾽ ἐμοῦ, ὁ θεός μου εἰς τὴν βοήθειαν μου πρόσχες.

Αἰσχυνθήτωσαν, καὶ ἐκλιπέτωσαν οἱ ἐνδιαβάλλοντες τὴν ψυχήν μου. Περιβαλλέσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ ζητοῦντες τὰ κακά μοι. Ἐγὼ δὲ διὰ παντὸς ἐλπιῶ ἐπί σε, καὶ προσθήσω ἐπὶ πᾶσαν τὴν αἴνεσίν σου. Τὸ στόμα μου ἀναγγελεῖ τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὴν σωτηρίαν σου.

Ὅτι οὐκ ἔγνων πραγματείας, εἰσελεύσομαι ἐν δυναστείᾳ κυρίου. Κύριε μνησθήσομαι τῆς δικαιοσύνης σου μόνου. Ὁ θεός μου, ἃ ἐδίδαξάς με

με ἀπὸ νεότητός μου, καὶ μέχρι τοῦ νῦν ἀπαγγελῶ τὰ θαυμάσιά σου, καὶ ἕως γήρως καὶ πρεσβεῖον. Ὁ θεός μου μὴ ἐγκαταλίπῃς με, ἕως ἂν ἀπαγγελῶ τὸν βραχίονά σου τῇ γενεᾷ πάσῃ τῇ ἐρχομένῃ, τὴν δυναστείαν σου καὶ τὴν δικαιοσύνην σου, ὁ θεὸς ἕως τῶν ὑψίστων, ἃ ἐποίησάς μοι μεγαλεῖα. Ὁ θεὸς, τίς ὅμοιός σοι; Ὅσας ἔδειξάς μοι θλίψεις πολλὰς καὶ κακὰς, καὶ ἐπιστρέψας ἐζωοποίησάς με, ἐκ τῶν ἀβύσσων τῆς γῆς ἀνήγαγές με. Ἐπλεόνασας ἐπ' ἐμὲ τὴν μεγαλωσύνην σου, καὶ ἐπιστρέψας παρεκάλεσάς με. Καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με. Καὶ γὰρ ἐγὼ ἐξομολογήσομαί σοι ἐν λαοῖς, κύριε, ἐν σκεύεσι ψαλμοῦ τὴν ἀλήθειάν σου, ὁ θεός. Ψαλῶ σοι ἐν κιθάρᾳ, ὁ ἅγιος τοῦ ἰσραήλ. Ἀγαλλιάσονται τὰ χείλη μου, ὅταν ψάλω σοὶ, καὶ ἡ ψυχή μου, ἣν ἐλυτρώσω. Ἔτι δὲ καὶ ἡ γλῶσσά μου ὅλην τὴν ἡμέραν μελετήσει τὴν δικαιοσύνην σου, ὅταν αἰσχυνθῶσι, καὶ ἐντραπῶσιν οἱ ζητοῦντες τὰ κακά μοι.

Εἰς σολομὼν ψαλμὸς τῷ Δαβὶδ οά.

Ὁ θεὸς τὸ κρίμα σου τῷ βασιλεῖ δὸς καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως, κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ, καὶ τοὺς πτωχούς σου ἐν κρίσει. Ἀναλαβέτω τὰ ὄρη

εἰρήνην

me à iuuentute mea, et usque nunc pronunciabo mirabilia tua, & usq; in senectam & senium. Deus meus ne derelinquas me, donec annunciem brachium tuum progeniei omni uenienti, potentiam tuam & iustitiam tuam, deus usq; in altissima, quę fecisti mihi magnifica.

Deus quis similis tibi? Quantas ostendisti mihi afflictiones multas & malas, & conuertens uiuũ reddidisti me, & è profundis terrę reduxisti me. Multiplicasti erga me magnificentiam tuam, & cõuertens consolatus es me. Et è profundis terrę iterũ reduxisti me. Et em̃ cõfitebor tibi ĩ populis, dñe, in instrumentis cantici ueritatem tuam, deus. Canam tibi in cithara sanctus Israel. Lætabuntur labia mea, dum canam tibi, & anima mea, quam redemisti. Insuper autem & lingua mea tota die meditabitur iustitiam tuam, cum ignominia affecti fuerint, & reueriti fuerint quęrentes mala mihi.

In Solomon Psalmus David LXXXI.

Deus iudicium tuum regi da, & iustitiam tuam filio regis, ad iudicandum populum tuum in iustitia, & mendicos tuos in iudicio. Recipiant mõtes

pacem

pacem populo, & colles iuſtitiam. Iudicabit mendicos populi, & ſaluabit filios pauperum. Et deprimet calumniatorem, & permanebit cum ſole, & ante lunæ progeniem progenierum. Deſcendet ut pluuia in uellus, & ſicut ſtilla ſtillans in terram. Orietur in diebus eius iuſtitia, & multitudo pacis, donec auferatur luna. Et dominabitur à mari uſque ad mare, & à fluminibus uſque ad fines orbis terrarum. Coram illo procident Æthiopes, & inimici eius puluerem lingent. Reges Tharſeis & inſulæ munera afferent. Reges Arrhabum & Saba dona adducent.

Et adorabunt eum omnes reges terræ, omnes gentes ſeruient ei. Quia liberauit mendicum à potente, & pauperem, cui non extitit auxiliator. Parcet mendico & pauperi, & animas pauperum ſaluabit. E fœnore & ex iniuſtitia redimet animas eorum, & honeſtum nomen eius coram illis. Et uiuet, et dabitur ei ex auro Arrhabiæ, & adorabunt pro eo per omne tempus. Totam diem benedicent ei, erit confirmatio in terra, in ſummis montium. Efferetur ſuper

Libanum

εἰρήνην τῷ λαῷ, καὶ οἱ βουνοὶ δικαιοσύνην. Κρινεῖ τοὺς πτωχοὺς τοῦ λαοῦ, καὶ σώσει τοὺς υἱοὺς τῶν πενήτων. Καὶ ταπεινώσει συκοφάντην, καὶ συμπαραμενεῖ τῷ ἡλίῳ, καὶ πρὸ τῆς σελήνης γενεὰς γενεῶν. Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ὡσεὶ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν.

Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη, καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη. Καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμῶν ἕως περάτων τῆς οἰκουμένης. Ἐνώπιον αὐτοῦ προπεσοῦνται αἰθίοπες, καὶ οἱ ἐχθροὶ αὐτοῦ χοῦν λείξουσι. Βασιλεῖς θαρσεὶς καὶ νῆσοι δῶρα προσοίσουσι. Βασιλεῖς ἀῤῥάβων καὶ σαβᾶ δῶρα προσάξουσι. Καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς τῆς γῆς, πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ. Ὅτι ἐῤῥύσατο πτωχὸν ἐκ δυνάστου, καὶ πένητα, ᾧ οὐχ ὑπῆρχε βοηθός. Φείσεται πτωχοῦ καὶ πένητος, καὶ ψυχὰς πενήτων σώσει. Ἐκ τόκου καὶ ἐξ ἀδικίας λυτρώσεται τὰς ψυχὰς αὐτῶν, καὶ ἔντιμον τὸ ὄνομα αὐτοῦ ἐνώπιον αὐτῶν. Καὶ ζήσεται, καὶ δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου τῆς ἀῤῥαβίας, καὶ προσεύξονται περὶ αὐτοῦ διὰ παντός. Ὅλην τὴν ἡμέραν εὐλογήσουσιν αὐτόν, ἔσται στήριγμα ἐν τῇ γῇ, ἐπ' ἄκρων τῶν ὀρέων. Ὑπεραρθήσεται ὑπὲρ τὸν

λίβανον

λίβανον ὁ καρπὸς αὐτοῦ, καὶ ἐξανθήσουσιν ἐκ πόλεως ὡσεὶ χόρτος τῆς γῆς. Ἔσται τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας, πρὸ τοῦ ἡλίου διαμένει τὸ ὄνομα αὐτοῦ. Καὶ εὐλογηθήσονται ἐν αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, πάντα τὰ ἔθνη μακαριοῦσιν αὐτόν. Εὐλογητὸς κύριος, ὁ θεὸς τοῦ ἰσραὴλ, ὁ ποιῶν θαυμάσια μόνος. Καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης αὐτοῦ, εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Καὶ πληρωθήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ. Γένοιτο, γένοιτο. Δόξα.

Ἐξέλιπον οἱ ὕμνοι δαβὶδ υἱοῦ ἰεσσαὶ, ψαλμὸς τῷ Ἀσὰφ οβ.

Ὡς ἀγαθὸς ὁ θεὸς τῷ ἰσραὴλ τοῖς εὐθέσι τῇ καρδίᾳ. Ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες, παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου. Ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν θεωρῶν. Ὅτι οὐκ ἔστιν ἀνάνευσις ἐν τῷ θανάτῳ αὐτῶν, καὶ στερέωμα ἐν τῇ μάστιγι αὐτῶν. Ἐν κόποις ἀνθρώπων οὐκ εἰσὶ, καὶ μετὰ ἀνθρώπων οὐ μαστιγωθήσονται, διὰ τοῦτο ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφανία αὐτῶν εἰς τέλος. Περιεβάλοντο ἀδικίαν καὶ ἀσέβειαν ἑαυτῶν, ἐξελεύσεται ὡς ἐκ στόματος ἡ ἀδικία αὐτῶν. Διῆλθοσαν εἰς διάθεσιν καρδίας, διελογίσαντο, καὶ ἐλάλησαν ἐν πονηρίᾳ, ἀδικίαν εἰς τὸ ὕψος ἐλάλησαν. Ἔθεντο εἰς οὐρανὸν τὸ στόμα αὐτῶν

Libanum fructus eius, & efflorebũt è ciuitate sicut gramen terræ. Erit nomẽ eius benedictum in secula, ante solẽ permanet nomen eius. Et benedicẽtur in ipso omnes tribus terræ, omnes gentes beatum ferent eũ. Bened. ctus dominus, deus Israel, faciens mirabilia solus. Et benedictum nomen gloriæ eius in seculum, & in seculum seculi. Et replebitur gloria eius omnis terra. Fiat, fiat. Gloria.

Defecerunt cantus Dauid filii Iessai, Psalmus Asaph LXXII.

Quàm bonus deus Israel rectis corde. Mei autem penè commoti sunt pedes, pene effusi sunt gressus mei. Quia æmulatus sum in iniquis, pacem peccatorum uidens. Quia non est nutus in morte eorum, & confirmatio in flagello eorum. In laboribus hominum non sunt, & cum hominibus non flagellabuntur, propter hoc tenuit eos superbia eorum in finem. Circumtecti sunt iniquitate & impietate sua, egredietur ut ex ore iniquitas eorum. Transierunt in dispositionem cordis, cogitauerunt, et loquuti sunt in prauitate, iniquitatẽ in altitudinẽ loquuti sunt. Posuerũt in cœlũ os

suum, & lingua eorũ transiuit in terrâ. Propter hoc conuertet populus meus hic, & dies pleni inuenientur in eis. Et dixerunt, Quomodo cognouit Deus, & an est cognitio in altissimo? Ecce hi peccatores, & rectè agentes in seculum obtinuerunt diuitias. Et dixi, Ergo sine causa iustum reddidi cor meum, & laui inter innocentes manus meas. Et fui flagellatus totam diem, et castigatio mea in matutina. Si dicebã, denarrabo sic, ecce progeniei filiorũ tuorum non composuisti, & æstimabam cognoscere. Hoc labor est coram me, donec ingrediar in sacrarium dei, & intelligam in ultimis eorum. Verũ propter dolos eorum posuisti eis mala, deiecisti eos, cũ alleuarentur. Quomodo facti sunt in desertionem statim? Defecerunt, perierunt propter iniquitatem suam. Velut somnium excitati, dñe in ciuitate tua imaginẽ ipsorũ ad nihilũ rediges. Quia incẽsum est cor meũ, & renes mei mutati sunt. Et ego ad nihilũ redactus, & non cognoui. Brutus factus sum apud te, & ego omne tempus tecum. Tenuisti manum dexteram meam, & in consilio tuo per uiã deduxisti me, & cũ gloria accepisti me. q̃d enĩ mihi existit in coelo,

αὐτῶν, καὶ ἡ γλῶσσα αὐτῶν διῆλθον ἐπὶ τῆς γῆς. Διὰ τοῦτο ἐπιστρέψει ὁ λαός μου ἐνταῦθα, καὶ ἡμέραι πλήρεις εὑρεθήσονται ἐν αὐτοῖς. Καὶ εἶπον, πῶς ἔγνω ὁ θεός; καὶ εἰ ἔστι γνῶσις ἐν τῷ ὑψίστῳ; Ἰδοὺ οὗτοι οἱ ἁμαρτωλοί, καὶ εὐθηνοῦντες εἰς τὸν αἰῶνα κατέσχον πλούτου. Καὶ εἶπα, ἄρα ματαίως ἐδικαίωσα τὴν καρδίαν μου, καὶ ἐνιψάμην ἐν ἀθώοις τὰς χεῖράς μου. Καὶ ἐγενόμην μεμαστιγωμένος ὅλην τὴν ἡμέραν, καὶ ὁ ἔλεγχός μου εἰς τὰς πρωΐας. Εἰ ἔλεγον, διηγήσομαι οὕτως, ἰδοὺ τῇ γενεᾷ τῶν υἱῶν σου ἠσυνθέτηκας, καὶ ὑπέλαβον τοῦ γνῶναι. Τοῦτο κόπος ἐστὶν ἐνώπιόν μου, ἕως οὗ εἰσέλθω εἰς τὸ ἁγιαστήριον τοῦ θεοῦ, καὶ συνῶ εἰς τὰ ἔσχατα αὐτῶν. Πλὴν διὰ τὰς δολιότητας αὐτῶν ἔθου αὐτοῖς κακά, κατέβαλες αὐτοὺς ἐν τῷ ἐπαρθῆναι. Πῶς ἐγένοντο εἰς ἐρήμωσιν ἐξάπινα; Ἐξέλιπον, ἀπώλοντο διὰ τὴν ἀνομίαν αὐτῶν. Ὡσεὶ ἐνύπνιον ἐξεγειρομένου, κύριε, ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξουδενώσεις. Ὅτι ἐξεκαύθη ἡ καρδία μου, καὶ οἱ νεφροί μου ἠλλοιώθησαν. Κἀγὼ ἐξουδενωμένος, καὶ οὐκ ἔγνων. Κτηνώδης ἐγενήθην παρά σοι, κἀγὼ διὰ παντὸς μετὰ σοῦ. Ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου, καὶ ἐν τῇ βουλῇ σου ὡδήγησάς με, καὶ μετὰ δόξης προσελάβου με. Τί γάρ μοι ὑπάρχει ἐν

τῷ οὐρανῷ, καὶ παρὰ σοῦ τί ἠθέλησα
ἐπὶ τῆς γῆς; Ἐξέλιπεν ἡ καρδία
μου καὶ ἡ σάρξ μου, ὁ θεὸς τῆς καρ-
δίας μου, καὶ ἡ μερίς μου, ὁ θεός
μου εἰς τὸν αἰῶνα. Ὅτι ἰδοὺ οἱ μα-
κρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦν-
ται. Ἐξωλόθρευσας πάντα τὸν πορ-
νεύοντα ἀπὸ σοῦ. Ἐμοὶ δὲ τὸ προ-
σκολλᾶσθαι τῷ θεῷ ἀγαθόν ἐστι, τίθε-
σθαι ἐν τῷ κυρίῳ τὴν ἐλπίδα μου, τοῦ
ἐξαγγεῖλαί με πάσας τὰς αἰνέσεις
σου, ἐν ταῖς πύλαις τῆς θυγατρὸς σιών.

coelo, & à te quid uolui
in terra? Defecit cor meū
& caro mea, deus cordis
mei, & pars mea, deus me
us in seculum. Quia ecce
longe amouentes seipsos
à te, peribunt. Perdidisti
omnem scortantem à te.
Mihi autē adhærere deo
bonum est, ponere in do-
mino spem meam, ut enun
ciem omnes laudationes
tuas, in portis filiæ Sion.

Συνέσεως τῷ ἀσάφ ογ.

Intellectus Asaph
LXXIII.

Ἱνατί ὁ θεὸς ἀπώσω εἰς τέλος,
ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νο-
μῆς σου; Μνήσθητι τῆς συναγωγῆς
σου, ἧς ἐκτήσω ἀπ' ἀρχῆς, ἐλυτρώ-
σω ῥάβδον κληρονομίας σου. Ὄρος
σιὼν τοῦτο, ὃ κατεσκήνωσας ἐν αὐ-
τῷ, ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς
ὑπερηφανίας αὐτῶν, εἰς τέλος.
Ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τῷ ἁ-
γίῳ σου, καὶ ἐνεκαυχήσαντο οἱ μι-
σοῦντές σε, ἐν μέσῳ τῆς ἑορτῆς σου.
Ἔθεντο τὰ σημεῖα αὐτῶν σημεῖα,
καὶ οὐκ ἔγνωσαν, ὡς εἰς τὴν ἔξοδον
ὑπεράνω. Ὡς ἐν δρυμῷ ξύλων, ἀ-
ξίναις ἐξέκοψαν τὰς θύρας αὐτῆς
ἐπὶ τὸ αὐτὸ, ἐν πελέκει καὶ λαξευ-
τηρίῳ κατέῤῥαξαν αὐτήν. Ἐνεπύ-
ρισαν ἐν πυρὶ τὸ ἁγιαστήριόν σου.
Εἰς τὴν γῆν ἐβεβήλωσαν τὸ σκή-
νωμα τοῦ ὀνόματός σου. Εἶπον
ἐν τῇ καρδίᾳ αὐτῶν αἱ συγγένειαι
αὐτῶν

Quare Deus amouisti
in finem, iratus est furor tu
us in oues pascuæ tuæ?
Memor sis congregatio-
nis tuæ, quam possedisti
ab initio, redemisti uirgā
hæreditatis tuæ. Mons Si
on hoc, qđ inhabitasti in
eo, attolle manus tuas in su
perbias eorum, in finem.
Quanta malignè egit ho-
stis in sancto tuo, & gloria
ti sunt exosi te; in medio
celebritatis tuæ. Posue-
runt signa sua signa, & nō
cognouerunt, ut in exitu
supra. Vt in sylua ligno-
rum, securibus exciderunt
ianuas eius in hoc ipsum,
in securi & ascia confre-
gerunt eam. Incenderunt
in igne sacrariū tuum. In
terram temerārunt taber-
naculū nominis tui. Dixe
rūt ĩ corde suo cognatiões
L l 4 eorum

eorum in hoc ipsum, Agite, & quiescere faciamus omnes dies festos dei à terra. Signa eorum non uidimus, non est amplius uates, & nos non cognoscet amplius. Vsq; quo deus uituperabit inimicus, exacuet aduersarius nomen tuũ in finẽ? Quare auertis manum tuam et dexteram tuam, è medio sinu tuo in finem? Deus autem rex nõster ante seculum operatus est salutẽ in medio terræ. Tu obtinuisti in potentia tua mare, tu contriuisti capita draconum in aqua. Tu confregisti caput draconis, dedisti eum escam populis Aethiopibus. Tu disrupisti fontes & torrentes, tu exsiccasti fluuios Etham. Tuus est dies, & tua est nox, tu compegisti lucem & solem. Tu fecisti omnia pulchra terræ, æstatẽ & uer, tu formasti ea, memor sis huius. Inimicus uituperauit Dominũ, et populus insipiens exacuit nomen tuum. Ne tradas bestiis animam confitentem tibi, animas pauperum tuorum ne obliuiscaris in finem. Inspice in testamentum tuum, quia repleti sunt obscurati terræ domibus iniquitatũ. Ne auertatur oppressus, ignominia affectus, mendicus & pauper laudabunt nomen tuum:

αὐτῶν ἐπὶ τὸ αὐτό, Δεῦτε, καὶ καταπαύσωμεν πάσας τὰς ἑορτὰς τοῦ θεοῦ ἀπὸ τῆς γῆς. Τὰ σημεῖα αὐτῶν οὐκ εἴδομεν, οὐκ ἔστιν ἔτι προφήτης, καὶ ἡμᾶς οὐ γνώσεται ἔτι. Ἕως πότε ὁ θεὸς ὀνειδιεῖ ὁ ἐχθρὸς, παροξυνεῖ ὁ ὑπεναντίος τὸ ὄνομά σου εἰς τέλος; Ἵνα τί ἀποστρέφεις τὴν χεῖρά σου καὶ τὴν δεξιάν σου, ἐκ μέσου τοῦ κόλπου σου εἰς τέλος; Ὁ δὲ θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰῶνος εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς. Σὺ ἐκραταίωσας ἐν τῇ δυνάμει σου τὴν θάλασσαν, σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος. Σὺ συνέθλασας τὴν κεφαλὴν τοῦ δράκοντος, ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς αἰθίοψι. Σὺ διέῤῥηξας πηγὰς καὶ χειμάῤῥους, σὺ ἐξήρανας ποταμοὺς ἠθάμ. Σή ἐστιν ἡ ἡμέρα, καὶ σή ἐστιν ἡ νύξ, σὺ κατηρτίσω φαῦσιν καὶ ἥλιον. Σὺ ἐποίησας πάντα τὰ ὡραῖα τῆς γῆς, θέρος καὶ ἔαρ, σὺ ἔπλασας αὐτά, μνήσθητι ταύτης. Ἐχθρὸς ὠνείδισε τὸν κύριον, καὶ λαὸς ἄφρων παρώξυνε τὸ ὄνομά σου. Μὴ παραδῷς τοῖς θηρίοις ψυχὴν ἐξομολογουμένην σοί, τῶν ψυχῶν τῶν πενήτων σου μὴ ἐπιλάθῃ εἰς τέλος. Ἐπίβλεψον εἰς τὴν διαθήκην σου, ὅτι ἐπληρώθησαν οἱ ἐσκοτισμένοι τῆς γῆς οἴκων ἀνομιῶν. Μὴ ἀποστραφήτω τεταπεινωμένος, κατῃσχυμμένος, πτωχὸς καὶ πένης αἰνέσουσι τὸ ὄνομά σου.

σου. Ἀνάστα ὁ θεὸς, δίκασον τὴν δί-
κην σου, μνήσθητι τοῦ ὀνειδισμοῦ σου
τοῦ ὑπὸ ἄφρονος, ὅλην τὴν ἡμέραν.
Μὴ ἐπιλάθῃ τῆς φωνῆς τῶν οἰκετῶν
σου, ἡ ὑπερηφανία τῶν μισούντων σε ἀ-
νέβη διαπαντός. Δόξα.

Εἰς τὸ τέλος, μὴ διαφθείρῃς, ψαλ-
μὸς ᾠδῆς τῷ ἀσάφ, οδ.

Ἐξομολογησόμεθά σοι ὁ θεὸς, ἐξο-
μολογησόμεθά σοι, καὶ ἐπικαλεσόμε-
θα τὸ ὄνομά σου. Διηγήσομαι πάν-
τα τὰ θαυμάσιά σου, ὅταν λάβω και-
ρὸν, ἐγὼ εὐθύτητα κρινῶ. Ἐτάκη ἡ
γῆ, καὶ πάντες οἱ κατοικοῦντες ἐν
αὐτῇ. Διάψαλμα. Ἐγὼ ἐστερέω-
σα τοὺς στύλους αὐτῆς. Εἶπα τοῖς πα-
ρανόμοις, μὴ παρανομεῖτε, καὶ τοῖς ἁ-
μαρτάνουσι, μὴ ὑψοῦτε κέρας, μὴ ἐ-
παίρετε εἰς ὕψος τὸ κέρας ὑμῶν, καὶ
μὴ λαλεῖτε κατὰ τοῦ θεοῦ ἀδικίαν.
Ὅτι οὔτε ἀπὸ ἐξόδων, οὔτε ἀπὸ δυσμῶν,
οὔτε ἀπὸ ἐρήμων ὀρέων, ὅτι ὁ θεὸς
κριτής ἐστι, τοῦτον ταπεινοῖ, καὶ τοῦ-
τον ὑψοῖ, ὅτι ποτήριον ἐν χειρὶ κυ-
ρίου, οἴνου ἀκράτου πλῆρες κεράσμα-
τος, καὶ ἔκλινεν ἐκ τούτου εἰς τοῦτο,
πλὴν ὁ τρυγίας αὐτοῦ οὐκ ἐξεκενώ-
θη. Πίονται πάντες οἱ ἁμαρτωλοὶ
τῆς γῆς, ἐγὼ δὲ ἀγαλλιάσομαι εἰς τὸν
αἰῶνα, ψαλῶ τῷ θεῷ ἰακώβ. Καὶ
πάντα τὰ κέρατα τῶν ἁμαρτωλῶν
συνθλάσω, καὶ ὑψωθήσεται τὸ κέρας τοῦ
δικαίου.

Εἰς

tuum. Surge deus, iudica
causam tuam, memor es
uituperii tui ab insipiẽte,
totam diem. Ne obliuisca
ris domesticorum tuorũ,
superbia exosorum te ascẽ
dit per omne templus.
Gloria.

In finẽ, Ne disperdas, Psal
mus carminis Asaph,
LXXIIII.

Confitebimur tibi, deus,
confitebimur tibi, et inuo
cabimus nomen tuũ. De-
narrabo omnia mirabilia
tua, cũ accepero tempus,
ego rectitudinẽ iudicabo.
Tabuit terra & omnes in
habitantes in ea. Diapsal
ma. Ego firmaui colum-
nas eius. Dixi iniquè agẽ-
tibus, Nõ inique agite, et
peccãtibus, Non erigite
cornu, nõ attollite in altu-
tudine cornu uestrũ, et nõ
loquimini cõtra deũ ini-
quitatẽ. Quia neq; ab ori
ente, neq; ab occidẽte, ne-
que à desertis mõtib⁹, quia
deus iudex est, hũc depri
mit, & hunc effert. Quia
poculum in manu domi-
ni, uini meri plenus mixti
one, & inclinauit ex hoc
in hoc, sed fex eius non
euacuata est. Bibent om-
nes peccatores terræ, ego
autem lætabor in seculũ,
canam deo Iacob. Et om
nia cornua peccatorũ cõ-
fringam, & exaltabitur
cornu iusti.

In finem, in canticis Psalmus Asaph, carmen ad Assyrium LXXV.

Notus in Iudæa deus, in Israel magnum nomen eius. Et fuit in pace locus eius, & habitatio eius in Sion. Ibi contriuit robora arcuum, arma & gladium & bellum. Illuminas tu mirabiliter à montibus æternis, turbati sunt omnes insipientes corde. Dormierunt somnum suum, et non inuenerunt quicquã omnes uiri diuitiarum in manibus suis. Ab increpatione tua, deus Iacob, dormitauerunt conscendẽtes equos. Tu terribilis es, & quis resistet tibi? Exinde ira tua, è cœlo auditum fecisti iudicium. Terra territa est, & quieuit, cum resurgeret in iudicium deus, ad saluandum omnes mansuetos terræ. Diapsalma. Quia cogitatio hominis confitebitur tibi, & reliquiæ cogitationis diem festum agent tibi. Vouete, & reddite domino deo nostro, omnes in circuitu eius ferent munera terribili & auferenti spiritus principum, terribili apud reges terræ.

In finem, pro Idithũ Psalmus Asaph, LXXVI.

Inf.143 Voce mea ad dñm clamaui, uoce mea ad deũ, et atten-

Εἰς τὸ τέλος, ἐν ὕμνοις ψαλμὸς τῷ ἀσάφ, ᾠδὴ πρὸς τὸν ἀσσύριον οε.

Γνωστὸς ἐν τῇ ἰουδαίᾳ ὁ θεὸς, ἐν τῷ ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ. Καὶ ἐγενήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ, καὶ τὸ κατοικητήριον αὐτοῦ ἐν σιών. Ἐκεῖ συνέτριψε τὰ κράτη τῶν τόξων, ὅπλον καὶ ῥομφαίαν καὶ πόλεμον. Φωτίζεις σὺ θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων, ἐταράχθησαν πάντες οἱ ἀσύνετοι τῇ καρδίᾳ. Ὕπνωσαν ὕπνον αὐτῶν, καὶ οὐχ εὗρον οὐδὲν πάντες οἱ ἄνδρες τοῦ πλούτου ταῖς χερσὶν αὐτῶν. Ἀπὸ ἐπιτιμήσεώς σου, ὁ θεὸς ἰακώβ, ἐνύσταξαν οἱ ἐπιβεβηκότες τοῖς ἵπποις. Σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι; Ἀπὸ τότε ἡ ὀργή σου, ἐκ τοῦ οὐρανοῦ ἠκούτισας κρίσιν. Γῆ ἐφοβήθη, καὶ ἡσύχασεν ἐν τῷ ἀναστῆναι εἰς κρίσιν τὸν θεὸν, τοῦ σῶσαι πάντας τοὺς πραεῖς τῆς γῆς. Διάψαλμα. Ὅτι ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι, καὶ ἐγκατάλειμμα ἐνθυμίου ἑορτάσει σοί. Εὔξασθε, καὶ ἀπόδοτε κυρίῳ τῷ θεῷ ἡμῶν, πάντες οἱ κύκλῳ αὐτοῦ οἴσουσι δῶρα τῷ φοβερῷ καὶ ἀφαιρουμένῳ πνεύματα ἀρχόντων, φοβερῷ παρὰ τοῖς βασιλεῦσι τῆς γῆς.

Εἰς τὸ τέλος, ὑπὲρ ἰδιθοὺμ ψαλμὸς τῷ ἀσάφ, ος.

Φωνῇ μου πρὸς κύριον ἐκέκραξα, φωνῇ μου πρὸς τὸν θεὸν, καὶ προ-

προσέσχέ μοι. Ἐν ἡμέρᾳ θλίψεώς μου τὸν θεὸν ἐξεζήτησα, ταῖς χερσί μου νυκτὸς ἐναντίον αὐτοῦ, καὶ οὐκ ἠπατήθην. Ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου, ἐμνήσθην τοῦ θεοῦ, καὶ ηὐφράνθην. Ἠδολέσχησα, καὶ ὠλιγοψύχησε τὸ πνεῦμά μου. Διάψαλμα. Προκατελάβοντο φυλακὰς οἱ ὀφθαλμοί μου. Ἐταράχθην, καὶ οὐκ ἐλάλησα. Διελογισάμην ἡμέρας ἀρχαίας, καὶ ἔτη αἰώνια ἐμνήσθην, καὶ ἐμελέτησα. Νυκτὸς μετὰ τῆς καρδίας μου ἠδολέσχουν, καὶ ἔσκαλλε τὸ πνεῦμά μου. Μὴ εἰς τοὺς αἰῶνας ἀπώσεται κύριος, καὶ οὐ προσθήσει τοῦ εὐδοκῆσαι ἔτι, ἢ εἰς τέλος τὸ ἔλεος αὐτοῦ ἀποκόψει; Συνετέλεσε ῥῆμα ἀπὸ γενεᾶς εἰς γενεάν. Μὴ ἐπιλήσεται τοῦ οἰκτειρῆσαι ὁ θεὸς, ἢ συνέξει ἐν τῇ ὀργῇ αὐτοῦ τοὺς οἰκτιρμοὺς αὐτοῦ; Διάψαλμα. Καὶ εἶπα, νῦν ἠρξάμην, αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου, ἐμνήσθην τῶν ἔργων κυρίου. Ὅτι μνησθήσομαι ἀπὸ τῆς ἀρχῆς τῶν θαυμασίων σου, καὶ μελετήσω ἐν πᾶσι τοῖς ἔργοις σου, καὶ ἐν τοῖς ἐπιτηδεύμασί σου ἀδολεσχήσω. Ὁ θεὸς, ἐν τῷ ἁγίῳ ἡ ὁδός σου. Τίς θεὸς μέγας, ὡς ὁ θεὸς ἡμῶν; Σὺ εἶ ὁ θεὸς ὁ ποιῶν θαυμάσια. Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου, ἐλυτρώσω ἐν τῷ βραχίονί σου τὸν λαόν σου, τοὺς υἱοὺς Ἰακὼβ

καὶ

attendit mihi. In die afflictionis meæ deum exquisiui manibus meis nocte, corã eo, & non deceptus sum. Renuit consolationẽ anima mea, memini dei, et gauisus sum. Exercitatus sum, & exanimis fuit spiritus meus. Diapsalma. Præoccupauerunt custodias oculi mei. Turbatus sum, & nõ sum loquutus. Cogitaui dies antiquos, & annos æternos memoria repetiui, & meditatus sum. Nocte cum corde meo exercitabar, et scopebat spiritus meus. Num in secula amouebit dominus, & non apponet comprobare adhuc, aut in finem misericordiam suam abscindet? Consummauit uerbum à progenie in progeniem. Num obliuiscetur misereri deus, aut continebit in ira sua misericordias suas? Diapsalma. Et dixi, Nunc coepi, hæc mutatio dexteræ altissimi, memini operum domini. Quia memor ero ab initio mirabilium tuorum, & meditabor in omnibus operibus tuis, & in studiis tuis occupatus ero. Deus, in sancto uia tua. Quis deus magnus, ut deus noster? Tu es deus faciens mirabilia. Notam fecisti populis potentiã tuã, te demisti in brachio tuo populum tuum, filios Iacob

 &

& Ioseph. Viderunt te aquæ deus, uiderũt te aquę, & territæ sunt. Turbati sunt abysi, multitudo soni aquarum, uocem dederunt nubes. Et enim sagittæ tuæ transeunt, uox tonitrui tui in rota. Illuxerunt fulgura tua terræ habitabili, mota est, et tremore cõcussa est terra. In mari uiæ tuæ & semitæ tuæ in aquis multis, & uestigia tua non cognoscẽtur. Per manum deduxisti ut oues populum tuum, in manu Moysi & Aarõ. Gloria. Consessus decimus.

HARMONIAE SAcræ mellifluí cantus Dauid, intellectus Asaph. LXXVII.



ATtendite popl'e meus legem meam, inclinate aurẽ uestrã in uerba oris mei. Aperiam in prouerbiis os meũ, (Matth.13) loquar propositiones ab initio, quanta audiuimus, & cognouimus ea, & patres nostri denarrauerunt nobis, non sunt abscondita à liberis eorum in progeniem alteram. Renunciantes laudationes Domini & potestates eius, & mirabilia eius, quæ fecit, & cõstituit testimoniũ in Iacob, & legẽ posuit in Israel. Qui ita pręcepit patrib. nostris

καὶ ἐσείσθη. Εἴδοσάν σε ὕδατα ὁ θεὸς, εἴδοσάν σε ὕδατα, καὶ ἐφοβήθησαν. Ἐταράχθησαν ἄβυσσοι, πλῆθος ἤχους ὑδάτων, φωνὴν ἔδωκαν αἱ νεφέλαι. Καὶ γὰρ τὰ βέλη σου διαπορεύονται, φωνὴ τῆς βροντῆς σου ἐν τῷ τροχῷ. Ἔφαναν αἱ ἀστραπαί σου τῇ οἰκουμένῃ, ἐσαλεύθη, καὶ ἔντρομος ἐγενήθη ἡ γῆ. Ἐν τῇ θαλάσσῃ αἱ ὁδοί σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς, καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται. Ὡδήγησας ὡς πρόβατα τὸν λαόν σου, ἐν χειρὶ μωυσῆ καὶ ἀαρών. Δόξα. κάθισμα ι.

ΑΡΜΟΝΙΗΣ ΙΕΡΗΣ ΜΕλιήδεα ᾄσματα Δαβίδ, συνέσεως τῷ ἀσάφ, οζ.



ΠΡοσέχετε λαός μου τῷ νόμῳ μου, κλίνατε τὸ οὖς ὑμῶν εἰς τὰ ῥήματα τοῦ στόματός μου. Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου, φθέγξομαι προβλήματα ἀπ᾽ ἀρχῆς, ὅσα ἠκούσαμεν, καὶ ἔγνωμεν αὐτὰ, καὶ οἱ πατέρες ἡμῶν διηγήσαντο ἡμῖν, οὐκ ἐκρύβη ἀπὸ τῶν τέκνων αὐτῶν εἰς γενεὰν ἑτέραν. Ἀπαγγέλλοντες τὰς αἰνέσεις τοῦ κυρίου καὶ τὰς δυναστείας αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ, ἃ ἐποίησε, καὶ ἀνέστησε μαρτύριον ἐν ἰακώβ, καὶ νόμον ἔθετο ἐν ἰσραήλ. Ὅσα ἐνετείλατο τοῖς πατράσιν ἡμῶν,

ἡμῶν, τοῦ γνωρίσαι αὐτὰ τοῖς υἱοῖς αὐτῶν, ὅπως ἂν γνῷ γενεὰ ἑτέρα, υἱοὶ τεχθησόμενοι, καὶ ἀναστήσονται; καὶ ἀπαγγελοῦσιν αὐτὰ τοῖς υἱοῖς αὐτῶν. Ἵνα θῶνται ἐπὶ τὸν θεὸν τὴν ἐλπίδα αὐτῶν, καὶ μὴ ἐπιλάθωνται τῶν ἔργων τοῦ θεοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ ἐκζητήσωσιν. Ἵνα μὴ γένωνται ὡς οἱ πατέρες αὐτῶν, γενεὰ σκολιὰ καὶ παραπικραίνουσα, γενεὰ ἥτις οὐ κατεύθυνε τὴν καρδίαν αὐτῆς, καὶ οὐκ ἐπιστώθη μετὰ τοῦ θεοῦ τὸ πνεῦμα αὐτῆς. Υἱοὶ Ἐφραὶμ ἐντείνοντες καὶ βάλλοντες τόξοις, ἐστράφησαν ἐν ἡμέρᾳ πολέμου. Οὐκ ἐφύλαξαν τὴν διαθήκην τοῦ θεοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ οὐκ ἐβουλήθησαν πορεύεσθαι. Καὶ ἐπελάθοντο τῶν εὐεργεσιῶν αὐτοῦ καὶ τῶν θαυμασίων αὐτοῦ, ὧν ἔδειξεν αὐτοῖς, ἐναντίον τῶν πατέρων αὐτῶν ἃ ἐποίησε θαυμάσια, ἐν γῇ Αἰγύπτῳ, ἐν πεδίῳ Τάνεως. Διέρρηξε θάλασσαν, καὶ διήγαγεν αὐτούς, παρέστησεν ὕδατα ὡσεὶ ἀσκόν. Καὶ ὡδήγησεν αὐτοὺς ἐν νεφέλῃ ἡμέρας, καὶ ὅλην τὴν νύκτα ἐν φωτισμῷ πυρός.

Διέρρηξε πέτραν ἐν ἐρήμῳ, καὶ ἐπότισεν αὐτοὺς ὡς ἐν ἀβύσσῳ πολλῇ. Καὶ ἐξήγαγεν ὕδωρ ἐκ πέτρας, καὶ κατήγαγεν ὡς ποταμοὺς ὕδατα, καὶ προσέθεντο ἔτι τοῦ ἁμαρτάνειν αὐτῷ. Παρεπίκραναν τὸν ὕψιστον ἐν ἀνύδρῳ, καὶ ἐξεπείρασαν τὸν

nostris, ut patefaceret ea filiis suis, ut cognoscat progenies altera, filii nascituri, & surgent, & renunciabunt ea filiis suis. Vt ponant in deo spem suam, & non obliuiscantur operum dei, & praecepta eius exquirant. Vt non fiant ut patres eorum, progenies proterua et exacerbãs, progenies quae non direxit cor suum, & non est creditus cum deo spiritus eius. Filii Ephraim intendentes & iaculantes arcubus, uersi sunt in die belli. Non custodierunt testamentum dei, & in lege eius noluerunt ambulare. Et obliti sunt benefi- Exo. 7
ciorum eius & mirabilium eius, quae ostendit eis, coram patribus eorum quae fecit mirabilia, in terra Aegypto, in campo Taneos. Perrupit mare, & Ibid. 14
traduxit eos, constituit aquas quasi utrem. Et per Ibid. 17
uiam deduxit eos in nube diei, & totam noctem in illuminatione ignis. Perrupit petram in deserto, & potauit eos ut in abysso multa. Et eduxit aquam è petra, & deduxit ut flumina aquas, & apposuerunt adhuc peccare ei. Exacerbarunt altissimum in loco aquis carente, & pertentauerunt deum

deum in cordibus suis, petendo escas animabus suis. Et obloquuti sunt deo, & dixerunt. Num poterit deus parare mensam in deserto? Quoniam percussit petram, & fluxerũt aquæ, & torrentes diffusi sunt.

Num & panem potest dare, aut parare mensam populo suo? Propter hoc audiuit dominus, & distulit, & ignis accensus est in Iacob, & ira ascendit in Israel, quia non crediderunt in deo, nec sperauerunt in salutari eius. Et præcepit nubibus superne, & ia
Exod. 16 nuas coeli aperuit. Et pluit
Sap. 16 illis manna ad manducã-
Ioan. 6 dum, & panem coeli dedit eis. Panem angelorum manducauit homo, cibatum dimisit eis in abũdantiam. Abstulit Austrum
Num. 11 de coelo, & induxit in potentia sua Liba. Et pluit super eos sicut puluerem, carnes, & sicut arenã maris, uolatilia pennata, & inciderũt in medio castrorũ eorũ, in circuitu tabernaculorũ eorum. Et manducauerunt, & impleti sunt ualde, & desiderium eorum tulit eis, nõ sunt priuati à desiderio suo. Adhuc esca existente in ore ipsorũ, & ira dei ascẽdit in eos.

τὸν θεὸν ἐν ταῖς καρδίαις αὐτῶν, τοῦ αἰτῆσαι βρώματα ταῖς ψυχαῖς αὐτῶν. Καὶ κατελάλησαν τοῦ θεοῦ, καὶ εἶπον, Μὴ δυνήσεται ὁ θεὸς ἑτοιμάσαι τράπεζαν ἐν ἐρήμῳ; Ἐπεὶ ἐπάταξε πέτραν, καὶ ἐῤῥύησαν ὕδατα, καὶ χείμαῤῥοι κατεκλύσθησαν. Μὴ καὶ ἄρτον δύναται δοῦναι, ἢ ἑτοιμάσαι τράπεζαν τῷ λαῷ αὐτοῦ; Διὰ τοῦτο ἤκουσε κύριος, καὶ ἀνεβάλετο, καὶ πῦρ ἀνήφθη ἐν ἰακὼβ, καὶ ὀργὴ ἀνέβη ἐπὶ τὸν ἰσραὴλ, ὅτι οὐκ ἐπίστευσαν ἐν τῷ θεῷ, οὐδὲ ἤλπισαν ἐπὶ τὸ σωτήριον αὐτοῦ. Καὶ ἐνετείλατο νεφέλαις ὑπεράνωθεν, καὶ θύρας οὐρανοῦ ἀνέῳξε. Καὶ ἔβρεξεν αὐτοῖς μάννα φαγεῖν, καὶ ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς. Ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος· ἐπισιτισμὸν ἀπέστειλεν αὐτοῖς εἰς πλησμονήν.

Ἀπῆρεν νότον ἐξ οὐρανοῦ, καὶ ἐπήγαγεν ἐν τῇ δυνάμει αὐτοῦ λίβα. Καὶ ἔβρεξεν ἐπ' αὐτοὺς ὡσεὶ χοῦν σάρκας, καὶ ὡσεὶ ἄμμον θαλασσῶν, πετεινὰ πτερωτά, καὶ ἐπέπεσον ἐν μέσῳ τῆς παρεμβολῆς αὐτῶν, κύκλῳ τῶν σκηνωμάτων αὐτῶν. Καὶ ἔφαγον, καὶ ἐνεπλήσθησαν σφόδρα, καὶ τὴν ἐπιθυμίαν αὐτῶν ἤνεγκεν αὐτοῖς, οὐκ ἐστερήθησαν ἀπὸ τῆς ἐπιθυμίας αὐτῶν. Ἔτι τῆς βρώσεως οὔσης ἐν τῷ στόματι αὐτῶν, καὶ ὀργὴ τοῦ θεοῦ ἀνέβη ἐπ' αὐτούς.

αὐτοὺς. Καὶ ἀπέκτεινεν ἐν τοῖς πλείοσιν αὐτῶν, καὶ τοὺς ἐκλεκτοὺς τοῦ ἰσραὴλ συνεπόδισεν. Ἐν πᾶσι τούτοις ἥμαρτον ἔτι, καὶ οὐκ ἐπίστευσαν ἐν τοῖς θαυμασίοις αὐτοῦ. Καὶ ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι αὐτῶν, καὶ τὰ ἔτη αὐτῶν μετὰ σπουδῆς. Ὅταν ἀπέκτεινεν αὐτοὺς, τότε ἐξεζήτουν αὐτὸν, καὶ ἐπέστρεφον, καὶ ὤρθριζον πρὸς τὸν θεόν. Καὶ ἐμνήσθησαν, ὅτι ὁ θεὸς βοηθὸς αὐτῶν ἐστι, καὶ ὁ θεὸς ὁ ὕψιστος λυτρωτὴς αὐτῶν ἐστι. Καὶ ἠγάπησαν αὐτὸν ἐν τῷ στόματι αὐτῶν, καὶ τῇ γλώσσῃ αὐτῶν ἐψεύσαντο αὐτῷ. Ἡ δὲ καρδία αὐτῶν οὐκ εὐθεῖα μετ᾽ αὐτοῦ, οὐδὲ ἐπιστώθησαν ἐν τῇ διαθήκῃ αὐτοῦ. Αὐτὸς δέ ἐστιν οἰκτίρμων, καὶ ἱλάσεται ταῖς ἁμαρτίαις αὐτῶν. Καὶ οὐ διαφθερεῖ, καὶ πληθυνεῖ τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ, καὶ οὐχὶ ἐκκαύσει πᾶσαν τὴν ὀργὴν αὐτοῦ. Καὶ ἐμνήσθη, ὅτι σάρξ εἰσι, πνεῦμα πορευόμενον, καὶ οὐκ ἐπιστρέφον. Ποσάκις παρεπίκραναν αὐτὸν ἐν τῇ ἐρήμῳ, παρώργισαν αὐτὸν ἐν γῇ ἀνύδρῳ; Καὶ ἐπέστρεψαν, καὶ ἐπείρασαν τὸν θεόν, καὶ τὸν ἅγιον τοῦ ἰσραὴλ παρώξυναν. Καὶ οὐκ ἐμνήσθησαν τῆς χειρὸς αὐτοῦ ἡμέρας, ἧς ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς θλίβοντος. Ὡς ἔθετο ἐν αἰγύπτῳ τὰ σημεῖα αὐτοῦ, καὶ τὰ τέρατα αὐτοῦ ἐν πεδίῳ τάνεως. Καὶ μετέστρεψεν εἰς αἷμα τοὺς ποταμοὺς αὐτῶν, καὶ τὰ ὀμβρήματα

αὐτῶν,

eos. Et occidit in pluri-mis eorum, & electos Iſra el cõſtrinxit. In omnibus his peccauerunt adhuc, et non crediderunt in mirabilibus eius. Et defecerũt in uanitate dies eorum, et anni eorum cum feſtinatione. Cũ occideret eos, tunc quærebant eum, & reuertebantur, & mane ueniebant ad deum. Et meminerunt, quod Deus auxiliator eorum eſt, et deus altiſsimus redemptor eorum eſt. Et dilexerũt eum in ore ſuo, & lingua ſua mentiti ſunt ei. Cor autem eorum non rectũ cum eo, nec fidi habiti ſunt in teſtamento eius. Ipſe autem eſt miſericors, & propitius eſt peccatis eorũ. Et non diſperdet, & multiplicabit auertere iram ſuam, & non accendet omnẽ iram ſuam. Et meminit, quia caro ſunt, ſpiritus uadens, & non reuertens. Quoties exacerbauerũt eum in deſerto, in iram incitauerunt eum in terra aquis carente? Et reuerſi ſunt, & tentauerunt deum, et ſanctum Iſrael exacuerunt. Et nõ meminerunt manus eius die, qua redemit eos de manu affligentis. Vt poſuit in Aegypto ſigna ſua, & prodigia ſua in campo Tancos. Et conuertit in ſanguinem flumina eorum, & pluuias

eorum,

Inf.104 eorum, ne biberent. Emisit in eos caninã muscam, & comedit eos, & ranã, & disperdidit eos. Et dedit ærugini fructus eorũ, & labores eorum locustę. Occidit in grandine uineas eorum, & ficus eorum in pruina. Et tradidit in grandinem iumenta eorũ, & substantiam eorum igni. Emisit in eos iram furoris sui, furorem & iram & afflictionem, ablegationem per legatos malos. Viam fecit semitæ iræ suę, & non pepercit à morte animarum eorum, & iumenta eorum in mortem conclusit. Et percussit omne primogenitum in terra Aegypti, primitias omnis laboris eorum, in ta-
Exod.12 bernaculis Cham. Et ab-
Inf.134 stulit ut oues populum su-
& 135. um, & reduxit eos uelut gregem in deserto. Et per uiam deduxit eos in spe, & non timuerunt, & inimicos eorum texit mare. Et induxit eos in montem sanctionis suæ, montem hunc, quem possedit dextera eius. Et eiecit à conspectu eorum gentes, & sorte diuisit eos in funiculo per sortem distributionis, & collocauit in tabernaculis eorum tribus Israel. Et tentauerunt, & exacerbauerunt deum altissimum, & testimonia eius non custodierũt.

Et

αὐτῶν, ὅπως μὴ πίωσιν. Ἐξαπέστειλεν εἰς αὐτοὺς κυνόμυιαν, καὶ κατέφαγεν αὐτούς, καὶ βάτραχον, καὶ διέφθειρεν αὐτούς. Καὶ ἔδωκε τῇ ἐρυσίβῃ τοὺς καρποὺς αὐτῶν, καὶ τοὺς πόνους αὐτῶν τῇ ἀκρίδι. Ἀπέκτεινεν ἐν χαλάζῃ τὴν ἄμπελον αὐτῶν, καὶ τὰς συκαμίνους αὐτῶν ἐν τῇ πάχνῃ. Καὶ παρέδωκεν εἰς χάλαζαν τὰ κτήνη αὐτῶν, καὶ τὴν ὕπαρξιν αὐτῶν τῷ πυρί. Ἐξαπέστειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ, θυμὸν καὶ ὀργὴν καὶ θλίψιν, ἀποστολὴν δι' ἀγγέλων πονηρῶν. Ὡδοποίησε τρίβον τῇ ὀργῇ αὐτοῦ, καὶ οὐκ ἐφείσατο ἀπὸ θανάτου τῶν ψυχῶν αὐτῶν, καὶ τὰ κτήνη αὐτῶν εἰς θάνατον συνέκλεισε. Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτου, ἀπαρχὴν παντὸς πόνου αὐτῶν, ἐν τοῖς σκηνώμασι Χάμ. Καὶ ἀπῆρεν ὡς πρόβατα τὸν λαὸν αὐτοῦ, καὶ ἀνήγαγεν αὐτοὺς ὡσεὶ ποίμνιον ἐν ἐρήμῳ. Καὶ ὡδήγησεν αὐτοὺς ἐπ' ἐλπίδι, καὶ οὐκ ἐδειλίασαν, καὶ τοὺς ἐχθροὺς αὐτῶν ἐκάλυψε θάλασσα. Καὶ εἰσήγαγεν αὐτοὺς εἰς ὄρος ἁγιάσματος αὐτοῦ, ὄρος τοῦτο, ὃ ἐκτήσατο ἡ δεξιὰ αὐτοῦ. Καὶ ἐξέβαλεν ἀπὸ προσώπου αὐτῶν ἔθνη, καὶ ἐκληροδότησεν αὐτοὺς ἐν σχοινίῳ κληροδοσίας, καὶ κατεσκήνωσεν ἐν τοῖς σκηνώμασιν αὐτῶν τὰς φυλὰς τοῦ ἰσραήλ. Καὶ ἐπείρασαν, καὶ παρεπίκραναν τὸν θεὸν τὸν ὕψιστον, καὶ τὰ μαρτύρια αὐτοῦ οὐκ ἐφυλάξαντο.

Καὶ

Καὶ ἀπέστρεψαν, καὶ ἠθέτησαν, καθὼς καὶ οἱ πατέρες αὐτῶν, μετεστράφησαν εἰς τόξον στρεβλόν. Καὶ παρώργισαν αὐτὸν ἐν τοῖς βουνοῖς αὐτῶν, καὶ ἐν τοῖς γλυπτοῖς αὐτῶν παρεζήλωσαν αὐτόν. Ἤκουσεν ὁ θεὸς, καὶ ὑπερεῖδε, καὶ ἐξουδένωσε σφόδρα τὸν ἰσραήλ. Καὶ ἀπώσατο τὴν σκηνὴν σηλώμ, σκήνωμα, ὃ κατεσκήνωσεν ἐν ἀνθρώποις. Καὶ παρέδωκεν εἰς αἰχμαλωσίαν τὴν ἰσχὺν αὐτῶν, καὶ τὴν καλλονὴν αὐτῶν εἰς χεῖρας ἐχθρῶν. Καὶ συνέκλεισεν ἐν ῥομφαίᾳ τὸν λαὸν αὐτοῦ, καὶ τὴν κληρονομίαν αὐτοῦ ὑπερεῖδε. Τοὺς νεανίσκους αὐτῶν κατέφαγε πῦρ, καὶ αἱ παρθένοι αὐτῶν οὐκ ἐπενθήθησαν. Οἱ ἱερεῖς αὐτῶν ἐν ῥομφαίᾳ ἔπεσον, καὶ αἱ χῆραι αὐτῶν οὐ κλαυθήσονται. Καὶ ἐξηγέρθη ὡς ὁ ὑπνῶν κύριος, ὡς δυνατὸς καὶ κεκραιπαληκὼς ἐξ οἴνου. Καὶ ἐπάταξε τοὺς ἐχθροὺς αὐτοῦ εἰς τὰ ὀπίσω, ὄνειδος αἰώνιον ἔδωκεν αὐτοῖς. Καὶ ἀπώσατο τὸ σκήνωμα ἰωσήφ, καὶ τὴν φυλὴν ἐφραὶμ οὐκ ἐξελέξατο. Καὶ ἐξελέξατο τὴν φυλὴν ἰούδα, τὸ ὄρος τὸ σιὼν, ὃ ἠγάπησε. Καὶ ᾠκοδόμησεν ὡς μονοκέρωτος τὸ ἁγίασμα αὐτοῦ, ἐν τῇ γῇ ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα. Καὶ ἐξελέξατο δαβὶδ τὸν δοῦλον αὐτοῦ, καὶ ἀνέλαβεν αὐτὸν ἐκ τῶν ποιμνίων τῶν προβάτων. Ἐξόπισθεν τῶν λοχευομένων ἔλαβεν αὐτὸν, ποιμαίνειν ἰακὼβ τὸν

Et reuersi sunt, & desciuerunt, sicut & patres eorũ, conuersi sunt in arcũ prauum. Et in iram concitauerunt eum in collibus suis, & in sculptis suis ad æmulationem prouocauerunt eum. Audiuit deus, et despexit, & ad nihilũ redegit ualde Israel. Et amouit tabernaculum Selom, tabernaculum, quod inhabitauit in hominibus. Et tradidit in captiuitatẽ robur eorum, & pulchritudinem eorum in manus inimicorum. Et conclusit in gladio populum suum, & hæreditatem suam despexit. Iuuenes eorum comedit ignis, & uirgines eorum non sunt luctu deploratæ. Sacerdotes eorum in gladio ceciderunt, & uiduæ eorum non deplorabuntur. Et excitatus est ut dormiens dominus, ut potens & crapulatus è uino. Et percussit inimicos suos in posteriora, uituperium æternum dedit illis. Et amouit tabernaculum Ioseph, et tribũ Ephraim non elegit. Et elegit tribum Iuda, montem Sion, quem dilexit. Et ædificauit unicornis sanctionem sitam, in terra, fundauit eam in seculum. Et elegit David seruum suum, et suscepit eum de gregibus ouium. At ego foetantiũ accepit eum, pascere Iacob seruum 1. Reg. 16

seruum suum, & Israel hæreditatem suam. Et pauit eos in innocentia cordis sui, & in intellectibus manuum suarum per uiam deduxit eos. Gloria.

Psalm⁹ Asaph LXXVIII.

Deus, uenerũt gentes in hæreditatem tuam, temerarunt templum sanctum tuum. Posuerunt Hierusalem ut autumni custodiã, posuerunt mortalia seruorum tuorum, escas uolatilibus cœli, carnes sanctorũ tuorum bestiis terræ. Effuderunt sanguinem ipsorũ uelut aquam in circuitu Hierusalem, & non erat sepeliens. Facti sumus uituperium uicinis nostris, subsannatio & illusio iis qui in circuitu nostro. Vsque quo domine irasceris in finem, accendetur æmulatio tua? Effunde iram tuã in gentes non noscentes te, & in regna, quæ nomen tuum non inuocauerunt. Quia comederunt Iacob, & locum eius desertũ reddiderunt. Ne memineris nostrarum iniquitatum antiquarum. Cito præoccupent nos misericordiæ tuæ, domine, quia mendicauimus ualde. Auxiliare nobis Deus salutator noster. Propter gloriam nominis tui dñe libera nos. Et propitius esto peccatis nr̃is, propter nomen tuum, ne quando dicant gentes, Vbi est deus eorum? Et cognosca-

τὸν δοῦλον αὐτοῦ, καὶ ἰσραὴλ τὴν κληρονομίαν αὐτοῦ. Καὶ ἐποίμανεν αὐτοὺς ἐν τῇ ἀκακίᾳ τῆς καρδίας αὐτοῦ, καὶ ἐν ταῖς συνέσεσι τῶν χειρῶν αὐτοῦ ὡδήγησεν αὐτούς. Δόξα.

Ψαλμὸς τῷ ἀσὰφ οή.

Ὁ θεός, ἤλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου, ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου. Ἔθεντο ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον, ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου, βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς. Ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡσεὶ ὕδωρ κύκλῳ ἱερουσαλήμ, καὶ οὐκ ἦν ὁ θάπτων. Ἐγενήθημεν ὄνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν. Ἕως πότε κύριε ὀργισθήσῃ εἰς τέλος, ἐκκαυθήσεται ὡς πῦρ ὁ ζῆλός σου; Ἔκχεον τὴν ὀργήν σου ἐπὶ τὰ ἔθνη τὰ μὴ γινώσκοντά σε, καὶ ἐπὶ βασιλείας, αἳ τὸ ὄνομά σου οὐκ ἐπεκαλέσαντο. Ὅτι κατέφαγον τὸν ἰακώβ, καὶ τὸν τόπον αὐτοῦ ἠρήμωσαν. Μὴ μνησθῇς ἡμῶν ἀνομιῶν ἀρχαίων. Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, κύριε, ὅτι ἐπτωχεύσαμεν σφόδρα. Βοήθησον ἡμῖν ὁ θεὸς ὁ σωτὴρ ἡμῶν. Ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου κύριε ῥῦσαι ἡμᾶς. Καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου, μήποτε εἴπωσι τὰ ἔθνη, Ποῦ ἐστιν ὁ θεὸς αὐτῶν; Καὶ γνωσθήτω

θήτω ἐν τοῖς ἔθνεσιν, ἐνώπιον τῶν ὀφθαλμῶν ἡμῶν, ἡ ἐκδίκησις τοῦ αἵματος τῶν δούλων σου τοῦ ἐκκεχυμένου. Εἰσελθέτω ἐνώπιόν σου ὁ στεναγμὸς τῶν πεπεδημένων. Κατὰ τὴν μεγαλωσύνην τοῦ βραχίονός σου, περιποίησαι τοὺς υἱοὺς τῶν τεθανατωμένων. Ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑπταπλασίονα εἰς τὸν κόλπον αὐτῶν, τὸν ὀνειδισμὸν αὐτῶν, ὃν ὠνείδισάν σε κύριε. Ἡμεῖς δὲ λαός σου, καὶ πρόβατα νομῆς σου. Ἀνθομολογησόμεθά σοι ὁ θεὸς εἰς τὸν αἰῶνα, εἰς γενεὰν καὶ γενεὰν ἐξαγγελοῦμεν τὴν αἴνεσίν σου.

Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων μαρτύριον τῷ ἀσάφ, ψαλμὸς ὑπὲρ τοῦ ἀσσυρίου, οθ.

Ὁ ποιμαίνων τὸν ἰσραὴλ πρόσχες, ὁ ὁδηγῶν ὡσεὶ πρόβατον τὸν ἰωσήφ. Ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ ἐμφάνηθι, ἐναντίον ἐφραὶμ καὶ βενιαμὶν καὶ μανασσῆ. Ἐξέγειρον τὴν δυναστείαν σου, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς. Ὁ θεὸς ἐπίστρεψον ἡμᾶς, καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα. Κύριε ὁ θεὸς τῶν δυνάμεων, ἕως πότε ὀργίζῃ ἐπὶ τὴν προσευχὴν τῶν δούλων σου; Ψωμιεῖς ἡμᾶς ἄρτον δακρύων, καὶ ποτιεῖς ἡμᾶς ἐν δάκρυσιν, ἐν μέτρῳ. Ἔθου ἡμᾶς εἰς ἀντιλογίαν τοῖς γείτοσιν ἡμῶν, καὶ οἱ ἐχθροὶ ἡμῶν ἐμυκτήρισαν ἡμᾶς. Κύριε ὁ θεὸς τῶν δυνάμεων ἐπίστρεψον ἡμᾶς, καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα.

noſcatur in gentibus, coram oculis noſtris, uindicta ſanguinis ſeruorũ tuorũ effuſi. Ingrediatur corã te gemitus uinctorũ. Pro magnitudine brachii tui, ſuperſtites ſerua filios occiſorũ. Redde uicinis noſtris ſeptupla in ſinu eorum, uituperium eorum, quo uituperarunt te domine. Nos autem populus tuus, & oues paſcuæ tuæ. Cõfitebimur tibi deus in ſeculum, in progeniem & progeniem enunciabimus laudationem tuam.

In finem, pro mutandis teſtimoniũ Aſaph, Pſalmus pro Aſſyrio, LXXIX.

Paſcens Iſrael attende, per uiam deducens uelut ouem, Ioſeph. Confidens in Cherubim illuſtrare coram Ephraim & Beniamin & Manaſſe. Excita poteſtatem tuam, & ueni, ut ſalues nos. Deus conuerte nos, & illuſtra conſpectum tuum, & ſaluabimur. Domine deus potentiarũ, uſquequo iraſceris in orationem ſeruorum tuorum? Cibabis nos pane lachrymarum, & potum dabis nobis in lachrymis, in menſura. Poſuiſti nos in contradictionem uicinis noſtris, & inimici noſtri ſubſannauerunt nos. Domine deus potentiarum conuerte nos, & illumina conſpectum tuum, et ſaluabimur

bimur. Vineam ex Aegypto transtulisti, eiecisti gētes, et plantasti eam. Viam fecisti ante eam, et plantasti radices eius, et impleuit terram. Texit montes umbra eius, et arbusta eius cedros dei. Extendit palmites suos usq; ad mare, et usque ad flumina propagines eius. Quare destruxisti maceriam eius, et uindemiant eam omnes transeuntes uiam? Vastauit eam aper ex sylua, et solitarius ferus depastus est eam. Deus potestatū conuerte iam, et inspice de cœlo, et uide. Et inuise uineam istam, et appara eam, quam plantauit dextera tua. Et in filium hominis, quem firmasti tibi, incensa igne et effossa. Ab increpatione cōspectus tui peribunt. Fiat manus tua in uirum dexteræ tuæ, & in filium hominis, quem firmasti tibi, et nequaquam desistemus à te. Viuos reddes nos, et nomen tuum inuocabimus. Domine, deus potestatum conuerte nos, et illumina conspectum tuum, et saluabimur.

In finem, pro torcularibus Psalmus carminis Asaph. LXXX.

Laetemini Deo auxiliatori nostro, iubilate deo Iacob. Sumite

μεθα. Ἄμπελον ἐξ αἰγύπτου μετῆρας, ἐξέβαλες ἔθνη, καὶ κατεφύτευσας αὐτήν. Ὡδοποίησας ἔμπροσθεν αὐτῆς, καὶ κατεφύτευσας τὰς ῥίζας αὐτῆς, καὶ ἐπλήρωσε τὴν γῆν. Ἐκάλυψεν ὄρη ἡ σκιὰ αὐτῆς, καὶ αἱ ἀναδενδράδες αὐτῆς τὰς κέδρους τοῦ θεοῦ. Ἐξέτεινε τὰ κλήματα αὐτῆς ἕως θαλάσσης, καὶ ἕως ποταμῶν τὰς παραφυάδας αὐτῆς. Ἵνα τί καθεῖλες τὸν φραγμὸν αὐτῆς, καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν; Ἐλυμήνατο αὐτὴν ὗς ἐκ δρυμοῦ, καὶ μονιὸς ἄγριος κατενεμήσατο αὐτήν. Ὁ θεὸς τῶν δυνάμεων ἐπίστρεψον δή, καὶ ἐπίβλεψον ἐξ οὐρανοῦ, καὶ ἴδε. Καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην, καὶ κατάρτισαι αὐτήν, ἣν ἐφύτευσεν ἡ δεξιά σου. Καὶ ἐπὶ υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσας σεαυτῷ, ἐμπεπυρισμένη πυρὶ καὶ ἀνεσκαμμένη. Ἀπὸ ἐπιτιμήσεως τοῦ προσώπου σου ἀπολοῦνται. Γενηθήτω ἡ χείρ σου ἐπ' ἄνδρα δεξιᾶς σου, καὶ ἐπὶ υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσας σεαυτῷ, καὶ οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ. Ζωώσεις ἡμᾶς, καὶ τὸ ὄνομά σου ἐπικαλεσόμεθα. Κύριε, ὁ θεὸς τῶν δυνάμεων ἐπίστρεψον ἡμᾶς, καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα.

Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν, ψαλμὸς ᾠδῆς τῷ ἀσάφ, π.

Ἀγαλλιᾶσθε τῷ θεῷ τῷ βοηθῷ ἡμῶν, ἀλαλάξατε τῷ θεῷ ἰακώβ. Λάβετε

βετε ψαλμὸν, καὶ δότε τύμπανον, ψαλτήριον τερπνὸν μετὰ κιθάρας. Σαλπίσατε ἐν νεομηνίᾳ σάλπιγγι, ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ὑμῶν. Ὅτι πρόσταγμα τῷ ἰσραὴλ ἐστὶ, καὶ κρίμα τῷ θεῷ ἰακώβ. Μαρτύριον ἐν τῷ ἰωσὴφ ἔθετο αὐτὸν, ἐν τῷ ἐξελθεῖν αὐτὸν ἐκ γῆς αἰγύπτου. Γλῶσσαν, ἣν οὐκ ἔγνω, ἤκουσεν, ἀπέστησεν ἀπὸ ἄρσεων τὸν νῶτον αὐτοῦ. Αἱ χεῖρες αὐτοῦ ἐν τῷ κοφίνῳ ἐδούλευσαν, ἐν θλίψει ἐπεκαλέσω με, καὶ ἐρρυσάμην σε. Ἐπήκουσά σου ἐν ἀποκρύφῳ καταιγίδος. Διάψαλμα. Ἐδοκίμασά σε ἐπὶ ὕδατος ἀντιλογίας. Ἄκουσον λαός μου, καὶ διαμαρτύρομαί σοι. Ἰσραὴλ ἐὰν ἀκούσῃς μου, οὐκ ἔσται ἐν σοὶ θεὸς πρόσφατος, οὐδὲ προσκυνήσεις θεῷ ἀλλοτρίῳ. Ἐγὼ γάρ εἰμι κύριος ὁ θεός σου, ὁ ἀναγαγών σε ἐκ γῆς αἰγύπτου. Πλάτυνον τὸ στόμα σου, καὶ πληρώσω αὐτό. Καὶ οὐκ ἤκουσεν ὁ λαός μου τῆς φωνῆς μου, καὶ ἰσραὴλ οὐ προσέσχε μοι. Καὶ ἐξαπέστειλα αὐτοὺς κατὰ τὰ ἐπιτηδεύματα τῶν καρδιῶν αὐτῶν, πορεύσονται ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν. Εἰ ὁ λαός μου ἤκουσέ μου, ἰσραὴλ ταῖς ὁδοῖς μου εἰ ἐπορεύθη, ἐν τῷ μηδενὶ ἂν τοὺς ἐχθροὺς αὐτῶν ἐταπείνωσα, καὶ ἐπὶ τοὺς θλίβοντας αὐτοὺς ἐπέβαλον ἂν τὴν χεῖρά μου. Οἱ ἐχθροὶ κυρίου ἐψεύσαντο αὐτῷ, καὶ ἔσται ὁ καιρὸς αὐτῶν εἰς τὸν αἰῶνα. Καὶ ἐψώμισεν αὐτοὺς ἐκ

στέατος

mite psalmũ, & date tympanum, psalterium iocundum cum cithara. Buccinate in nouilunio tuba, in insigni die celebritatis uestræ. Quia præceptum Israel est, & iudicium deo Iacob. Testimonium in Ioseph posuit illum, cũ exiret ipse de terra Aegypti. Linguam, quam non nouit, audiuit, auertit ab oneribus dorsum eius. Manus eius in cophino seruierũt, in afflictiõe inuocasti me, & liberaui te. Exaudiui te in abscondito procellæ. Diapsalma. Probaui te in aqua contradictionis. Audi populus meus, et contestor tibi: Israel, si audieris me, non erit in te Deus recẽs, neq; adorabis deum alienum. Ego enim sum dominus deus tuus, reducẽs te é terra Aegypti. Dilata os tuum, & implebo illud. Et non audiuit populus meus uocem meam, & Israel non attendit mihi. Et dimisi eos pro institutis cordium suorum, ambulabunt in institutis suis. Si populus meus audisset me, Israel in uiis meis si ambulasset, pro nihilo sane inimicos eorũ humiliassem, & in affligentes eos iniecissem sane manum meam. Inimici domini mentiti sunt ei, & erit tempus eorum in seculum. Et cibauit eos ex

adipe frumenti, & è petra melle saturauit eos. Gloria.

Psalmus Asaph LXXXI.

Deus stetit in congregatione deorum, in medio autem deos diiudicabit. Vsque quo iudicatis iniustitiam, & conspectus peccatorũ sumitis? Iudicate pupillo & mẽdico, humilem & pauperem iustum reddite. Eripite pauperem et mendicum, è manu peccatoris liberate eum. Non nouerunt, neque intellexerunt, in tenebris deambulant, moueãtur omnia fundamenta terræ. Ego dixi,

Ioan.10 Dii estis & filii altissimi omnes, uos autem ut homines morimini. & ut unus principum caditis. Surge deus iudicãs terrã, quia tu hæreditatem adibis in omnibus gentibus.

Carmen Psalmi Asaph. LXXXII.

Deus, quis assimilabitur tibi? Ne taceas, neque mensuescas de⁹. Quia ecce inimici tui sonuerũt, & exosi te extulerunt caput, in populũ tuũ maligne decreuerũt sententiã, et cõsultarũt cõtra sanctos tuos. Dixerũt, Agite, & dispdamus eos è gẽte. & nequaquam memoratũ fuerit nomẽ Israel ultra. Quia cõsultauerũt in cõcordia in hoc ipsum, cõtra tuũ testamentũ disposuerũt. Tabernacula Idumæorum & Ismaelitæ, Moab & Agareni,

στέατος πυροῦ, καὶ ἐκ πέτρας μέλι ἐχόρτασεν αὐτούς. Δόξα.

Ψαλμὸς τῷ ἀσὰφ πα.

Ὁ θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ. Ἕως πότε κρίνετε ἀδικίαν, καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε; Κρίνατε ὀρφανῷ καὶ πτωχῷ, ταπεινὸν καὶ πένητα δικαιώσατε. Ἐξέλεσθε πένητα καὶ πτωχὸν ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσασθε αὐτόν. Οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν, ἐν σκότει διαπορεύονται, σαλευθήτωσαν πάντα τὰ θεμέλια τῆς γῆς. Ἐγὼ εἶπα, θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες, ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε, καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε. Ἀνάστα ὁ θεὸς κρίνων τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσιν.

Ὠιδὴ ψαλμοῦ τῷ ἀσάφ, πβ.

Ὁ θεὸς, τίς ὁμοιωθήσεταί σοι; Μὴ σιγήσῃς, μὴ δὲ καταπραΰνῃς ὁ θεός. Ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἤχησαν, καὶ οἱ μισοῦντές σε ἦραν κεφαλὴν, ἐπὶ τὸν λαόν σου κατεπανουργεύσαντο γνώμην, καὶ ἐβουλεύσαντο κατὰ τῶν ἁγίων σου. Εἶπαν, δεῦτε, καὶ ἐξολοθρεύσωμεν αὐτοὺς ἐξ ἔθνους, καὶ οὐ μὴ μνησθῇ τὸ ὄνομα ἰσραὴλ ἔτι. Ὅτι ἐβουλεύσαντο ἐν ὁμονοίᾳ ἐπὶ τὸ αὐτὸ, κατά σου διαθήκην διέθεντο. Τὰ σκηνώματα τῶν ἰδουμαίων καὶ οἱ ἰσμαηλῖται, Μωὰβ καὶ οἱ ἀγαρηνοί,

Γέβαλ καὶ ἀμμὼν καὶ ἀμαλὴκ, Ἀλλόφυλοι μετὰ τῶν κατοικούντων τύρον. Καὶ γὰρ καὶ ἀσσοὺρ συμπαρεγένετο μετ' αὐτῶν, ἐγενήθησαν εἰς ἀντίληψιν τοῖς υἱοῖς λώτ. Διάψαλμα. Ποίησον αὐτοῖς ὡς τῇ μαδιὰν καὶ τῷ σισάρᾳ, ὡς τῷ ἰαβεὶν ἐν τῷ χειμάῤῥῳ κισσών. Ἐξωλοθρεύθησαν ἐν ἀενδὼρ, ἐγενήθησαν ὡσεὶ κόπρος τῇ γῇ. Θοῦ τοὺς ἄρχοντας αὐτῶν, ὡς τὸν ὠρὴβ καὶ ζὴβ καὶ ζεβεὲ καὶ σαλμανᾶν, πάντας τοὺς ἄρχοντας αὐτῶν, οἵτινες εἶπον, κληρονομήσωμεν ἑαυτοῖς τὸ ἁγιαστήριον τοῦ θεοῦ. Ὁ θεός μου θοῦ αὐτοὺς ὡς τροχὸν, ὡς καλάμην κατὰ πρόσωπον ἀνέμου. Ὡσεὶ πῦρ, ὃ διαφλέξει δρυμὸν, ὡσεὶ φλὸξ, ἣ κατακαύσει ὄρη, οὕτως καταδιώξεις αὐτοὺς ἐν τῇ καταιγίδι σου, καὶ ἐν τῇ ὀργῇ σου συνταράξεις αὐτούς. Πλήρωσον τὰ πρόσωπα αὐτῶν ἀτιμίας, καὶ ζητήσουσι τὸ ὄνομά σου, κύριε. Αἰσχυνθήτωσαν, καὶ ταραχθήτωσαν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, καὶ ἐντραπήτωσαν, καὶ ἀπολέσθωσαν. Καὶ γνώτωσαν, ὅτι ὄνομά σοι κύριος, σὺ μόνος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν.

Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν τοῖς υἱοῖς κορὲ, ψαλμὸς πγ.

Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, κύριε τῶν δυνάμεων. Ἐπιποθεῖ, καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς

αὐλὰς

Gebal & Ammon & Amalec, Alienigenæ cũ inhabitantibus Tyrum. Etenim & Assur simul aduenit cum illis, facti sunt in adoptionem filiis Lot. Diapsalma. Fac illis ut Iud. 5
Madian & Sosaræ, ut Iabein in torrẽte Cisson. Euersi sunt in Aendor, fuerunt uelut stercus terræ.
Pone principes eorum, ut Ibid. d
Oreb & Zeb & Zebee & Salmanan, omnes principes eorũ, quicunq; dixerunt, Hæreditate possideamus nobis ipsis sactarium dei. Deus meus pone illos ut rotam, ut stipulam in conspectu uenti. Sicut ignis, qui exuret syluam, sicut flamma, quæ combu.ret montes, ita persequeris illos in procella tua, & in ira tua cõturbabis eos. Imple conspectus eorum ignominia, & quærent nomen tuum, domine. Pudore afficiantur, & turbentur in seculum seculi, & reuereantur, et pereãt. Et cognoscãt, quia nomẽ tibi dominus, tu solus altissimus per omnem terram.

In finem, pro torcularibus filiis Core, Psalmus LXXXIII.

Quàm amata tabernacula tua, dñe potestatũ. Desiderat, et deficit aĩa mea in

atria

atria domini. Cor meum & caro mea lætati sunt per Deum uiuentem. Etenim passer inuenit sibi domum, & turtur nidum sibiipsi, ubi ponet pullos suos. Altaria tua domine potestatum, rex meus & deus meus. Beati habitantes in domo tua, in secula seculorum laudabunt te. Diapsalma. Beatus uir, cui est restitutio eius abs te. Ascẽsiones in corde suo disposuit, in uallẽ Fletus, in locum, quem posuit. etenim benedictiones dabit legislator. Ibunt ex potestate in potestatem, uidebitur deus deorum in Sion. Domine potestatum exaudi orationem meam, auribus hauri deus Iacob. Diapsalma. Defensor noster uide deus, et inspice in conspectũ Christi tui. Quia melior est dies una in atriis tuis super millia. Elegi abiectus esse in domo dei mei magis, quàm habitare me in tabernaculis peccatorum. Quia misericordiam & ueritatem diligit dominus, deus gratiam & gloriam dabit. Dominus non priuabit bonis ambulantes in innocentia. Domine, deus potestatum, beatus homo sperans in te.

αὐλὰς τοῦ κυρίου. Ἡ καρδία μου καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ θεὸν ζῶντα. Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν, καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νοσσία ἑαυτῆς. Τὰ θυσιαστήριά σου κύριε τῶν δυνάμεων, ὁ βασιλεύς μου καὶ ὁ θεός μου. Μακάριοι οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου, εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε. Διάψαλμα. Μακάριος ἀνήρ, ᾧ ἐστιν ἀντίληψις αὐτοῦ παρὰ σοῦ. ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο, εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος, εἰς τὸν τόπον, ὃν ἔθετο. καὶ γὰρ εὐλογίας δώσει ὁ νομοθετῶν. Πορεύσονται ἐκ δυνάμεως εἰς δύναμιν, ὀφθήσεται ὁ θεὸς τῶν θεῶν ἐν σιών. Κύριε ὁ θεὸς τῶν δυνάμεων, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι ὁ θεὸς ἰακώβ. Διάψαλμα. Ὑπερασπιστὰ ἡμῶν ἴδε, ὁ θεὸς, καὶ ἐπίβλεψον εἰς πρόσωπον τοῦ χριστοῦ σου. Ὅτι κρείσσων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας. Ἐξελεξάμην παραρρίπτεσθαι ἐν τῷ οἴκῳ τοῦ θεοῦ μου μᾶλλον, ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν. Ὅτι ἔλεον καὶ ἀλήθειαν ἀγαπᾷ κύριος, ὁ θεὸς χάριν καὶ δόξαν δώσει. Κύριος οὐ στερήσει τὰ ἀγαθὰ τοῖς πορευομένοις ἐν ἀκακίᾳ. Κύριε, ὁ θεὸς τῶν δυνάμεων, μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ.

Εἰς τὸ τέλος, τοῖς υἱοῖς κορὲ ψαλμὸς πδ.

Εὐδόκησας κύριε τὴν γῆν σου, ἀπέστρεψας τὴν αἰχμαλωσίαν ἰακώβ. Ἀφῆκας τὰς ἀνομίας τῷ λαῷ σου, ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν. Κατέπαυσας πᾶσαν τὴν ὀργήν σου, ἀπέστρεψας ἀπὸ ὀργῆς θυμοῦ σου. Ἐπίστρεψον ἡμᾶς ὁ θεὸς τῶν σωτηρίων ἡμῶν, καὶ ἀπόστρεψον τὸν θυμόν σου ἀφ' ἡμῶν. Μὴ εἰς τοὺς αἰῶνας ὀργισθήσῃ ἡμῖν; Ἢ διατενεῖς τὴν ὀργήν σου ἀπὸ γενεᾶς εἰς γενεάν; Ὁ θεὸς σὺ ἐπιστρέψας ζωώσεις ἡμᾶς, καὶ ὁ λαός σου εὐφρανθήσεται ἐπὶ σοί. Δεῖξον ἡμῖν κύριε τὸ ἔλεός σου, καὶ τὸ σωτήριόν σου δῴης ἡμῖν. Ἀκούσομαι, τί λαλήσει ἐν ἐμοὶ κύριος ὁ θεός. Ὅτι λαλήσει εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ καὶ ἐπὶ τοὺς ἐπιστρέφοντας καρδίαν ἐπ' αὐτόν. Πλὴν ἐγγὺς τῶν φοβουμένων αὐτὸν τὸ σωτήριον αὐτοῦ, τοῦ κατασκηνῶσαι δόξαν ἐν τῇ γῇ ἡμῶν. Ἔλεος καὶ ἀλήθεια συνήντησαν, δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν. Ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλε, καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψε. Καὶ γὰρ ὁ κύριος δώσει χρηστότητα, καὶ ἡ γῆ ἡμῶν δώσει τὸν καρπὸν αὐτῆς. Δικαιοσύνη ἐνώπιον αὐτοῦ προπορεύσεται, καὶ θήσει εἰς ὁδὸν τὰ διαβήματα αὐτοῦ. Δόξα. Κάθισμα ιά.

In finem, filiis Core Psalmus LXXXIIII.

Approbasti domine terram tuam, auertisti captiuitatem Iacob. Remisisti iniquitates populo tuo, texisti omnia peccata eorum. Sedasti omnem iram tuam, auertisti ab ira furoris tui. Conuerte nos deus salutarium nostrorum, & auerte furorem tuum à nobis. Num in secula iratus fueris nobis? Aut extendes iram tuam à progenie in progeniem? Deus tu cōuertens uiuos reddes nos, & populus tuus gaudebit in te. Ostende nobis domine misericordiam tuam, salutare tuum des nobis. Audiam, quid loquatur in me dominus Deus. Quia loquetur pacem ad populum suum & ad sanctos suos & ad conuertentes cor ad eum. Sed prope timentibus eum salutare ipsius, ut inhabitet gloria in terra nostra. Misericordia & ueritas simul occurrerunt, iustitia & pax amicitiam iunxerunt. Veritas è terra orta est, & iustitia de coelo prospexit. Etenim dominus dabit probitatem, & terra nostra dabit fructum suum. Iustitia coram eo præibit, & ponet in uiam gressus suos. Gloria. Consessus undecimus.

Oratio Dauid, LXXXV.
Inclina domine aurem
tuam, & exaudi me, quia
mendicus & pauper sum
ego. Custodi animam me
am, quia sanctus sum. Sal-
ua seruum tuũ deus meus,
sperantem in te. Miserere
mei domine , quia ad te
clamabo totam diem. Ex
hilara animam serui tui,
quia ad te leuaui animam
Ioel 2 meã. Quia tu domine pro
bus & indulgens & mul-
tum misericors omnibus
inuocantibus te. Auribus
hauri dñe orationẽ meam,
& intende uoci precatio-
nis meæ. In die afflictiõis
meæ clamaui ad te , quia
exaudisti me. Non est si-
milis tui in diis domine,
& non est pro operibus
tuis. Omnes gentes, quas-
cunq; fecisti, uenient, &
adorabunt coram te, do-
mine, & gloria afficient
nomen tuum. Quia mag-
nus es tu & faciens mira-
bilia, tu es deus solus. Per
uiam duc me domine in
uia tua, & ambulabo in
ueritate tua. Gaudeat cor
meum, ut timeat nomen tu
Sup.9 um. Confitebor tibi, do-
Inf.110 mine deus meus , in toto
& 137 corde meo, & gloria affi-
ciã nomẽ tuũ in seculum.
Quia misericordia tua ma
gna in me, & liberasti ani
meã ex inferno infimo.
Deus iniq; ĩsurrexerũt ĩ me,
et cõgregatio fortiũ quæsi
erũt animã meã, et nõ ppo
fue-

Προσευχὴ τῷ Δαβίδ, πέ.

Κλῖνον κύριε τὸ οὖς σου, καὶ ἐπάκουσόν μου, ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ. Φύλαξον τὴν ψυχήν μου, ὅτι ὅσιός εἰμι. Σῶσον τὸν δοῦλόν σου ὁ θεός μου, τὸν ἐλπίζοντα ἐπί σε. Ἐλέησόν με κύριε, ὅτι πρός σε κεκράξομαι ὅλην τὴν ἡμέραν. Εὔφρανον τὴν ψυχὴν τοῦ δούλου σου, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ὅτι σὺ κύριε χρηστὸς καὶ ἐπιεικὴς, καὶ πολυέλεος πᾶσι τοῖς ἐπικαλουμένοις σε. Ἐνώτισαι κύριε τὴν προσευχήν μου, καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου. Ἐν ἡμέρᾳ θλίψεώς μου ἐκέκραξα πρὸς σὲ, ὅτι ἐπήκουσάς μου. Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, κύριε, καὶ οὐκ ἔστι κατὰ τὰ ἔργα σου. Πάντα τὰ ἔθνη, ὅσα ἐποίησας ἥξουσι, καὶ προσκυνήσουσιν ἐνώπιόν σου, κύριε, καὶ δοξάσουσιν τὸ ὄνομά σου. Ὅτι μέγας εἶ σὺ καὶ ποιῶν θαυμάσια, σὺ εἶ θεὸς μόνος. Ὁδήγησόν με κύριε ἐν τῇ ὁδῷ σου, καὶ πορεύσομαι ἐν τῇ ἀληθείᾳ σου. Εὐφρανθήτω ἡ καρδία μου, τοῦ φοβεῖσθαι τὸ ὄνομά σου. Ἐξομολογήσομαί σοι, κύριε ὁ θεός μου, ἐν ὅλῃ καρδίᾳ μου, καὶ δοξάσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα. Ὅτι τὸ ἔλεός σου μέγα ἐπ' ἐμὲ, καὶ ἐρρύσω τὴν ψυχήν μου ἐξ ᾅδου κατωτάτου. Ὁ θεὸς, παράνομοι ἐπανέστησαν ἐπ' ἐμὲ, καὶ συναγωγὴ κραταιῶν ἐζήτησαν τὴν ψυχήν μου, καὶ οὐ προέ-
θεντό

ἐχθρό σε ἐνώπιον αὐτῶν. Καὶ σὺ κύριε ὁ θεός μου, οἰκτίρμων καὶ ἐλεήμων, μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινός. Επίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με. Δὸς τὸ κράτος σου τὸ παιδί σου, καὶ σῶσον τὸν υἱὸν τῆς παιδίσκης σου. Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθὸν, καὶ ἰδέτωσαν οἱ μισοῦντές με, καὶ αἰσχυνθήτωσαν. Οτι σὺ κύριε ἐβοήθησάς μοι, καὶ παρεκάλεσάς με.

fuerunt te coram se. Et tu domine deus meus, miserator & misericors, longanimis & multum misericors & uerax. Inspice in me, & miserere mei. Da robur tuum puero tuo, & salua filium ancillæ tuæ. Fac mecum signum in bonum, et uideant exosi me, & pudore afficiantur. Quia tu domine auxiliatus es mihi, & consolatus es me. Inf. 102 & 144

Τοῖς υἱοῖς Κορὲ ψαλμὸς ᾠδῆς, πϛ.

Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις. Αγαπᾷ κύριος τὰς πύλας σιὼν, ὑπὲρ πάντα τὰ σκηνώματα ιακώβ. Δεδοξασμένα ἐλαλήθη περὶ σου ἡ πόλις τοῦ θεοῦ. Μνησθήσομαι ῥαὰβ καὶ βαβυλῶνος, τοῖς γινώσκουσί με. Καὶ ἰδοὺ ἀλλόφυλοι καὶ τύρος καὶ λαὸς τῶν αἰθιόπων, οὗτοι ἐγεννήθησαν ἐκεῖ. Μήτηρ σιὼν ἐρεῖ, ἄνθρωπος καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ, καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ ὕψιστος. Κύριος διηγήσεται ἐν γραφῇ λαῶν, καὶ ἀρχόντων τούτων τῶν γεγεννημένων ἐν αὐτῇ. Ως εὐφραινομένων, πάντων ἡ κατοικία ἐν σοί.

Filiis Core Psalmus carminis, LXXXVI.

Fundamenta eius in montibus sanctis. Diligit dominus portas Sion, super omnia tabernacula Iacob. Gloriosa dicta sunt de te ciuitas dei. Memor ero Rhaab & Babylonis, cognoscentibus me. Et ecce alienigenæ, & Tyrus & populus Aethiopum, hi nati sunt illic. Mater Sion dicet, homo & homo natus est in ea, & ipse fundauit eam altissimus. Dominus denarrabit in scriptura populorum, & principum horũ, natorum in ea. Vt gaudentium, omnium habitatio in te.

Carmen Psalmi filiis Core, in finem, pro Maeleth ad respondendum, intellectus Aitham Israelitæ, LXXXVII.

Domine, deus salutis meæ, die clamaui et in nocte, coram te. Ingrediatur coram te oratio mea, inclina aurem tuam ad precationem meam. Quia repleta est malis anima mea, & uita mea inferno propinquauit. Annumeratus sum cum descendentibus in lacum. Factus sum sicut homo incelebris; in mortuis liber, sicut uulnerati obdormientes in sepulchro, quorum nō meministi amplius, & ipsi è manu tua amoti sunt. Posuerunt me in lacu infimo, in tenebris & in umbra mortis. In me confirmatus est furor tuus, & omnes eleuatiões tuas induxisti in me. Diapsalma. Longe amouisti notos meos à me, posuerunt me fastidium sibi ipsis. Traditus sum, & nō egrediebar, oculi mei imbecilles fuerunt à mendicitate. Clamaui ad te domine, totam diem, distēdi ad te manus meas. Num mortuis facies mirabilia? Aut medici resurgent, & cōfitebūtur tibi? Nū denarrabit aliqs ī sepulchro misericordiā tuā, & ueritatē tuam in perditione? Num cognoscentur in tenebris mirabilia tua, & iustitia tua

Ωδὴ ψαλμοῦ τοῖς υἱοῖς κορὲ, εἰς τὸ τέλος, ὑπὲρ μαελὲθ τοῦ ἀποκριθῆναι, συνέσεως αἰθὰμ τῷ ἰσραηλίτῃ, πζ.

Κύριε, ὁ θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ, ἐναντίον σου. Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου. Οτι ἐπλήσθη κακῶν ἡ ψυχή μου, καὶ ἡ ζωή μου τῷ ᾅδῃ ἤγγισε. Προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον. Εγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος, ἐν νεκροῖς ἐλεύθερος, ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι, καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν. Εθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου. Επ' ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου, καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ' ἐμέ. Διάψαλμα. Εμάκρυνας τοὺς γνωστούς μου ἀπ' ἐμοῦ, ἔθεντό με βδέλυγμα ἑαυτοῖς. Παρεδόθην, καὶ οὐκ ἐξεπορευόμην, οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας. Εκέκραξα πρός σε κύριε, ὅλην τὴν ἡμέραν, διεπέτασα πρός σε τὰς χεῖράς μου. Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια; Η ἰατροὶ ἀναστήσουσι, καὶ ἐξομολογήσονταί σοι; Μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ; Μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου, καὶ ἡ δικαιοσύνη σου

σου ἐν γῇ ἐπιλελησμένῃ; Κἀγὼ πρὸς σὲ κύριε ἐκέκραξα, καὶ τὸ πρωὶ ἡ προσευχή μου προφθάσει σε. Ἵνα τί κύριε ἀπωθῇ τὴν ψυχήν μου, ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ; Πτωχός εἰμι ἐγὼ, καὶ ἐν κόποις ἐκ νεότητός μου. Ὑψωθεὶς δὲ ἐταπεινώθην, καὶ ἐξηπορήθην. Ἐπ᾽ ἐμὲ διῆλθον αἱ ὀργαί σου, οἱ φοβερισμοί σου ἐξετάραξάν με· ἐκύκλωσάν με ὡσεὶ ὕδωρ, ὅλην τὴν ἡμέραν περιέσχον με ἅμα. Ἐμάκρυνας ἀπ᾽ ἐμοῦ φίλον καὶ πλησίον καὶ τοὺς γνωστούς μου, ἀπὸ ταλαιπωρίας. Δόξα.

Συνέσεως Αἰθὰμ τῷ Ἰσραηλίτῃ, πή.

Τὰ ἐλέη σου, κύριε, εἰς τὸν αἰῶνα ᾄσομαι, εἰς γενεὰν καὶ γενεὰν ἀπαγγελῶ τὴν ἀλήθειάν σου, ἐν τῷ στόματί μου. Ὅτι εἶπας, εἰς τὸν αἰῶνα ἔλεος οἰκοδομηθήσεται, ἐν τοῖς οὐρανοῖς ἑτοιμασθήσεται ἡ ἀλήθειά σου. Διεθέμην διαθήκην τοῖς ἐκλεκτοῖς μου, ὤμοσα Δαβὶδ τῷ δούλῳ μου ἕως τοῦ αἰῶνος. Ἑτοιμάσω τὸ σπέρμα σου, καὶ οἰκοδομήσω εἰς γενεὰν καὶ γενεὰν τὸν θρόνον σου. Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου, κύριε, καὶ γὰρ τὴν ἀλήθειάν σου ἐν ἐκκλησίᾳ ἁγίων. Ὅτι τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ κυρίῳ, ὁμοιωθήσεται τῷ κυρίῳ ἐν υἱοῖς θεοῦ; Ὁ θεὸς ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων, μέγας καὶ φοβερὸς ἐπὶ πάντας

τοὺς

tua in terra obliuioni data? Et ego ad te domine clamaui, & mane oratio mea præueniet te. Quare domine amoues animam meam, auertis cõspectum tuum à me? Mendicus sum ego, & in laboribus à iuuentute mea. Sublatus uero depressus sum, & miser redditus sum. Per me transierunt iræ tuæ, terrores tui exturbauerunt me, cinxerunt me sicut aqua, totam diem circundederunt me simul. Longe amouisti à me amicũ & propinquũ & notos meos, à miseria. Gloria.

Intellectus Atham Israelitæ, LXXXVIII.

Misericordias tuas, domine, in seculũ canam, in progeniẽ & progeniẽ annunciabo ueritatẽ tuam, in ore meo. Quia dixisti, In æternum misericordia ædificabitur, in cœlis parabitur ueritas tua. Disposui testamentum electis meis, iuraui Dauid seruo meo usq; in seculũ. Parabo semen tuum, & ædificabo in progeniem & progeniem solium tuum. Confitebũtur cœli mirabilia tua, domine, & enim ueritatẽ tuam in concione sanctorum. Quia quis in nubibus æquabitur domino, assimilabitur dño in filiis dei? Deus gloria affectus in cõsilio sanctorum, magnus & terribilis est erga oẽs

 in

in circuitu eius. Domine deus potestatum, quis similis tibi? Potens es domine, & ueritas in circuitu tuo. Tu dominaris robori maris, motum autem fluctuũ eius tu mitigas. Tu humiliasti ut uulneratum superbum, in brachio potestatis tuæ dispersisti inimicos tuos. Tui sunt cœli, & tua est terra. Terrã habitabilem & plenitudinem eius tu fundasti, Aquilonem & mare tu creasti. Thabor & Hermon in nomine tuo lætabuntur, tuum brachium cum potestate. Roboretur manus tua, exaltetur dextera tua. Iustitia & iudicium, præparatio solii tui. Misericordia & ueritas præcedent ante conspectũ tuum. Beatus populus cognoscens iubilationem. Domine in lumine conspectus tui ambulabunt, & in nomine tuo lætabuntur totam diem, & in iustitia tua exaltabuntur. Quia iactatio potentiæ eorum tu es, & in approbatione tua exaltabitur cornu nostrum. Quia domini assumptio, & sancti Israel regis nostri. Tunc loquutus es in uisione filiis tuis, & dixisti, Posui auxiliũ in potentẽ, extuli electum è pop'lo meo. Inueni Dauid seruũ meũ, in oleo sancto meo

τοὺς περὶ κύκλῳ αὐτοῦ. Κύριε ὁ θεὸς τῶν δυνάμεων, τίς ὅμοιός σοι; Δυνατὸς εἶ κύριε, καὶ ἡ ἀλήθειά σου κύκλῳ σου. Σὺ δεσπόζεις τοῦ κράτους τῆς θαλάσσης, τὸν δὲ σάλον τῶν κυμάτων αὐτῆς σὺ καταπραΰνεις. Σὺ ἐταπείνωσας ὡς τραυματίαν ὑπερήφανον, ἐν τῷ βραχίονι τῆς δυνάμεώς σου διεσκόρπισας τοὺς ἐχθρούς σου. Σοί εἰσιν οἱ οὐρανοί, καὶ σή ἐστιν ἡ γῆ. Τὴν οἰκουμένην καὶ τὸ πλήρωμα αὐτῆς σὺ ἐθεμελίωσας, τὸν βορρᾶν καὶ τὴν θάλασσαν σὺ ἔκτισας. Θαβὼρ καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται, σὸς ὁ βραχίων μετὰ δυναστείας. Κραταιωθήτω ἡ χείρ σου, ὑψωθήτω ἡ δεξιά σου. Δικαιοσύνη καὶ κρῖμα, ἑτοιμασία τοῦ θρόνου σου. Ἔλεος καὶ ἀλήθεια προπορεύσονται πρὸ προσώπου σου. Μακάριος ὁ λαὸς γινώσκων ἀλαλαγμόν. Κύριε ἐν τῷ φωτὶ τοῦ προσώπου σου πορεύσονται, καὶ ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται ὅλην τὴν ἡμέραν, καὶ ἐν τῇ δικαιοσύνῃ σου ὑψωθήσονται. Ὅτι καύχημα τῆς δυνάμεως αὐτῶν σὺ εἶ, καὶ ἐν τῇ εὐδοκίᾳ σου ὑψωθήσεται τὸ κέρας ἡμῶν. Ὅτι τοῦ κυρίου ἡ ἀντίληψις, καὶ τοῦ ἁγίου Ἰσραὴλ βασιλέως ἡμῶν. Τότε ἐλάλησας ἐν ὁράσει τοῖς υἱοῖς σου, καὶ εἶπας, ἐθέμην βοήθειαν ἐπὶ δυνατόν, ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου. Εὗρον Δαβὶδ τὸν δοῦλόν μου, ἐν ἐλαίῳ ἁγίῳ μου

μου ἔχρισα αὐτόν. Ἡ γὰρ χείρ μου συν
αντιλήψεται αὐτῷ, καὶ ὁ βραχίων
μου κατισχύσει αὐτόν. Οὐκ ὠφε-
λήσει ἐχθρὸς ἐν αὐτῷ, καὶ υἱὸς ἀνο-
μίας οὐ προσθήσει τοῦ κακῶσαι αὐ-
τόν. Καὶ συγκόψω ἀπὸ προσώπου
αὐτοῦ τοὺς ἐχθροὺς αὐτοῦ, καὶ τοὺς μι-
σοῦντας αὐτὸν τροπώσομαι. Καὶ
ἡ ἀλήθειά μου καὶ τὸ ἔλεός μου μετ'
αὐτοῦ, καὶ ἐν τῷ ὀνόματί μου ὑψωθή-
σεται τὸ κέρας αὐτοῦ. Καὶ θήσομαι ἐν
θαλάσσῃ χεῖρα αὐτοῦ, καὶ ἐν ποτα-
μοῖς δεξιὰν αὐτοῦ. Αὐτὸς ἐπικαλέ-
σεταί με, πατήρ μου εἶ σύ, θεός μου, καὶ
ἀντιλήπτωρ τῆς σωτηρίας μου. Κἀ-
γὼ πρωτότοκον θήσομαι αὐτόν, ὑ-
ψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς.
Εἰς τὸν αἰῶνα φυλάξω αὐτῷ ἔλεός
μου, καὶ ἡ διαθήκη μου πιστὴ αὐτῷ.
Καὶ θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶ-
νος τὸ σπέρμα αὐτοῦ, καὶ τὸν θρόνον
αὐτοῦ, ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ.
Ἐὰν ἐγκαταλίπωσιν οἱ υἱοὶ αὐτοῦ τὸν
νόμον, καὶ ἐν τοῖς κρίμασί μου μὴ
πορευθῶσιν, ἐὰν τὰ δικαιώματά
μου βεβηλώσωσι, καὶ τὰς ἐντολάς μου
μὴ φυλάξωσιν, ἐπισκέψομαι ἐν
ῥάβδῳ τὰς ἀνομίας αὐτῶν, καὶ ἐν μά-
στιξι τὰς ἀδικίας αὐτῶν. Τὸ δὲ ἔλεός
μου οὐ μὴ διασκεδάσω ἀπ' αὐτῶν,
οὐδ' οὐ μὴ ἀδικήσω ἐν τῇ ἀληθείᾳ
μου. Οὐδ' οὐ μὴ βεβηλώσω τὴν δια-
θήκην μου, καὶ τὰ ἐκπορευόμενα διὰ
τῶν χειλέων μου οὐ μὴ ἀθετήσω. Ἅπαξ
ὤμοσα

meo unxi eum. Manus e-
nim mea auxiliabitur ei,
& brachium meum con-
firmabit eum. Nihil profi-
ciet inimicus in eo, & fi-
lius iniquitatis non appo-
net malis afficere eum. Et
concidam à cõspectu eius
hostes eius, et exosos eum
in fugam uertam. Et ueri-
tas mea & misericordia
mea cum ipso, & in nomi-
ne meo exaltabitur cor-
nu eius. Et ponam in mari
manum eius, & in flumi-
nibus dexteram eius. Ipse
inuocabit me, pater meus
es tu, deus meus & susce-
ptor salutis meæ. Et ego
primogenitum ponam il-
lum, altum præ regibus
terræ. In seculum custodi-
am illi misericordiam me
am, et testamentum meum
fidum ei. Et ponam in se-
culum seculi semen eius,
& solium eius ut dies cœ
li. Si dereliquerint filii e-
ius legem meam, & in iu-
diciis meis non ambulaue
rint, si iustitias meas teme-
rauerint, & præcepta mea
non custodierint, inuisam
in uirga iniquitates eorũ,
& in flagellis peccata eo-
rum. Misericordiam au-
tem meam nequaquam di
spergam ab eis, neq; un-
quam iniustè agam in ue-
ritate mea. Neq; unquam
temerabo testamentum
meum, & egredientia
per labia mea nequa-
quam alienabo. Semel
iuraui

iuraui in sancto meo, si Dauid mentiar. Semē eius in seculum manebit, & soliū eius ut sol coram me, et ut luna compacta in seculū, & testis in cœlo fidus. Diapsalma. Tu uerò ademouisti, & ad nihilum redegisti, distulisti Christū tuum. Peruertisti testamētum serui tui, temerasti in terram sacrarium eius. Destruxisti omnes sepes eius, posuisti munitiones eius formidinem. Diripuerunt eum omnes transeuntes uiam, factus est uituperium uicinis suis. Extulisti dexteram affligentium eum, exhilarasti omnes inimicos eius. Auertisti auxiliū gladii eius, & non recepisti eum in bello. Dissoluisti à purgatione sua, soliū eius in terram collisisti. Tenuasti dies tēporis eius, perfudisti eum pudore. Usquequo domine auerteris in finem, exardescet ut ignis ira tua? Memor sis, quæ mea substantia. Num enim uane cōdidisti omnes filios hominum? Quis est homo, qui uiuet, & non uidebit mortem, liberabit animam suam è manu inferi? Diapsalma. Ubi sunt misericordiæ tuæ antiquæ, domine, quas iurasti David in ueritate tua. Memor sis Domine [illegible] utu-

[illegible]

ὤμοσα ἐν τῷ ἁγίῳ μου, εἰ τῷ Δαβὶδ ψεύσομαι. Τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μενεῖ, καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου, καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα, καὶ ὁ μάρτυς ἐν οὐρανῷ πιστός. Διάψαλμα. Σὺ δὲ ἀπώσω, καὶ ἐξουδένωσας, ἀνεβάλου τὸν χριστόν σου. Κατέστρεψας τὴν διαθήκην τοῦ δούλου σου, ἐβεβήλωσας εἰς τὴν γῆν τὸ ἁγίασμα αὐτοῦ. Καθεῖλες πάντας τοὺς φραγμοὺς αὐτοῦ, ἔθου τὰ ὀχυρώματα αὐτοῦ δειλίαν. Διήρπασαν αὐτὸν πάντες οἱ διαπορευόμενοι ὁδόν, ἐγενήθη ὄνειδος τοῖς γείτοσιν αὐτοῦ. Ὕψωσας τὴν δεξιὰν τῶν θλιβόντων αὐτόν, εὔφρανας πάντας τοὺς ἐχθροὺς αὐτοῦ. Ἀπέστρεψας τὴν βοήθειαν τῆς ῥομφαίας αὐτοῦ, καὶ οὐκ ἀντελάβου αὐτοῦ ἐν τῷ πολέμῳ. Κατέλυσας ἀπὸ καθαρισμοῦ αὐτόν, τὸν θρόνον αὐτοῦ εἰς τὴν γῆν κατέρραξας. Ἐσμίκρυνας τὰς ἡμέρας τοῦ θρόνου αὐτοῦ, κατέχεας αὐτοῦ αἰσχύνην. Ἕως πότε κύριε ἀποστρέψῃ εἰς τέλος, ἐκκαυθήσεται ὡς πῦρ ἡ ὀργή σου; Μνήσθητι, τίς μου ἡ ὑπόστασις. Μὴ γὰρ ματαίως ἔκτισας πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων; Τίς ἐστιν ἄνθρωπος, ὃς ζήσεται, καὶ οὐκ ὄψεται θάνατον, ῥύσεται τὴν ψυχὴν αὐτοῦ ἐκ χειρὸς ᾅδου; Διάψαλμα. Ποῦ εἰσι τὰ ἐλέη σου τὰ ἀρχαῖα, κύριε, ἃ ὤμοσας τῷ Δαβὶδ ἐν τῇ ἀληθείᾳ σου. Μνήσθητι κύριε

τοῦ ὀνειδισμοῦ τῶν δούλων σου, οὗ ὑπέσχον ἐν τῷ κόλπῳ μου πολλῶν ἐθνῶν, οὗ ὠνείδισαν οἱ ἐχθροί σου κύριε, οὗ ὠνείδισαν τὸ ἀντάλλαγμα τοῦ χριστοῦ σου. Εὐλογητὸς κύριος εἰς τὸν αἰῶνα. Γένοιτο, γένοιτο. Δόξα.

Προσευχὴ μωϋσῆ ἀνθρώπου θεοῦ, πθ.

Κύριε καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ. Πρὸ τοῦ ὄρη γενηθῆναι, καὶ πλασθῆναι τὴν γῆν καὶ τὴν οἰκουμένην, καὶ ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ. Μὴ ἀποστρέψῃς ἄνθρωπον εἰς ταπείνωσιν, καὶ εἶπας, Ἐπιστρέψατε υἱοὶ τῶν ἀνθρώπων. Ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου, κύριε, ὡς ἡμέρα ἡ ἐχθὲς, ἥτις διῆλθε, καὶ φυλακὴ ἐν νυκτί. Τὰ ἐξουδενώματα αὐτῶν ἔτη ἔσονται. Τὸ πρωῒ ὡσεὶ χλόη παρέλθοι, τὸ πρωῒ ἀνθήσαι, καὶ παρέλθοι, τὸ ἑσπέρας ἀποπέσοι, σκληρυνθείη, καὶ ξηρανθείη. Ὅτι ἐξελίπομεν ἐν τῇ ὀργῇ σου, καὶ ἐν τῷ θυμῷ σου ἐταράχθημεν. Ἔθου τὰς ἀνομίας ἡμῶν ἐναντίον σου, ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου σου. Ὅτι πᾶσαι αἱ ἡμέραι ἡμῶν ἐξέλιπον, καὶ ἐν τῇ ὀργῇ σου ἐξελίπομεν. Τὰ ἔτη ἡμῶν ὡσεὶ ἀράχνη ἐμελέτων, αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη, ἐὰν δὲ ἐν δυναστείαις, ὀγδοήκοντα ἔτη καὶ τὸ πλεῖον αὐτῶν, κόπος καὶ πόνος. Ὅτι ἐπῆλθε πραότης ἐφ' ἡμᾶς, καὶ παιδευθησόμεθα.

Τίς

uituperii seruorum tuorũ, quod sustinui in sinu meo multarum gentium, quo uituperarunt inimici tui domine, quo uituperauerunt commutationẽ Christi tui. Benedictus dominus in seculum. Fiat, fiat. Gloria.

Oratio Moysi hominis dei, LXXXIX.

Domine confugium factus es nobis, in progenie & progenie. Priusq̃ mõtes fierẽt, et formaret terra & orbis habitabilis, & à seculo & usq; in seculũ tu es. Ne auerteris hominẽ in humilitatẽ, & dixisti, Cõuertire filii hominũ. Quia mille anni in oculis tuis, dñe, ut dies heri, quæ præteriit, et custodia in nocte. Pro nihilo habita, eorum anni erũt. Mane sicut herba trãseat, mane floreat, et trãseat, uespere decidat, induret, & arescat. Quia defecimus in ira tua, & in furore tuo turbati sumus. Posuisti iniquitates nostras corã te, seculũ nostrũ in illuminationẽ cõspect⁹ tui. Quia oẽs dies nr̃i defecerũt, & in ira tua defecim⁹. Gen. 6 Anni nostri sicut aranea Eccl. 18 meditabanẽ, dies annorũ nostrorum in ipsis septuaginta anni, si autem in potestatibus, octoginta anni, & plus eorũ, labor & dolor. Quia superuenit mãsuetudo in nos, et erudiemur.

Quia

Quis cognoscit robur iræ tuæ, & à timore tuo furorem tuum enumerare? Dexteram tuam ita notã fac mihi, & uinctos corde in sapientia. Conuerte domine aliquousq;, & aduocare in seruis tuis. Impleti sumus mane misericordia tua, domine, & lætati sumus, & gauisi sumus. In omnibus diebus nostris gauisi sumus, pro quibus diebus humiliasti nos annis, quibus uidimus mala. Et uide in seruos tuos & in opera tua, & per uiam deduc filios eorum. Et sit splendor domini dei nostri super nos, & opera manuũ nostrarum dirige in nos, & opus manuum nostrarum dirige.

Laus carminis Dauid sine inscriptione apud Hebræos, LXXXX.

Inhabitans in auxilio altissimi, in tegmine dei cœli diuersabitur. Dicet domino, Susceptor meus es & confugium meũ, deus meus, & sperabo in eum. Quia ipse liberabit te è laqueo uenatorum, & à sermõe duro. In scapulis suis obũbrabit tibi, et sub pennis eius sperabis. Armis cinget te ueritas eius, non timebis à timore nocturno, à iaculo uolante die, ab actione in tenebris perambulante, à collisio-

ne

Τίς γινώσκει τὸ κράτος τῆς ὀργῆς σου, καὶ ἀπὸ τοῦ φόβου σου τὸν θυμόν σου ἐξαριθμήσασθαι; Τὴν δεξιάν σου οὕτως γνώρισόν μοι, καὶ τοὺς πεπεδημένους τῇ καρδίᾳ ἐν σοφίᾳ. Ἐπίστρεψον κύριε ἕως πότε, καὶ παρακλήθητι ἐπὶ τοῖς δούλοις σου. Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου, κύριε, καὶ ἠγαλλιασάμεθα, καὶ εὐφράνθημεν. Ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν εὐφρανθείημεν, ἀνθ᾽ ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν, ὧν εἴδομεν κακά. Καὶ ἰδὲ ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν. Καὶ ἔστω ἡ λαμπρότης κυρίου τοῦ θεοῦ ἡμῶν ἐφ᾽ ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ᾽ ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.

Αἶνος ᾠδῆς τῷ Δαβίδ ἀνεπίγραφος παρ᾽ Ἑβραίοις, ϟ.

Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ ὑψίστου, ἐν σκέπῃ τοῦ θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται. Ἐρεῖ τῷ κυρίῳ, ἀντιλήπτωρ μου εἶ, καὶ καταφυγή μου, ὁ θεός μου, καὶ ἐλπιῶ ἐπ᾽ αὐτόν. Ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν, καὶ ἀπὸ λόγου ταραχώδους. Ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοί, καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς. Ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ, οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας, ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, ἀπὸ συμπτώμα-

τος

τοῦ καὶ δαιμονίου μεσημβρινοῦ. Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιάς, καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ. Πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει. Ὅτι σὺ κύριε ἡ ἐλπίς μου, τὸν ὕψιστον ἔθου καταφυγήν σου. Οὐ προσελεύσεται πρός σε κακά, καὶ μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ σκηνώματί σου. Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περί σου, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου. Ἐπί χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. Ἐπ᾽ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα. Ὅτι ἐπ᾽ ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν. Σκεπάσω αὐτόν, ὅτι ἔγνω τὸ ὄνομά μου. Κεκράξεται πρός με, καὶ ἐπακούσομαι αὐτοῦ, μετ᾽ αὐτοῦ εἰμι ἐν θλίψει. Ἐξελοῦμαι αὐτόν, καὶ δοξάσω αὐτόν. Μακρότητα ἡμερῶν ἐμπλήσω αὐτόν, καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου. Δόξα. Κάθισμα ιβ.

Ψαλμὸς ᾠδῆς εἰς τὴν ἡμέραν τοῦ σαββάτου, ϟα.

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου, ὕψιστε, τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα, ἐν δεκαχόρδῳ ψαλτηρίῳ, μετ᾽ ᾠδῆς ἐν κιθάρᾳ. Ὅτι εὔφρανάς με κύριε ἐν τῷ ποιήματί σου, καὶ ἐν

τοῖς

ne & dæmonio meridiano. Cadent à latere tuo mille, et decem millia à dextris tuis, ad te autem non propinquabit. Sed oculis tuis considerabis, et redditionem peccatorum uidebis. Quia tu domine spes mea, altissimum posuisti confugium tuum. Non aduenient ad te mala, et flagellum non propinquabit in tabernaculo tuo. Quia legatis suis præcipiet de te, ut custodiant te in omnibus uiis tuis. (Matth. 4, Luc. 4) In manibus gestabunt te, ne forte offendas ad lapidem pedẽ tuum. Super aspidẽ et basiliscum ascendes, et conculcabis leonem et draconẽ. Quia in me sperauit, et liberabo eum. Tegã eum, quia cognouit nomen meum. Clamabit ad me, et exaudiam eum, cũ ipso sum in afflictionẽ. Eripiã eum, et gloria afficiã eum. Lõgitudine dierum implebo eum, & ostendam illi salutare meum. Gloria. Cõsessus duodecimus.

Psalmus carminis in diem sabbati, LXXXXI.

Bonum confiteri domino, et canere nomini tuo altissime, ad annunciandũ mane misericordiã tuam, et ueritatem tuam per noctem, in decem chordarũ psalterio, cũ carmine in cithara. Quia delectasti me dñe in figmento tuo, et in

ope-

operibus manuũ tuarum lætabor. Quàm magna reddita ſunt opera tua domine, ualde in profundum merſæ ſunt cogitationes tuæ. Vir inſipiens nõ cognoſcet, & ſtultus non intelliget hæc. Cum exorti fuerint peccatores ſicut fœnum, & nutarũt omnes operantes iniquitatem, ut intereant in ſeculum ſeculi. Tu autem altiſsimus in ſeculum domine. Quia ecce, inimici tui, domine, quia ecce, inimici tui peribunt. Et diſpergentur omnes operantes iniquitatẽ, & efferetur ut unicornis cornu meum, & ſenectus mea in oleo pingui. Et inſpexit oculus meus in inimicis meis, & in inſurgentibus in me, malignè agentibus audiet auris mea. Iuſtus ut palma florebit, ſicut cedrus in Libano multiplicabitur. Plãtati in domo domini, in atriis dei noſtri efflorebunt. Adhuc multiplicabuntur in ſenecta, & bene patientes erunt, ut annuncient. Quia rectus dominus, deus noſter, & non eſt iniuſtitia in eo.

In diem ante feriam, quan do inhabitata fuerat terra, laus carminis Dauid, LXXXXII.

Dominus regnauit, honeſtatem indutus eſt. Indutus eſt dominus potentiam, & accinctus eſt, & enim

τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιάσομαι. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου κύριε, σφόδρα ἐβαθύνθησαν οἱ διαλογισμοί σου. Ἀνὴρ ἄφρων οὐ γνώσεται, καὶ ἀσύνετος οὐ συνήσει ταῦτα. Ἐν τῷ ἀνατεῖλαι ἁμαρτωλοὺς ὡσεὶ χόρτον, καὶ διέκυψαν πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ὅπως ἂν ἐξολοθρευθῶσιν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Σὺ δὲ ὕψιστος εἰς τὸν αἰῶνα κύριε. Ὅτι ἰδοὺ, οἱ ἐχθροί σου, κύριε, ὅτι ἰδοὺ, οἱ ἐχθροί σου ἀπολοῦνται. Καὶ διασκορπισθήσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, καὶ ὑψωθήσεται ὡς μονοκέρωτος τὸ κέρας μου, καὶ τὸ γῆράς μου ἐν ἐλαίῳ πίονι. Καὶ ἐπεῖδεν ὁ ὀφθαλμός μου ἐν τοῖς ἐχθροῖς μου, καὶ ἐν τοῖς ἐπανισταμένοις ἐπ' ἐμὲ, πονηρευομένοις ἀκούσεται τὸ οὖς μου. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται. Πεφυτευμένοι ἐν τῷ οἴκῳ κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ θεοῦ ἡμῶν ἐξανθήσουσιν. Ἔτι πληθυνθήσονται ἐν γήρει πίονι, καὶ εὐπαθοῦντες ἔσονται τοῦ ἀναγγεῖλαι. Ὅτι εὐθὴς κύριος, ὁ θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ.

Εἰς τὴν ἡμέραν τοῦ προσαββάτου, ὅτε κατῴκιστο ἡ γῆ, αἶνος ᾠδῆς τῷ Δαβίδ, ϟβ.

Ὁ κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. Ἐνεδύσατο κύριος δύναμιν, καὶ περιεζώσατο, καὶ γὰρ

γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. Ἕτοιμος ὁ θρόνος σου ἀπὸ τότε, ἀπὸ τοῦ αἰῶνος σὺ εἶ. Ἐπῆραν οἱ ποταμοί, κύριε, ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν. Ἀροῦσιν οἱ ποταμοὶ ἐπιτρίψεις αὐτῶν, ἀπὸ φωνῶν ὑδάτων πολλῶν. Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης, θαυμαστὸς ἐν ὑψηλοῖς ὁ κύριος. Τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα, τῷ οἴκῳ σου πρέπει ἁγίασμα κύριε, εἰς μακρότητα ἡμερῶν.

Ψαλμὸς τῷ Δαβὶδ τετράδι σαββάτου, ϟγ.

Θεὸς ἐκδικήσεων κύριος, θεὸς ἐκδικήσεων ἐπαρρησιάσατο. Ὑψώθητι ὁ κρίνων τὴν γῆν, ἀπόδος ἀνταπόδοσιν τοῖς ὑπερηφάνοις. Ἕως πότε ἁμαρτωλοί, κύριε, ἕως πότε ἁμαρτωλοὶ καυχήσονται; Φθέγξονται, καὶ λαλήσουσιν ἀδικίαν, λαλήσουσι πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. Τὸν λαόν σου κύριε ἐταπείνωσαν, καὶ τὴν κληρονομίαν σου ἐκάκωσαν. Χήραν καὶ ὀρφανὸν ἀπέκτειναν, καὶ προσήλυτον ἐφόνευσαν. Καὶ εἶπαν, οὐκ ὄψεται κύριος, οὐδὲ συνήσει ὁ θεὸς τοῦ Ἰακώβ. Σύνετε δὴ ἄφρονες ἐν τῷ λαῷ, καὶ μωροί ποτε φρονήσατε. Ὁ φυτεύσας τὸ οὖς οὐχὶ ἀκούει; Ἢ ὁ πλάσας τὸν ὀφθαλμὸν οὐχὶ κατανοεῖ; Ὁ παιδεύων ἔθνη οὐχὶ ἐλέγξει, ὁ διδάσκων ἄνθρωπον γνῶσιν; Κύριος γινώσκει

τοὺς

enim firmauit terram habitabilem, quæ non mouebitur. Parata sedes tua exinde, à seculo tu es. Eleuauerunt flumina, domine, eleuauerunt flumina uoces suas. Eleuabunt flumina allisiones suas à uocibus aquarum multarum. Mirandæ elationes maris, mirandus in altis dominus. Testimonia tua fida reddita sunt ualde, domum tuam decet sanctio domine, in longitudinem dierum.

Psalmus Dauid quarta sabbati, LXXXXIII.

Deus ultionū dominus, deus ultionū libere egit. Exaltare iudicans terrā, redde retaliationem superbis. Vsq; quo peccatores domine, usq; quo peccatores iactabunt? Sonabūt, & loquentur iniustitiam, loquentur omnes operantes iniquitatem. Populum tuum domine humiliauerūt, & hæreditatem tuam male affecerunt. Viduam & pupillum interfecerunt, et aduenam occiderunt. Et dixerunt, Non uidebit dominus, neq; intelliget deus Iacob. Intelligite iam insipientes in populo, & stulti aliquando sapite. Plantans aurem nō audit? Aut formans oculum non considerat? Erudiens gentes non arguet, docens hominem cognitionem. Dominus cognoscit cogita-

gitationes hominũ, quod sunt uanæ. Beatus homo, quem erudies domine, & ex lege tua docebis eũ, ut mitiges eum à diebus malis, usq; quo fodiatur peccatori fouea. Quia nõ amouebit dominus populũ suum, & hæreditatem suã non derelinquet, usq; quo iustitia conuertet in iudicium, & iuncti eius omnes recti corde. Diapsalma.

Quis resurget mihi in malignè agentibus? Aut quis assistet mecũ in operãtibus iniquitatẽ? Nisi q̃a dominus auxiliatus est mihi, in breui accoluisset in inferno anima mea. Si dicebam, Motus est pes meus, misericordia tua domine auxiliabitur mihi. Pro multitudine dolorum meorum in corde meo, consolationes tuæ exhilararũt animam meam. Num simul adsit tibi soliũ iniquitatis, formans laborem ad præceptum. Venabuntur in anima iusti, & sanguinẽ innocentem condemnabunt. Et factus est mihi dominus in confugium, & deus meus in auxiliatorẽ spei meæ. Et reddet illis dominus iniquitatem ipsorum, & pro prauitate eorum obscurabit illos dominus deus. Gloria.

Laus carminis Dauid, sine inscriptione apud Hebræos, LXXXXIIII.

Agite, lætemur domino,

τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων, ὅτι εἰσὶ μάταιοι. Μακάριος ἄνθρωπος, ὃν ἂν παιδεύσῃς κύριε, καὶ ἐκ τοῦ νόμου σου διδάξεις αὐτόν, τοῦ πραΰναι αὐτὸν ἀφ' ἡμερῶν πονηρῶν, ἕως οὗ ὀρυγῇ τῷ ἁμαρτωλῷ βόθρος. Ὅτι οὐκ ἀπώσεται κύριος τὸν λαὸν αὐτοῦ, καὶ τὴν κληρονομίαν αὐτοῦ οὐκ ἐγκαταλείψει, ἕως οὗ δικαιοσύνη ἐπιστρέψει εἰς κρίσιν, καὶ ἐχόμενοι αὐτῆς πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ. Διάψαλμα. Τίς ἀναστήσεταί μοι ἐπὶ πονηρευομένοις; Ἢ τίς συμπαραστήσεταί μοι ἐπὶ τοῖς ἐργαζομένοις τὴν ἀνομίαν; Εἰ μὴ ὅτι κύριος ἐβοήθησέ μοι, παρὰ βραχὺ παρῴκησεν τῷ ᾅδῃ ἡ ψυχή μου. Εἰ ἔλεγον, σεσάλευται ὁ πούς μου, τὸ ἔλεός σου κύριε ἐβοήθει μοι. Κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου, αἱ παρακλήσεις σου εὔφραναν τὴν ψυχήν μου. Μὴ συμπροσέσται σοι θρόνος ἀνομίας, ὁ πλάσσων κόπον ἐπὶ πρόσταγμα. Θηρεύσουσιν ἐπὶ ψυχὴν δικαίου, καὶ αἷμα ἀθῷον καταδικάσονται. Καὶ ἐγένετό μοι κύριος εἰς καταφυγήν, καὶ ὁ θεός μου εἰς βοηθὸν ἐλπίδος μου. Καὶ ἀποδώσει αὐτοῖς κύριος τὴν ἀνομίαν αὐτῶν, καὶ κατὰ τὴν πονηρίαν αὐτῶν ἀφανιεῖ αὐτοὺς κύριος ὁ θεός. Δόξα.

Αἶνος ᾠδῆς τῷ Δαβίδ, ἀνεπίγραφος παρ' ἑβραίοις, ϟδ.

Δεῦτε, ἀγαλλιασώμεθα τῷ κυρίῳ,

ρίῳ, ἀλαλάξωμεν τῷ θεῷ, τῷ σωτῆ-
ρι ἡμῶν. Προφθάσωμεν τὸ πρόσωπον
αὐτοῦ ἐν ἐξομολογήσει, καὶ ἐν ψαλμοῖς
ἀλαλάξωμεν αὐτῷ. Ὅτι θεὸς, μέγας
κύριος, καὶ βασιλεὺς μέγας ἐπὶ πᾶ-
σαν τὴν γῆν. Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ
τὰ πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν ὀρέ-
ων αὐτοῦ εἰσιν. Ὅτι αὐτοῦ ἐστιν ἡ θά-
λασσα, καὶ αὐτὸς ἐποίησεν αὐτὴν, καὶ
τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν.
Δεῦτε, προσκυνήσωμεν, καὶ προσπέ-
σωμεν αὐτῷ, καὶ κλαύσωμεν ἐναντί-
ον κυρίου τοῦ ποιήσαντος ἡμᾶς. Ὅτι
αὐτός ἐστιν ὁ θεὸς ἡμῶν, καὶ ἡμεῖς λα-
ὸς νομῆς αὐτοῦ, καὶ πρόβατα χειρὸς αὐ-
τοῦ. Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ
ἀκούσητε, μὴ σκληρύνητε τὰς καρ-
δίας ὑμῶν, ὡς ἐν τῷ παραπικρα-
σμῷ, κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ
ἐν τῇ ἐρήμῳ, οὗ ἐπείρασάν με οἱ πα-
τέρες ὑμῶν. Ἐδοκίμασάν με, καὶ εἶδον
τὰ ἔργα μου. Τεσσαράκοντα ἔτη προσ-
ώχθισα τῇ γενεᾷ ἐκείνῃ. Καὶ εἶπα,
ἀεὶ πλανῶνται τῇ καρδίᾳ, αὐτοὶ δὲ
οὐκ ἔγνωσαν τὰς ὁδούς μου. Ὡς ὤμο-
σα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται
εἰς τὴν κατάπαυσίν μου.

Αἶνος ᾠδῆς τῷ Δαβὶδ, ὅτε ὁ οἶκος
ᾠκοδόμητο μετὰ τὴν αἰχμαλωσίαν,
ἀνεπίγραφος παρ' ἑβραίοις, ϙϛ.

Ἄσατε τῷ κυρίῳ ᾆσμα καινὸν, ἄσατε τῷ κυρίῳ πᾶσα ἡ γῆ.
Ἄσατε τῷ κυρίῳ, εὐλογήσατε τὸ ὄνομα αὐτοῦ. Εὐαγγελίζεσθε ἡμέ-

mino, iubilemus deo, Salnatori nostro. Præueniamus conspectum eius in confessione, & in canticis iubilemus ei. Quia deus, magnus dominus, & rex magnus per omnem terram. Quia in manu eius fines terræ, & altitudines mõtium ipsius sunt. Quia ipsius est mare, & ipse fecit illud, & aridam manus eius formauerunt. Agite, adoremus, & procidamus ei, & ploremus coram domino facienti nos. Quia ipse est deus noster, et nos populus pascuæ eius, &
oues manus eius. Hodie si Heb.3.4
uocem eius audieritis, ne induretis corda uestra, ut in exacerbatione, per diẽ tentationis in deserto, ubi tentauerunt me patres uestri. Probauerunt me, & uiderunt opera meà. Quadraginta annos molestus fui progeniei huic. Et dixi, Semper errant corde, ipsi uerò non cognouerũt uias meas. Sic iuraui in ira mea, si introibunt in requiem meam.

Laus carminis Dauid, quando domus ædificata fuerat post captiuitatem, sine inscriptione apud Hebræos, LXXXXV.

Cantate domino canti- 1.Par.14
cum nouũ, cantate domino omnis terra. Cantate domino, benedicite nomini eius. Annunciate

diem

diem ex die salutare eius, renunciate in gẽtibus gloriam eius, in omnibus populis mirabilia eius. Quia magnus dominus & laudatus ualde, terribilis est super omnes deos. Quia omnes dii gentium dæmonia, at dominus cœlos fecit. Confessio & pulchritudo coram eo, sanctimonia & magnificentia in sanctificatione eius. Ferte domino patriæ gentium, ferte dominō gloriam & honorem. Ferte dominō gloriam nomini eius. Tollite hostias, & introite in atria eius. Adorate dominum in atrio sancto eius.

Moueatur à conspectu eius omnis terra. Dicite in gentibus, quia dominus regnauit. Et enim correxit terram habitabilem, quæ non mouebitur, iudicabit populos in rectitudine. Gaudeant cœli, & lætetur terra. Moueatur mare & plenitudo eius.

Gaudebunt campi, & omnia quæ in eis. Tunc lætabuntur omnia ligna siluæ à conspectu domini, quia uenit, quia uenit iudicare terram. Iudicabit terram habitabilem in iustitia, & populos in ueritate sua.

ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον αὐτοῦ, ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ, ἐν πᾶσι λαοῖς τὰ θαυμάσια αὐτοῦ. Ὅτι μέγας κύριος καὶ αἰνετὸς σφόδρα, φοβερός ἐστιν ὑπὲρ πάντας τοὺς θεούς. Ὅτι πάντες οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια, ὁ δὲ κύριος τοὺς οὐρανοὺς ἐποίησεν. Ἐξομολόγησις καὶ ὡραιότης ἐνώπιον αὐτοῦ, ἁγιωσύνη καὶ μεγαλοπρέπεια ἐν τῷ ἁγιάσματι αὐτοῦ. Ἐνέγκατε τῷ κυρίῳ αἱ πατριαὶ τῶν ἐθνῶν, ἐνέγκατε τῷ κυρίῳ δόξαν καὶ τιμήν. Ἐνέγκατε τῷ κυρίῳ δόξαν ὀνόματι αὐτοῦ. Ἄρατε θυσίας, καὶ εἰσπορεύεσθε εἰς τὰς αὐλὰς αὐτοῦ. Προσκυνήσατε τῷ κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ. Σαλευθήτω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ. Εἴπατε ἐν τοῖς ἔθνεσιν, ὅτι κύριος ἐβασίλευσε. Καὶ γὰρ κατώρθωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται, κρινεῖ λαοὺς ἐν εὐθύτητι. Εὐφραινέσθωσαν οἱ οὐρανοί, καὶ ἀγαλλιάσθω ἡ γῆ. Σαλευθήτω ἡ θάλασσα καὶ τὸ πλήρωμα αὐτῆς. Χαρήσεται τὰ πεδία, καὶ πάντα τὰ ἐν αὐτοῖς. Τότε ἀγαλλιάσονται πάντα τὰ ξύλα τοῦ δρυμοῦ, ἀπὸ προσώπου κυρίου, ὅτι ἔρχεται, ὅτι ἔρχεται κρῖναι τὴν γῆν. Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ λαοὺς ἐν ἀληθείᾳ αὐτοῦ.

Ψαλμὸς τῷ Δαβίδ, ὅτε ἡ γῆ αὐτῷ καθίσατο, ἀνεπίγραφος παρ' ἑβραίοις, ϟς.

Ὁ κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ, εὐφρανθήτωσαν νῆσοι πολλαί. Νεφέλη καὶ γνόφος κύκλῳ αὐτοῦ, δικαιοσύνη καὶ κρῖμα, κατόρθωσις τοῦ θρόνου αὐτοῦ. Πῦρ ἐνώπιον αὐτοῦ προπορεύεται, καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ. Ἔφαναν αἱ ἀστραπαὶ αὐτοῦ τῇ οἰκουμένῃ, εἶδε, καὶ ἐσαλεύθη ἡ γῆ. Τὰ ὄρη ὡσεὶ κηρὸς ἐτάκησαν ἀπὸ προσώπου κυρίου, ἀπὸ προσώπου κυρίου πάσης τῆς γῆς. Ἀνήγγειλαν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ εἴδοσαν πάντες οἱ λαοὶ τὴν δόξαν αὐτοῦ. Αἰσχυνθήτωσαν πάντες οἱ προσκυνοῦντες τοῖς γλυπτοῖς, οἱ ἐγκαυχώμενοι ἐν τοῖς εἰδώλοις αὐτῶν. Προσκυνήσατε αὐτῷ πάντες ἄγγελοι αὐτοῦ. Ἤκουσε, καὶ εὐφράνθη ἡ σιών, καὶ ἠγαλλιάσαντο αἱ θυγατέρες τῆς ἰουδαίας, ἕνεκεν τῶν κριμάτων σου, κύριε. Ὅτι σὺ κύριος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν, σφόδρα ὑπερυψώθης ὑπὲρ πάντας τοὺς θεούς. Οἱ ἀγαπῶντες τὸν κύριον μισεῖτε πονηρά. Φυλάσσει κύριος τὰς ψυχὰς τῶν ὁσίων αὐτοῦ, ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσεται αὐτούς. Φῶς ἀνέτειλε τῷ δικαίῳ, καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνη. Εὐφράνθητε δίκαιοι ἐν τῷ κυρίῳ, καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ. Δόξα.

Psalmus Dauid, quando terra ei restituta est, sine inscriptione apud Hebræos, LXXXXVI.

Dñs regnauit, læteť terra, gaudeant insulæ multæ. Nubes & caligo in circuitu eius, iustitia & iudiciū, correctio solii eius. Ignis corā eo antecedet, et inflāmabit in circuitu inimicos eius. Illuxerunt fulgura eius terræ habitabili, uidit, & mota est terra. Montes sicut cera tabuerunt à conspectu domini, à conspectu domini omnis terræ. Renunciauerūt cœli iustitiam eius, & uiderunt omnes populi gloriam eius. Pudore afficiantur omnes adorantes sculpta, iactantes in simulachris suis. Adorate eum omnes angeli eius. Audiuit, & gauisa est Sion, & lætatæ sunt filiæ Iudeæ, propter iudicia tua, domine. Quia tu dominus altissimus per omnem terram, ualde exaltatus es super omnes deos. Amantes Dominum odio habete mala. Custodit dominus animas sanctorum suorum, è manu peccatoris liberabit eos. Lux orta est iusto, & rectis corde gaudium. Gaudete iusti in domino, & confitemini memoriæ sanctimoniæ eius. Gloria.

Psalmus Dauid XCVII.

Cantate domino canticum nouum, quia mirāda fecit dominus. Saluauit eum dextera eius, & brachium sanctum eius. Notum reddidit dominus salutare suum, coram gentibus retexit iustitiam suā. Meminit misericordiæ suæ Iacob, & ueritatis suę
Ies.2 Israel. Viderunt omnes fines terræ salutare dei nostri. Iubilate deo omnis terra, cantate, & lætemini, et canite. Canite domino in cithara, in cithara & uoce cantici, in tubis ductilibus, & uoce tubæ corneæ. Iubilate coram rege Domino. Moueatur mare & plenitudo eius, terra habitabilis & omnes inhabitantes in ea. Flumina plaudent manu in hoc ipsum, montes lætabuntur à conspectu dñi, quia uenit,
Sup.95 quia uadit iudicare terram. Iudicabit terram habitabilem in iustitia, et populos in rectitudine.

Psalmus Dauid XCVIII.

Dominus regnauit, irascantur populi. Considens super Cherubim, moueatur terra. Dominus in Siõ magnus, & altus est per omnes populos. Confiteantur nomini tuo magno, quoniam terribile & sanctum est, & honor regis

Ψαλμὸς τῷ Δαβὶδ ϟζ.

Ἄσατε τῷ κυρίῳ ᾆσμα καινὸν, ὅτι θαυμαστὰ ἐποίησεν ὁ κύριος. Ἔσωσεν αὐτὸν ἡ δεξιὰ αὐτοῦ, καὶ ὁ βραχίων ὁ ἅγιος αὐτοῦ. Ἐγνώρισε κύριος τὸ σωτήριον αὐτοῦ, ἐναντίον τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ. Ἐμνήσθη τοῦ ἐλέους αὐτοῦ τῷ ἰακὼβ, καὶ τῆς ἀληθείας αὐτοῦ τῷ ἰσραήλ. Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ θεοῦ ἡμῶν. Ἀλαλάξατε τῷ θεῷ πᾶσα ἡ γῆ, ᾄσατε, καὶ ἀγαλλιᾶσθε, καὶ ψάλατε τῷ κυρίῳ ἐν κιθάρᾳ, ἐν κιθάρᾳ καὶ φωνῇ ψαλμοῦ, ἐν σάλπιγξιν ἐλαταῖς, καὶ φωνῇ σάλπιγγος κερατίνης. Ἀλαλάξατε ἐνώπιον τοῦ βασιλέως κυρίου. Σαλευθήτω ἡ θάλασσα καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ. Ποταμοὶ κροτήσουσι χειρὶ ἐπὶ τὸ αὐτὸ, τὰ ὄρη ἀγαλλιάσονται ἀπὸ προσώπου κυρίου, ὅτι ἔρχεται, ὅτι ἥκει κρῖναι τὴν γῆν. Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ λαοὺς ἐν εὐθύτητι.

Ψαλμὸς τῷ Δαβὶδ ϟη.

Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί. Ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ, σαλευθήτω ἡ γῆ. Κύριος ἐν σιὼν μέγας, καὶ ὑψηλός ἐστιν ἐπὶ πάντας τοὺς λαούς. Ἐξομολογησάσθωσαν τῷ ὀνόματί σου τῷ μεγάλῳ, ὅτι φοβερὸν καὶ ἅγιόν ἐστι, καὶ τιμὴ βασι-

βασιλέως κρίσιν ἀγαπᾷ. Σὺ ἡτοίμασας εὐθύτητας, κρίσιν καὶ δικαιοσύνην ἐν ἰακὼβ σὺ ἐποίησας. Ὑψοῦτε κύριον, τὸν θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστι. Μωϋσῆς καὶ ἀαρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ, καὶ σαμουὴλ ἐν τοῖς ἐπικαλουμένοις τὸ ὄνομα αὐτοῦ. Ἐπεκαλοῦντο τὸν κύριον, καὶ αὐτὸς εἰσήκουσεν αὐτῶν. Ἐν στύλῳ νεφέλης ἐλάλει πρὸς αὐτοὺς, ὅτι ἐφύλασσον τὰ μαρτύρια αὐτοῦ, καὶ τὰ προστάγματα αὐτοῦ, ἃ ἔδωκεν αὐτοῖς. Κύριος ὁ θεὸς ἡμῶν, σὺ ἐπήκουες αὐτῶν. Ὁ θεὸς, σὺ εὐίλατος ἐγίνου αὐτοῖς, καὶ ἐκδικῶν ἐπὶ πάντα τὰ ἐπιτηδεύματα αὐτῶν. Ὑψοῦτε κύριον τὸν θεὸν ἡμῶν, καὶ προσκυνεῖτε εἰς ὄρος ἅγιον αὐτοῦ, ὅτι ἅγιος κύριος ὁ θεὸς ἡμῶν.

Ψαλμὸς τῷ δαβὶδ εἰς ἐξομολόγησιν, ϙθ.

Ἀλαλάξατε τῷ θεῷ πᾶσα ἡ γῆ, δουλεύσατε τῷ κυρίῳ ἐν εὐφροσύνῃ. Εἰσέλθετε ἐνώπιον αὐτοῦ ἐν ἀγαλλιάσει, γνῶτε, ὅτι κύριος αὐτός ἐστιν ὁ θεὸς ἡμῶν. Αὐτὸς ἐποίησεν ἡμᾶς, καὶ οὐχ ἡμεῖς. Ἡμεῖς δὲ λαὸς αὐτοῦ καὶ πρόβατα νομῆς αὐτοῦ. Εἰσέλθετε εἰς τὰς πύλας αὐτοῦ ἐν ἐξομολογήσει, εἰς τὰς αὐλὰς αὐτοῦ ἐν ὕμνοις. Ἐξομολογεῖσθε αὐτῷ, αἰνεῖτε τὸ ὄνομα αὐτοῦ. Ὅτι χρηστὸς κύριος, εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, καὶ ἕως γενεᾶς καὶ γενεᾶς ἡ ἀλήθεια αὐτοῦ. Ψαλ-

regis iudiciū diligit. Tu parasti rectitudines, iudiciū & iustitiā in Iacob tu fecisti. Efferte dominū, deū nostrum, & adorate scabellum pedum eius, quia sanctus est. Moyses & Aarō in sacerdotibus eius, et Samuel in inuocantibus nomen eius. Inuocabant dominum, & ipse exaudiebat eos. In columna nubis loquebatur ad eos, quia custodiebant testimonia eius, & pręcepta eius, quę dedit illis. Domine deus noster, tu exaudiebas eos. Deus, tu propitius fuisti eis, & ulciscens per omnia instituta eorum. Exaltate dominum deum nostrum, & adorate in montem sanctum eius, quia sanctus dominus deus noster.

Psalmus Dauid in confessione, XCIX.

Iubilate deo omnis terra, seruite domino in gaudio. Intrate corā eo in lætitia, cognoscite, quod dominus ipse est de⁹ noster. Ipse fecit nos, & non nos. Nos autem populus eius & oues pascuæ eius. Introite in portas eius in cōfessione, in atria eius in canticis. Confitemini illi, laudate nomē eius. Quia probus Dn̄s, in seculū misericordia eius, & usq; in progeniem & progeniem ueritas eius. Sup. 63

Psalmus Dauid C.

Misericordiam & iudicium cantabo tibi domine, canam, & conferam in uia inculpata. Quando uenies ad me? Perambulabā in innocentia cordis mei, in medio domus meæ. Nō proponebam ante oculos meos actionem iniquam, facientes transgressiones odio habui. Non agglutinatum est mihi cor prauū, declinante à me maligno, nō cognoscebam. Obloquentem clam propinquis suis, hunc persequebar. Superbo oculo & insatiabili corde, cum hoc non edebam. Oculi mei ad fidos terræ, ut considerant ipsi mecum. Ambulās in uia inculpata, hic mihi ministrabat. Non inhabitabat in medio dom⁹ meę faciens superbiam. Loquens iniusta non direxit coram oculis meis. In matutina interficiebam omnes peccatores terræ, ut euerterem ex urbe domini omnes operantes iniquitatem. Gloria. Confessus decimus tertius.

Oratio mēdico, cū anxius fuerit, & coram dño effuderit precationē suā, CI.

Inf. 141 Domine exaudi orationem meam, & clamor meus ad te ueniat. Ne auertas conspectum tuū à me. In quacunque die affligar, inclina ad me aurem tuam. In quacunque die

Ψαλμὸς τῷ Δαβὶδ ρ.

Ἔλεον καὶ κρίσιν ᾄσομαί σοι κύριε, ψαλῶ, καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ. Πότε ἥξεις πρός με; Διεπορευόμην ἐν ἀκακίᾳ καρδίας μου, ἐν μέσῳ τοῦ οἴκου μου. Οὐ προετιθέμην πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον, ποιοῦντας παραβάσεις ἐμίσησα. Οὐκ ἐκολλήθη μοι καρδία σκαμβὴ, ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ, οὐκ ἐγίνωσκον. Τὸν καταλαλοῦντα λάθρα τοῦ πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον. Ὑπερηφάνῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνήσθιον. Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, τοῦ συγκαθῆσθαι αὐτοὺς μετ' ἐμοῦ. Πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει. Οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου ποιῶν ὑπερηφανίαν. Λαλῶν ἄδικα οὐ κατεύθυνεν ἐνώπιον τῶν ὀφθαλμῶν μου. Εἰς τὰς πρωΐας ἀπέκτεινον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, τοῦ ἐξολοθρεῦσαι ἐκ πόλεως κυρίου πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν. Δόξα. Κάθισμα ιγ.

Προσευχὴ τῷ πτωχῷ, ὅταν ἀκηδιάσῃ, καὶ ἐναντίον κυρίου ἐκχέῃ τὴν δέησιν αὐτοῦ, ρα.

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, καὶ ἡ κραυγή μου πρός σε ἐλθέτω. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ. Ἐν ᾗ ἂν ἡμέρᾳ θλίβωμαι, κλῖνον πρός με τὸ οὖς σου. Ἐν ᾗ ἂν ἡμέρᾳ

ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ ἐπάκουσόν μου. Ὅτι ἐξέλιπον ὡσεὶ καπνὸς αἱ ἡμέραι μου, καὶ τὰ ὀστᾶ μου ὡσεὶ φρύγιον συνεφρύγησαν. Ἐπλήγην ὡσεὶ χόρτος, καὶ ἐξηράνθη ἡ καρδία μου, ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου. Ἀπὸ φωνῆς τοῦ στεναγμοῦ μου, ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου. Ὡμοιώθην πελεκᾶνι ἐρημικῷ. Ἐγενήθην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ. Ἠγρύπνησα, καὶ ἐγενόμην ὡς στρουθίον μονάζον ἐπὶ δώματος. Ὅλην τὴν ἡμέραν ὠνείδιζόν με οἱ ἐχθροί μου, καὶ οἱ ἐπαινοῦντές με κατ᾽ ἐμοῦ ὤμνυον. Ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον, καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων. Ἀπὸ προσώπου τῆς ὀργῆς σου καὶ τοῦ θυμοῦ σου, ὅτι ἐπάρας κατέρραξάς με. Αἱ ἡμέραι μου ὡσεὶ σκιὰ ἐκλίθησαν, κἀγὼ ὡσεὶ χόρτος ἐξηράνθην. Σὺ δὲ κύριε εἰς τὸν αἰῶνα μένεις, καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν. Σὺ ἀναστὰς οἰκτειρήσεις τὴν σιών, ὅτι καιρὸς τοῦ οἰκτειρῆσαι αὐτήν, ὅτι ἥκει καιρός. Ὅτι εὐδόκησαν οἱ δοῦλοί σου τοὺς λίθους αὐτῆς, καὶ τὸν χοῦν αὐτῆς οἰκτειρήσουσι. Καὶ φοβηθήσονται τὰ ἔθνη τὸ ὄνομα κυρίου, καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς τὴν δόξαν σου. Ὅτι οἰκοδομήσει κύριος τὴν σιών, καὶ ὀφθήσεται ἐν τῇ δόξῃ αὐτοῦ. Ἐπέβλεψεν ἐπὶ τὴν προσευχὴν τῶν ταπεινῶν, καὶ οὐκ ἐξουδένωσε τὴν δέησιν αὐτῶν.

die inuocauero te, cito exaudi me. Quia defecerunt sicut fumus dies mei, & ossa mea sicut cremium aruerunt. Percussus sum ut fœnum, & exaruit cor meũ, quia oblitus sum edere panem meum. A uoce gemitus mei agglutinatum est os meum carni meæ. Assimilatus sum pelecani solitario. Factus sum sicut nycticorax in domicilio. Vigilaui, & factus sum ut passer solitarius in tecto. Totam diem uituperabãt me hostes mei, & collaudantes me contra me iurabãt. Quia cinerem tanquã panem manducabam, & poculum meum cum fletu miscebam. A conspectu iræ tuæ & furoris tui, quia eleuans confregisti me. Dies mei sicut umbra declinauerunt, & ego sicut fœnũ exarui. Tu autem domine in seculum, & monumentum tuum in progeniem & progeniem. Tu urgens misereberis Sion, quia tẽpus miserendi eius, quia uenit tẽpus. Quia approbauerunt serui tui lapides eius, & puluerem eius miserebuntur. Et timebunt gentes nomen domini, & omnes reges terræ gloriam tuam. Quia ædificabit dominus Sion, & uidebitur in gloria sua. Inspexit in orationẽ humiliũ, et nõ nihili fecit precationẽ eorum.

Inf. 137

rum. Scribatur hæc in progeniem alteram, & populus conditus laudabit dominum. Quia prospexit ex altitudine sancti sui, dominus è cœlo in terram aspexit, ut audiret gemitũ compeditorũ, ut solueret filios interemptorum, ut annuncient in Sion nomẽ domini, & laudationem eius in Hierusalem. In congregando populos in hoc ipsum, & reges, ut seruiãt domino, respõdit ei in uia roboris sui, paucitatẽ dierum meorum renuncia mihi. Ne reducas me in dimidio dierum meorũ, in progenie progenierũ an-
Hebr.1 ni tui. In principiis tu domine terram fundasti, & opera manuum tuarũ sunt cœli. Ipsi peribunt, tu autem permanes. Et omnes ut uestimentum inueterati erunt, & uelut amictũ uertes eos, & mutabuntur. Tu autem idem ipse es, & anni tui non deficient. Filii seruorum tuorum inhabitabunt, & semen eorum in seculum dirigetur.

Psalmus David CII.

Benedic anima mea domino, et omnia quæ intra me nomini sancto eius. Benedic anima mea domino, & ne obliuiscere omnium redditionum eius, propitium omnibus iniquitatibus tuis, sanantẽ omnes morbos

τῶν. Γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν, καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν κύριον. Ὅτι ἐξέκυψεν ἐξ ὕψους ἁγίου αὐτοῦ, κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπέβλεψε, τοῦ ἀκοῦσαι τοῦ στεναγμοῦ τῶν πεπεδημένων, τοῦ λῦσαι τοὺς υἱοὺς τῶν τεθανατωμένων, τοῦ ἀναγγεῖλαι ἐν Σιὼν τὸ ὄνομα κυρίου, καὶ τὴν αἴνεσιν αὐτοῦ ἐν Ἱερουσαλήμ. Ἐν τῷ ἐπισυναχθῆναι λαοὺς ἐπὶ τὸ αὐτὸ, καὶ βασιλεῖς τοῦ δουλεύειν τῷ κυρίῳ, ἀπεκρίθη αὐτῷ ἐν ὁδῷ ἰσχύος αὐτοῦ, τὴν ὀλιγότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι. Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου, ἐν γενεᾷ γενεῶν τὰ ἔτη σου. Κατ᾽ ἀρχὰς σὺ κύριε τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί. Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις. Καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς, καὶ ἀλλαγήσονται. Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν. Οἱ υἱοὶ τῶν δούλων σου κατασκηνώσουσι, καὶ τὸ σπέρμα αὐτῶν εἰς τὸν αἰῶνα κατευθυνθήσεται.

Ψαλμὸς τῷ Δαβὶδ ρβ.

Εὐλόγει ἡ ψυχή μου τὸν κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ. Εὐλόγει ἡ ψυχή μου τὸν κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ, τὸν εὐιλατεύοντα πάσαις ταῖς ἀνομίαις σου, τὸν ἰώμενον πάσας τὰς

νόσους

νόσους σου, τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου. Τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς, τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου. Ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου. Ποιῶν ἐλεημοσύνας ὁ κύριος καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις. Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσῇ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ. Οἰκτίρμων καὶ ἐλεήμων ὁ κύριος, μακρόθυμος καὶ πολυέλεος. Οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ, οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν. Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς, ἐκραταίωσε κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν. Καθ' ὅσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν. Καθὼς οἰκτείρει πατὴρ υἱοὺς, ᾠκτείρησε κύριος τοὺς φοβουμένους αὐτόν. Ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, ἐμνήσθη, ὅτι χοῦς ἐσμεν. Ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως ἐξανθήσει. Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ. Τὸ δὲ ἔλεος τοῦ κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν. Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν, τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ,

morbos tuos, redimentem ex pernicie uitã tuã. Coronãtẽ te in misericordia & miserationibus, implẽtẽ in bonis desiderium tuũ. Renouabitur ut aquilæ iuuentus tua. Faciens misericordias dominus & iudicium omnibus iniuriam patientibus. Ostendit uias suas Moysi, filiis Israel uoluntates suas. Miserator et misericors dominus, longanimis & multum misericors. Non in finem irascetur, neq; in seculum succensebit, non pro iniquitatibus nostris fecit nobis, neq; pro peccatis nostris retribuit nobis. Quia per altitudinem cœli à terra, roborauit dominus misericordiam suam super timentes se. Quantum distant ortus ab occidente, longe amouit à nobis iniquitates nostras. Sicut miseretur pater filiorum, misertus est dominus timentibus se. Quia ipse cognouit figuram nostram, meminit, quod puluis sumus. Homo, sicut foenũ dies eius, tanquam flos agri sic efflorebit. Quia spiritus pertransiuit in illo, & nõ existet, & non cognoscet amplius locum suum. Misericordia autem domini à seculo & usq; in seculum, per timẽtes eũ. Et iustitia illius in filiis filiorum, custodientibus testamentum eius,

eius. & reminiscentibus mandata ipsius ad faciendum ea. Dominus in coelo parauit solium suum, & regnum ipsius omnib. dominatur. Benedicite domino omnes angeli eius, potentes robore, facientes sermonem eius, ad audiendam uocem sermonum eius. Benedicite domino omnes potestates eius, ministri eius, facientes uoluntatem eius. Benedicite domino omnia opera eius. In omni loco dominationis eius, benedic anima mea domino. Gloria.

Psalmus Dauid pro mundi constitutione, CIII.

Benedic anima mea domino. Domine, deus meus magnus redditus es ualde. Confessionem & magnificentiam induisti, obtectus lumine ut uestimento, extendens coelum ut pellem. Tegens in aquis extremitates, ponens nubes ascensum suum. Deambulans per pennas uentorum, faciens legatos suos spiritus, & ministros suos ignis flammam. Fundans terram per stabilitatem suam, non inclinabitur in seculum seculi. Profundū, ut uestimentum amictus eius, per montes stabunt aquae. Ab increpatione tua fugient, à uoce tonitrui

trui

αὐτοῦ, καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει. Εὐλογεῖτε τὸν κύριον πάντες ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ. Εὐλογεῖτε τὸν κύριον πᾶσαι αἱ δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ, ποιοῦντες τὸ θέλημα αὐτοῦ. Εὐλογεῖτε τὸν κύριον πάντα τὰ ἔργα αὐτοῦ. Ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ εὐλόγει ἡ ψυχή μου τὸν κύριον. Δόξα.

Ψαλμὸς τῷ Δαβὶδ ὑπὲρ τῆς τοῦ κόσμου συστάσεως, ργ.

Εὐλόγει ἡ ψυχή μου τὸν κύριον. Κύριε ὁ θεός μου ἐμεγαλύνθης σφόδρα. Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον, ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν. Ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ, ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ. Ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων, ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα. Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς

τῆς

τῆς σου δειλιάσουσιν. Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτοῖς. Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν. Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀνὰ μέσον τῶν ὀρέων διελεύσονται ὕδατα. Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν. Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει, ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν. Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ, ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ. Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων, τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ γῆς. Καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου, τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ. Καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει. Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας. Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν. Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς. Ἐποίησε σελήνην εἰς καιρούς, ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ. Ἔθου σκότος, καὶ ἐγένετο νύξ, ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ. Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι, καὶ ζητῆσαι παρὰ τῷ θεῷ βρῶσιν αὐτοῖς. Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας

trui tui formidabunt. Ascendunt montes, & descẽdunt campi in locum, quẽ fundasti eis. Terminum posuisti, quem non transgredientur, neq; reuertentur operire terram. Emittens fontes in uallibus, per medium montium pertrãsibunt aquæ. Potabunt omnes bestiæ agri, expectabunt onagri in sitim suam. Super ea uolucres cœli inhabitabunt, è medio petrarum dabunt uocem. Potans montes ab extremitatibus eius, à fructu operũ tuorum satiabitur terra. Producens fœnum iumentis, & herbam seruituti hominum, ut educant panem è terra. Et uinum gaudio afficit cor hominis, ut exhilaret cõspectum in oleo. Et panis cor hominis firmat. Saturabuntur ligna campi, cedri Libani, quas plantasti. Illic passeres nidos struent, erodii habitatio dux est earum. Montes alti ceruis, petra refugium leporibus. Fecit lunã in tempora, sol cognouit occasum suum. Posuisti tenebras, & facta est nox, in ipsa pertransibunt omnes bestiæ syluæ. Catuli leonum rugientes, ut rapiant, & quærant à deo escã sibi. Ortus est sol, & congregati sunt, & in cubilibus

libus suis cubabunt. Exibit homo ad opus suum, et ad operationem suam us-
Sup. 91 que ad uesperum. Quàm magnificata sunt opera tua, domine. Omnia in sapientia fecisti. Impleta est terra creatione tua, hoc mare magnum & spaciosum. Illic repentia, quorũ non est numerus, animalia parua cum magnis. Illic naues pertranseunt, draco iste, quem formasti ad illudendum ei. Omnia a te expectant, ut des escam illis in tempore. Dante te illis, colligent, aperiente te manũ, uniuersa implebuntur probitate, auertente autẽ te conspectũ tuũ, turbabuntur. Auferes spiritum eorum, & deficient, & in puluerem suum reuertentur. Emittes spiritum tuũ, & creabuntur, & renouabis conspectum terræ. Sit gloria domini in secula.

Gaudebit dominus in operibus suis. Inspiciens in terram, & faciens eam tremere. Tangens montes, & fumigant. Cantabo domino in uita mea. Canã deo meo, quàm diu existo. Iucundum reddatur ei eloquium meum, ego uero
Inf. 145 gaudebo in domino. Deficiant peccatores à terra & iniqui, ut non existant ipsi. Benedic anima mea domino. Gloria.

Alle-

δρας αὐτῶν κοιτασθήσονται. Εξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας. Ως ἐμεγαλύνθη τὰ ἔργα σου κύριε. Πάντα ἐν σοφίᾳ ἐποίησας. Επληρώθη ἡ γῆ τῆς κτίσεώς σου, αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος. Εκεῖ ἑρπετά, ὧν οὐκ ἔστιν ἀριθμός, ζῶα μικρὰ μετὰ μεγάλων. Εκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ. Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον. Δόντος σου αὐτοῖς, συλλέξουσιν, ἀνοίξαντος σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος, ἀποστρέψαντος δέ σου τὸ πρόσωπόν σου, ταραχθήσονται. Ανταναλεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. Εξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. Ητω ἡ δόξα κυρίου εἰς τοὺς αἰῶνας. Ευφρανθήσεται κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ. Ο ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν. Ο ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται. Ασω τῷ κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ θεῷ μου, ἕως ὑπάρχω. Ηδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ κυρίῳ. Εκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνομοι ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει ἡ ψυχή μου τὸν κύριον. Δόξα.

Αλλο-

Ἀλληλούϊα, ρδ´.

Ἐξομολογεῖσθε τῷ κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα αὐτοῦ. Ἀπαγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔργα αὐτοῦ, ᾄσατε αὐτῷ, καὶ ψάλατε αὐτῷ. Διηγήσασθε πάντα τὰ θαυμάσια αὐτοῦ, ἐπαινεῖσθε ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ. Εὐφρανθήτω καρδία ζητούντων τὸν κύριον. Ζητήσατε τὸν κύριον, καὶ κραταιώθητε. Ζητήσατε τὸ πρόσωπον αὐτοῦ διὰ παντὸς, μνήσθητε τῶν θαυμασίων αὐτοῦ, ὧν ἐποίησε. Τὰ τέρατα αὐτοῦ, καὶ τὰ κρίματα τοῦ στόματος αὐτοῦ. Σπέρμα ἀβραὰμ, δοῦλοι αὐτοῦ, υἱοὶ ἰακὼβ, ἐκλεκτοὶ αὐτοῦ. Αὐτὸς κύριος, ὁ θεὸς ἡμῶν, ἐν πάσῃ τῇ γῇ κρίματα αὐτοῦ. Ἐμνήσθη εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ, λόγου, οὗ ἐνετείλατο εἰς χιλίας γενεὰς, ὃν διέθετο τῷ ἀβραὰμ, καὶ τοῦ ὅρκου αὐτοῦ τῷ ἰσαάκ. Καὶ ἔστησεν αὐτὸ τῷ ἰακὼβ εἰς πρόσταγμα, καὶ τῷ ἰσραὴλ εἰς διαθήκην αἰώνιον, λέγων, σοὶ δώσω τὴν γῆν χαναὰν, σχοίνισμα κληρονομίας ὑμῶν. Ἐν τῷ εἶναι αὐτοὺς ἀριθμῷ βραχεῖς, ὀλιγοστοὺς καὶ παροίκους ἐν αὐτῇ, καὶ διῆλθον ἐξ ἔθνους εἰς ἔθνος, καὶ ἐκ βασιλείας εἰς λαὸν ἕτερον, οὐκ ἀφῆκεν ἄνθρωπον ἀδικῆσαι αὐτοὺς, καὶ ἤλεγξεν ὑπὲρ αὐτῶν βασιλεῖς. Μὴ ἅπτεσθε τῶν χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε. Καὶ ἐκάλεσε λιμὸν ἐπὶ τὴν γῆν, πᾶν στήριγμα

ἄρτου

Alleluia, CIIII. 1.Par.6
Confitemini domino, et Iesa.12
inuocate nomen eius. Re
nunciate inter gentes ope
ra eius, cantate ei, & cani
te ei. Denarrate omnia mi
rabilia eius, collaudate in
nomine sancto eius. Gau
deat cor quærentiũ domi
num. Quærite dominum,
& roborati sitis. Quærite
conspectum eius per om
ne tempus, mementote mi
rabilium eius, quæ fecit.
Monstra eius & iudicia
oris eius. Semen Habraam
serui eius, filii Iacob ele
cti eius. Ipse domin9, deus
noster, in omni terra iudi
cia eius. Meminit in secu
lum testamenti sui, sermo
nis, quem præcepit in mil
le progenies, quod dispo
suit Habraam, & iurisiu
randi sui Isaac. Et statuit
illud Iacob in præceptũ,
& Israel in testamentum
æternum, dicens, Tibi da
bo terrã Chanaan, funem
hæreditatis uestræ. Cum
essent ipsi numero exigui,
paucissimi & incolæ in
ea, & pertransierunt de 1.Par.16
gente in gentem, & de
regno ad populum alium,
non permisit hominem in
iuria afficere eos, & ar
guit pro eis reges. Ne tan
gite Christos meos, & in
uatibus meis ne maligne
agatis. Et uocauit famẽ per
terram, omnẽ firmitatem

panis

panis contriuit. Ablega-
uit ante eos hominē, in ser
uum uenditus est Ioseph.
Humiles reddiderunt in
compedibus pedes eius,
ferrum pertransiit anima
eius. Donec ueniret sermo
eius, eloquium domini ig-
nitum reddidit eum. Able
gauit rex, & soluit eum,
princeps populi, & dimi-
sit eum. Constituit eum do
minum domus suę, & prin
cipem omnis possessionis
suae, ad erudiendum prin-
cipes eius ui seipsum, &
ut senes eius sapientiam
doceret. Et intrauit Israel
in Aegyptum, & Iacob
accoluit in terra Cham. Et
auxit populum suum ual-
de, & roborauit eum su-
pra hostes eius. Conuertit
cor eius, ut odio haberent
populum eius, ut dolo age
rent in seruis eius. Ablega
uit Moysen seruum suum,
Aaron, quem elegit sibi.
Posuit in eis sermones sig
norum suorum, & mōstro
rum suorum in terra Chā.
Emisit tenebras, & obscu
rauit, quia exacerbauerūt
sermones suos. Conuertit
aquas eorū in sanguinē, &
occidit pisces eorum. Edi
dit terra eorum ranas, in
penetralibus regiarum ip
sorum. Dixit, & uenit cy-
nomyia, & scinifes in om
nibus terminis eorum. Po
suit pluuias eorum grandi
nem, ignem comburen-
tem in terra ipsorum.

ἄρτου συνέτριψεν. Ἀπέστειλεν ἔμ-
προσθεν αὐτῶν ἄνθρωπον, εἰς δοῦ
λον ἐπράθη ἰωσήφ. Ἐταπείνωσαν ἐν
πέδαις τοὺς πόδας αὐτοῦ, σίδηρον
διῆλθεν ἡ ψυχὴ αὐτοῦ. Μέχρι τοῦ ἐλ
θεῖν τὸν λόγον αὐτοῦ, τὸ λόγιον κυ-
ρίου ἐπύρωσεν αὐτόν. Ἀπέστειλεν
βασιλεὺς, καὶ ἔλυσεν αὐτὸν, ἄρχων
λαοῦ, καὶ ἀφῆκεν αὐτόν. Κατέστησεν
αὐτὸν κύριον τοῦ οἴκου αὐτοῦ, καὶ ἄρχον
τα πάσης τῆς κτήσεως αὐτοῦ, τοῦ παι-
δεῦσαι τοὺς ἄρχοντας αὐτοῦ ὡς ἑαυ-
τὸν, καὶ τοὺς πρεσβυτέρους αὐτοῦ σο-
φίσαι. Καὶ εἰσῆλθεν ἰσραὴλ εἰς αἴ
γυπτον, καὶ ἰακὼβ παρῴκησεν ἐν γῇ
χάμ. Καὶ ηὔξησε τὸν λαὸν αὐτοῦ σφό
δρα, καὶ ἐκραταίωσεν αὐτοῦ ὑπὲρ τοὺς
ἐχθροὺς αὐτοῦ. Μετέστρεψε τὴν καρδί
αν αὐτοῦ, τοῦ μισῆσαι τὸν λαὸν αὐτοῦ,
τοῦ δολιοῦσθαι ἐν τοῖς δούλοις αὐτοῦ.
Ἐξαπέστειλε μωϋσῆν τὸν δοῦλον αὐ
τοῦ, ἀαρὼν, ὃν ἐξελέξατο ἑαυτῷ.
Ἔθετο ἐν αὐτοῖς τοὺς λόγους τῶν σημεί
ων αὐτοῦ, καὶ τῶν τεράτων αὐτοῦ ἐν
γῇ χάμ. Ἐξαπέστειλε σκότος, καὶ ἐ-
σκότωσεν, ὅτι παρεπίκραναν τοὺς λό
γους αὐτοῦ. Μετέστρεψε τὰ ὕδατα αὐ
τῶν εἰς αἷμα, καὶ ἀπέκτεινε τοὺς ἰχ
θύας αὐτῶν. Ἐξῆρψεν ἡ γῆ αὐτῶν βα-
τράχους ἐν τοῖς ταμείοις τῶν βασιλέ
ων αὐτῶν. Εἶπε, καὶ ἦλθε κυνόμυια,
καὶ σκνῖπες ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν.
Ἔθετο τὰς βροχὰς αὐτῶν χάλαζαν,
πῦρ καταφλέγον ἐν τῇ γῇ αὐτῶν.

Καὶ ἐπάταξε τὰς ἀμπέλους αὐτῶν, καὶ τὰς συκᾶς αὐτῶν, καὶ συνέτριψε πᾶν ξύλον ὁρίου αὐτῶν. Εἶπε, καὶ ἦλθεν ἀκρὶς, καὶ βροῦχος, οὗ οὐκ ἦν ἀριθμὸς, καὶ κατέφαγε πάντα χόρτον ἐν τῇ γῇ αὐτῶν, καὶ κατέφαγε πάντα τὸν καρπὸν τῆς γῆς αὐτῶν.

Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν τῇ γῇ αὐτῶν, ἀπαρχὴν παντὸς πόνου αὐτῶν. Καὶ ἐξήγαγεν αὐτοὺς ἐν ἀργυρίῳ καὶ χρυσίῳ, καὶ οὐκ ἦν ἐν ταῖς φυλαῖς αὐτῶν ὁ ἀσθενῶν. Εὐφράνθη Αἴγυπτος ἐν τῇ ἐξόδῳ αὐτῶν, ὅτι ἐπέπεσεν ὁ φόβος αὐτῶν ἐπ' αὐτούς.

Διεπέτασε νεφέλην εἰς σκέπην αὐτοῖς, καὶ πῦρ τοῦ φωτίσαι αὐτοῖς τὴν νύκτα. Ἤτησαν, καὶ ἦλθεν ὀρτυγομήτρα, καὶ ἄρτον οὐρανοῦ ἐνέπλησεν αὐτούς. Διέῤῥηξε πέτραν, καὶ ἐῤῥύησαν ὕδατα, ἐπορεύθησαν ἐν ἀνύδροις ποταμοί. Ὅτι ἐμνήσθη τοῦ λόγου τοῦ ἁγίου αὐτοῦ, τοῦ πρὸς Ἀβραὰμ τὸν δοῦλον αὐτοῦ. Καὶ ἐξήγαγε τὸν λαὸν αὐτοῦ ἐν ἀγαλλιάσει, καὶ τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐν εὐφροσύνῃ. Καὶ ἔδωκεν αὐτοῖς χώρας ἐθνῶν, καὶ πόνους λαῶν κατεκληρονόμησαν, ὅπως ἂν φυλάξωσι τὰ δικαιώματα αὐτοῦ, καὶ τὸν νόμον αὐτοῦ ἐκζητήσωσιν. Δόξα. κάθισμα ιδ.

Ἀλληλούϊα, ρε.

Ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι χρηστὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τίς λαλήσει τὰς δυναστείας τοῦ

Et percussit uineas eorũ & ficus eorum, & contriuit omne lignum termini eorum. Dixit, & uenit locusta, & bruchus, cuius non erat numerus, & comedit omne foenum in terra eorum, & comedit omnem fructum terrę eorum.

Et percussit omne primogenitum in terra eorum, primitias omnis laboris eorum. Et eduxit eos in argento & auro, & non erat in tribubus eorum ægrotans. Gauisa est Ægyptus in exitu eorum, quia incidit metus eorum in eos. Distendit nubem in tegmen eis, & ignem, ut luceret eis per noctem. Petierunt, et uenit coturnix, & pane coeli impleuit eos. Disrupit petram, & fluxerunt aquae, abierunt in siccis flumina. Quia meminit sermonis sancti sui, qui ad Habraam puerum suum. Et eduxit populum suum in lætitia, & electos suos in gaudio. Et dedit illis regiones gentium, & labores populorum possederunt, ut custodiant iustitias eius, & legem eius requirant. Gloria. Confessus decimus quartus.

Exod. 12

Num. 11

Alleluia. CV.

Confitemini domino, quia probus, quia in seculum misericordia eius. Judith. 13

Quis loquetur potentias

domini, auditas reddet omnes laudationes eius? Beati custodientes iudicium & facientes iustitiā in omni tempore. Memento nostri domine in approbatione populi tui, uisite nos in salutari tuo, ut uideas in probitate electorum tuorum, ut gaudeas in gaudio gentis tuæ, ut collauderis cum hæreditate tua. Peccauimus cum patribus nostris, iniquè egimus, iniustè egimus. Patres nostri in Ægypto non intellexerunt mirabilia tua, non fuerunt memores multitudinis misericordiæ tuæ. Et iritauerunt ascendentes in rubro mari, & saluauit eos propter nomen suum, ut notam faceret potentiam suā. Et increpuit rubrum mare, & exiccatum est. Et eduxit eos in abysso sicut in deserto, & saluauit eos de manu odientis, & redemit eos de manu
Exod.14 inimicorū. Operuit aqua tribulantes eos, unus ex eis non remansit. Et crediderunt uerbo eius, & cantauerunt laudem eius. Cito fecerunt, obliti sunt operum eius, non sustinuerunt consiliū eius. Et concupierunt concupiscentiam in deserto, & tentauerunt deum in loco aquis carente. Et dedit eis petitionem ipsorum, emisit saturitatē in animas eorum. Et

τοῦ κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ; Μακάριοι οἱ φυλάσσοντες κρίσιν, καὶ ποιοῦντες δικαιοσύνην ἐν παντὶ καιρῷ. Μνήσθητι ἡμῶν κύριε ἐν τῇ εὐδοκίᾳ τοῦ λαοῦ σου, ἐπίσκεψαι ἡμᾶς ἐν τῷ σωτηρίῳ σου, τοῦ ἰδεῖν ἐν τῇ χρηστότητι τῶν ἐκλεκτῶν σου, τοῦ εὐφρανθῆναι ἐν τῇ εὐφροσύνῃ τοῦ ἔθνους σου, τοῦ ἐπαινεῖσθαι μετὰ τῆς κληρονομίας σου. Ἡμάρτομεν μετὰ τῶν πατέρων ἡμῶν, ἠνομήσαμεν, ἠδικήσαμεν. Οἱ πατέρες ἡμῶν ἐν αἰγύπτῳ οὐ συνῆκαν τὰ θαυμάσιά σου, οὐκ ἐμνήσθησαν τοῦ πλήθους τοῦ ἐλέους σου. Καὶ παρεπίκραναν ἀναβαίνοντες ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ, καὶ ἔσωσεν αὐτοὺς ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ, τοῦ γνωρίσαι τὴν δυναστείαν αὐτοῦ. Καὶ ἐπετίμησε τῇ ἐρυθρᾷ θαλάσσῃ, καὶ ἐξηράνθη. Καὶ ὡδήγησεν αὐτοὺς ἐν ἀβύσσῳ ὡς ἐν ἐρήμῳ, καὶ ἔσωσεν αὐτοὺς ἐκ χειρὸς μισοῦντος, καὶ ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς ἐχθρῶν. Ἐκάλυψεν ὕδωρ τοὺς θλίβοντας αὐτοὺς, εἷς ἐξ αὐτῶν οὐχ ὑπελείφθη. Καὶ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ, καὶ ᾖσαν τὴν αἴνεσιν αὐτοῦ. Ἐτάχυναν, ἐπελάθοντο τῶν ἔργων αὐτοῦ, οὐχ ὑπέμειναν τὴν βουλὴν αὐτοῦ. Καὶ ἐπεθύμησαν ἐπιθυμίαν ἐν τῇ ἐρήμῳ, καὶ ἐπείρασαν τὸν θεὸν ἐν ἀνύδρῳ. Καὶ ἔδωκεν αὐτοῖς τὸ αἴτημα αὐτῶν, ἐξαπέστειλε πλησμονὴν εἰς τὰς ψυχὰς αὐτῶν. Καὶ

Καὶ παρώργισαν τὸν μωϋσῆν ἐν τῇ παρεμβολῇ, τὸν ἀαρὼν τὸν ἅγιον κυρίου. Ἠνοίχθη ἡ γῆ, καὶ κατέπιε δαθὰν, καὶ ἐκάλυψεν ἐπὶ τὴν συναγωγὴν ἀβειρώμ. Καὶ ἐξεκαύθη πῦρ ἐν τῇ συναγωγῇ αὐτῶν, φλὸξ κατέφλεξεν ἁμαρτωλούς. Καὶ ἐποίησαν μόσχον ἐν χωρὴβ, καὶ προσεκύνησαν τῷ γλυπτῷ. Καὶ ἠλλάξαντο τὴν δόξαν αὐτοῦ ἐν ὁμοιώματι μόσχου ἐσθίοντος χόρτον. Καὶ ἐπελάθοντο τοῦ θεοῦ τοῦ σώζοντος αὐτοὺς, τοῦ ποιήσαντος μεγάλα ἐν αἰγύπτῳ, θαυμάσια ἐν γῇ χὰμ, φοβερὰ ἐπὶ θαλάσσης ἐρυθρᾶς. Καὶ εἶπε τοῦ ἐξολοθρεῦσαι αὐτοὺς, εἰ μὴ μωϋσῆς ὁ ἐκλεκτὸς αὐτοῦ ἔστη ἐν τῇ θραύσει ἐνώπιον αὐτοῦ, τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ, τοῦ μὴ ἐξολοθρεῦσαι αὐτούς. Καὶ ἐξουδένωσαν γῆν ἐπιθυμητὴν, οὐκ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ. Καὶ ἐγόγγυσαν ἐν τοῖς σκηνώμασιν αὐτῶν, οὐκ εἰσήκουσαν τῆς φωνῆς κυρίου. Καὶ ἐπῆρε τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτοὺς, τοῦ καταβαλεῖν αὐτοὺς ἐν τῇ ἐρήμῳ, καὶ τοῦ καταβαλεῖν τὸ σπέρμα αὐτῶν ἐν τοῖς ἔθνεσι, καὶ διασκορπίσαι αὐτοὺς ἐν ταῖς χώραις. Καὶ ἐτελέσθησαν τῷ βεελφεγὼρ, καὶ ἔφαγον θυσίας νεκρῶν. Καὶ παρώξυναν αὐτὸν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν, καὶ ἐπληθύνθη ἐν αὐτοῖς ἡ πτῶσις. Καὶ ἔστη φινεὲς, καὶ ἐξιλάσατο, καὶ ἐκόπασεν ἡ θραῦσις, καὶ ἐλογίσθη αὐτῷ εἰς

δικαιοσ-

Et iritauerunt Moyſen in caſtris, Aaron ſanctum domini. Aperta eſt terra, & deglutiuit Dathan, & operuit ſuper congregatione Abeirom. Et exarſit ignis in ſynagoga eorum, flāma combuſsit peccatores. Et fecerunt uitulū in Choreb, & adorauerunt ſculptum. Et mutauerunt gloriam ſuam in ſimilitudine uituli comedentis fœnum. Et obliti ſunt deum ſaluantem eos, qui fecit magnifica in Ægypto, mirabilia in terra Cham, terribilia in mari rubro. Et dixit diſperdere eos, ſi non Moyſes electus eius ſtetiſſet in confractione in conſpectu eius, ut auerteret iram eius, ne diſperderet eos. Et pro nihilo habuerunt terram deſiderabilem, non crediderunt uerbo eius. Et murmurauerunt in tabernaculis ſuis, non exaudierūt uocem domini. Et eleuauit manum ſuam ſuper eos, ut proſterneret eos in deſerto, & ut deijceret ſemen eorum in nationibus, & diſpergeret eos in regionibus. Et initiati ſunt Beelphegor, & comederunt ſacrificia mortuorum. Et iritauerunt eum in inſtitutis ſuis, & multiplicata eſt in eis ruina. Et ſtetit Phinees, & placauit, & ceſſauit fragor, et reputatum eſt ei in

Num. 16.

iuſti-

iustitiam, in progeniē & progeniem usq in seculū. Et irritauerunt eum ad aquam contradictionis, & uexatus est Moyses propter eos. Quia exacerbauerunt spiritum eius, et distinxit in labiis suis. Non disperdiderūt gētes, quas dixit dn̄s illis, & cōmixti sunt inter gentes, & didicerunt opera eorū. Et seruierunt sculptilibus eorū, & factum est illis in offensionem. Et immolauerunt filios suos & filias suas dęmonijs. Et effuderunt sanguinem innocentē, sanguinem filiorū suorum & filiarū, quas sacrificauerunt sculptilibus Chanaan. Et infecta est terra in sanguinibus, & temerata est in operibus eorū. Et fornicati sunt in institutis suis. Et iratus est furore dn̄s in populū suum, & abominatus est hæreditatē suā. Et tradidit eos in manus inimicorū, & dominati sunt eorum, qui oderunt eos. Et afflixerunt eos inimici eorū, & humiles redditi sunt sub manibus eorū. Sępe liberauit eos, ipsi aūt exacerbauerunt eum in consilio suo, & humiliati sunt in iniquitatibus suis. Et uidit dn̄s cum tribularentur ipsi, cum ipse exaudiret orationē eorū. Et memor fuit testamenti sui, & pœnituit eū pro multitudine mise-

δικαιοσύνην, εἰς γενεὰν καὶ γενεὰν ἕως τοῦ αἰῶνος. Καὶ παρώργισαν αὐτὸν ἐπὶ ὕδατος ἀντιλογίας, καὶ ἐκακώθη Μωϋσῆς δι' αὐτούς, ὅτι παρεπίκραναν τὸ πνεῦμα αὐτοῦ, καὶ διέστειλεν ἐν τοῖς χείλεσιν αὐτοῦ.

Οὐκ ἐξωλόθρευσαν τὰ ἔθνη, ἃ εἶπε κύριος αὐτοῖς, καὶ ἐμίγησαν ἐν τοῖς ἔθνεσι, καὶ ἔμαθον τὰ ἔργα αὐτῶν. Καὶ ἐδούλευσαν τοῖς γλυπτοῖς αὐτῶν, καὶ ἐγενήθη αὐτοῖς εἰς σκάνδαλον. Καὶ ἔθυσαν τοὺς υἱοὺς αὐτῶν, καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις.

Καὶ ἐξέχεαν αἷμα ἀθῷον, αἷμα υἱῶν αὐτῶν καὶ θυγατέρων, ὧν ἔθυσαν τοῖς γλυπτοῖς Χαναάν. Καὶ ἐφονοκτονήθη ἡ γῆ ἐν τοῖς αἵμασι, καὶ ἐμιάνθη ἐν τοῖς ἔργοις αὐτῶν, καὶ ἐπόρνευσαν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν. Καὶ ὠργίσθη θυμῷ κύριος ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐβδελύξατο τὴν κληρονομίαν αὐτοῦ. Καὶ παρέδωκεν αὐτοὺς εἰς χεῖρας ἐχθρῶν, καὶ ἐκυρίευσαν αὐτῶν οἱ μισοῦντες αὐτούς. Καὶ ἔθλιψαν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν, καὶ ἐταπεινώθησαν ὑπὸ τὰς χεῖρας αὐτῶν. Πλεονάκις ἐρρύσατο αὐτούς, αὐτοὶ δὲ παρεπίκραναν αὐτὸν ἐν τῇ βουλῇ αὐτῶν, καὶ ἐταπεινώθησαν ἐν ταῖς ἀνομίαις αὐτῶν. Καὶ εἶδε κύριος ἐν τῷ θλίβεσθαι αὐτούς, ἐν τῷ αὐτὸν εἰσακοῦσαι τῆς δεήσεως αὐτῶν. Καὶ ἐμνήσθη τῆς διαθήκης αὐτοῦ, καὶ μετεμελήθη κατὰ τὸ πλῆθος

τοῦ

τοῦ ἐλέους αὐτοῦ. Καὶ ἔδωκεν αὐτοὺς εἰς οἰκτιρμοὺς, ἐναντίον πάντων τῶν αἰχμαλωτευσάντων αὐτούς. Σῶσον ἡμᾶς κύριε, ὁ θεὸς ἡμῶν, καὶ ἐπισυνάγαγε ἡμᾶς ἐκ τῶν ἐθνῶν, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου τῷ ἁγίῳ, τοῦ ἐγκαυχᾶσθαι ἐν τῇ αἰνέσει σου. Εὐλογητὸς κύριος, ὁ θεὸς Ἰσραὴλ, ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος. Καὶ ἐρεῖ πᾶς ὁ λαὸς, γένοιτο, γένοιτο. Δόξα.

misericordiæ suæ. Et dedit eos in misericordias, in conspectu omnium qui ceperant eos. Saluos fac nos domine deus noster, & congrega nos de nationibus, ut confiteamur nomini tuo sancto, ut gloriemur in laude tua. Benedictus dominus deus Israel à seculo, & usque & in seculum. Et dicet omnis populus, Fiat, fiat. Gloria.

Ἀλληλούϊα, ρϛ.

Ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι χρηστὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Εἰπάτωσαν οἱ λελυτρωμένοι ὑπὸ κυρίου, οὓς ἐλυτρώσατο ἐκ χειρὸς ἐχθροῦ, καὶ ἐκ τῶν χωρῶν συνήγαγεν αὐτοὺς, ἀπὸ ἀνατολῶν καὶ δυσμῶν, καὶ βοῤῥᾶ καὶ θαλάσσης. Ἐπλανήθησαν ἐν τῇ ἐρήμῳ, ἐν ἀνύδρῳ, ὁδὸν πόλεως κατοικητηρίου οὐχ εὗρον, πεινῶντες καὶ διψῶντες, ἡ ψυχὴ αὐτῶν ἐν αὐτοῖς ἐξέλιπεν.

Καὶ ἐκέκραξαν πρὸς κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐῤῥύσατο αὐτούς. Καὶ ὡδήγησεν αὐτοὺς εἰς ὁδὸν εὐθεῖαν, τοῦ πορευθῆναι εἰς πόλιν κατοικητηρίου. Ἐξομολογησάσθωσαν τῷ κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων. Ὅτι ἐχόρτασε ψυχὴν κενὴν, καὶ ψυχὴν πεινῶσαν ἐνέπλησεν ἀγαθῶν, καθημένους ἐν σκότει καὶ σκιᾷ θανάτου, πεπεδη-

μένους

Alleluia, CVI.

Confitemini deo, quia probus, quia in seculum misericordia eius. Dicant redempti à domino, quos redemit de manu inimici, & de regionibus congregauit eos, ab oriente & occidente, & aquilone et mari. Errauerunt in solitudine in inaquoso, uiam ciuitatis habitationis non inuenerunt, esurientes & sitientes, anima eorum in ipsis defecit. Et clamauerunt ad deum cum tribularentur ipsi, et è necessitatibus eorum eripuit eos. Et eduxit eos in uiā rectam, ut irent in ciuitatem habitationis. Confiteantur domino misericordiæ eius, & mirabilia eius filijs hominum. Quia satiauit animam inanem, & animam esurientem satiauit bonis, considentes in tenebris & umbra mortis, uin-

Iudith 13
Infra 117
Inf. eod.

ctos in mendicitate & ferro. Quia exacerbauerunt eloquia dei, & consilium altissimi iritauerunt. Et humiliatum est in laboribus cor eorum, infirmati sunt, & non fuit qui adiuuaret. Et clamauerunt ad dominum, cum affligerentur ipsi, & de necessitatibus eorum liberauit eos.

Et eduxit eos de tenebris & umbra mortis, & uincula eorum disrupit. Con-
Inf. cod. fiteantur domino miseri-
Sup. cod. cordiae eius, & mirabilia eius filiis hominum. Quia contriuit portas aereas, & uectes ferreos confregit. Suscepit eos de uia iniquitatis eorum, propter enim iniquitates suas humiliati sunt.

Omnem escam fastidiuit anima eorum, & propinquauerunt usque ad portas mortis. Et clamauerunt ad dominum, cum affligerentur ipsi, & de necessitatibus eorum liberauit eos. Misit uerbum suum, & sanauit eos, & eripuit eos de interitionibus eorum.

Confiteantur domino misericordiae eius, & mirabilia eius filiis hominum.

Et sacrificent ei sacrificium laudis, & annuncient opera eius in exultatione.

Qui descendunt in mare in nauibus, facientes operationem in aquis multis, ipsi uiderunt opera domini, & mirabilia

eius

μένους ἐν πτωχείᾳ καὶ σιδήρῳ. Ὅτι παρεπίκραναν τὰ λόγια τοῦ θεοῦ, καὶ τὴν βουλὴν τοῦ ὑψίστου παρώξυναν.

Καὶ ἐταπεινώθη ἐν κόποις ἡ καρδία αὐτῶν, ἠσθένησαν, καὶ οὐκ ἦν ὁ βοηθῶν. Καὶ ἐκέκραξαν πρὸς κύριον ἐν τῷ θλίβεσθαι αὐτούς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς.

Καὶ ἐξήγαγεν αὐτοὺς ἐκ σκότους καὶ σκιᾶς θανάτου, καὶ τοὺς δεσμοὺς αὐτῶν διέῤῥηξεν. Ἐξομολογησάσθωσαν τῷ κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων. Ὅτι συνέτριψε πύλας χαλκᾶς, καὶ μοχλοὺς σιδηροῦς συνέθλασεν. Ἀντελάβετο αὐτῶν ἐξ ὁδοῦ ἀνομίας αὐτῶν, διὰ γὰρ τὰς ἀνομίας αὐτῶν ἐταπεινώθησαν. Πᾶν βρῶμα ἐβδελύξατο ἡ ψυχὴ αὐτῶν, καὶ ἤγγισαν ἕως τῶν πυλῶν τοῦ θανάτου. Καὶ ἐκέκραξαν πρὸς κύριον ἐν τῷ θλίβεσθαι αὐτούς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς. Ἀπέστειλε τὸν λόγον αὐτοῦ, καὶ ἰάσατο αὐτούς, καὶ ἐῤῥύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν.

Ἐξομολογησάσθωσαν τῷ κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων. Καὶ θυσάτωσαν αὐτῷ θυσίαν αἰνέσεως, καὶ ἐξαγγειλάτωσαν τὰ ἔργα αὐτοῦ ἐν ἀγαλλιάσει. Οἱ καταβαίνοντες εἰς θάλασσαν ἐν πλοίοις, ποιοῦντες ἐργασίαν ἐν ὕδασι πολλοῖς, αὐτοὶ εἶδον τὰ ἔργα κυρίου, καὶ τὰ θαυμάσια

αὐτοῦ

αὐτοῦ ἐν τῷ βυθῷ. Εἶπε, καὶ ἔστη πνεῦμα καταιγίδος, καὶ ὑψώθη τὰ κύματα αὐτῆς. Αναβαίνουσιν ἕως τῶν οὐρανῶν, καὶ καταβαίνουσιν ἕως τῶν ἀβύσσων. Η ψυχὴ αὐτῶν ἐν κακοῖς ἐτήκετο, ἐταράχθησαν, ἐσαλεύθησαν ὡς ὁ μεθύων, καὶ πᾶσα ἡ σοφία αὐτῶν κατεπόθη. Καὶ ἐκέκραξαν πρὸς κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐξήγαγεν αὐτούς. Καὶ ἐπέταξε τῇ καταιγίδι, καὶ ἔστη εἰς αὔραν, καὶ ἐσίγησαν τὰ κύματα αὐτῆς. Καὶ εὐφράνθησαν, ὅτι ἡσύχασαν, καὶ ὡδήγησεν αὐτοὺς ἐπὶ λιμένα θελήματος αὐτῶν. Εξομολογησάσθωσαν τῷ κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων. Υψωσάτωσαν αὐτὸν ἐν ἐκκλησίᾳ λαοῦ, καὶ ἐν καθέδρᾳ πρεσβυτέρων αἰνεσάτωσαν αὐτόν. Εθετο ποταμοὺς εἰς ἔρημον, καὶ διεξόδους ὑδάτων εἰς δίψαν, γῆν καρποφόρον εἰς ἅλμην, ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ. Εθετο ἔρημον εἰς λίμνας ὑδάτων, καὶ γῆν ἄνυδρον εἰς διεξόδους ὑδάτων. Καὶ κατῴκισεν ἐκεῖ πεινῶντας, καὶ συνεστήσαντο πόλεις κατοικεσίας. Καὶ ἔσπειραν ἀγροὺς, καὶ ἐφύτευσαν ἀμπελῶνας, καὶ ἐποίησαν καρπὸν γεννήματος. Καὶ εὐλόγησεν αὐτοὺς, καὶ ἐπληθύνθησαν σφόδρα, καὶ τὰ κτήνη αὐτῶν οὐκ ἐσμίκρυνε. Καὶ ὠλιγώθησαν, καὶ

eius in profundo. Dixit, & stetit spiritus procellæ, & exaltati sunt fluctus eius. Ascendunt usque ad coelos, & descendunt usque ad abyssos. Anima eorum in malis tabescebat, turbati sunt, moti sunt sicut ebrius, & omnis sapientia eorum deuorata est. Et clamauerunt ad dominum cum tribularentur ipsi, & de necessitatibus eorum eduxit eos. Et præcepit procellæ, & stetit in auram, & siluerunt fluctus eius. Et lætati sunt, quia siluerunt, & per uiam deduxit eos ad portum uoluntatis eorum. Confiteantur domino misericordiæ eius, & mirabilia eius filiis hominum. Exaltent eum in ecclesia plebis, & in cathedra seniorum laudent eum. Posuit flumina in desertum, & exitus aquarum in sitim, terram fructiferam in salsuginem, à malitia inhabitantium in ea. Posuit desertum in stagna aquarum, et terram sine aqua in exitus aquarum. Et collocauit illic esurientes, & constituerunt ciuitates habitationis. Et seminauerunt agros, & plantauerunt uineas, & fecerunt fructum natiuitatis. Et benedixit eis, & multiplicati sunt nimis, & iumēta eorū nō minuit. Et pauci facti sunt, et

male affecti sunt à tribulatione malorum et doloris. Effusa est contemptio super principes eorum, & errare fecit eos in inuio, & non in uia. Et audiuit pauperem de inopia, & posuit sicut oues familias. Videbunt recti, & lætabuntur, & omnis iniquitas oppilabit os suũ. Quis sapiens, & custodiet hæc, & intelligent misericordias domini. Gloria.

Canticum Psalmi David. CVII.

Paratũ cor meũ, deus, paratũ cor meũ, cantabo, et canã in gloria mea. Exurge gloria mea, exurge psalteriũ & cithara, exurgam diluculo. Cõfitebor tibi in populis dñe, canã tibi in nationibus. Quia magna super coelos misericordia tua, & usq; ad nubes ueritas tua. Exaltare super coelos deus; & super omnem terram gloria tua. Vt liberentur dilecti tui, saluũ fac dextera tua, & exaudi me. Deus locutus est in sancto suo, exultabo & diuidam Sicima, & conuallem tabernaculorum dimetiar. Meus est Galaad, & meus est Manasses, et Ephraim susceptio capitis mei. Iudas rex me?. Moab lebes spei meæ. In Idumeam extendã calceamentũ meũ, mihi alieni gentes subditi sunt. Quis abducet me in ciuitatẽ munitionis

ἐκακώθησαν ἀπὸ θλίψεως κακῶν καὶ ὀδύνης. Ἐξεχύθη ἐξουδένωσις ἐπὶ ἄρχοντας αὐτῶν, καὶ ἐπλάνησεν αὐτοὺς ἐν ἀβάτῳ, καὶ οὐχ ὁδῷ. Καὶ ἐβοήθησε πένητι ἐκ πτωχείας, καὶ ἔθετο ὡς πρόβατα πατριάς. Ὄψονται εὐθεῖς, καὶ εὐφρανθήσονται, καὶ πᾶσα ἀνομία ἐμφράξει τὸ στόμα αὐτῆς.

Τίς σοφὸς, καὶ φυλάξει ταῦτα, καὶ συνήσει τὰ ἐλέη τοῦ κυρίου. Δόξα.

Ὠδὴ ψαλμοῦ τῷ δαβίδ, ρζ.

Ἑτοίμη ἡ καρδία μου ὁ θεὸς, ἑτοίμη ἡ καρδία μου, ᾄσομαι, καὶ ψαλῶ ἐν τῇ δόξῃ μου. Ἐξεγέρθητι ἡ δόξα μου, ἐξεγέρθητι ψαλτήριον καὶ κιθάρα, ἐξεγερθήσομαι ὄρθρου. Ἐξομολογήσομαί σοι ἐν λαοῖς κύριε, ψαλῶ σοι ἐν ἔθνεσιν. Ὅτι μέγα ἐπάνω τῶν οὐρανῶν τὸ ἔλεός σου, καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου. Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ θεὸς, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου. Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου, σῶσον τῇ δεξιᾷ σου, καὶ ἐπάκουσόν μου. Ὁ θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ, ὑψωθήσομαι, καὶ διαμεριῶ σίκιμα, καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω. Ἐμός ἐστι γαλαὰδ, καὶ ἐμός ἐστι μανασσῆς, καὶ ἐφραὶμ ἀντίληψις τῆς κεφαλῆς μου. Ἰούδας βασιλεύς μου, μωὰβ λέβης τῆς ἐλπίδος μου. Ἐπὶ τὴν ἰδουμαίαν ἐπιβαλῶ τὸ ὑπόδημά μου, ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν. Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς,

ὀχυρᾶς; Ἢ τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας; Οὐχὶ σὺ ὁ θεὸς ὁ ἀπωσάμενος ἡμᾶς; Καὶ οὐκ ἐξελεύσῃ ὁ θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν; Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, καὶ ματαία σωτηρία ἀνθρώπου. Ἐν τῷ θεῷ ποιήσομεν δύναμιν, καὶ αὐτὸς ἐξουδενώσει τοὺς ἐχθροὺς ἡμῶν.

nitionis? Aut quis deducet me usque in Idumæam? Nonne tu deus qui repulisti nos? Et non exibis deus in potentijs nostris? Da nobis auxilium de tribulatione, & uana salus hominis. In deo faciemus potentiam, & ipse ad nihilum rediget inimicos nostros.

Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβὶδ ρή.

In finem, Psalmus Dauid CVIII.

Ὁ θεὸς τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς, ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη. Ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ, καὶ λόγοις μίσους ἐκύκλωσάν με, καὶ ἐπολέμησάν με δωρεάν. Ἀντὶ τοῦ ἀγαπᾶν με ἐνδιέβαλλόν με, ἐγὼ δὲ προσηυχόμην. Καὶ ἔθεντο κατ' ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν, καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου. Κατάστησον ἐπ' αὐτὸν ἁμαρτωλόν, καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ. Ἐν τῷ κρίνεσθαι αὐτὸν ἐξέλθοι καταδεδικασμένος, καὶ ἡ προσευχὴ αὐτοῦ γενέσθω εἰς ἁμαρτίαν. Γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι, καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος. Γενηθήτωσαν οἱ υἱοὶ αὐτοῦ ὀρφανοί, καὶ ἡ γυνὴ αὐτοῦ χήρα. Σαλευόμενοι μεταναστήτωσαν οἱ υἱοὶ αὐτοῦ, καὶ ἐπαιτησάτωσαν, ἐκβληθήτωσαν ἐκ τῶν οἰκοπέδων αὐτῶν. Ἐξερευνησάτω δανειστὴς πάντα, ὅσα ὑπάρχει αὐτῷ, καὶ διαρπασάτωσαν ἀλλότριοι

τὸν

Deus laudationem meam ne reticueris, quia os peccatoris & os dolosi in me apertum est. Loquuti sunt aduersum me lingua dolosa, & sermonibus odii circundederunt me, et impugnarunt me gratis. Pro eo ut diligerent me, detrahebant mihi, ego autem adorabam. Et posuerunt cõtra me mala pro bonis, et odiũ pro dilectione mea. Constitue in eum peccatorem, et calumniator stet à dextris eius. Cum iudicatur ipse exeat condemnatus, & oratio eius fiat in peccatum. Fiant dies eius pauci, & episcopatum eius accipiat alter. Fiãt filij eius orphani, & uxor eius uidua. Nutantes transferantur filij eius, & mendicent, eijctantur de habitationibus suis. Scrutetur fœnerator omnia quę sunt ei, & diripiant alieni

labores eius. Non existat
ei susceptor, neque sit qui
misereatur pupillis eius.
Fiant nati eius in interi-
tum, in generatione una
deleatur nomen eius. In
memoriam redeat iniqui-
tas patrum eius in conspe-
ctu domini, & peccatum
matris eius non deleatur.
Fiant contra dominũ sem
per, & dispereat de terra
memoria eorum. Pro eo
quod non est recordatus
facere misericordiam, &
persequutus est hominem
inopem & mendicum, &
compunctũ corde ad mor
tem, & dilexit maledicti-
onem, & ueniet ei. Et no
luit benedictionem, & e-
longabitur ab eo. Et in-
duit maledictionẽ sicut ue
stimentum, & intrauit si-
cut aqua in interiora eius,
& sicut oleum in ossibus
eius. Fiat ei sicut uestimẽ-
tum quod induitur, & si-
cut cingulum quo semper
praecingitur. Hoc opus
criminantiũ me apud do-
minum, & loquentium
mala aduersus animam
meam. Et tu domine do-
mine fac mecum propter
nomen tuum, quia suauis
misericordia tua. Libera
me, quia egenus & pau-
per sum ego, et cor meum
conturbatum est intra me.
Sicut umbra cum decli-
nat ipsa, ablatus sum, ex-
cussus sum sicut locustae.
Genua mea aegrotarunt
à ie-

τοὺς πόνους αὐτοῦ. Μὴ ὑπαρξάτω
αὐτῷ ἀντιλήπτωρ, μηδὲ γενηθήτω
οἰκτίρμων τοῖς ὀρφανοῖς αὐτοῦ. Γε-
νηθήτω τὰ τέκνα αὐτοῦ εἰς ἐξολόθρευ-
σιν, ἐν γενεᾷ μιᾷ ἐξαλειφθείη τὸ ὄ-
νομα αὐτοῦ. Ἀναμνησθείη ἡ ἀνομία
τῶν πατέρων αὐτοῦ ἔναντι κυρίου, καὶ
ἡ ἁμαρτία τῆς μητρὸς αὐτοῦ μὴ ἐξα-
λειφθείη. Γενηθήτωσαν ἐναντίον
κυρίου διὰ παντὸς, καὶ ἐξολοθρευθείη
ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν. Ἀνθ'
ὧν οὐκ ἐμνήσθη ποιῆσαι ἔλεος, καὶ
κατεδίωξεν ἄνθρωπον πένητα καὶ
πτωχὸν, καὶ κατανενυγμένον τῇ καρ-
δίᾳ τοῦ θανατῶσαι, καὶ ἠγάπησε κα-
τάραν, καὶ ἥξει αὐτῷ, καὶ οὐκ ἠθέλη-
σεν εὐλογίαν, καὶ μακρυνθήσεται ἀπ'
αὐτοῦ. Καὶ ἐνεδύσατο κατάραν ὡς
ἱμάτιον, καὶ εἰσῆλθεν ὡσεὶ ὕδωρ εἰς
τὰ ἔγκατα αὐτοῦ, καὶ ὡσεὶ ἔλαιον
ἐν τοῖς ὀστέοις αὐτοῦ. Γενηθήτω αὐ-
τῷ ὡς ἱμάτιον, ὃ περιβάλλεται, καὶ ὡ-
σεὶ ζώνη, ἣν διὰ παντὸς περιζώννυ-
ται. Τοῦτο τὸ ἔργον τῶν ἐνδιαβαλ-
λόντων με παρὰ κυρίου, καὶ τῶν λα-
λούντων πονηρὰ κατὰ τῆς ψυχῆς
μου. Καὶ σὺ κύριε κύριε ποίησον
μετ' ἐμοῦ, ἕνεκεν τοῦ ὀνόματός σου,
ὅτι χρηστὸν τὸ ἔλεός σου. Ῥῦσαί με,
ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγὼ, καὶ
ἡ καρδία μου τετάρακται ἐντός μου.
Ὡσεὶ σκιὰ ἐν τῷ ἐκκλίναι αὐτὴν
ἀντανῃρέθην, ἐξετινάχθην ὡσεὶ ἀ-
κρίδες. Τὰ γόνατά μου ἠσθένησαν
ἀπὸ

ἀπὸ νηστείας, καὶ ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλαιον. Κἀγὼ ἐγενήθην ὄνειδος αὐτοῖς. Εἴδοσάν με, ἐσάλευσαν κεφαλὰς αὐτῶν. Βοήθησόν μοι κύριε ὁ θεός μου, καὶ σῶσόν με κατὰ τὸ ἔλεός σου. Καὶ γνώτωσαν, ὅτι ἡ χείρ σου αὕτη, καὶ σὺ κύριε ἐποίησας αὐτήν. Καταράσονται αὐτοί, καὶ σὺ εὐλογήσεις. Οἱ ἐπανιστάμενοί μοι αἰσχυνθήτωσαν, ὁ δὲ δοῦλός σου εὐφρανθήσεται. Ἐνδυσάσθωσαν οἱ ἐνδιαβάλλοντές με ἐντροπήν, καὶ περιβαλέσθωσαν ὡς διπλοΐδα αἰσχύνην αὐτῶν. Ἐξομολογήσομαι τῷ κυρίῳ σφόδρα ἐν τῷ στόματί μου, καὶ ἐν μέσῳ πολλῶν αἰνέσω αὐτόν. Ὅτι παρέστη ἐκ δεξιῶν πένητος, τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου. Δόξα. Κάθισμα ιε.

Ψαλμὸς τῷ Δαβίδ, ρθ.

Εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι κύριος ἐκ Σιών, καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου. Μετά σου ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου, ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου. Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε. Ὤμοσε κύριος, καὶ οὐ μεταμεληθήσεται, σὺ ἱερεὺς εἰς τὸν αἰῶνα, κατὰ τὴν τάξιν Μελχισεδέκ. Κύριος ἐκ δεξιῶν σου, συνέθλασεν ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ βασιλεῖς. Κρινεῖ ἐν τοῖς ἔθνεσι,

πληρώσει

à ieiunio, & caro mea immutata est propter oleum. Et ego factus sum opprobriũ illis. Viderũt me, mouerunt capita sua. Adiuua me domine deus meus, & saluum fac me secundum misericordiã tuam. Et sciant, quia manus tua hæc, & tu domine fecisti eam. Maledicent illi, & tu benedices. Qui insurgunt in me confundantur, seruus aũt tuus lętabitur. Induantur qui detrahunt mihi pudore, & operiantur sicut diploide confusione sua. Confitebor domino ualde in ore meo, et in medio multorum laudabo eum. Quia astitit à dextris pauperis, ut saluam faceret à persequentibus animam meam. Gloria. Confessus decimus quintus.

Psalmus Dauid CIX.

Dixit dñs dño meo, sede à dextris meis, donec ponam inimicos tuos scabellum pedũ tuorum. Virgam potentię emittet tibi dñs ex Sion, & dominare in medio inimicorum tuorum. Tecum principiũ in die uirtutis tuæ, in splendoribus sanctorũ tuorum. Ex utero ante luciferum genui te. Iurauit dñs, & non pœnitebit eum, Tu sacerdos in æternũ, secundũ ordinem Melchisedek. Dñs à dextris tuis confregit in die iræ suæ reges. Iudicabit in gẽtibus,

Matth.
Heb.
1.Cor.15
Heb.7

implebit

implebit ruinas, conquassabit capita in terra multorum. De torrente in uia bibet, propterea exaltabit caput.

Alleluia, CX.

Supra 9 Eccl. 37 Confitebor tibi domine in toto corde meo, in consilio iustorum & congregatione. Magna opera domini, exquisita in omnes uoluntates eius. Cõfessio & magnificentia opus eius, & iustitia eius manet in seculum seculi. Memoriam fecit mirabilium suorum. Misericors & miserator dominus, uictum dedit timentibus se. Memor erit in seculũ testamenti sui, uirtutem operum suorum annunciauit populo suo, ut det illis hæreditatẽ gentium. Opera manuum eius ueritas et
Iob 28 iudicium. Fidelia omnia
Pro. 1, 9 mandata eius, confirmata in seculum seculi, facta in ueritate & æquitate. Redemptionem dimisit populo suo, mandauit in æternum testamentũ suum. Sanctum & terribile nomen eius. Initium sapientiæ timor domini, intellectus autem bonus omnibus facientibus eam. Laudatio eius manet in seculum seculi.

Alleluia, CXI.

Beatus uir qui timet dominum, in mandatis eius uolet

πληρώσει πτώματα, συνθλάσει κεφαλὰς ἐπὶ τῆς γῆς πολλῶν. Ἐκ χειμάῤῥου ἐν ὁδῷ πίεται, διὰ τοῦτο ὑψώσει κεφαλήν.

Ἀλληλούϊα, ρι΄.

Ἐξομολογήσομαί σοι κύριε ἐν ὅλῃ καρδίᾳ μου, ἐν βουλῇ εὐθέων καὶ συναγωγῇ. Μεγάλα τὰ ἔργα κυρίου, ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ. Ἐξομολόγησις καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Μνείαν ἐποιήσατο τῶν θαυμασίων αὐτοῦ. Ἐλεήμων καὶ οἰκτίρμων ὁ κύριος, τροφὴν ἔδωκε τοῖς φοβουμένοις αὐτόν. Μνησθήσεται εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ, ἰσχὺν ἔργων αὐτοῦ ἀνήγγειλε τῷ λαῷ αὐτοῦ, τοῦ δοῦναι αὐτοῖς κληρονομίαν ἐθνῶν, ἔργα χειρῶν αὐτοῦ ἀλήθεια καὶ κρίσις. Πισταὶ πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ, ἐστηριγμέναι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πεποιημέναι ἐν ἀληθείᾳ καὶ εὐθύτητι. Λύτρωσιν ἀπέστειλε τῷ λαῷ αὐτοῦ, ἐνετείλατο εἰς τὸν αἰῶνα διαθήκην αὐτοῦ. ἅγιον καὶ φοβερὸν τὸ ὄνομα αὐτοῦ. Ἀρχὴ σοφίας, φόβος κυρίου, σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν. Ἡ αἴνεσις αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἀλληλούϊα, ρια΄.

Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει

θελήσει σφόδρα. Δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ, γενεὰ εὐθέων εὐλογηθήσεται. Δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσιν, ἐλεήμων καὶ οἰκτίρμων καὶ δίκαιος. Χρηστὸς ἀνὴρ ὁ οἰκτείρων καὶ κιχρῶν, οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει, ὅτι εἰς τὸν αἰῶνα οὐ σαλευθήσεται. Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος, ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται. Ἑτοίμη ἡ καρδία αὐτοῦ ἐλπίζειν ἐπὶ κύριον, ἐστήρικται ἡ καρδία αὐτοῦ, οὐ μὴ φοβηθῇ, ἕως οὗ ἐπίδῃ τοὺς ἐχθροὺς αὐτοῦ. Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, τὸ κέρας αὐτοῦ ὑψωθήσεται ἐν δόξῃ. Ἁμαρτωλὸς ὄψεται, καὶ ὀργισθήσεται, τοὺς ὀδόντας αὐτοῦ βρύξει, καὶ τακήσεται, ἐπιθυμία ἁμαρτωλῶν ἀπολεῖται. Δόξα.

Ἀλληλούϊα, ριβ.

Αἰνεῖτε παῖδες κύριον, αἰνεῖτε τὸ ὄνομα κυρίου. Εἴη τὸ ὄνομα κυρίου εὐλογημένον, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. Ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν, αἰνετὸν τὸ ὄνομα κυρίου. Ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη ὁ κύριος, ἐπὶ τοὺς οὐρανοὺς ἡ δόξα αὐτοῦ. Τίς ὡς κύριος ὁ θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, ἐν τῷ οὐρανῷ καὶ ἐν

τῇ

uolet uehementer. Potens in terra erit semen eius, generatio rectorū benedicetur. Gloria & diuitiæ in domo eius, & iustitia eius manet in seculum seculi. Exortum est in tenebris lumen rectis, misericors et miserator & iustus. Commodus uir qui miseretur & commodat, dispensabit sermones suos in iudicio, quia in æternum non commouebitur. In memoria æterna erit iustus, ab auditione mala non timebit. Paratum cor eius sperare in domino, confirmatum est cor eius, non timebit donec despiciat in inimicos suos. Dispersit, dedit pauperibus, iustitia eius manet in seculum seculi, cornu eius exaltabitur in gloria. Peccator uidebit, & irascetur, dentibus suis frendebit, & tabescet, desiderium peccatoris peribit. Gloria. 2.Cor.9

Alleluia, CXII.

Laudate pueri dominum, laudate nomen domini. Sit nomen domini benedictum ex nunc & usque in seculum. Ab ortu solis usque ad occasum laudatum nomen domini. Inf.134 Iob 1

Excelsus super omnes gentes dominus, super coelos gloria eius. Quis sicut dominus deus noster, qui in altis habitat, & humilia respicit, in cœlo & in terra.

1.Reg.2 terra. Suscitās a terra mendicum, & à stercore erigens pauperem, ut collocet eum cum principibus, cum principus populi sui. Qui habitare fecit sterilem in domo, matrem super filijs lætantem.

Alleluia, CXIII.

Exod.13 In exitu Israel de Ægypto, domus Iacob de populo barbaro, facta est Iudæa sanctificatio eius, Israel potestas eius. Mare uidit, et fugit, Iordanis cōuersus est in posteriora. Montes exultauerunt ut arietes, & colles sicut agni ouiū. Quid tibi est mare, quod fugisti, & tu Iordanis, quia conuersus es in posteriora, montes, q̄d exultastis sicut arietes, & colles ut agni ouium? A facie domini mota est terra, à facie dei Iacob, uertentis petram in stagna aquarum, & rupem in fontes aquarum. Non nobis domine, non nobis, sed nomini tuo da gloriam. Propter misericordiā tuā & ueritatem tuā, nequando dicant gentes, ubi est deus

Inf.137 eorum? Deus autē noster in cœlo et in terra omnia, quæcunque uoluit, fecit. Simulacra gentiū argentum & aurum, opera manuum hominū. Os habent, et nō loquētur. Oculos habent, & non uidebūt. Aures habent, & nō audiēt. Nares habent

τῇ γῇ. Ὁ ἐγείρων ἀπὸ γῆς πτωχὸν, καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα, τοῦ καθίσαι αὐτὸν μετὰ ἀρχόντων, μετὰ ἀρχόντων λαοῦ αὐτοῦ. Ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ, μητέρα ἐπὶ τέκνοις εὐφραινομένην.

Ἀλληλούϊα, ριγ.

Ἐν ἐξόδῳ ἰσραὴλ ἐξ αἰγύπτου, οἴκου ἰακὼβ ἐκ λαοῦ βαρβάρου, ἐγενήθη ἰουδαία ἁγίασμα αὐτοῦ, ἰσραὴλ ἐξουσία αὐτοῦ. Ἡ θάλασσα εἶδε, καὶ ἔφυγεν, ὁ ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω. Τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοὶ, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων. Τί σοι ἐστὶ θάλασσα, ὅτι ἔφυγες, καὶ σὺ ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω, τὰ ὄρη, ὅτι ἐσκιρτήσατε ὡσεὶ κριοὶ, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων; Ἀπὸ προσώπου κυρίου ἐσαλεύθη ἡ γῆ, ἀπὸ προσώπου τοῦ θεοῦ ἰακὼβ, τοῦ στρέψαντος τὴν πέτραν εἰς λίμνας ὑδάτων, καὶ τὴν ἀκρότομον εἰς πηγὰς ὑδάτων. Μὴ ἡμῖν κύριε, μὴ ἡμῖν, ἀλλ' ἢ τῷ ὀνόματί σου δὸς δόξαν. Ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου, μήποτε εἴπωσι τὰ ἔθνη, ποῦ ἐστιν ὁ θεὸς αὐτῶν; Ὁ δὲ θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ πάντα, ὅσα ἠθέλησεν, ἐποίησε. Τὰ εἴδωλα τῶν ἐθνῶν, ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων. Στόμα ἔχουσι, καὶ οὐ λαλήσουσιν. Ὀφθαλμοὺς ἔχουσι, καὶ οὐκ ὄψονται. Ὦτα ἔχουσι, καὶ οὐκ ἀκούσονται. Ῥῖνας

ἔχου

ἔχουσι, καὶ οὐκ ὀσφρανθήσονται. Χεῖρας ἔχουσι, καὶ οὐ ψηλαφήσουσι. Πόδας ἔχουσι, καὶ οὐ περιπατήσουσιν. Οὐ φωνήσουσιν ἐν τῷ λάρυγγι αὐτῶν. Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτά, καὶ πάντες οἱ πεποιθότες ἐπ᾿ αὐτοῖς. Οἶκος Ἰσραὴλ ἤλπισεν ἐπὶ κύριον, βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν. Οἶκος Ἀαρὼν ἤλπισεν ἐπὶ κύριον, βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν. Οἱ φοβούμενοι τὸν κύριον ἤλπισαν ἐπὶ κύριον, βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν. Κύριος μνησθεὶς ἡμῶν, εὐλόγησεν ἡμᾶς. Εὐλόγησε τὸν οἶκον Ἰσραήλ, εὐλόγησε τὸν οἶκον Ἀαρών. Εὐλόγησε τοὺς φοβουμένους τὸν κύριον, τοὺς μικροὺς μετὰ τῶν μεγάλων. Προσθείη κύριος ἐφ᾿ ὑμᾶς, ἐφ᾿ ὑμᾶς καὶ ἐπὶ τοὺς υἱοὺς ὑμῶν. Εὐλογημένοι ὑμεῖς τῷ κυρίῳ, τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν. Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ κυρίῳ, τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀνθρώπων. Οὐχ οἱ νεκροὶ αἰνέσουσί σε κύριε, οὐδὲ πάντες οἱ καταβαίνοντες εἰς ᾅδου. Ἀλλ᾿ ἡμεῖς οἱ ζῶντες εὐλογήσομεν τὸν κύριον, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Ἀλληλούϊα, ριδ.

Ἠγάπησα, ὅτι εἰσακούσεται κύριος τῆς φωνῆς τῆς δεήσεώς μου. Ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοί, καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι. Περιέσχόν με ὠδῖνες θανάτου, κίνδυνοι ᾅδου εὑ-

ροσάν

habent, & non odorabun
tur. Manus habent, & nō
palpabunt. Pedes habēt,
& non obambulabunt.
Non edent uocem in gut-
ture suo. Similes illis fiant
qui faciunt ea, & omnes
qui confidunt in eis. Do- Inf.134
mus Israel sperauit in do-
minum, adiutor & prote-
ctor eorum est. Domus
Aaron sperauit in domi-
num, adiutor & protector
eorum est. Qui timent do
minum sperauerunt in do
minum, adiutor & prote-
ctor eorum est. Dominus
memor existens nostri be
nedixit nobis. Benedixit
domui Israel, benedixit
domui Aaron. Benedixit
timentibus dominum, pu-
sillis cum magnis. Addat
dominus uobis, uobis &
filiis uestris. Benedicti uos
domino, qui fecit coelum
& terrā. Coelum coeli dō
mino, terram autem dedit
filijs hominum. Non mor
tui laudabunt te domine,
neque omnes qui descen-
dunt in infernum. Sed nos
qui uiuimus, benedicemus
domino ex nunc & usq;
in seculum.

Alleluia, CXIIII.

Dilexi, quoniam exau-
diet dominus uocem ora-
tionis meæ. Quia inclina
uit aurem suam mihi, &
in diebus meis inuocabo.
Circūdederūt me dolores Sup.17
mortis, pericula inferni in-

uenerunt

uenerunt me. Tribulatio
nem & dolorem inueni,
& nomen domini inuoca
ui. O domine libera ani-
mam meam. Misericors
dominus & iustus, & de-
us noster miseretur. Custo
diens paruulos dominus,
humiliatus sum, & libera-
uit me. Conuerte ani-
ma mea in requiem tuam,
quia dominus benefecit
tibi. Quia eripuit ani-
mam meam de morte, o-
culos meos à lachrymis,
& pedes meos à lapsu.
Placebo coram dño regi
one uiuentium. Gloria.

Alleluia, CXV.

Credidi, ideo loquutus
2.Corin.4 sum. Ego autem humilia-
tus sum nimis, ego autem
Roma.3 dixi in excessu meo, om-
nis homo mendax. Quid
retribuam domino pro o-
mnibus quæ retribuit mi-
hi? Calicem salutaris ac
cipiam, & nomen domini
inuocabo. Vota mea do
mino reddam coram om-
ni populo eius. Preciosa
in conspectu domini mors
sanctorum eius. O domi-
ne ego seruus tuus, ego ser
uus tuus, & filius ancillæ
tuæ, diripuisti uincula
mea. Tibi sacrificabo ho
Sapien.9 stiam laudis, et in nomine
domini inuocabo. Vota
mea domino reddam in
conspectu omnis populi
eius, in atriis domus dñi
in medio tui Hierusalem.
Alleluia.

ρίσκου με. Θλίψιν καὶ ὀδύνην εὕ-
ρον, καὶ τὸ ὄνομα κυρίου ἐπικαλεσά-
μην. Ὦ κύριε ῥῦσαι τὴν ψυχήν μου.
Ἐλεήμων ὁ κύριος καὶ δίκαιος,
καὶ ὁ θεὸς ἡμῶν ἐλεεῖ. Φυλάσσων
τὰ νήπια ὁ κύριος, ἐταπεινώθην, καὶ
ἔσωσέ με. Ἐπίστρεψον ψυχή μου εἰς
τὴν ἀνάπαυσίν σου, ὅτι κύριος εὐηρ-
γέτησέ σε. Ὅτι ἐξείλετο τὴν ψυχήν
μου ἐκ θανάτου, τοὺς ὀφθαλμούς μου
ἀπὸ δακρύων, καὶ τοὺς πόδας μου
ἀπὸ ὀλισθήματος. Εὐαρεστήσω ἐνώ-
πιον κυρίου, ἐν χώρᾳ ζώντων. Δόξα.

Ἀλληλούϊα, ριε.

Ἐπίστευσα, διὸ ἐλάλησα. Ἐγὼ δὲ
ἐταπεινώθην σφόδρα, ἐγὼ δὲ εἶπα
ἐν τῇ ἐκστάσει μου, πᾶς ἄνθρωπος
ψεύστης. Τί ἀνταποδώσω τῷ κυ-
ρίῳ, περὶ πάντων, ὧν ἀνταπέδωκέ
μοι; Ποτήριον σωτηρίου λήψομαι,
καὶ τὸ ὄνομα κυρίου ἐπικαλέσομαι.
Τὰς εὐχάς μου τῷ κυρίῳ ἀποδώ-
σω, ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ.
Τίμιος ἐναντίον κυρίου, ὁ θάνα-
τος τῶν ὁσίων αὐτοῦ. Ὦ κύριε ἐγὼ
δοῦλος σὸς, ἐγὼ δοῦλος σὸς, καὶ υἱὸς
τῆς παιδίσκης σου, διέρρηξας τοὺς
δεσμούς μου. Σοὶ θύσω θυσίαν αἰνέ-
σεως, καὶ ἐν ὀνόματι κυρίου ἐπικα-
λέσομαι. Τὰς εὐχάς μου τῷ κυρίῳ
ἀποδώσω, ἐναντίον παντὸς τοῦ λαοῦ
αὐτοῦ, ἐν αὐλαῖς οἴκου κυρίου, ἐν μέ-
σῳ σου Ἱερουσαλήμ.

Ἀλληλούϊα, ρις.

Αἰνεῖτε τὸν κύριον πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί, ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς. Καὶ ἡ ἀλήθεια τοῦ κυρίου μένει εἰς τὸν αἰῶνα.

Ἀλληλούϊα, ριζ.

Ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Εἰπάτω δὴ οἶκος ἰσραήλ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Εἰπάτω δὴ οἶκος ἀαρών, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Εἰπάτωσαν δὴ πάντες οἱ φοβούμενοι τὸν κύριον, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἐκ θλίψεως ἐπεκαλεσάμην τὸν κύριον, καὶ ἐπήκουσέ μου εἰς πλατυσμόν. Κύριος ἐμοὶ βοηθός, καὶ οὐ φοβηθήσομαι, τί ποιήσει μοι ἄνθρωπος. Κύριος ἐμοὶ βοηθός, κἀγὼ ἐπόψομαι τοὺς ἐχθρούς μου.

Ἀγαθὸν πεποιθέναι ἐπὶ κύριον, ἢ πεποιθέναι ἐπ' ἄνθρωπον. Ἀγαθὸν ἐλπίζειν ἐπὶ κύριον, ἢ ἐλπίζειν ἐπ' ἄρχουσι. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι κυρίου ἠμυνάμην αὐτούς. Κυκλώσαντές ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι κυρίου ἠμυνάμην αὐτούς. Ἐκύκλωσάν με ὡσεὶ μέλισσαι κηρίον, καὶ ἐξεκαύθησαν ὡς πῦρ ἐν ἀκάνθαις, καὶ τῷ ὀνόματι κυρίου ἠμυνάμην αὐτούς. Ὠσθεὶς ἀνετράπην τοῦ πεσεῖν, καὶ ὁ κύριος

Alleluia, CXVI.

Laudate dominum om Rom. 15
nes gentes, laudate eũ om
nes populi. Quia robora-
ta est misericordia eius su-
per nos, & ueritas domi-
ni manet in seculum.

Alleluia, CXVII.

Confitemini domino, Supra 104 &
quia bonus, quia in secu- 105 & 106
lum misericordia eius. Di Iudith. 13
cat nunc domus Israël,
Quia bonus, quia in secu-
lum misericordia eius. Di
cat nunc domus Aaron,
quia bonus, quia in secu-
lum misericordia eius. Di
cant nunc omnes timen-
tes dominum, quia bonus,
quia in seculum misericor
dia eius. Ex afflictione
inuocaui dominum, & ex
audiuit me in latitudinē.
Dominus mihi auxilia- Heb. 13
tor, & non timebo, quid
faciet mihi homo. Domi-
nus mihi auxiliator, & e-
go despiciam inimicos
meos. Bonum est confide
re in dominum, quàm con
fidere in hominem. Bonũ
est sperare in dominum,
quàm sperare in princi-
pes. Omnes gentes circũ-
ierunt me, & nomine do-
mini ultus sum eos. Cir- Exod. 15
cundantes circundederũt Esaiæ 12
me sicut apes fauum, &
exarserunt sicut ignis in
spinis, & nomine domini
ultus sum eos. Pulsus euer
sus sum ad cadendum, &

dominus recepit me. Robur meum & cantio mea dñs, & factus est mihi in salutẽ. Vox exultationis & salutis in tabernaculis iustorum. Dextera dñi fecit uirtutẽ, dextera domini exaltauit me. Dextera domini fecit uirtutem, nõ moriar, sed uiuam, & narrabo opera domini. Castigans castigauit me dominus, & morti non tradidit me. Aperite mihi portas iustitiæ, ingressus in eas confitebor domino. Hæc porta domini, iusti intrabunt in eam. Confitebor tibi, quia exaudisti me, et factus es mihi in salutem.
Matth. 21 Lapis quẽ reprobauerũt ædificantes, hic factus est in caput anguli. A domino factus est ille, & est mirabilis in oculis nostris. Hæc dies, quã fecit dominus, lætemur, & gaudeamus in ea. O domine salua me iam, ô domine pro-
Matth. 21 sperare iam. Benedictus ueniens in nomine domini. Benediximus uobis de domo domini, deus dominus, & illuxit nobis. Constituite diem solennem in condensis, usq; ad cornua altaris. Deus meus es tu, & confitebor tibi. Deus meus es tu, et exaltabo te. Confitebor tibi, quia exaudisti me, & factus es mihi in salutem. Confitemini domino, quia bonus, quia

κύριος ἀντελάβετό μου. Ἰσχύς μου καὶ ὕμνησίς μου, ὁ κύριος, καὶ ἐγένετό μοι εἰς σωτηρίαν. Φωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας ἐν σκηναῖς δικαίων. Δεξιὰ κυρίου ἐποίησε δύναμιν, δεξιὰ κυρίου ὕψωσέ με. Δεξιὰ κυρίου ἐποίησε δύναμιν, οὐκ ἀποθανοῦμαι, ἀλλὰ ζήσομαι, καὶ διηγήσομαι τὰ ἔργα κυρίου. Παιδεύων ἐπαίδευσέ με ὁ κύριος, καὶ τῷ θανάτῳ οὐ παρέδωκέ με. Ἀνοίξατέ μοι πύλας δικαιοσύνης, εἰσελθὼν ἐν αὐταῖς ἐξομολογήσομαι τῷ κυρίῳ. Αὕτη ἡ πύλη τοῦ κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ. Ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου, καὶ ἐγένου μοι εἰς σωτηρίαν. Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας. Παρὰ κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ κύριος, ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. Ὦ κύριε σῶσον δή, ὦ κύριε εὐόδωσον δή. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. Εὐλογήκαμεν ὑμᾶς ἐξ οἴκου κυρίου, θεὸς κύριος, καὶ ἐπέφανεν ἡμῖν.

Συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν, ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου. Θεός μου εἶ σύ, καὶ ἐξομολογήσομαί σοι. Θεός μου εἶ σύ, καὶ ὑψώσω σε. Ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου, καὶ ἐγένου μοι εἰς σωτηρίαν. Ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι ἀγαθός, ὅτι

ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Δόξα. κάθισμα ιϛ.

Ἀλληλούϊα, ριή.

Μακάριοι ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ κυρίου. Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια, ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν. Οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν. Σὺ ἐνετείλω τὰς ἐντολάς σου, τοῦ φυλάξασθαι σφόδρα. Ὄφελον, κατευθυνθείησαν αἱ ὁδοί μου, τοῦ φυλάξασθαι τὰ δικαιώματά σου. Τότε οὐ μὴ αἰσχυνθῶ, ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου. Ἐξομολογήσομαί σοι ἐν εὐθύτητι καρδίας, ἐν τῷ μεμαθηκέναι με τὰ κρίματα τῆς δικαιοσύνης σου. Τὰ δικαιώματά σου φυλάξω, μή με ἐγκαταλίπῃς ἕως σφόδρα. Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ; Ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου. Ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτησά σε, μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου. Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοί. Εὐλογητὸς εἶ κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Ἐν τοῖς χείλεσί μου ἐξήγγειλα πάντα τὰ κρίματα τοῦ στόματός σου.

Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην, ὡς ἐπὶ παντὶ πλούτῳ. Ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχήσω, καὶ κατανοήσω τὰς ὁδούς σου. Ἐν τοῖς δικαιώμασί σου μελετήσω, οὐκ ἐπιλήσομαι

τῶν

quia in seculum misericordia eius. Gloria. Consessus decimus sextus.

Alleluia, CXVIII.

Beati immaculati in uia, qui ambulant in lege domini. Beati qui scrutātur testimonia, in toto corde exquirunt eum. Non enī qui operantur iniquitatē, in uijs eius ambulauerūt. Tu mandasti mandata tua custodiri ualde. Vtinam, dirigantur uiæ meæ ad custodiendas iustificationes tuas. Tunc nō confundar cum prospexero in omnia pręcepta tua. Confitebor tibi in rectitudine cordis, q̄d didici ego iudicia iustitiæ tuæ. Iustificationes tuas custodiam, nō me derelinquas prorsus. In quo corriget adolescentior uiam suam? Custodiēdo sermones tuos. In toto corde meo exquisiui te, ne repellas me à mandatis tuis. In corde meo abscondi eloquia tua, ut non peccem tibi. Benedictus es domine, doce me iustificationes tuas. In labijs meis pronunciaui omnia iudicia oris tui. In uia testimoniorum tuorum delectatus sum, sicut in omnibus diuitijs. In mandatis tuis exercebor, & considerabo uias tuas. In iustitijs tuis meditabor, non obliuiscar

ſermonum tuorum. Retribue ſeruo tuo, uiuifica me, & cuſtodiam ſermones tuos. Retege oculos meos, & conſiderabo mirabilia de lege tua. Aduena ego ſum in terra, non abſcondas à me mandata tua. Concupiuit anima mea deſiderare iudicia tua in omni tempore. Increpaſti ſuperbos, maledicti qui declinant à mandatis tuis. Adime à me uituperiũ & contemptũ, quia teſtimonia tua exquiſiui. Etenim conſederunt principes, & contra me obloquebant, at ſeruus tuus uacabat in iuſtitijs tuis. Etenim teſtimonia tua meditatio mea eſt, & cõſultationes meę, iuſtitiæ tuæ. Agglutinata eſt pauimento anima mea, uiuere fac me pro ſermone me tuo. Vias meas enũciaui, et exaudiſti me. Doce me iuſtitias tuas, uiam iuſtitiarũ tuarum fac intelligere me, & exercebor in mirabilibus tuis. Nutauit anima mea præ tædio, firma me in ſermonibus tuis. Viam iniuſtitiæ amoue à me, & lege tua miſerere mei. Viam ueritatis elegi, & iudicia tua non ſum oblitus. Agglutinatus ſum teſtimonijs tuis domine, ne me pudefacias. Viam mandatorum tuorum cucurri, cum dilataſti cor meum.

Lege

τῶν λόγων σου. Ἀνταπόδος τῷ δούλῳ σου, ζῆσόν με, καὶ φυλάξω τοὺς λόγοις σου. Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου. Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ, μὴ ἀποκρύψῃς ἀπ᾽ ἐμοῦ τὰς ἐντολάς σου. Ἐπεπόθησεν ἡ ψυχή μου, τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ. Ἐπετίμησας ὑπερηφάνοις, ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου. Περίελε ἀπ᾽ ἐμοῦ ὄνειδος καὶ ἐξουδένωσιν, ὅτι τὰ μαρτύριά σου ἐξεζήτησα. Καὶ γὰρ ἐκάθισαν ἄρχοντες, καὶ κατ᾽ ἐμοῦ κατελάλουν, ὁ δὲ δοῦλός σου ἠδολέσχει ἐν τοῖς δικαιώμασί σου. Καὶ γὰρ τὰ μαρτύριά σου μελέτη μοῦ ἐστι, καὶ αἱ συμβουλίαι μου τὰ δικαιώματά σου. Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου, ζῆσόν με κατὰ τὸν λόγον σου. Τὰς ὁδούς μου ἐξήγγειλα, καὶ ἐπήκουσάς μου. Δίδαξόν με τὰ δικαιώματά σου, ὁδὸν δικαιωμάτων σου συνέτισόν με, καὶ ἀδολεσχήσω ἐν τοῖς θαυμασίοις σου. Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας, βεβαίωσόν με ἐν τοῖς λόγοις σου. Ὁδὸν ἀδικίας ἀπόστησον ἀπ᾽ ἐμοῦ, καὶ τῷ νόμῳ σου ἐλέησόν με. Ὁδὸν ἀληθείας ᾑρετισάμην, καὶ τὰ κρίματά σου οὐκ ἐπελαθόμην. Ἐκολλήθην τοῖς μαρτυρίοις σου, μή με καταισχύνῃς. Ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅταν ἐπλάτυνας τὴν καρδίαν μου.

Νομο

Νομοθέτησόν με κύριε τὴν ὁδὸν τῶν δικαιωμάτων σου, καὶ ἐκζητήσω αὐτὴν διὰ παντός. Συνέτισόν με, καὶ ἐξερευνήσω τὸν νόμον σου, καὶ φυλάξω αὐτὸν ἐν ὅλῃ καρδίᾳ μου. Ὁδήγησόν με ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου, ὅτι αὐτὴν ἠθέλησα. Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου, καὶ μὴ εἰς πλεονεξίαν. Ἀπόστρεψον τοὺς ὀφθαλμούς μου, τοῦ μὴ ἰδεῖν ματαιότητα, ἐν τῇ ὁδῷ σου ζῆσόν με. Στῆσον τῷ δούλῳ σου τὸ λόγιόν σου, εἰς τὸν φόβον σου. Περίελε τὸν ὀνειδισμόν μου, ὃν ὑπώπτευσα, ὅτι τὰ κρίματά σου χρηστά. Ἰδού, ἐπεθύμησα τὰς ἐντολάς σου, ἐν τῇ δικαιοσύνῃ σου ζῆσόν με. Καὶ ἔλθοι ἐπ᾽ ἐμὲ τὸ ἔλεός σου, κύριε, τὸ σωτήριόν σου κατὰ τὸν λόγον σου. Καὶ ἀποκριθήσομαι τοῖς ὀνειδίζουσί μοι λόγον, ὅτι ἤλπισα ἐπὶ τοῖς λόγοις σου. Καὶ μὴ περιέλῃς ἐκ τοῦ στόματός μου λόγον ἀληθείας ἕως σφόδρα, ὅτι ἐπὶ τοῖς κρίμασί σου ἐπήλπισα. Καὶ φυλάξω τὸν νόμον σου διὰ παντός, εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Καὶ ἐπορευόμην ἐν πλατυσμῷ, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα. Καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων, καὶ οὐκ ᾐσχυνόμην. Καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου, ἃς ἠγάπησα σφόδρα. Καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου, ἃς ἠγάπησα, καὶ ἠδολέσχουν ἐν τοῖς δι-

καιώ

Legem instrue me domine, uiam iustitiarũ tuarum, & exquiram eam per omne tempus. Intelligentia instrue me, & scrutabor legem tuam, & custodiam illam in toto corde meo. Per uiam deduc me in semita mandatorũ tuorum, quia ipsam uolui. Inclina cor meum in testimonia,& non in cupiditatẽ habendi. Auerte oculos meos, ne uideant uanitatẽ,in uia tua inuita excita me. Statue seruo tuo eloquium tuũ,ad metũ tui. Adime uituperiũ meum, quod suspicatus sum, quia iudicia tua proba. Ecce, expetiui mandata tua, in iustitia tua in uitam excita me. Et ueniat in me misericordia tua domine, salutare tuum pro sermone tuo. Et respondebo uituperantibus me sermonẽ, quia speraui in sermonib. tuis. Et ne adimas ex ore meo sermonẽ ueritatis adeo ualde, quia in iudiciis tuis spem fixi. Et custodiã legẽ tuã p omne tẽpus, in seculum,& in seculũ seculi. Et ambulabam in latitudine, quia mandata tua exquisiui. Et loquebar in testimonijs tuis corã regibus, & non pudefiebam. Et meditabar in mandatis tuis, quæ dilexi ualde. Et tuli manus meas ad mandata tua, quæ dilexi, & exercebar in iusti-

tiijs tuis. Memor sis sermonũ tuorũ seruo tuo, quibus spẽ dedisti mihi. Hæc me consolata est in humilitate mea, quia eloquiũ tuum uiuificauit me. Superbi iniquè agebant prorsus, à lege aũt tua nõ declinaui. Memor sui iudiciorũ tuorũ à seculo dñe, & cõsolatus sũ. Defectio tenuit me à peccatorib. derelinquentibus legẽ tuã. Cantatæ erant mihi iustitiæ tuæ, in loco peregrinatiõis meę. Memor fui in nocte nominis tui dñe, & custodiui legem tuã. Hæc facta est mihi, quia iustitias tuas exquisiui. Portio mea es dñe, dixi custodire legem tuã. Precatus sum conspectũ tuũ in toto corde meo, miserere mei secundũ eloquium tuũ. Perpendi uias tuas, & cõuerti pedes meos in testimonia tua. Paratus sum, & non sum turbatus, ut custodiam mãdata tua. Funes peccatorũ circumplexi sunt me, & legem tuam nõ sum oblitus. Media nocte surgebã ad confitendum tibi, propter iudicia iustificationis tuę. Particeps ego sum omnium timentium te & custodientium mandata tua. Misericordia tua domine plena terra, iustificationis tuas doce me. Probitatem fecisti cum seruo tuo domine pro sermone tuo. Pro-

καιώμασί σου. Μνήσθητι τῶν λόγων σου τῷ δούλῳ σου, ὧν ἐπήλπισάς με. Αὕτη με παρεκάλεσεν ἐν τῇ ταπεινώσει μου, ὅτι τὸ λόγιόν σου ἔζησέ με. Ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα, ἀπὸ δὲ τοῦ νόμου σου οὐκ ἐξέκλινα. Ἐμνήσθην τῶν κριμάτων σου ἀπ᾽ αἰῶνος, κύριε, καὶ παρεκλήθην. Ἀθυμία κατέσχε με, ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου. Ψαλτὰ ἦσάν μοι τὰ δικαιώματά σου, ἐν τόπῳ παροικίας μου. Ἐμνήσθην ἐν νυκτὶ τοῦ ὀνόματός σου κύριε, καὶ ἐφύλαξα τὸν νόμον σου. Αὕτη ἐγενήθη μοι, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα. Μερίς μου εἶ κύριε, εἶπα τοῦ φυλάξασθαι τὸν νόμον σου. Ἐδεήθην τοῦ προσώπου σου ἐν ὅλῃ καρδίᾳ μου, ἐλέησόν με κατὰ τὸ λόγιόν σου. Διελογισάμην τὰς ὁδούς σου, καὶ ἐπέστρεψα τοὺς πόδας μου εἰς τὰ μαρτύριά σου. Ἡτοιμάσθην, καὶ οὐκ ἐταράχθην τοῦ φυλάξασθαι τὰς ἐντολάς σου. Σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην. Μεσονύκτιον ἐξεγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι, ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. Μέτοχος ἐγώ εἰμι πάντων τῶν φοβουμένων σε καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου. Τοῦ ἐλέους σου κύριε πλήρης ἡ γῆ, τὰ δικαιώματά σου δίδαξόν με. Χρηστότητα ἐποίησας μετὰ τοῦ δούλου σου κύριε, κατὰ τὸν λόγον σου.

Χρη-

Χρηστότητα καὶ παιδείαν καὶ γνῶσιν δίδαξόν με, ὅτι ταῖς ἐντολαῖς σου ἐπίστευσα. Πρὸ τοῦ με ταπεινωθῆναι ἐγὼ ἐπλημμέλησα, διὰ τοῦτο τὸ λόγιόν σου ἐφύλαξα. Χρηστὸς εἶ σὺ κύριε, καὶ ἐν τῇ χρηστότητί σου δίδαξόν με τὰ δικαιώματά σου. Ἐπληθύνθη ἐπ' ἐμὲ ἀδικία ὑπερηφάνων, ἐγὼ δὲ ἐν ὅλῃ καρδίᾳ μου ἐξερευνήσω τὰς ἐντολάς σου. Ἐτυρώθη ὡς γάλα ἡ καρδία αὐτῶν, ἐγὼ δὲ τὸν νόμον σου ἐμελέτησα. Ἀγαθόν μοι, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου. Ἀγαθός μοι ὁ νόμος τοῦ στόματός σου, ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου. Δόξα.

Στάσις ά.

Αἱ χεῖρές σου ἐποίησάν με, καὶ ἔπλασάν με. Συνέτισόν με, καὶ μαθήσομαι τὰς ἐντολάς σου. Οἱ φοβούμενοί σε ὄψονταί με, καὶ εὐφρανθήσονται, ὅτι εἰς τοὺς λόγους σου ἐπήλπισα. Ἔγνων κύριε, ὅτι δικαιοσύνη τὰ κρίματά σου, καὶ ἀληθείᾳ ἐταπείνωσάς με. Γενηθήτω δὴ τὸ ἔλεός σου τοῦ παρακαλέσαι με, κατὰ τὸ λόγιόν σου τῷ δούλῳ σου. Ἐλθέτωσάν μοι οἱ οἰκτιρμοί σου, καὶ ζήσομαι, ὅτι ὁ νόμος σου μελέτη μού ἐστιν. Αἰσχυνθήτωσαν ὑπερήφανοι, ὅτι ἀδίκως ἠνόμησαν εἰς ἐμέ, ἐγὼ δὲ ἀδολεσχήσω ἐν ταῖς ἐντολαῖς σου. Ἐπιστρεψάτωσάν με οἱ φοβούμενοί σε, καὶ οἱ γινώσκοντές τὰ μαρτύριά σου. Γενηθήτω ἡ καρ-

Probitatem & disciplinã et cognitionem doce me, quia mandatis tuis credidi. Priusquã humiliarer, ego deliqui, propterea eloquium tuũ custodiui. Bonus es tu domine, et in bonitate tua doce me iustitias tuas. Multiplicata est in me iniquitas superborum, ego autẽ in toto corde meo scrutabor mandata tua. Coagulatum est sicut lac cor eorum, ego uero legem tuam meditatus sum. Bonũ mihi, quia humiliasti me, ut discam iustitias tuas. Bona mihi lex oris tui, super millia auri & argenti.

Statio prima.

Manus tuæ fecerũt me, & formauerunt me. Da intellectũ mihi, & discã mandata tua. Timentes te, uidebunt me, & gaudebũt, quia in sermones tuos spẽ fixi. Cognoui domine, quia æquitas iudicia tua, & ueritate humilem reddisti me. Sit misericordia tua ad me consolandum secundum eloquiũ tuum seruo tuo. Veniant mihi miserationes tuę, & uiuã, quia lex tua meditatio mea est. Pudefiant superbi, quia iniuste iniquitatẽ fecerunt in me, ego autem exercebor in mandatis tuis. Diuertant ad me timen es te, & cognoscentes testimonia tua. Fiat

cor meum immaculatum in iustitijs tuis, ut non pudefiam. Defecit in salutare tuum anima mea, in uerba tua supersperaui. Defecerunt oculi mei in eloquium tuũ, dicentes, quando consolaberis me? Quia factus sum sicut uter in pruina, iustificationes tuas nõ sum oblitus. Quot sunt dies serui tui, quando facies mihi de persequẽtibus me iudicium? Narrauerũt mihi iniqui nugacitates, sed non ut lex tua, dñe. Omnia mandata tua ueritas; inique persecuti sunt me, adiuua me. Ferè consumpserũt me in terra, ego autem non dereliqui mandata tua. Pro misericordia tua in uitam excita me, & custodiã testimonia oris tui. In seculũ domine sermo tuus permanet in cœlo, in generationem & generationẽ ueritas tua. Fundasti terram, & permanet ordinatione tua. Perseuerat dies, quoniam omnia famulantia tibi. Nisi lex tua meditatio mea esset, tũc perijsse in humilitate mea. In seculum non obliuiscar iustitias tuas, quia in ipsis uiuisticasti me.

Statio secunda.

Tu^9 sum ego, salua me, quia iustitias tuas exquisiui. Me expectauerunt peccatores, ut perderent me,

ἡ καρδία μου ἄμωμος ἐν τοῖς δικαιώμασί σου, ὅπως ἂν μὴ αἰσχυνθῶ. Ἐκλείποι εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου, εἰς τοὺς λόγους σου ἐπήλπισα. Ἐξέλιπον οἱ ὀφθαλμοί μου εἰς τὸ λόγιόν σου, λέγοντες, πότε παρακαλέσεις με; Ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ, τὰ δικαιώματά σου οὐκ ἐπιλαθόμην. Πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ δούλου σου, πότε ποιήσεις μοι ἐκ τῶν καταδιωκόντων με κρίσιν; Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ' οὐχ ὡς ὁ νόμος σου, κύριε. Πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια. ἀδίκως κατεδίωξάν με, βοήθησόν μοι. Παρὰ βραχὺ συνετέλεσάν με ἐν τῇ γῇ, ἐγὼ δὲ οὐκ ἐγκατέλιπον τὰς ἐντολάς σου. Κατὰ τὸ ἔλεός σου ζῆσόν με, καὶ φυλάξω τὰ μαρτύρια τοῦ στόματός σου. Εἰς τὸν αἰῶνα κύριε ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ, εἰς γενεὰν καὶ γενεὰν ἡ ἀλήθειά σου. Ἐθεμελίωσας τὴν γῆν, καὶ διαμένει τῇ διατάξει σου. Διαμένει ἡμέρα, ὅτι τὰ σύμπαντα δοῦλα σά. Εἰ μὴ ὅτι ὁ νόμος σου μελέτη μου ἐστί, τότε ἂν ἀπωλόμην ἐν τῇ ταπεινώσει μου. Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου, ὅτι ἐν αὐτοῖς ἔζησάς με.

Στάσις β.

Σός εἰμι ἐγώ, σῶσόν με, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα. Ἐμὲ ὑπέμειναν ἁμαρτωλοί, τοῦ ἀπολέσαι με.

με. Τὰ μαρτύριά σου συνῆκα, πάσης συντελείας εἶδον πέρας, πλατεῖα ἡ ἐντολή σου σφόδρα. Ὡς ἠγάπησα τὸν νόμον σου, κύριε, ὅλην τὴν ἡμέραν μελέτη μου ἐστί. Ὑπὲρ τοὺς ἐχθρούς μου ἐσόφισάς με τὴν ἐντολήν σου, ὅτι εἰς τὸν αἰῶνα ἐμή ἐστιν. Ὑπὲρ πάντας τοὺς διδάσκοντάς με συνῆκα, ὅτι τὰ μαρτύριά σου μελέτη μου ἐστίν. Ὑπὲρ πρεσβυτέρους συνῆκα, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα. Ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας μου, ὅπως ἂν φυλάξω τοὺς λόγους σου. Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα, ὅτι σὺ ἐνομοθέτησάς με.

Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου. Ἀπὸ τῶν ἐντολῶν σου συνῆκα, διὰ τοῦτο ἐμίσησα πᾶσαν ὁδὸν ἀδικίας. Λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου. Ὤμοσα, καὶ ἔστησα, τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου. Ἐταπεινώθην ἕως σφόδρα κύριε, ζῆσόν με κατὰ τὸν λόγον σου. Τὰ ἑκούσια τοῦ στόματός μου εὐδόκησον δὴ κύριε, καὶ τὰ κρίματά σου δίδαξόν με. Ἡ ψυχή μου ἐν ταῖς χερσί σου διὰ παντὸς, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην. Ἔθεντο ἁμαρτωλοὶ παγίδα μοι, καὶ ἐκ τῶν ἐντολῶν σου οὐκ ἐπλανήθην. Ἐκληρονόμησα τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, ὅτι ἀγαλλίαμα τῆς καρδίας μου εἰσίν. Ἔκλινα τὴν καρδίαν

(μου,

me. Testimonia tua intellexi, omnis consummationis uidi finem, latum mandatum tuū ualde. Quàm dilexi legem tuam, domine, tota die meditatio mea est. Vltra inimicos meos docuisti me mandatum tuum, quia in æternū meum est. Plusquam omnes docentes me intellexi, quia testimonia tua meditatio mea est. Vltra senes intellexi, quia mādata tua quęsiui. Ab omni uia mala prohibui pedes meos, ut custodiam uerba tua. A iudiciis tuis non declinaui, quia tu legem posuisti mihi. Quàm dulcia faucibus meis eloquia tua, ultra mel ori meo. A mandatis tuis intellexi, propterea odiui omnem uiam iniquitatis.

Lucerna pedibus meis lex tua, & lumen semitis meis. Iuraui, & steti custodire iudicia iustitiæ tuæ. Humilis redditꝰ sum adeo uehementer dñe, in uitam excita me pro sermone tuo. Voluntaria oris mei approba iam domine, & iudicia tua doce me. Anima mea in manibus tuis semper, & legem tuā non sum oblitus. Posuerūt peccatores laqueum mihi, & de mandatis tuis non erraui. Hæreditate possedi testimonia tua in æternum, quia exultatio cordis mei sunt. Inclinaui cor

Pp 5 me

meum, ad faciendas iustifi cationes tuas in æternum propter retributionem.

Iniquos odi, legem autē tuam dilexi. Auxiliator meus et susceptor meus es tu, in uerba tua supersperaui. Declinate à me maligni, & scrutabor mandata dei mei. Suscipe me secundū eloquium tuum, & uiuifica me. Et non confundas me ab expectatione mea. Adiuua me, & saluus ero, & meditabor iustificationibus tuis semper. Spreuisti omnes discedentes à iustificationibus tuis, quia iniusta cogitatio eorum. Præuaricantes reputaui omnes peccatores terræ, ideo dilexi testimonia tua. Fige clauo à timore tuo carnes meas, à iudicijs enim tuis timui. Feci iudicium et iustitiam, non tradas me calumniantibus me. Suscipe seruum tuum in bonum, non calumnientur me superbi. Oculi mei defecerunt in salutare tuū, & in eloquium iustitiæ tuæ. Fac cum seruo tuo secundum misericordiā tuā, & iustificationes tuas doce me. Seruus tuus sum ego, da intellectum mihi, & cognoscam testimonia tua. Tempus faciendi domino, dissipauerunt legem tuam. Propter hoc amaui præcepta tua super

μυ, τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα δι' ἀντάμειψιν. Παρανόμους ἐμίσησα, τὸν δὲ νόμον σου ἠγάπησα. Βοηθός μου, καὶ ἀντιλήπτωρ μου εἶ σύ, εἰς τοὺς λόγους σου ἐπήλπισα. Ἐκκλίνατε ἀπ' ἐμοῦ πονηρευόμενοι, καὶ ἐξερευνήσω τὰς ἐντολὰς τοῦ θεοῦ μου. Ἀντιλαβοῦ μου κατὰ τὸ λόγιόν σου, καὶ ζῆσόν με. Καὶ μὴ καταισχύνῃς με ἀπὸ τῆς προσδοκίας μου. Βοήθησόν μοι, καὶ σωθήσομαι, καὶ μελετήσω ἐν τοῖς δικαιώμασί σου διὰ παντός. Ἐξουδένωσας πάντας τοὺς ἀποστατοῦντας ἀπὸ τῶν δικαιωμάτων σου, ὅτι ἄδικον τὸ ἐνθύμημα αὐτῶν. Παραβαίνοντας ἐλογισάμην πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, διὰ τοῦτο ἠγάπησα τὰ μαρτύριά σου. Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου, ἀπὸ γὰρ τῶν κριμάτων σου ἐφοβήθην. Ἐποίησα κρίμα καὶ δικαιοσύνην, μὴ παραδῷς με τοῖς ἀδικοῦσί με. Ἔκδεξαι τὸν δοῦλόν σου εἰς ἀγαθόν, μὴ συκοφαντησάτωσάν με ὑπερήφανοι. Οἱ ὀφθαλμοί μου ἐξέλιπον εἰς τὸ σωτήριόν σου, καὶ εἰς τὸ λόγιον τῆς δικαιοσύνης σου. Ποίησον μετὰ τοῦ δούλου σου κατὰ τὸ ἔλεός σου, καὶ τὰ δικαιώματά σου δίδαξόν με. Δοῦλός σου εἰμὶ ἐγώ, συνέτισόν με, καὶ γνώσομαι τὰ μαρτύριά σου. Καιρὸς τοῦ ποιῆσαι τῷ κυρίῳ, διεσκέδασαν τὸν νόμον σου. Διὰ τοῦτο ἠγάπησα τὰς ἐντολάς σου,

ὑπὲρ

ὑπὲρ χρυσίον καὶ τοπάζιον. Διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην, πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα. Θαυμαστὰ τὰ μαρτύριά σου, διὰ τοῦτο ἐξηρεύνησεν αὐτὰ ἡ ψυχή μου. Ἡ δήλωσις τῶν λόγων σου φωτιεῖ, καὶ συνετιεῖ νηπίους. Τὸ στόμα μου ἤνοιξα, καὶ εἵλκυσα πνεῦμα, ὅτι τὰς ἐντολάς σου ἐπεπόθουν. Δόξα.

Στάσις γ.

Ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με, κατὰ τὸ κρίμα τῶν ἀγαπώντων τὸ ὄνομά σου. Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία. Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου. Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου, καὶ δίδαξόν με τὰ δικαιώματά σου. Διεξόδους ὑδάτων κατέβησαν οἱ ὀφθαλμοί μου, ἐπεὶ οὐκ ἐφύλαξαν τὸν νόμον σου. Δίκαιος εἶ κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου. Ἐνετείλω δικαιοσύνην, τὰ μαρτύριά σου, καὶ ἀλήθειαν σφόδρα. Ἐξέτηξέ με ὁ ζῆλός σου, ὅτι ἐπελάθοντο τῶν λόγων σου οἱ ἐχθροί μου. Πεπυρωμένον τὸ λόγιόν σου σφόδρα, καὶ ὁ δοῦλός σου ἠγάπησεν αὐτό. Νεώτερος ἐγώ εἰμι, καὶ ἐξουδενωμένος, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. Ἡ δικαιοσύνη σου, δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ νόμος σου ἀλήθεια. Θλίψεις καὶ ἀνάγκαι

super aurum et topazion. Propterea ad omnia mandata tua dirigebar, omnē uiam iniquā odio habui.

Mirabilia testimonia tua, ideo scrutata est ea anima mea. Declaratio sermonum tuorum illuminabit, & intellectum dabit paruulis. Os meum aperui, & attraxi spiritum, quia mādata tua desiderabam. Gloria.

Statio tertia.

Inspice in me & miserere mei, secundū iudicium diligentiū nomē tuū. Gressus meos dirige secundū eloquium tuū, & non dominetur mei omnis iniustitia. Redime me à calumniis hominū, & custodiā mandata tua. Faciem tuā illumina super seruū tuū, et doce me iustificationes tuas. Exitus aquarū subierunt oculi mei, quia nō custodiui legem tuam. Iustus es dn̄e, & recta iudicia tua. Mandasti iustitiā, testimonia tua, & ueritatem ualde. Tabescere me fecit zelus tuus, quia obliti sunt uerba tua inimici mei. Ignitum eloquium tuum uehementer, & seruus tuus dilexit illud. Iunior ego sum, & nihili factus, iustitias tuas non sum oblitus. Iustitia tua, iustitia in seculum, & lex tua ueritas. Afflictiones & angustiæ

angustię inuenerũt me, mã
data tua meditatio mea.
Æqtas testimonia tua in
æternũ, erudi me, & uiuã.
Clamaui in toto corde
meo, exaudi me dñe, iusti
ficationes tuas requiram.
Clamaui ad te, serua me,
& custodiam testimonia
tua. Præueni in immaturi
tate, & clamaui, in uerba
tua supersperaui. Præuene
runt oculi mei ad dilucu-
lum, ut meditarer eloquia
tua. Vocẽ meam audi do
mine, ꝑ misericordia tua,
secundum iudicium tuum
uiuifica me. Propinquaue
runt persequentes me ini-
quitati, à lege autem tua
elongati sunt. Prope es tu
domine, & omnes uiæ tuę
ueritas. Initio cognoui de
testimoniis tuis, quia in æ-
ternum fundasti ea. Vi-
de humilitatem meam, &
eripe me, quia legẽ tuam
non sum oblitus. Iudica
iudiciũ meũ, et redime me
ꝑpter eloquiũ tuũ uiuifica
me. Lõge à peccatorib. sa
lus, quia iustitias tuas nõ
exquisierũt. Misericordię
tuæ multę dñe, secundũ iu
diciũ tuũ uiuifica me. Mul
ti q̃ ꝑsequunt̃ me et uexãt
me, à testimõiis tuis nõ de
clinaui. Vidi insipiẽtes &
tabescebã, q̃a eloquia tua
nõ custodierũt. Vide, quia
mãdata tua dilexi dñe, in
misericordia tua in uitam
excita me. Principiũ ser-
monũ tuorũ ueritas, & in
secu-

αἱ ἀνάγκαι εὕροσάν με, αἱ ἐντολαί σου
μελέτη μου. Δικαιοσύνη τὰ μαρ-
τύριά σου εἰς τὸν αἰῶνα, συνέτισόν
με, καὶ ζήσομαι. Ἐκέκραξα ἐν ὅλῃ
καρδίᾳ μου, ἐπάκουσόν μου κύριε, τὰ
δικαιώματά σου ἐκζητήσω. Ἐκέκρα
ξά σοι, σῶσόν με, καὶ φυλάξω τὰ μαρ-
τύριά σου. Προέφθασα ἐν ἀωρίᾳ,
καὶ ἐκέκραξα, εἰς τοὺς λόγους σου ἐπ-
ήλπισα. Προέφθασαν οἱ ὀφθαλμοί
μου πρὸς ὄρθρον, τοῦ μελετᾷν τὰ λό-
γιά σου. Τῆς φωνῆς μου ἄκουσον
κύριε κατὰ τὸ ἔλεός σου, κατὰ τὸ κρί-
μά σου ζῆσόν με. Προσήγγισαν οἱ κα
ταδιώκοντές με ἀνομίᾳ, ἀπὸ δὲ τοῦ
νόμου σου ἐμακρύνθησαν. Ἐγγὺς εἶ
κύριε, καὶ πᾶσαι αἱ ὁδοί σου ἀλή-
θεια. Κατ' ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυ
ρίων σου, ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίω-
σας αὐτά. Ἴδε τὴν ταπείνωσίν
μου, καὶ ἐξελοῦ με, ὅτι τοῦ νόμου σου οὐκ
ἐπελαθόμην. Κρῖνον τὴν κρίσιν μου,
καὶ λύτρωσαί με, διὰ τὸν λόγον σου ζῆ
σόν με. Μακρὰν ἀπὸ ἁμαρτωλῶν
σωτηρία, ὅτι τὰ δικαιώματά σου οὐκ
ἐξεζήτησαν. Οἱ οἰκτιρμοί σου πολ-
λοὶ κύριε, κατὰ τὸ κρίμά σου ζῆσόν
με. Πολλοὶ οἱ ἐκδιώκοντές με καὶ θλί
βοντές με, ἐκ τῶν μαρτυρίων σου οὐκ ἐξ-
έκλινα. Εἶδον ἀσυνετοῦντας, καὶ ἐξε-
τηκόμην, ὅτι τὰ λόγιά σου οὐκ ἐφυλά-
ξαντο. Ἴδε, ὅτι τὰς ἐντολάς σου ἠγά-
πησα, κύριε ἐν τῷ ἐλέει σου ζῆσόν με.
Ἀρχὴ τῶν λόγων σου ἀλήθεια, καὶ εἰς
τὸν

τὸν αἰῶνα πάντα τὰ κρίματα τῆς δι-
καιοσύνης σου. Ἄρχοντες κατεδίω-
ξάν με δωρεάν, καὶ ἀπὸ τῶν λόγων
σου ἐδειλίασεν ἡ καρδία μου. Ἀ-
γαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λόγιά σου,
ὡς ὁ εὑρίσκων σκῦλα πολλά. Ἀδι-
κίαν ἐμίσησα, καὶ ἐβδελυξάμην, τὸν
δὲ νόμον σου ἠγάπησα. Ἑπτάκις
τῆς ἡμέρας ᾔνεσά σε, ἐπὶ τὰ κρίματα
τῆς δικαιοσύνης σου. Εἰρήνη πολλὴ
τοῖς ἀγαπῶσι τὸν νόμον σου, καὶ οὐκ
ἔστιν αὐτοῖς σκάνδαλον. Προσεδό-
κων τὸ σωτήριόν σου κύριε, καὶ τὰς
ἐντολάς σου ἠγάπησα. Ἐφύλαξεν ἡ
ψυχή μου τὰ μαρτύριά σου, καὶ ἠγά-
πησεν. Ἐφύλαξα τὰς ἐντολάς σου,
καὶ τὰ μαρτύριά σου, ὅτι πᾶσαι αἱ
ὁδοί μου ἐναντίον σου κύριε. Ἐγγι-
σάτω ἡ δέησίς μου ἐνώπιόν σου κύ-
ριε, κατὰ τὸ λόγιόν σου συνέτισόν
με. Εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπι-
όν σου κύριε, κατὰ τὸ λόγιόν σου ῥῦ-
σαί με. Ἐξερεύξαιντο τὰ χείλη μου
ὕμνον, ὅταν διδάξῃς με τὰ δικαιώ-
ματά σου. Φθέγξαιτο ἡ γλῶσσά μου
τὰ λόγιά σου, ὅτι πᾶσαι αἱ ἐντολαί
σου δικαιοσύνη. Γενηθήτω ἡ χείρ σου
τοῦ σῶσαί με, ὅτι τὰς ἐντολάς σου ᾑρε-
τισάμην. Ἐπεπόθησα τὸ σωτήριόν
σου κύριε, καὶ ὁ νόμος σου μελέτη μοῦ
ἐστι. Ζήσεται ἡ ψυχή μου, καὶ αἰνέσει
σε, καὶ τὰ κρίματά σου βοηθήσει μοί.
Ἐπλανήθην ὡς πρόβατον ἀπολωλός,
ζήτησον τὸν δοῦλόν σου, ὅτι τὰς ἐντο-
λὰς

seculum omnia iudicia iu-
stitiæ tuæ. Principes per-
sequuti sunt me gratis, &
à uerbis tuis formidauit
cor meũ. Lætabor ego ad
eloquia tua, sicut qui inue-
nit spolia multa. Iniquitatẽ
odio habui, & abominat⁹
sum, legẽ aũt tuã dilexi. Se-
pties die laudaui te, super
iudicia iustitiæ tuæ. Pax
multa diligẽtibus legẽ tuã,
& nõ est illis scandalum.
Expectabã salutare tuum
dñe, & mandata tua dile-
xi. Custodiuit anima mea
testimonia tua, & dilexit.
Seruaui mãdata tua & te-
stimonia tua, quia omnes
uiæ meæ in conspectu tuo
dñe. Propinquet depreca-
tio mea in conspectu tuo
dñe, iuxta eloquiũ tuũ da
mihi intellectũ. Intret po-
stulatio mea in conspectu
tuo dñe, secundũ eloquiũ
tuũ eripe me. Eructent la-
bia mea hymnum, cũ do-
cueris me iustificationes
tuas. Pronunciet lingua
mea eloquia tua, quia om-
nia mandata tua æquitas.
Sit manus tua, ut saluet
me, quia mandata tua ele-
gi. Concupiui salutare tu-
um domine, & lex tua me-
ditatio mea est. Viuet a-
nima mea, & laudabit te,
& iudicia tua adiuua-
bunt me. Erraui ut o-
uis perdita, quære ser-
uum tuum, quia manda-
ta

ta tua non oblitus sum. Gloria. Confessus decimus septimus.

Carmen graduum, CXIX.

Ad dominum, cum affligerer clamaui, & exaudiuit me. Dñe libera animã meam à labijs iniquis & à lingua dolosa. Quid detur tibi, & quid apponet ad linguã dolosam? Sagittæ potentis acutæ cũ carbonibus solitariis. Hei mihi, quia peregrinatio mea prolongata est, habitaui cum tabernaculis Cedar, multũ peregrinata est anima mea. Cum his qui oderunt pacẽ, eram pacificus. Cum loquebar illis, impugnabant me gratis.

Carmen graduũ, CXX.

Leuaui oculos meos in montes, unde ueniet auxilium meũ. Auxiliũ meum à domino, qui fecit cœlũ & terram. Non det in cõmotionẽ pedem tuũ, neq; dormitet qui custodit te. Ecce, nõ dormitabit, neque dormiet qui custodit Israel. Dominus custodiat te, dñs protectio tua ad manum dexterã tuam. Interdiu sol non uret te, neq; luna noctu. Dominus custodiet te ab omni malo, custodiet animam tuam dominus. Dominus custodiet ingressum tuum & egressum tuum, à nunc & usq; in seculum.

Carmen

λάς σου οὐκ ἐπελαθόμην. Δόξα. Κάθισμα ιζ.

Ὠιδὴ τῶν ἀναβαθμῶν, ριθ.

Πρὸς κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα, καὶ εἰσήκουσέ μου. Κύριε ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων, καὶ ἀπὸ γλώσσης δολίας. Τί δοθείη σοί, καὶ τί προστεθείη σοὶ πρὸς γλῶσσαν δολίαν; Τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα, σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς. Οἴμοι, ὅτι ἡ παροικία μου ἐμακρύνθη, κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ, πολλὰ παρῴκησεν ἡ ψυχή μου. Μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός. Ὅταν ἐλάλουν αὐτοῖς, ἐπολέμουν με δωρεάν.

Ὠιδὴ τῶν ἀναβαθμῶν, ρκ.

Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου. Ἡ βοήθειά μου παρὰ κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν. Μὴ δώῃς εἰς σάλον τὸν πόδα σου, μηδὲ νυστάξει ὁ φυλάσσων σε. Ἰδού, οὐ νυστάξει, οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ. Κύριος φυλάξει σε, κύριος σκέπη σοι ἐπὶ χεῖρα δεξιάν σου. Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ σελήνη τὴν νύκτα. Κύριος φυλάξει σε ἀπὸ παντὸς κακοῦ, φυλάξει τὴν ψυχήν σου ὁ κύριος. Κύριος φυλάξει τὴν εἴσοδόν σου, καὶ τὴν ἔξοδόν σου, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Ὠιδὴ

Ὠιδὴ τῶν ἀναβαθμῶν, ρκα΄.

Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι, εἰς οἶκον κυρίου πορευσόμεθα. Ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου ἱερουσαλήμ. Ἱερουσαλὴμ οἰκοδομουμένη ὡς πόλις, ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό. Ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαί, φυλαὶ κυρίου μαρτύριον τῷ ἰσραήλ, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματι κυρίου, ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν, θρόνοι ἐπὶ οἶκον δαβίδ. Ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν ἱερουσαλήμ, καὶ εὐθηνία τοῖς ἀγαπῶσί σε. Γενέσθω δὴ εἰρήνη ἐν τῇ δυνάμει σου, καὶ εὐθηνία ἐν ταῖς πυργοβάρεσί σου.

Ἕνεκα τῶν ἀδελφῶν μου καὶ τῶν πλησίον μου, ἐλάλουν δὴ εἰρήνην περὶ σοῦ. Ἕνεκα τοῦ οἴκου κυρίου τοῦ θεοῦ ἡμῶν, ἐζήτησα ἀγαθά σοι.

Ὠιδὴ τῶν ἀναβαθμῶν, ρκβ΄.

Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου, τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ. Ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς κύριον τὸν θεὸν ἡμῶν, ἕως οὗ οἰκτειρήσαι ἡμᾶς. Ἐλέησον ἡμᾶς κύριε, ἐλέησον ἡμᾶς, ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως. Ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν, τὸ ὄνειδος τοῖς εὐθηνοῦσι, καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις.

Carmen graduum.

CXXI.

Gauisus sum in dictis mihi, In domum domini ibimus. Stantes erant pedes nostri in atriis tuis Hierusalem, Hierusalem quæ ædificatur ut ciuitas, cuius participatio eius in unū. Illuc enim ascenderunt tribus, tribus domini testimonium Israel, ad confitendum nomini domini. Quia illic sederunt sedes in iudicium, sedes ad domum Dauid. Rogate iam quæ ad pacem Hierusalē. & abundantia diligentibus te. Sit pax in potentia tua, & abundantia in turribus tuis. Propter fratres meos & proximos meos, loquebar iam pacē de te. Propter domum domini dei nostri quæsiui bona tibi.

Carmen graduum.

CXXII.

Ad te leuaui oculos meos, qui habitas in cœlo. Ecce, sicut oculi seruorū in manibus dominorū suorum, sicut oculi ancillæ in manibus dominæ suæ, ita oculi nostri ad dominum deum nostrum, donec misereatur nostri. Miserere nostri dñe, miserere nostri, quoniam multum repleti sumus despectione. Multum repleta est anima nostra, opprobrium abundantibus & despectio superbis.

Carmē graduū, CXXIII.

Nisi quia dominus erat in nobis, dicat nūc Israel, nisi quia dominus erat in nobis, cum exurgerēt homines in nos, utiq; uiuos deglutissent nos, cū irasceretur furor eius in nos. Sane aqua demersisset nos, torrentem pertransisset anima nostra. Vtiq; pertrāsisset anima nostra aquam intolerabilē. Benedictus dominus, qui non dedit nos in uenationem dentibus eorum. Anima nostra sicut passer erepta est de laqueo uenantium. Laqueus contritus est, & nos liberati sumus. Adiutorium nostrum in nomine domini, qui fecit cœlum & terram. Gloria.

Carmen graduum, CXXIIII.

Confisi in Dominum, ut mons Sion, non commouebitur in æternum, qui habitat Hierusalem. Mōtes in circuitu eius & dn̄s in circuitu populi sui, ex nunc & usq; in seculum. Quia non relinquet dominus uirgam peccatorū super sortem iustorum, ut non extendant iusti ad iniquitatem manus suas. Benefac domine bonis & rectis corde. Declinantes autem in obliquationes, adducet dominus cum operantibus iniquitatem, pax super Israel.

Car-

ᾨδὴ τῶν ἀναβαθμῶν, ρκγ.

Εἰμὴ ὅτι κύριος ἦν ἐν ἡμῖν, εἰπάτω δὴ ἰσραὴλ, εἰμὴ ὅτι κύριος ἦν ἐν ἡμῖν, ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους ἐφ' ἡμᾶς, ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς, ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐτοῦ ἐφ' ἡμᾶς. Ἄρα τὸ ὕδωρ ἂν κατεπόντισεν ἡμᾶς, χείμαῤῥον διῆλθεν ἡ ψυχὴ ἡμῶν. Ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον. Εὐλογητὸς κύριος, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν. Ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐῤῥύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων. Ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐῤῥύσθημεν. Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν. Δόξα.

ᾨδὴ τῶν ἀναβαθμῶν, ρκδ.

Οἱ πεποιθότες ἐπὶ κύριον, ὡς ὄρος σιὼν, οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν ἱερουσαλήμ. Ὄρη κύκλῳ αὐτῆς, καὶ ὁ κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. Ὅτι οὐκ ἀφήσει κύριος τὴν ῥάβδον τῶν ἁμαρτωλῶν, ἐπὶ τὸν κλῆρον τῶν δικαίων, ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομίαις χεῖρας αὐτῶν. Ἀγάθυνον κύριε τοῖς ἀγαθοῖς, καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ. Τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς ἀπάξει κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν, εἰρήνη ἐπὶ τὸν ἰσραήλ.

ᾨδὴ

Ὠιδὴ τῶν ἀναβαθμῶν, ρκε.

Ἐν τῷ ἐπιστρέψαι κύριον τὴν αἰχμαλωσίαν Σιὼν, ἐγενήθημεν ὡσεὶ παρακεκλημένοι. Τότε ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν, καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως. Τότε ἐροῦσιν ἐν τοῖς ἔθνεσιν, ἐμεγάλυνε κύριος τοῦ ποιῆσαι μετ᾽ αὐτῶν. Ἐμεγάλυνε κύριος τοῦ ποιῆσαι μεθ᾽ ἡμῶν, ἐγενήθημεν εὐφραινόμενοι. Ἐπίστρεψον κύριε τὴν αἰχμαλωσίαν ἡμῶν, ὡς χειμάῤῥους ἐν τῷ νότῳ. Οἱ σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θεριοῦσι. Πορευόμενοι ἐπορεύοντο, καὶ ἔκλαιον βάλλοντες τὰ σπέρματα αὐτῶν. Ἐρχόμενοι δὲ ἥξουσιν ἐν ἀγαλλιάσει, αἴροντες τὰ δράγματα αὐτῶν.

Ὠιδὴ τῶν ἀναβαθμῶν, ρκϛ.

Ἐὰν μὴ κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες. Ἐὰν μὴ κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων. Εἰς μάτην ὑμῖν ἐστι τὸ ὀρθρίζειν, ἐγείρεσθε μετὰ τὸ καθῆσθαι, οἱ ἐσθίοντες ἄρτον ὀδύνης, ὅταν δῷ τοῖς ἀγαπητοῖς αὐτοῦ ὕπνον. Ἰδοὺ ἡ κληρονομία κυρίου υἱοὶ, ὁ μισθὸς τοῦ καρποῦ τῆς γαστρός. Ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ, οὕτως οἱ υἱοὶ τῶν ἐκτετιναγμένων. Μακάριος, ὃς πληρώσει τὴν ἐπιθυμίαν αὐτοῦ ἐξ αὐτῶν. Οὐ καταισχυνθήσονται, ὅταν λαλῶσι

λῶσι

Carmen graduum, CXXV.

Cum conuerteret dominus captiuitatem Sion, facti sumus sicut consolatione animati. Tunc repletũ est gaudio os nostrum, & lingua nostra lætitia. Tũc dicent gentibus, Magnificit dominus facere cum eis, magnifecit dominus facere nobiscũ, facti sumus lætantes. Conuerte domine captiuitatem nostram, sicut torrentes in Austro. Qui seminãt in lacrymis, in exultatione metent. Euntes ibant, & flebant mittentes semina sua. Venientes autem uenient in exultatione portantes manipulos suos.

Carmen graduum, CXXVI.

Nisi dominus ędificauerit domum, in uanum laborauerunt qui ædificant. Nisi dominus custodierit ciuitatem, frustra uigilauit qui custodit. Vanum uobis est diluculo surgere, surgite postquam sederitis, qui manducatis panem doloris, cum dederit dilectis suis somnum.

Ecce hæreditas domini, filii, merces fructus uẽtris. Sicut sagittæ in manu potentis, ita filii excussorũ. Beatus, qui implebit desideriũ suũ ex ipsis. Non pudefient, cum loquen-

quentur inimicis suis in portis.

Carmen graduum, CXXVII.

Beati omnes timentes dominum, ambulantes in uiis eius. Labores fructuum tuorum manducabis, beatus es, & bene tibi erit. Vxor tua ut uitis abūdans in lateribus domus tuę. Filii tui ut nouellę plātæ oliuarū in circuitu mensæ tuæ. Ecce sic benedicetur homo timens dominum. Benedicat tibi dominus ex Sion, & uideas bona Hierusalem, omnes dies uitæ tuæ. Et uideas filios filiorum tuorum, pax per Israel.

Carmen graduum, CXXVIII.

Sæpe bello impetiuerunt me à iuuentute mea, dicat iam Israel, sæpe bello impetiuerunt me à iuuentute mea, & enim non potuerunt mihi. In dorsum meum fabricauerunt peccatores, longe amouerunt iniquitatem suam. Dominus iustus concidit ceruices peccatorum. Pudefiant, & conuertantur in posteriora omnes exosi Sion. Fiant sicut fœnum tectorum, quod priusquā euellat, exaruit, quo non impleuit manū suam colligēs, & sinū suū manipulos colli-

λῶσι τοῖς ἐχθροῖς αὐτῶν ἐν πύλαις.

Ὠιδὴ τῶν ἀναβαθμῶν, ρκζ.

Μακάριοι πάντες οἱ φοβούμενοι τὸν κύριον, οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ. Τοὺς πόνους τῶν καρπῶν σου φάγεσαι, μακάριος εἶ, καὶ καλῶς σοι ἔσται. Ἡ γυνή σου ὡς ἄμπελος εὐθηνοῦσα ἐν τοῖς κλίτεσι τῆς οἰκίας σου. Οἱ υἱοί σου ὡς νεόφυτα ἐλαιῶν, κύκλῳ τῆς τραπέζης σου. Ἰδού, οὕτως εὐλογηθήσεται ἄνθρωπος, ὁ φοβούμενος τὸν κύριον. Εὐλογήσαι σε κύριος ἐκ σιών, καὶ ἴδοις τὰ ἀγαθὰ ἱερουσαλὴμ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. Καὶ ἴδοις υἱοὺς τῶν υἱῶν σου, εἰρήνην ἐπὶ τὸν ἰσραήλ.

Ὠιδὴ τῶν ἀναβαθμῶν, ρκη.

Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου, εἰπάτω δὴ ἰσραήλ· πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου, καὶ γὰρ οὐκ ἠδυνήθησάν μοι. Ἐπὶ τὸν νῶτόν μου ἐτέκταινον οἱ ἁμαρτωλοί, ἐμάκρυναν τὴν ἀνομίαν αὐτῶν. Κύριος δίκαιος συνέκοψεν αὐχένας ἁμαρτωλῶν. Αἰσχυνθήτωσαν, καὶ ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω πάντες οἱ μισοῦντες σιών. Γενηθήτωσαν ὡσεὶ χόρτος δωμάτων, ὃς πρὸ τοῦ ἐκσπασθῆναι ἐξηράνθη, οὗ οὐκ ἐπλήρωσε τὴν χεῖρα αὐτοῦ ὁ θερίζων, καὶ τὸν κόλπον αὐτοῦ ὁ τὰ δράγματα συλ-

συλλέγων. Καὶ οὐκ εἶπαν οἱ παράγοντες, εὐλογία κυρίου ἐφ' ὑμᾶς, εὐλογήκαμεν ὑμᾶς ἐν ὀνόματι κυρίου. Δόξα.

colligens. Et non dixerunt prætereuntes, Benedictio domini ſuper uos, benediximus uobis in nomine domini. Gloria.

Ὠιδὴ τῶν ἀναβαθμῶν, ρκθ.

Carmen graduum, CXXIX.

Ἐκ βαθέων ἐκέκραξά σοι κύριε, κύριε εἰσάκουσον τῆς φωνῆς μου. Γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου. Ἐὰν ἀνομίας παρατηρήσῃς κύριε, κύριε τίς ὑποστήσεται; Ὅτι παρά σοι ἱλασμός ἐστιν, ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε κύριε, ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου. Ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν κύριον. Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας ἐλπισάτω ἰσραὴλ ἐπὶ τὸν κύριον. Ὅτι παρὰ τῷ κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις. Καὶ αὐτὸς λυτρώσεται τὸν ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

E profundis clamaui tibi domine, domine exaudi uocem meam. Sint aures tuæ attendentes in uocem precationis meæ. Si iniquitates obſeruaueris domine, domine quis ſuſtinebit? Quia apud te propitiatio eſt, propter nomen tuum ſuſtinui te, domine, ſuſtinuit anima mea in ſermonem tuum. Sperauit anima mea in dominum. A cuſtodia matutina uſq; ad noctem, à cuſtodia matutina ſperet Iſrael in dominum. Quia apud dominum miſericordia, & multa apud cũ redemptio. Et ipſe redimet Iſrael ex omnibus iniquitatibus eius.

Ὠιδὴ τῶν ἀναβαθμῶν, ρλ.

Carmen graduum, CXXX.

Κύριε, οὐχ ὑψώθη ἡ καρδία μου, οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου. Οὐδὲ ἐπορεύθην ἐν μεγάλοις, οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ. Εἰ μὴ ἐταπεινοφρόνουν, ἀλλὰ ὕψωσα τὴν ψυχήν μου. Ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ, ὡς ἀνταποδώσεις ἐπὶ ψυχήν μου. Ἐλπισάτω ἰσραὴλ

Domine, non eſt elatum cor meũ, neq; eleuati ſunt oculi mei. Neque ambulaui in magnis, neq; in mirabilibus ſuper me. Si non humiliter ſentiebam, tamen extuli animam meã. Vt ablactatum ad matrem ſuam, ſit retribues ad animã meã. Speret Iſrael

in dominum ex nunc & usque in seculum.

Carmen graduum, CXXXI.

Memento domine David, & omnis mansuetudinis eius. Vt iurauit domino, uouit deo Iacob. Si ingrediar in tabernaculum domus meæ, si ascendam in lectum strati mei, si dabo somnum oculis meis & palpebris meis dormitationem, & requiem temporibus meis, donec inueniam locum domino, tabernaculum deo Iacob. Ecce, audiuimus eam in Euphratha, inueniemus

2.Par.6 eam in campis siluę. Intremus in tabernacula eius, adoremus in loco, ubi steterunt pedes eius. Surge domine in requiem tuam, tu & arca sanctionis tuæ. Sacerdotes tui induentur iustitiam, & sancti tui lætabuntur. Propter Dauid seruum tuum non auertas conspectum Christi tui. Iurauit dominus Dauid ueritatem, et non abijciet eam. De fructu uentris tui ponam super sedem tuam, si custodierint filii tui testamentum meum, & testimonia mea hæc, quæ docebo eos. Et filii eorum usque in seculum considebunt in solio tuo. Quia elegit dñs Sion, approbauit eam in habitationem sibi.

ἐπὶ τὸν κύριον, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Ὠιδὴ τῶν ἀναβαθμῶν, ρλά.

Μνήσθητι κύριε τοῦ Δαβίδ, καὶ πάσης τῆς πραότητος αὐτοῦ. Ὡς ὤμοσε τῷ κυρίῳ, ηὔξατο τῷ θεῷ Ἰακώβ. Εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου, εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου, εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου καὶ τοῖς βλεφάροις μου νυσταγμὸν, καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου, ἕως οὗ εὕρω τόπον τῷ κυρίῳ, σκήνωμα τῷ θεῷ Ἰακώβ. Ἰδοὺ, ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθᾷ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ. Εἰσελευσόμεθα εἰς τὰ σκηνώματα αὐτοῦ, προσκυνήσομεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες αὐτοῦ. Ἀνάστηθι κύριε εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου. Οἱ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται. Ἕνεκεν Δαβὶδ τοῦ δούλου σου μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ χριστοῦ σου. Ὤμοσε κύριος τῷ Δαβὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει αὐτήν. Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου, ἐὰν φυλάξωνται οἱ υἱοί σου τὴν διαθήκην μου, καὶ τὰ μαρτύριά μου ταῦτα, ἃ διδάξω αὐτούς. Καὶ οἱ υἱοὶ αὐτῶν ἕως τοῦ αἰῶνος καθιοῦνται ἐπὶ τοῦ θρόνου σου. Ὅτι ἐξελέξατο κύριος τὴν Σιὼν, ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ.

ἑαυτῷ. Αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος, ὧδε κατοικήσω, ὅτι ᾑρετισάμην αὐτήν. Τὴν θύραν αὐτῆς εὐλογῶν εὐλογήσω, τοὺς πτωχοὺς αὐτῆς χορτάσω ἄρτων. Τοὺς ἱερεῖς αὐτῆς ἐνδύσω σωτηρίαν, καὶ οἱ ὅσιοι αὐτῆς ἀγαλλιάσει ἀγαλλιάσονται. Ἐκεῖ ἐξανατελῶ κέρας τῷ δαβίδ, ἡτοίμασα λύχνον τῷ χριστῷ μου. Τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην, ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου.

Ὠιδὴ τῶν ἀναβαθμῶν, ρλβ.

Ἰδοὺ δή, τί καλὸν ἢ τί τερπνόν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό; Ὡς μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τοῦ ἀαρών. Τὸ καταβαῖνον ἐπὶ τὴν ᾤαν τοῦ ἐνδύματος αὐτοῦ. Ὡς δρόσος ἀερμών, ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη σιών. Ὅτι ἐκεῖ ἐνετείλατο κύριος τὴν εὐλογίαν, ζωὴν ἕως τοῦ αἰῶνος.

Ὠιδὴ τῶν ἀναβαθμῶν, ρλγ.

Ἰδοὺ δή, εὐλογεῖτε τὸν κύριον πάντες οἱ δοῦλοι κυρίου, οἱ ἑστῶτες ἐν οἴκῳ κυρίου, ἐν αὐλαῖς οἴκου θεοῦ ἡμῶν. Ἐν ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια, καὶ εὐλογεῖτε τὸν κύριον. Εὐλογήσαι σε κύριος ἐκ σιών, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν. Δόξα. Κάθισμα ιή.

Ἀλλη-

ſibi ipſi. Hęc requies mea in ſeculum ſeculi, hic habitabo, quoniam elegi eam. Portam eius benedicens benedicam, pauperes eius ſaturabo panibus. Sacerdotes eius induam ſalute, & ſancti eius exultatione exultabunt. Illic producam cornu Dauid, paraui lucernam Chriſto meo. Inimicos eius induā confuſione, ſuper ipſum autem efflorebit ſanctificatio mea.

Carmen graduum,
CXXXII.

Ecce uero, quid bonū aut quid delectabile, niſi inhabitare fratres in unū? Sicut unguentum in capite deſcendens in barbam, barbam Aaron. Quod deſcendit in oram ueſtimenti eius. Sicut ros Aermon deſcendens in montem Sion. Quoniam illic mandauit dominus benedictionem, uitam uſq; in ſeculū.

Carmen graduum,
CXXXIII.

Ecce nunc, benedicite domino omnes ſerui domini, ſtantes in domo domini, in atriis domus dei noſtri. In noctibus extollite manus ueſtras in ſancta, & benedicite dominum. Benedicat te dominus ex Sion, qui fecit cœlum & terram. Gloria. Conſeſſus decimus octauus.

Infra 134
Supra 124

Alleluia, CXXXIIII.

Sup.122 Laudate nomen domi-
& 133. ni, laudate serui dominū,
ſtantes in domo domi-
ni, in atriis domus dei no-
ſtri. Laudate dominū quia
bonus dominus, pſallite
nomini eius, quia ſuaue.
Quia Iacob elegit ſibi do
minus, Iſrael in poſſeſsio-
nem ſibi. Quia ego cog-
noui, quod magnus domi-
nus, & dominus noſter
præ omnibus diis. Omnia
quęcunq; uoluit dominus,
fecit in cœlo & in terra.
In mari & in omnibus ab
Hier.10 yſsis. Educens nubes ab
Sup.77 extremo terræ, fulgura in
Exod.12 pluuiam fecit. Educens
uentos de theſauris ſuis,
q percuſsit primogenita
Aegypti ab homine uſq;
ad pecus. Miſit ſigna &
prodigia in medio tui Ae
gypte, in Pharaonem &
in omnes ſeruos eius. Qui
percuſsit gentes multas, et
occidit reges fortes, Seon
regem Amorrhæorum, et
Og regem Baſan, & om-
nia regna Chanaan. Et
dedit terrā eorū hæredita
tē, hęreditatē Iſrael pop-u
lo ſuo. Dñe nomen tuū in
ſeculum, & monumentum
tuum in progeniem &
progeniem. Quia iudica-
bit dñs populū ſuū, & in
Sup.115 ſeruis ſuis inuocabitur. Si-
Sap.15 mulacra gentiū, argētum
&

Ἀλληλούϊα, ρλδ΄.

Αἰνεῖτε τὸ ὄνομα κυρίου, αἰνεῖτε δοῦλοι κύριον, οἱ ἑστῶτες ἐν οἴκῳ κυρίου, ἐν αὐλαῖς οἴκου θεοῦ ἡμῶν. Αἰνεῖτε τὸν κύριον, ὅτι ἀγαθὸς κύριος, ψάλατε τῷ ὀνόματι αὐτοῦ, ὅτι καλόν. Ὅτι τὸν Ἰακὼβ ἐξελέξατο ἑαυτῷ ὁ κύριος, Ἰσραὴλ εἰς περιουσιασμὸν ἑαυτῷ. Ὅτι ἐγὼ ἔγνωκα, ὅτι μέγας ὁ κύριος, καὶ ὁ κύριος ἡμῶν παρὰ πάντας τοὺς θεούς. Πάντα, ὅσα ἠθέλησεν ὁ κύριος, ἐποίησεν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ. Ἐν ταῖς θαλάσσαις καὶ ἐν πάσαις ταῖς ἀβύσσοις. Ἀνάγων νεφέλας ἐξ ἐσχάτου τῆς γῆς, ἀστραπὰς εἰς ὑετὸν ἐποίησεν. Ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ, ὃς ἐπάταξε τὰ πρωτότοκα Αἰγύπτου ἀπὸ ἀνθρώπου ἕως κτήνους. Ἐξαπέστειλε σημεῖα καὶ τέρατα ἐν μέσῳ σου Αἴγυπτε, ἐν Φαραὼ καὶ ἐν πᾶσι τοῖς δούλοις αὐτοῦ. Ὃς ἐπάταξεν ἔθνη πολλὰ, καὶ ἀπέκτεινε βασιλεῖς κραταιούς. Τὸν Σηὼν βασιλέα τῶν ἀμορραίων, καὶ τὸν Ὢγ βασιλέα τῆς Βασὰν, καὶ πάσας τὰς βασιλείας Χαναάν. Καὶ ἔδωκε τὴν γῆν αὐτῶν κληρονομίαν, κληρονομίαν Ἰσραὴλ λαῷ αὐτοῦ. Κύριε τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν. Ὅτι κρινεῖ κύριος τὸν λαὸν αὐτοῦ, καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται.

Τὰ εἴδωλα τῶν ἐθνῶν, ἀργύριον

καὶ

καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων. Στόμα ἔχουσι, καὶ οὐ λαλήσουσιν. Ὀφθαλμοὺς ἔχουσι, καὶ οὐκ ὄψονται. Ὦτα ἔχουσι, καὶ οὐκ ἐνωτισθήσονται, οὐδὲ γάρ ἐστι πνεῦμα ἐν τῷ στόματι αὐτῶν. Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς. Οἶκος ἰσραὴλ εὐλογήσατε τὸν κύριον. Οἶκος ἀαρὼν εὐλογήσατε τὸν κύριον. Οἶκος λευὶ εὐλογήσατε τὸν κύριον. οἱ φοβούμενοι τὸν κύριον εὐλογήσατε τὸν κύριον. Εὐλογητὸς κύριος ἐκ σιὼν, ὁ κατοικῶν ἱερουσαλήμ.

& aurum, opera manuum hominum. Os habent, & non loquentur. Oculos habent, & non uidebunt. Aures habent, & non audiēt, neq; enim est spiritus in ore ipsorum. Similes illis fiant facientes ea & omnes confisi in eis. Domus Israel benedicite domino, domus Aaron benedicite domino. Domus Leui benedicite domino. Qui timetis dominum benedicite domino. Benedictus dominus dominus ex Sion, qui habitat Hierusalem.

Ἀλληλούϊα, ρλέ.

Ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἐξομολογεῖσθε τῷ θεῷ τῶν θεῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἐξομολογεῖσθε τῷ κυρίῳ τῶν κυρίων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τῷ ποιήσαντι θαυμάσια μεγάλα μόνῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τῷ ποιήσαντι τοὺς οὐρανοὺς ἐν συνέσει, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τῷ στερεώσαντι τὴν γῆν ἐπὶ τῶν ὑδάτων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τῷ ποιήσαντι φῶτα μεγάλα μόνῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τὸν ἥλιον εἰς ἐξουσίαν τῆς ἡμέρας, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τὴν σελήνην καὶ τοὺς ἀστέρας εἰς ἐξουσίαν

Alleluia, CXXXV.

Confitemini dño, quia bonus, quia in seculum misericordia eius. Confitemini deo deorum, quia in seculum misericordia eius. Confitemini domino dominorum, quia in seculum misericordia eius. Qui fecit mirabilia magna solus, quia in seculum misericordia eius. Qui fecit coelos in intellectu, quia in seculum misericordia eius. Qui firmauit terram super aquas, quia in seculum misericordia eius. Qui fecit luminaria magna solus, quia in seculum misericordia eius. Solem in potestatem diei, quia in seculum misericordia eius. Lunam & stellas in pote-

Sup. 104 & 105. & 106

Gen. 1 Inf. eod.

potestatem noctis, quia in seculū misericordia eius. Qui percusſit Aegyptum cum primogenitis eorum, quia in seculum misericordia eius. Et educēt Israel de medio eorum, quia in seculum misericordia eius. In manu potēti & in brachio excelso, quia in seculū misericordia eius. Qui diuisit rubrum mare in diuisiones, quia in seculū misericordia eius. Et eduxit Israel per medium eius, quia in seculum misericordia eius Et excusſit Pharaonem & exercitū eius in mare rubrum, quia in seculum misericordia eius. Qui traduxit populum per desertum, quia in seculum misericordia eius.

Qui percusſit reges magnos, quia in seculum misericordia eius. Et occidit reges fortes, quia in seculum misericordia eius. Seon regem Amorrhæorū, quia in seculum misericordia eius. Et Og regem Basan, quia in seculum misericordia eius. Et dedit terram eorum hæreditatem, quia in seculum misericordia eius. Hæreditatē Israel seruo suo, quia in seculum misericordia eius. Quia in humilitate nostra memor fuit nostri dominus, quia in seculum misericordia eius. Et redemit nos ab inimicis nostris.

ἐξουσίαν τῆς νυκτός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τῷ πατάξαντι αἴγυπτον σὺν τοῖς πρωτοτόκοις αὐτῶν., ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ ἐξαγαγόντι τὸν ἰσραὴλ ἐκ μέσου αὐτῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τῷ καταδιελόντι τὴν ἐρυθρὰν θαλάσσαν εἰς διαιρέσεις, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ διαγαγόντι τὸν ἰσραὴλ διά μέσου αὐτῆς, ὅτι εἰς τόν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ ἐκτινάξαντι φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ εἰς θάλασσαν ἐρυθράν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ ἐν τῇ ἐρήμῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τῷ πατάξαντι βασιλεῖς μεγάλους, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ ἀποκτείναντι βασιλεῖς κραταιούς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τὸν σηὼν βασιλέα τῶν ἀμορραίων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ τὸν ὢγ βασιλέα τῆς βασάν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ δόντι τὴν γῆν αὐτῶν κληρονομίαν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Κληρονομίαν ἰσραὴλ δούλῳ αὐτοῦ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη ἡμῶν ὁ κύριος, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ ἐλυτρώσατο ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν,

ὑμῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ὁ διδοὺς τροφὴν πάσῃ σαρκί, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἐξομολογεῖσθε τῷ θεῷ τοῦ οὐρανοῦ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Τῷ Δαβὶδ διὰ ἱερεμίου, ρλϛ.

Ἐπὶ τῶν ποταμῶν βαβυλῶνος, ἐκεῖ ἐκαθίσαμεν, καὶ ἐκλαύσαμεν, ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς σιών. Ἐπὶ ταῖς ἰτέαις, ἐν μέσῳ αὐτῆς ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν. Ὅτι ἐκεῖ ἐπηρώτησαν ἡμᾶς οἱ αἰχμαλωτεύσαντες ἡμᾶς, λόγους ᾠδῶν, καὶ οἱ ἀπαγαγόντες ἡμᾶς ὕμνον. Ἄσατε ἡμῖν ἐκ τῶν ᾠδῶν σιών. Πῶς ᾄσωμεν τὴν ᾠδὴν κυρίου, ἐπὶ γῆς ἀλλοτρίας; Ἐὰν ἐπιλάθωμαί σου ἱερουσαλὴμ, ἐπιλησθείη ἡ δεξιά μου. Κολληθείη ἡ γλῶσσά μου τῷ λάρυγγί μου, ἐὰν μή σου μνησθῶ, ἐὰν μὴ προανατάξωμαι τὴν ἱερουσαλὴμ, ὡς ἐν ἀρχῇ τῆς εὐφροσύνης μου. Μνήσθητι κύριε τῶν υἱῶν ἐδὼμ, τὴν ἡμέραν ἱερουσαλὴμ, τῶν λεγόντων, ἐκκενοῦτε, ἐκκενοῦτε ἕως τῶν θεμελίων αὐτῆς. Θυγάτηρ βαβυλῶνος ἡ ταλαίπωρος, μακάριος, ὃς ἀνταποδώσει σοὶ τὸ ἀνταπόδομά σου, ὃ ἀνταπέδωκας ἡμῖν. Μακάριος, ὃς κρατήσει, καὶ ἐδαφιεῖ τὰ νήπιά σου πρὸς τὴν πέτραν. Δόξα.

Ψαλμὸς τῷ Δαβὶδ, ἀγγαίου καὶ ζαχαρίου, ρλζ.

Ἐξομολογήσομαί σοι κύριε ἐν

ὅλῃ

noſtris, quia in ſeculum miſericordia eius. Qui dat cibum omni carni, quia in ſeculum miſericordia eius. Confitemini deo cœli, quia in ſeculum miſericordia eius.

Dauid per Hieremiam. CXXXVI.

Circa flumina Babylonis, illic ſedimus, & fleuimus, dũ recordaremur nos Siõ. In ſalicibus, in medio eius ſuſpẽdimꝰ organa noſtra. Quia illic interrogauerũt nos qui captiuos duxerũt nos, uerba cãtionũ, & qui abduxerũt nos hymnum. Cantate nobis de canticis Sion. Quomodo cantabimus canticũ domini in terra aliena? Si oblitus fuero tui Hieruſalem, obliuioni detur dextera mea. Adhæreat lingua mea faucibus meis, ſi non tui meminero, ſi non propoſuero Hieruſalẽ ſicut in principio lætitiæ meæ. Memor eſto domine filiorũ Edõ, diem Hieruſalẽ, dicentium, Exinanite, exinanite uſq; ad fundamenta eius. Filia Babylõis miſera, beatus, qui retribuet tibi retributionẽ tuã, quã retribuiſti nobis. Beatus, qui tenebit, & allidet paruulos tuos ad petram. Gloria.

Pſalmus Dauid, Aggei & Zachariæ, CXXXVII.

Confitebor tibi dñe in

toto corde meo, & in conspectu angelorum psallam tibi. Quia audisti omnia uerba oris mei. Adorabo ad templum sanctum tuū, et confitebor nomini tuo, super misericordia tua & ueritate tua. Quia magnificasti super omne nomen sanctum tuum, in quacunque die inuocauero te, uelociter exaudi me. Multiplicabis me in anima mea uirtute tua. Confiteantur tibi domine omnes reges terrae, quia audierunt omnia uerba oris tui. Et cantent in uiis domini, quia magna gloria domini. Quia excelsus dominus, & humilia respicit, & alta à longe cognoscit. Si ambulauero in medio tribulationis, uiuificabis me. Super iram inimicorum meorum extēdisti manus tuas, & saluum fecit me dextera tua. Dominus retribuet pro me. Domine, misericordia tua in seculum, opera manuum tuarū ne despicias.

In finē, Dauid, psalmꝰ Zachariae in dispersione, CXXXVIII.

Dn̄e probasti me, et cognouisti sessionē meā & resurrectionē meā. Tu intellexisti cogitationes meas de lōge. Semitā meā & funiculum meum tu inuestigasti. Et oēs uias meas prę uidisti, quia non est dolus in lingua mea. Ecce dn̄e tu cog-

ὅλῃ καρδίᾳ μου, καὶ ἐναντίον ἀγγέλων ψαλῶ σοι. Ὅτι ἤκουσας πάντα τὰ ῥήματα τοῦ στόματός μου. Προσκυνήσω πρὸς ναὸν ἅγιόν σου, καὶ ἐξομολογήσομαι τῷ ὀνόματί σου, ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου. Ὅτι ἐμεγάλυνας ἐπὶ πᾶν τὸ ὄνομα τὸ ἅγιόν σου, ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ ἐπάκουσόν μου.

Πολυωρήσεις με ἐν ψυχῇ μου δυνάμει σου. Ἐξομολογησάσθωσάν σοι, κύριε πάντες οἱ βασιλεῖς τῆς γῆς, ὅτι ἤκουσαν πάντα τὰ ῥήματα τοῦ στόματός σου. Καὶ ᾀσάτωσαν ἐν ταῖς ᾠδαῖς κυρίου, ὅτι μεγάλη ἡ δόξα κυρίου. Ὅτι ὑψηλὸς κύριος, καὶ τὰ ταπεινὰ ἐφορᾷ, καὶ τὰ ὑψηλὰ ἀπὸ μακρόθεν γινώσκει. Ἐὰν πορευθῶ ἐν μέσῳ θλίψεως, ζήσεις με. Ἐπ' ὀργὴν ἐχθρῶν μου ἐξέτεινας χεῖράς σου, καὶ ἔσωσέ με ἡ δεξιά σου. κύριος ἀνταποδώσει ὑπὲρ ἐμοῦ. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα χειρῶν σου μὴ παρίδῃς.

Εἰς τὸ τέλος, τῷ Δαβίδ, ψαλμὸς Ζαχαρίου ἐν τῇ διασπορᾷ, ρλή.

Κύριε ἐδοκίμασάς με, καὶ ἔγνως με. Σὺ ἔγνως τὴν καθέδραν, καὶ τὴν ἔγερσίν μου. Σὺ συνῆκας τοὺς διαλογισμούς μου ἀπὸ μακρόθεν. τὴν τρίβον μου καὶ τὴν σχοῖνόν μου σὺ ἐξιχνίασας. Καὶ πάσας τὰς ὁδούς μου προεῖδες, ὅτι οὐκ ἔστι δόλος ἐν γλώσσῃ μου. Ἰδοὺ κύριε, σὺ

ἔγνως

ἔγνως πάντα τὰ ἔσχατα καὶ τὰ ἀρχαῖα. Σὺ ἔπλασάς με, καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου. Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ, ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν. Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ ἐκεῖ εἶ, ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει. Ἐὰν ἀναλάβοιμι τὰς πτέρυγάς μου κατ' ὄρθρον, καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης, καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με, καὶ καθέξει με ἡ δεξιά σου. Καὶ εἶπα, ἄρα σκότος καταπατήσει με, καὶ νὺξ φωτισμὸς ἐν τῇ τρυφῇ μου. Ὅτι σκότος οὐ σκοτισθήσεται ἀπό σου, καὶ νὺξ ὡς ἡμέρα φωτισθήσεται. Ὡς τὸ σκότος αὐτῆς, οὕτως καὶ τὸ φῶς αὐτῆς. Ὅτι σὺ ἐκτήσω τοὺς νεφρούς μου, ἀντελάβου μου ἐκ γαστρὸς μητρός μου. Ἐξομολογήσομαί σοι, ὅτι φοβερῶς ἐθαυμαστώθης. Θαυμάσια τὰ ἔργα σου, καὶ ἡ ψυχή μου γινώσκει σφόδρα. Οὐκ ἐκρύβη τὸ ὀστοῦν μου ἀπὸ σοῦ, ὃ ἐποίησας ἐν κρυφῇ, καὶ ἡ ὑπόστασίς μου ἐν τοῖς κατωτάτοις τῆς γῆς. Τὸ ἀκατέργαστόν μου εἶδον οἱ ὀφθαλμοί σου, καὶ ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται. Ἡμέρας πλασθήσονται, καὶ οὐθεὶς ἐν αὐτοῖς. Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου, ὁ θεός, λίαν ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν.

Ἐξα

cognouisti omnia nouissima & antiqua. Tu formasti me, & posuisti super me manum tuam. Mirabilis facta est scientia tua ex me, & confortata est, non potero ad eam. Quo ibo à spiritu tuo, & à facie tua quò fugiam? Si ascendero in cœlum, tu illic es, si descendero in infernum, ades. Si sumpsero pennas meas diluculo, & habitauero in extremis maris, et enim illic manus tuas deducet me, & tenebit me dextera tua. Et dixi, Forsitã tenebræ conculcabũt me, & nox illuminatio in deliciis meis. Quia tenebræ non obscurabuntur à te, & nox sicut dies illuminabitur. Sicut tenebræ eius, ita & lumen eius. Quia tu possedisti renes meos, suscepisti me de utero matris meæ. Confitebor tibi, quia terribiliter mirificatus es. Mirabilia opera tua, & anima mea cognoscit impense. Non est occultatum os meum à te, quod fecisti in occulto, & substantia mea in infimis terræ. Imperfectum meum uiderunt oculi tui, & in librũ tuũ omnes scribẽtur. Dies formabuntur, & nemo in eis. Mihi autem ualde honorati sunt amici tui, deus, ualde roborati sunt principatus eorum.

Enu-

Enumerabo eos, & super arenam multiplicabuntur. Exurrexi, & adhuc sum tecum, si occideris peccatores deus. Viri sanguinũ declinate à me, quia littigiosi estis in cogitationibus, accipient in uanitatẽ ciuitates tuas. Nonne qui oderunt te domine, oderam, & cõtra inimicos tuos extabescebã? Perfecto odio oderã illos, in inimicos facti sunt mihi. Proba me deus, & scito cor meum. Interroga me, & cognosce semitas meas. Et uide, si uia iniquitatis in me, & deduc me in uia æterna.

In finem, Psalmus Dauid CXXXIX.

Eripe me domine ab homine malo, à uiro iniquo libera me. Qui cogitauerunt iniquitatẽ in corde, tota die constituebant prælia. Acuerunt linguam suam sicut serpentis, uenenum aspidum sub labiis eorum. Diapsalma. Custodi me domine de manu peccatoris, ab hominibus iniquis eripe me. Qui cogitauerunt supplãtare gressus meos, absconderunt superbi laqueum mihi. Diapsalma. Et funibus extẽderũt laqueũ pedib. meis, iuxta iter scandala posuerunt mihi. Dixi dño, Deus me⁹ es tu, exaudi domine

uocem

Ἐξαριθμήσομαι αὐτούς, καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται. Ἐξηγέρθην, καὶ ἔτι εἰμὶ μετά σου, ἐὰν ἀποκτείνῃς ἁμαρτωλοὺς ὁ θεός. Ἄνδρες αἱμάτων ἐκκλίνατε ἀπ' ἐμοῦ, ὅτι ἐρισταί ἐστε εἰς διαλογισμούς, λήψονται εἰς ματαιότητα τὰς πόλεις σου. Οὐχὶ τοὺς μισοῦντάς σε κύριε ἐμίσησα, καὶ ἐπὶ τοὺς ἐχθρούς σου ἐξετηκόμην; Τέλειον μῖσος ἐμίσουν αὐτούς, εἰς ἐχθροὺς ἐγένοντό μοι. Δοκίμασόν με ὁ θεός, καὶ γνῶθι τὴν καρδίαν μου. Ἔτασόν με, καὶ γνῶθι τὰς τρίβους μου. Καὶ ἴδε, εἰ ὁδὸς ἀνομίας ἐν ἐμοί, καὶ ὁδήγησόν με ἐν ὁδῷ αἰωνίᾳ.

Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβίδ ρλθ.

Ἐξελοῦ με κύριε ἐξ ἀνθρώπου πονηροῦ, ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με. Οἵτινες ἐλογίσαντο ἀδικίαν ἐν καρδίᾳ, ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους. Ἠκόνησαν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως, ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν. Διάψαλμα. Φύλαξόν με κύριε ἐκ χειρὸς ἁμαρτωλοῦ, ἀπὸ ἀνθρώπων ἀδίκων ἐξελοῦ με. Οἵτινες διελογίσαντο τοῦ ὑποσκελίσαι τὰ διαβήματά μου, ἔκρυψαν ὑπερήφανοι παγίδα μοι. Διάψαλμα. Καὶ σχοινίοις διέτειναν παγίδα τοῖς ποσί μου, ἐχόμενα τρίβου σκάνδαλα ἔθεντό μοι. Εἶπα τῷ κυρίῳ, θεός μου εἶ σύ, ἐνώτισαι κύριε τὴν

φωνὴν

φωνὴν τῆς δεήσεώς μου. Κύριε, κύριε δύναμις τῆς σωτηρίας μου, ἐπεσκίασας ἐπὶ τὴν κεφαλήν μου ἐν ἡμέρᾳ πολέμου. Μὴ παραδῷς με κύριε ἀπὸ τῆς ἐπιθυμίας μου ἁμαρτωλῷ. Διελογίσαντο κατ' ἐμοῦ, μὴ ἐγκαταλίπῃς με, μήποτε ὑψωθῶσιν. Διάψαλμα. Ἡ κεφαλὴ τοῦ κυκλώματος αὐτῶν, κόπος τῶν χειλέων αὐτῶν καλύψει αὐτούς. Πεσοῦνται ἐπ' αὐτοὺς ἄνθρακες, ἐν πυρὶ καταβαλεῖς αὐτοὺς, ἐν ταλαιπωρίαις, καὶ οὐ μὴ ὑποστῶσιν. Ἀνὴρ γλωσσώδης, οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς, ἄνδρα ἄδικον, κακὰ θηρεύσει εἰς διαφθοράν. Ἔγνων, ὅτι ποιήσει κύριος τὴν κρίσιν τῶν πτωχῶν καὶ τὴν δίκην τῶν πενήτων. Πλὴν δίκαιοι ἐξομολογήσονται τῷ ὀνόματί σου, καὶ κατοικήσουσιν εὐθεῖς σὺν τῷ προσώπῳ σου. Δόξα.

uocem precationis meæ. Domine, domine pot̃etia salutis meæ, obũbrasti super caput meum in die belli. Ne tradas me domine à desiderio meo peccatori. Cogitauerunt contra me, ne derelinquas me, ne forte exaltentur. Diapsalma. Caput circuitus eorum, labor labiorum ipsorum operiet eos. Cadent super eos carbones, in ignem deiicies eos in miseriis, & non subsistant. Vir linguax non dirigetur in terra, uirum iniustum mala capient in interitũ. Cognoui quia faciet dominus iudicium inopum & uindictam pauperum. Verum tamen iusti confitebuntur nomini tuo, & habitabũt recti cũ uultu tuo. Gloria.

Ψαλμὸς τῷ Δαβὶδ ρμ.

Psalmus Dauid CXL.

Κύριε ἐκέκραξα πρός σε, εἰσάκουσόν μου. Πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρός σε. Κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου. Ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή. Θοῦ κύριε φυλακὴν τῷ στόματί σου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου. Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις. Σὺν ἀνθρώποις ἐργαζομένοις τὴν ἀνομίαν, καὶ οὐ μὴ συνδυάσω μετὰ

Domine clamaui ad te, exaudi me. Attende uoci precationis meæ, cum clamauero ad te. Dirigatur oratio mea sicut incensum in conspectu tuo. Eleuatio manuum mearum sacrificium uespertinum. Pone domine custodiam ori meo, & ostium munitiõis circum labia mea. Non declines cor meũ in uerba malitię, ad excusandas excusationes in peccatis. Cum hominibus operantibus iniquitatem, & nequaquam consentiam Eccl. 8

cum electis eorum. Erudiet me iustus in misericordia, & increpabit me, oleum autem peccatoris non impinguet caput meum. Quia adhuc et oratio mea in beneplacitis eorũ, absorpti sunt iuncti petræ iudices eorũ. Audient uerba mea, quia suauia reddita sunt, sicut crassitudo terræ dirupta est super terrã, dissipata sunt ossa eorũ secus infernum. Quia ad te dñe, Dñe oculi mei, in te speraui, non auferas animam meam. Custodi me à laqueo, quem cõstituerũt mihi, et à scandalis operantium iniquitatem. Cadent in rete eorũ peccatores, singulariter sum ego, donec pertranseam.

Intellectus Dauid, cum esset in spelunca orans, CXLI.

Voce mea ad dominũ clamaui, uoce mea ad dominum precatus sum. Effundam in conspectu eius orationem meam, tribulationem meam ante ipsum pronunciabo. Dum deficeret à me spiritus meus, & tu cognouisti semitas meas. In uia hac, qua ambulabã, absconderũt laqueũ mihi. Cõsiderabã ad dexterã, & uidebã, & nõ erat q cognosceret me. Periit fuga à me, et nõ ẽ q requirat animã meã. Clamaui ad te dñe, dixi, Tu es spes mea, pars mea es in terra uiuen-

μετὰ τῶν ἐκλεκτῶν αὐτῶν. Παιδεύσει με δίκαιος ἐν ἐλέει, καὶ ἐλέγξει με, ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου. Ὅτι ἔτι καὶ ἡ προσευχή μου ἐν ταῖς εὐδοκίαις αὐτῶν, κατεπόθησαν ἐχόμενα πέτρας οἱ κριταὶ αὐτῶν. Ἀκούσονται τὰ ῥήματά μου, ὅτι ἡδύνθησαν, ὡσεὶ πάχος γῆς ἐῤῥάγη ἐπὶ τῆς γῆς, διεσκορπίσθη τὰ ὀστᾶ αὐτῶν παρὰ τὸν ᾅδην. Ὅτι πρὸς σὲ κύριε κύριε οἱ ὀφθαλμοί μου, ἐπὶ σοὶ ἤλπισα, μὴ ἀντανέλῃς τὴν ψυχήν μου. Φύλαξόν με ἀπὸ παγίδος, ἧς συνεστήσαντό μοι, καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν. Πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτῶν οἱ ἁμαρτωλοί, καταμόνας εἰμὶ ἐγώ, ἕως ἂν παρέλθω.

Συνέσεως τῷ Δαβίδ, ἐν τῷ εἶναι αὐτὸν ἐν τῷ σπηλαίῳ προσευχόμενον, ρμά.

Φωνῇ μου πρὸς κύριον ἐκέκραξα, φωνῇ μου πρὸς κύριον ἐδεήθην. Ἐκχεῶ ἐνώπιον αὐτοῦ τὴν δέησίν μου, τὴν θλῖψίν μου ἐνώπιον αὐτοῦ ἀπαγγελῶ. Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου, καὶ σὺ ἔγνως τὰς τρίβους μου. Ἐν ὁδῷ ταύτῃ, ᾗ ἐπορευόμην, ἔκρυψαν παγίδα μοι. Κατενόουν εἰς τὰ δεξιά, καὶ ἐπέβλεπον, καὶ οὐκ ἦν ὁ ἐπιγινώσκων με. Ἀπώλετο φυγὴ ἀπ' ἐμοῦ, καὶ οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν μου. Ἐκέκραξα πρὸς σὲ κύριε, εἶπα, σὺ εἶ ἡ ἐλπίς μου, μερίς μου εἶ ἐν γῇ ζώντ-

ζώντων. Πρόσχες πρὸς τὴν δέησίν μου, ὅτι ἐταπεινώθην σφόδρα. Ῥῦσαί με ἐκ τῶν καταδιωκόντων με, ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ. Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου. Ἐμὲ ὑπομενοῦσι δίκαιοι, ἕως οὗ ἀνταποδῷς μοι.

Ψαλμὸς τῷ Δαβίδ, ὁπότε κατεδίωκεν αὐτὸν Ἀβεσσαλὼμ υἱὸς αὐτοῦ, ρμβ.

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου. Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου. Ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου, ἐμνήσθην ἡμερῶν ἀρχαίων. Ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρός σε τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσάκουσόν μου κύριε, ἐξέλιπε τὸ πνεῦμά μου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα. Γνώρισόν μοι κύριε ὁδὸν,

uiuentium. Intẽde ad precationem meam, quia humiliatus sum uehementer. Libera me à persequentibus me, quia roborati sunt super me. Educ de custodia animam meam, ad cõfitendum nomini tuo. Me expectabunt iusti, donec retribuas mihi,

Psalmus Dauid, quandò persequebatur eũ Abessalom filius eius,

CXLII.

Domine exaudi orationem meam, auribus hauri obsecrationem meam in ueritate tua. Exaudi me in iustitia tua, & non intres in iudicium cũ seruo tuo. Quia non iustificabitur in cõspectu tuo omnis uiuens. Quia persequutus est inimicus animam meam, humiliauit in terra uitam meam. Collocauit me in obscuris sicut mortuos seculi, & anxiatus est in me spiritus meus. In me turbatũ est cor meũ, memor fui dierũ antiquorũ. Meditatus sum in omnib. operibus tuis, in factis manuum tuarũ meditabar. Expãdi ad te manus meas, animã mea ut terra siccã tibi. Velociter exaudi me dñe, defecit spiritus meus. Nõ auertas faciem tuã à me, & similis ero descendentibus in lacũ. Auditã fac mihi mane misericordiã tuam, quia in te speraui. Notam fac mihi domine uiam

uiam, in qua ambulabo, quia ad te leuaui animam meã. Eripe me de inimicis meis domine, ad te confugi, doce me ut faciam uoluntatẽ tuam. Quia tu es deus meus, spiritus tuus bonus deducet me in terra recta. Propter nomen tuum domine uiuificabis me, in æquitate tua educes de uexatione animam meã. Et in misericordia tua disperdes inimicos meos. Et perdes omnes qui tribulãt animam meã, quia ego seruus tuus sum. Gloria.

Cõsessus decimus nonus.

Psalmus Dauid ad Goliath, CXLIII.

Sup. 17 Benedictus dominus deus meus, docens manus meas ad prælium, digitos meos ad bellum. Misericordia mea & refugium meum, susceptor meus & liberator meus, protector meus, & in ipso speraui, Qui subdit populum meũ

Iob. 8 sub me. Domine, quid est homo, quia innotuisti ei, aut filius hominis, quia reputas eum? Homo uanitati similis factus est, dies eius sicut umbra prætereũt. Domine inclina cœlos, et descende, tange mõtes, et fumigabunt. Fulgura coruscationem, et dissipabis eos. Emitte sagittas tuas, & conturbabis eos. Emitte manum tuam ex altitudine, eripe me, &

ὁδὸν, ἐν ᾗ πορεύσομαι, ὅτι πρός σε ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου κύριε, πρός σε κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου. Ὅτι σὺ εἶ ὁ θεός μου, τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. Ἕνεκεν τοῦ ὀνόματός σου κύριε ζήσεις με, ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου. Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμί. Δόξα. Κάθισμα ιθ.

Ψαλμὸς τῷ Δαβὶδ πρὸς τὸν γολιάθ, ρμγ.

Εὐλογητὸς κύριος ὁ θεός μου, ὁ διδάσκων τὰς χεῖράς μου εἰς παράταξιν, τοὺς δακτύλους μου εἰς πόλεμον. Ἔλεός μου καὶ καταφυγή μου, ἀντιλήπτωρ μου καὶ ῥύστης μου, ὑπερασπιστής μου, καὶ ἐπ' αὐτῷ ἤλπισα. Ὁ ὑποτάσσων τὸν λαόν μου ὑπ' ἐμέ. Κύριε, τί ἐστιν ἄνθρωπος, ὅτι ἐγνώσθης αὐτῷ, ἢ υἱὸς ἀνθρώπου, ὅτι λογίζῃ αὐτῷ; Ἄνθρωπος ματαιότητι ὡμοιώθη, αἱ ἡμέραι αὐτοῦ ὡσεὶ σκιὰ παράγουσι. Κύριε κλῖνον οὐρανούς, καὶ κατάβηθι, ἅψαι τῶν ὀρέων, καὶ καπνισθήσονται. Ἄστραψον ἀστραπὴν, καὶ σκορπιεῖς αὐτούς. Ἐξαπόστειλον τὰ βέλη σου, καὶ συνταράξεις αὐτούς. Ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους, ἐξελοῦ με, καὶ

καὶ ῥῦσαί με ἐξ ὑδάτων πολλῶν, ἐκ χειρὸς υἱῶν ἀλλοτρίων. Ὧν τὸ στόμα ἐλάλησε ματαιότητα, καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας. Ὁ θεὸς ᾠδὴν καινὴν ᾄσομαί σοι, ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψαλῶ σοι. Τῷ διδόντι τὴν σωτηρίαν τοῖς βασιλεῦσι, τῷ λυτρουμένῳ Δαβὶδ τὸν δοῦλον αὐτοῦ ἐκ ῥομφαίας πονηρᾶς. Ῥῦσαί με, καὶ ἐξελοῦ με ἐκ χειρὸς υἱῶν ἀλλοτρίων. Ὧν τὸ στόμα ἐλάλησε ματαιότητα, καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας. Ὧν οἱ υἱοὶ αὐτῶν ὡς νεόφυτα, ἱδρυμένα ἐν τῇ νεότητι αὐτῶν. Αἱ θυγατέρες αὐτῶν ὡς καλλωπισμέναι, περικεκοσμημέναι ὡς ὁμοίωμα ναοῦ. Τὰ ταμιεῖα αὐτῶν πλήρη, ἐξερευγόμενα ἐκ τούτου εἰς τοῦτο. Τὰ πρόβατα αὐτῶν πολύτοκα, πληθύνοντα ἐν ταῖς ἐξόδοις αὐτῶν. Οἱ βόες αὐτῶν παχεῖς, οὐκ ἔστι κατάπτωμα φραγμοῦ, οὐδὲ διέξοδος, οὐδὲ κραυγὴ ἐν ταῖς πλατείαις αὐτῶν. Ἐμακάρισαν τὸν λαὸν ᾧ ταῦτά ἐστι, μακάριος ὁ λαὸς, οὗ κύριος ὁ θεὸς αὐτοῦ.

Αἴνεσις τῷ Δαβίδ ρμδ.

Ὑψώσω σε ὁ θεός μου, ὁ βασιλεύς μου. Καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Μέγας κύριος καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας. Γενεὰ καὶ γε-

νεὰ

& libera me de aquis multis, de manu filiorum alienorũ. Quorũ os locutum est uanitatem, & dextera eorum, dextera iniquitatis. Deus canticũ nouum cantabo tibi, in psalterio decachordo canam tibi. Qui das salutem regibus, qui redemisti Dauid seruum tuum de gladio maligno. Eripe, et erue me de manu filiorum alienorum. Quorum os loquutum est uanitatem, & dextera eorum dextera iniquitatis. Quorũ filii eorũ sicut nouæ plantulę firmatæ in iuuentute sua. Filiæ eorum compositæ, circumornatę ut simulachrũ tẽpli. Promptuaria eorum plena, eructãtia ex hoc in illud. Oues eorum fœtificæ, abundantes in egressibus suis. Boues eorum crassæ, non est ruina maceriæ, neque transitus, neq; clamor in plateis eorum. Beatum dixerunt populum cui hæc sunt, beatus populus cuius dominus deus eius.

Laudationis Dauid, CXLIIII.

Exaltabo te deus rex meus, et benedicam nomini tuo in seculũ, & in seculum seculi. Per singulos dies benedicã tibi, & laudabo nomẽ tuũ in seculũ, et in seculũ seculi. Magnus dñs & laudatus ualde, & magnitudinis eius non est finis. Progenies & pro-

genies collaudabunt ope-
ra tua, & potentiam tuam
pronunciabit. Magnifi-
centiam gloriæ sanctitatis
tuæ loquentur, & mirabi-
lia tua narrabunt. Et uir-
tutem terribilium tuorum
dicent, & magnitudinem
tuam narrabunt. Memori
am abundantiæ suauitatis
tuæ eructabunt, et iustitia
tua exultabūt. Miserator
et misericors dominus, pa
tiens & multū misericors.
Suauis dominus uniuer-
sis, & miserationes eius
super omnia opera eius.
Confiteantur tibi domi
ne omnia opera tua, &
sancti tui benedicant tibi.
Gloriam regni tui dicent,
& potentiā tuam loquen-
tur, ut notam faciant filijs
hominum potentiam tu-
am, & gloriam magnifi-
centiæ regni tui. Regnū
tuum, regnum omnium se
culorū, & dominatio tua
in omni generatione &
generatione. Fidelis do-
minus in omnibus uerbis
suis, & sanctus in omni-
bus operibus suis. Susten-
tat dominus omnes qui
corruunt, & erigit omnes
elisos. Oculi omnium in
te sperant, & tu das escam
illorū in tempore oppor-
tuno. Aperis tu manū tuā,
& imples omne animal
refectione. Iustus domin9
in omnibus uijs suis, &
sanctus

νεὰ ἐπαινέσει τὰ ἔργα σου, καὶ τὴν
δύναμίν σου ἀπαγγελοῦσι. Τὴν με-
γαλοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύ-
νης σου λαλήσουσι, καὶ τὰ θαυμάσιά
σου διηγήσονται. Καὶ τὴν δύναμιν
τῶν φοβερῶν σου ἐροῦσι, καὶ τὴν μεγαλω-
σύνην σου διηγήσονται. Μνήμην τοῦ
πλήθους τῆς χρηστότητός σου ἐξερεύξον-
ται, καὶ τῇ δικαιοσύνῃ σου ἀγαλλιά-
σονται. Οἰκτίρμων καὶ ἐλεήμων ὁ
κύριος, μακρόθυμος καὶ πολυέλε-
ος. Χρηστὸς κύριος τοῖς σύμπασι,
καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα
τὰ ἔργα αὐτοῦ. Ἐξομολογησάσθω-
σάν σοι κύριε πάντα τὰ ἔργα σου,
καὶ οἱ ὅσιοί σου εὐλογησάτωσάν με.
Δόξαν τῆς βασιλείας σου ἐροῦσι, καὶ
τὴν δυναστείαν σου λαλήσουσι, τοῦ
γνωρίσαι τοῖς υἱοῖς τῶν ἀνθρώπων
τὴν δυναστείαν σου, καὶ τὴν δόξαν
τῆς μεγαλοπρεπείας τῆς βασιλείας
σου. Ἡ βασιλεία σου, βασιλεία πάν-
των τῶν αἰώνων, καὶ ἡ δεσποτεία σου
ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. Πιστὸς κύ-
ριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ, καὶ
ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ. Ὑ-
ποστηρίζει κύριος πάντας τοὺς κατα-
πίπτοντας, καὶ ἀνορθοῖ πάντας τοὺς
κατερραγμένους. Οἱ ὀφθαλμοὶ πάν-
των εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως
τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ. Ἀνοί-
γεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς
πᾶν ζῶον εὐδοκίας. Δίκαιος κύ-
ριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ
ὅσιος

ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ. Ἐγγὺς κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν, πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ. Θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει, καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται, καὶ σώσει αὐτούς. Φυλάσσει κύριος πάντας τοὺς ἀγαπῶντας αὐτὸν, καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεύσει. Αἴνεσιν κυρίου λαλήσει τὸ στόμα μου, καὶ εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ, εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Δόξα.

Ἀλληλούϊα Ἀγγαίου καὶ Ζαχαρίου, ρμέ.

Αἴνει ἡ ψυχή μου τὸν κύριον, αἰνέσω κύριον ἐν τῇ ζωῇ μου. ψαλῶ τῷ θεῷ μου, ἕως ὑπάρχω. Μὴ πεποίθατε ἐπ' ἄρχοντας, ἐπὶ υἱοὺς ἀνθρώπων, οἷς οὐκ ἔστι σωτηρία. Ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ, καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτοῦ. Μακάριος, οὗ ὁ θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ κύριον τὸν θεὸν αὐτοῦ. Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς. Τὸν φυλάσσοντα ἀλήθειαν εἰς τὸν αἰῶνα, ποιοῦντα κρίμα τοῖς ἀδικουμένοις, διδόντα τροφὴν τοῖς πεινῶσι. Κύριος λύει πεπεδημένους, κύριος σοφοῖ τυφλούς. Κύριος ἀνορθοῖ κατεῤῥαγμένους, κύριος

sanctus in omnibus operibus suis. Prope dominus omnibus inuocantibus eum in ueritate. Voluntatem timentium se faciet, & precationem eorum exaudiet, & saluos faciet eos. Custodit dominus omnes diligentes se, & omnes peccatores disperdet. Laudationem domini loquetur os meum, & benedicat omnis caro nomini sancto eius, in seculum & in seculum seculi. Gloria.

Alleluia Aggæi & Zachariæ, CXLV.

Lauda anima mea dominum laudabo dominum in uita mea. Canam deo meo, quàm diu sum. Noli te confidere in principibus, in filiis hominum, quibus non est salus. Exibit spiritus eius, & reuertetur in terrã suã. In illa die peribunt omnes cogitationes eius. Beatus, cuius deus Iacob adiutor eius, spes eius in domino deo eius. Act.14 Apoc.14 Qui fecit cœlum & terram, mare & omnia quæ in eis. Qui custodit ueritatem in seculum, qui facit iudicium iniuriam patientibus, qui dat escam esurientibus. Dominus soluit uinctos. Dominus sapientiam docet cæcos. Dominus erigit confractos,

dñs diligit iustos. Dominus custodit aduenas, pupillum & uiduam suscipiet, et uiam peccatorum disperdet. Regnabit dominus in seculum, deus tuus Sion in generatiouem & generationem.

Alleluia, CLXVI.

Laudate dominũ, quia bonum. Psalmus deo nostro, iocunda sit laudatio. Ædificans Hierusalẽ dominus, dispersiones Israel congregabit. Qui sanat contritos corde, et alligat contritiones eorum. Qui numerat multitudines stellarum, & omnibus eis nomina uocans. Magnus dominus noster, & magna uirtus eius, & sapientiæ eius non est numerus. Suscipiens mansuetos dominus, humilians autem peccatores usq; ad terram. Incipite domino in cõfessione, canite deo nostro in cithara. Qui amicit cœlum nubibus, qui parat terræ pluuiam. Qui producit in

Supra 103 montibus fœnum, & herbam seruituti hominum. Qui dat iumentis cibum ipsorum, & pullis coruorũ inuocantibus eum. Nõ fortitudinem equi uolet, neq; tibiæ uiri acceptæ sunt ei. Beneplacitum est domino in timentibus eum, & in eis qui sperant super misericordia eius.

Alle-

κύριος ἀγαπᾷ δικαίους. Κύριος φυλάσσει τοὺς προσηλύτους, ὀρφανὸν καὶ χήραν ἀναλήψεται, καὶ ὁδὸν ἁμαρτωλῶν ἀφανιεῖ. Βασιλεύσει κύριος εἰς τὸν αἰῶνα, ὁ θεός σου σιὼν εἰς γενεὰν καὶ γενεάν.

Ἀλληλούϊα, ρμς.

Αἰνεῖτε τὸν κύριον, ὅτι ἀγαθὸν ψαλμὸς τῷ θεῷ ἡμῶν, ἡδυνθείη ἡ αἴνεσις. Οἰκοδομῶν ἱερουσαλὴμ ὁ κύριος, τὰς διασπορὰς τοῦ ἰσραὴλ ἐπισυνάξει. Ὁ ἰώμενος τοὺς συντετριμμένους τὴν καρδίαν, καὶ δεσμεύων τὰ συντρίμματα αὐτῶν. Ὁ ἀριθμῶν πλήθη ἄστρων, καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν. Μέγας ὁ κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ, καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός. Ἀναλαμβάνων πραεῖς ὁ κύριος, ταπεινῶν δὲ ἁμαρτωλοὺς ἕως γῆς. Ἐξάρξατε τῷ κυρίῳ ἐν ἐξομολογήσει, ψάλατε τῷ θεῷ ἡμῶν ἐν κιθάρᾳ. Τῷ περιβάλλοντι τὸν οὐρανὸν ἐν νεφέλαις, τῷ ἑτοιμάζοντι τῇ γῇ ὑετόν. Τῷ ἐξανατέλλοντι ἐν ὄρεσι χόρτον, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων. Διδόντι τοῖς κτήνεσι τροφὴν αὐτῶν, καὶ τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν. Οὐκ ἐν τῇ δυναστείᾳ τοῦ ἵππου θελήσει, οὐδὲ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκεῖ. Εὐδοκεῖ κύριος ἐν τοῖς φοβουμένοις αὐτόν, καὶ ἐν τοῖς ἐλπίζουσιν ἐπὶ τὸ ἔλεος αὐτοῦ.

Ἀλλη

Ἀλληλούϊα, Ἀγγαίου καὶ ζαχαρίου, ρμζ.

Ἐπαίνει ἱερουσαλὴμ τὸν κύριον, αἴνει τὸν θεόν σου σιών. Ὅτι ἐνίσχυσε τοὺς μοχλοὺς τῶν πυλῶν σου, εὐλόγησε τοὺς υἱούς σου ἐν σοί. Ὁ τιθεὶς τὰ ὅριά σου εἰρήνην, καὶ στέαρ πυροῦ ἐμπιπλῶν σε. Ὁ ἀποστέλλων τὸ λόγιον αὐτοῦ τῇ γῇ, ἕως τάχους δραμεῖται ὁ λόγος αὐτοῦ. Διδόντος χιόνα αὐτοῦ ὡσεὶ ἔριον, ὁμίχλην ὡσεὶ σποδὸν πάσσοντος. Βάλλοντος κρύσταλλον αὐτοῦ ὡσεὶ ψωμούς, κατὰ πρόσωπον ψύχους αὐτοῦ τίς ὑποστήσεται; Ἐξαποστελεῖ τὸν λόγον αὐτοῦ, καὶ τήξει αὐτά. Πνεύσει τὸ πνεῦμα αὐτοῦ, καὶ ῥυήσεται ὕδατα. Ὁ ἀπαγγέλλων τὸ λόγιον αὐτοῦ τῷ ἰακώβ, δικαιώματα καὶ κρίματα αὐτοῦ τῷ ἰσραήλ. Οὐκ ἐποίησεν οὕτως παντὶ ἔθνει, καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς. Δόξα.

Ἀλληλούϊα, ἀγγαίου καὶ ζαχαρίου, ρμη.

Αἰνεῖτε τὸν κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Αἰνεῖτε αὐτὸν πάντες οἱ ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτὸν πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Αἰνεῖτε αὐτὸν ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτὸν πάντα τὰ ἄστρα καὶ τὸ φῶς. Αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν, αἰνεσάτωσαν τὸ ὄνομα κυρίου. Ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθη-

σαν

Alleluia Aggæi & Zachariæ, CXLVII.

Lauda Hierusalem dominum, lauda deum tuum Sion. Quoniam confortauit seras portarũ tuarum, benedixit filiis tuis in te. Qui posuit fines tuos pacem, & adipe frumenti satiat te. Qui emittit eloquium suum terræ, uelociter curret sermo eius. Qui dat niuem suam sicut lanã, nebulam sicut cinerẽ spargit. Mittit crystallum suã sicut frusta, ante faciem frigoris eius quis subsistet? Emittet uerbum suum, & liquefaciet ea. Flabit spiritus eius, & fluent aquæ. Qui annunciat uerbum suum Iacob, iustitias & iudicia sua Israel. Non fecit taliter omni nationi, & iudicia sua non manifestauit eis. Gloria.

Alleluia, Aggæi & Zachariæ, CXLVIII.

Laudate dominum de cœlis, laudate eum in altissimis. Laudate eum omnes angeli eius, laudate eum omnes uirtutes eius. Laudate eum sol & luna, laudate eum omnes stellæ & lumen. Laudate eum cœli cœlorum, & aqua quæ super cœlos, laudent nomen domini. Quia ipse dixit, & facta

 sunt.

sunt. Ipse pręcepit, & crea
ta sunt. Statuit ea in secu-
lum & in seculum seculi,
pręceptum posuit, & non
præteribit. Laudate do-
minum de terra, dracones
& omnes abyssi. Ignis,
grando, nix, glacies, spiri-
tus procellæ, quæ faciunt
uerbum eius. Montes &
omnes colles, ligna fructi-
fera & omnes cedri. Be-
stiæ & uniuersa pecora,
serpentes & uolucres pen
natæ. Reges terræ & o-
mnes populi, principes et
omnes iudices terræ. Iuue
nes & uirgines; senes cum
iunioribus laudēt nomen
domini, quia exaltatū est
nomen eius solius. Cōfes-
sio eius super terrā & cœ
lum, & exaltabit cornu
populi sui. Hymnus omni
bus sanctis eius, filiis Isra-
el, populo propinquanti
sibi.

Alleluia. CXLIX.

Cantate domino canti-
cū nouū, laudatio eius in
ecclesia sanctorum. Læte
tur Israel in eo qui fecit
eum, et filii Sion exultent
in rege suo. Laudent no-
men eius in choro, in tym
pano & psalterio canant
ei. Quia beneplacitum
est domino in populo suo,
et exaltabit mansuetos in
salute. Iactabunt sancti in
gloria, & lætabuntur
in

σαν. Αὐτὸς ἐνετείλατο, καὶ ἐκτί-
σθησαν. Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶ-
να, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος,
πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσε-
ται. Αἰνεῖτε τὸν κύριον ἐκ τῆς γῆς,
δράκοντες καὶ πᾶσαι ἄβυσσοι. Πῦρ,
χάλαζα, χιών, κρύσταλλος, πνεῦμα
καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον
αὐτοῦ. Τὰ ὄρη καὶ πάντες οἱ βουνοί,
ξύλα καρποφόρα, καὶ πᾶσαι κέδροι.

Τὰ θηρία καὶ πάντα τὰ κτήνη,
ἑρπετὰ καὶ πετεινὰ πτερωτά. Βασι-
λεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχον-
τες καὶ πάντες κριταὶ γῆς. Νεα-
νίσκοι καὶ παρθένοι, πρεσβύτεροι
μετὰ νεωτέρων αἰνεσάτωσαν τὸ ὄνο-
μα κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ
μόνου. Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ τῆς
γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας
λαοῦ αὐτοῦ. Ὕμνος πᾶσι τοῖς ὁσίοις
αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγί-
ζοντι αὐτῷ.

Ἀλληλούϊα, ρμθ.

Ἄσατε τῷ κυρίῳ ᾆσμα καινόν, ἡ
αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.
Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποι-
ήσαντι αὐτόν, καὶ υἱοὶ Σιὼν ἀγαλλιά-
σθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν. Αἰ-
νεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ,
ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλά-
τωσαν αὐτῷ. Ὅτι εὐδοκεῖ κύρι-
ος ἐν τῷ λαῷ αὐτοῦ, καὶ ὑψώσει
πραεῖς ἐν σωτηρίᾳ. Καυχήσονται
ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται
ἐπὶ

ἐπὶ τῶν κοιτῶν αὐτῶν. Αἱ ὑψώσεις τοῦ θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν, τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς. Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς, τοῦ ποιῆσαι ἐν αὐτοῖς κρίμα ἔγγραπτον. Δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

Ἀλληλούϊα, ρν.

Αἰνεῖτε τὸν θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι δυνάμεως αὐτοῦ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν κύριον.

Δόξα. κάθισμα κ.

Οὗτος ὁ ψαλμὸς ἰδιόγραφος τοῦ Δαβὶδ ἔστι, καὶ ἔξωθεν τοῦ ἀριθμοῦ τῶν ἑκατὸν πεντήκοντα ψαλμῶν, ὅτε ἐμονομάχησε πρὸς τὸν Γολιάθ.

Μικρὸς ἤμην ἐν τοῖς ἀδελφοῖς μου, καὶ νεώτερος ἐν τῷ οἴκῳ τοῦ πατρός μου, ἐποίμαινον τὰ πρόβατα τοῦ πατρός μου. Αἱ χεῖρές μου ἐποίη-

σαν

in cubilibus suis. Exultationes dei in gutture eorum, & gladii ancipites in manibus eorum, ad faciendam uindictam in nationibus, increpationes in populis. Ad alligandos reges eorũ in compedibus, & nobiles eorum in manicis ferreis, ut faciant in eis iudicium conscriptum. Gloria hæc erit omnibus sanctis eius.

Alleluia, CL.

Laudate deum in sanctis eius, laudate eum in firmamento uirtutis eius. Laudate eum in uirtutibus eius, laudate eum secundum multitudinẽ magnitudinis eius. Laudate eum in sono tubæ, laudate eum in psalterio & cithara. Laudate eum in tympano & choro, laudate eum in chordis & organo. Laudate eum in cymbalis benesonantibus, laudate eum in cymbalis iubilationis. Omnis spiritus laudet dominum. Gloria.

Consessus uigesimus.

Hic Psalmus peculiariter scriptus Dauid est, & extra numerum centũ quinquaginta Psalmorũ, quando singulari pagina certauit contra Goliath.

Paruus erã in fratribus meis, et iunior in domo patris mei, pascebã oues patris mei. Manus meę fece-

cunt instrumentum, & digiti mei aptauerunt psalterium. Et quis renunciabit domino meo? Ipse dominus, ipse exaudit. Ipse ablegauit nuncium suum, & tulit me ex ouibus patris mei, & unxit me in oleo unctionis suæ. Fratres mei pulchri & magni, & non approbauit in eis dñs. Egressus sum in occursum alienigenæ, & execratus est me in simulacris suis. Ego autẽ extraxi ab eo gladium, capite truncaui eũ, & abstuli uituperium ex filijs Israel.

σαν ὄργανον, καὶ οἱ δάκτυλοί μου ἥρμοσαν ψαλτήριον. Καὶ τίς ἀναγγελεῖ τῷ κυρίῳ μου; Αὐτὸς κύριος, αὐτὸς εἰσακούει. Αὐτὸς ἐξαπέστειλε τὸν ἄγγελον αὐτοῦ, καὶ ἦρέ με ἐκ τῶν προβάτων τοῦ πατρός μου, καὶ ἔχρισέ με ἐν τῷ ἐλαίῳ τῆς χρίσεως αὐτοῦ. Οἱ ἀδελφοί μου καλοὶ καὶ μεγάλοι, καὶ οὐκ εὐδόκησεν ἐν αὐτοῖς ὁ κύριος. Ἐξῆλθον εἰς συνάντησιν τῷ ἀλλοφύλῳ, καὶ ἐπικατηράσατό με ἐν τοῖς εἰδώλοις αὐτοῦ. Ἐγὼ δὲ σπασάμενος τὴν παρ' αὐτοῦ μάχαιραν, ἀπεκεφάλισα αὐτὸν, καὶ ἦρα ὄνειδος ἐξ υἱῶν Ἰσραήλ.

SOLOMONIS PROVERBIA.

Caput I



ROVERBIA Solomonis filii David, qui regnauit in Israel, ad cognoscendum sapientiam & disciplinam, ad meditandũq; sermones prudentiæ, excipiendũq; uersutias sermonũ & solutiones inuolucrorũ, meditandumq; iustitiã uerã, & iudiciũ dirigendũ, ut det innocuis in omnibus prõptitudinẽ, puero aũt nouo sensumq; & cogitationẽ. Hęc em̃ audiẽs sapiẽs, sapiẽtior erit. Intelligẽs aũt gubernationẽ posidebit, intelliget prouerbiũ & obscurũ sermonẽ, dictionesq; sapiẽtũ et inuolucra. Initiũ

sapientiæ



Αροιμίαι Σολομῶντος υἱοῦ Δαβίδ, ὃς ἐβασίλευσεν ἐν Ἰσραήλ, γνῶναι σοφίαν καὶ παιδείαν, νοῆσαί τε λόγους φρονήσεως, δέξασθαί τε στροφὰς λόγων καὶ λύσεις αἰνιγμάτων, νοῆσαί τε δικαιοσύνην ἀληθῆ, καὶ κρίμα κατευθύνειν, ἵνα δῷ ἀκάκοις πανουργίαν, παιδὶ δὲ νέῳ αἴσθησίν τε καὶ ἔννοιαν. Τῶνδε γὰρ ἀκούσας σοφὸς, σοφώτερος ἔσται, ὁ δὲ νοήμων κυβέρνησιν κτήσεται, νοήσει τε παραβολὴν καὶ σκοτεινὸν λόγον, ῥήσεις τε σοφῶν καὶ αἰνίγματα. ἀρχὴ σοφίας φόβος κυρίου, σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν

αὐτὴν

αὐτῶν. εὐσέβεια εἰς θεὸν, ἀρχὴ αἰσθήσεως. σοφίαν δὲ καὶ παιδείαν ἀσεβεῖς ἐξουθενήσουσιν. ἄκουε υἱὲ νόμους πατρός σου, καὶ μὴ ἀπώσῃ θεσμοὺς μητρός σου. στέφανον γὰρ χαρίτων δέξῃ σῇ κορυφῇ, καὶ κλοιὸν χρύσεον περὶ σῷ τραχήλῳ. υἱὲ, μή σε πλανήσωσιν ἄνδρες ἀσεβεῖς, μηδὲ βουληθῇς, ἐὰν παρακαλέσωσί σε, λέγοντες, ἐλθὲ μεθ' ἡμῶν, κοινώνησον αἵματος. κρύψωμεν δὲ εἰς γῆν ἄνδρα δίκαιον ἀδίκως, καταπίωμεν δὲ αὐτὸν, ὥσπερ ᾅδης ζῶντα, καὶ ἄρωμεν αὐτοῦ τὴν μνήμην ἐκ γῆς, τὴν κτῆσιν αὐτοῦ τὴν πολυτελῆ καταλαβώμεθα. πλήσωμεν δὲ οἴκους ἡμετέρους σκύλων, τὸν δὲ σὸν κλῆρον βάλε ἐν ἡμῖν. κοινὸν δὲ βαλάντιον κτησόμεθα πάντες, καὶ μαρσύππιον ἓν γενηθέτω ἡμῖν. μὴ πορευθῇς ὁδοὺς μετ' αὐτῶν, ἔκκλινον τὸν πόδα σου ἐκ τῶν τρίβων. οἱ γὰρ πόδες αὐτῶν εἰς κακίαν τρέχουσι, καὶ ταχινοί εἰσι τοῦ ἐκχέαι αἷμα. οὐ γὰρ ἀδίκως ἐκτείνονται δίκτυα πτερωτοῖς. αὐτοὶ γὰρ οἱ φόνου μετέχοντες, θησαυρίζουσιν ἑαυτοῖς κακά. ἡ δὲ καταστροφὴ ἀνδρῶν παρανόμων κακή. αὗται αἱ ὁδοί εἰσι πάντων τῶν συντελούντων τὰ ἄνομα, τῇ γὰρ ἀσεβείᾳ τὴν ἑαυτῶν ψυχὴν ἀφαιροῦνται. σοφία ἐν ἐξόδοις ὑμνεῖται, ἐν δὲ πλατείαις παρρησίαν ἄγει, ἐπ' ἄκρων δὲ τειχέων κηρύσσεται, ἐπὶ

sapientiæ timor dñi, intellectus aũt bonus omnibus faciẽtibus eum. Pietas aũt in deũ initiũ sensus. Sapientiam aũt & disciplinam impij nihili facient. Audi fili leges patris tui, & ne amoueris statuta matris tuę. Coronã enim Gratiarũ accipies tuo uertici, & torquem aureũ circa tuũ collum. Fili ne te seduxerint uiri impij, neq; uolueris, si aduocauerint te, dicentes, Veni nobiscũ, participa sanguinem. Abscon derimus aũt in terram uirũ iustum iniuste, deglutiamus autem eum sicut infernus uiuentẽ, & tollamus eius memoriã è terra, possessionẽ eius multi precij recipiamus. Impleamus autẽ domos nostras spoliis, at tuã sortẽ iace in nobis. Cõmunẽ uero crumenã possidebimus oẽs, & marsupiũ unũ sit nobis. Ne ambules uias cum eis, declina pedẽ tuũ à semitis eorũ. Nã pedes illorum ad malitiã currunt, & festini sunt ad effundendum sanguinẽ. Nõ enim iniuste extenduntur retia pẽnatis, ipsi eñ mortis participes reponunt sibi ipsis mala. At conuersio uirorũ iniquorũ mala. Istę uiæ sunt oĩm perficientiũ iniqua, nã impietate suam animã delẽt. Sapientia in egressibus celebrat, in plateis uerò libertate dicendi utitur, in summis uerò montibus prædicat, in

portis uero potentum assidet, in portis uero urbis audẽs dicit, Quantũ tempus innocui hærẽt iustitię, non pudefient. At insipiẽtes iniuriæ existentes per cupidi, impij facti odio habuerunt sensum, & obnoxij facti sunt redargutionibus. Ecce præmittam uobis mei spiritus uerbũ, docebo aũt uos meũ sermonem. Quoniã uocabã, & non audistis, & extendebã sermones, & non attendebatis, sed irrita faciebatis mea consilia, at meis redargutionibus nõ intẽdebatis, igitur & ego in uestro interitu ridebo. Contra aũt gaudebo quandocunq; superuenerit uobis pernicies, & quando aduenerit uobis subito tumultus, at subuersio tanq; tempestas affuerit, aut quãdo uenerit uobis tribulatio et obsessio. Erit em̃, quando inuocaueritis me, ego aũt non exaudiã uos. Quærẽt me mali, & nõ inuenient. Odio habuerũt em̃ sapientiam, at timorẽ dñi non prælegerunt, neq; uoluerũt meis attẽdere cõsiliis, subsannauerunt aũt meas redargutiões. Igit comedẽt suæ uitæ fructus, et suę impietatis implebũt. Quia em̃ iniuriã fecerũt paruulis, interficiẽt. & inqsitio impios pdet. At me audiẽs habitabit in spe, et qescet intrepide ab omni malo.

ἐπὶ πύλαις δυναστῶν παρεδρεύει, ἐπὶ δὲ πύλαις πόλεως θαῤῥοῦσα λέγει, ὅσον ἂν χρόνον ἄκακοι ἔχωνται τῆς δικαιοσύνης, οὐκ αἰσχυνθήσονται. οἱ δὲ ἄφρονες τῆς ὕβρεως ὄντες ἐπιθυμηταὶ, ἀσεβεῖς γενόμενοι, ἐμίσησαν αἴσθησιν, καὶ ὑπεύθυνοι ἐγένοντο ἐλέγχοις. ἰδοὺ, προήσομαι ὑμῖν ἐμῆς πνοῆς ῥῆσιν, διδάξω δὲ ὑμᾶς τὸν ἐμὸν λόγον. ἐπειδὴ ἐκάλουν, καὶ οὐχ ὑπηκούσατε, καὶ ἐξέτεινον λόγους, καὶ οὐ προσείχετε, ἀλλὰ ἀκύρους ἐποιεῖτε ἐμὰς βουλὰς, τοῖς δὲ ἐμοῖς ἐλέγχοις οὐ προσείχετε, τοιγαροῦν κἀγὼ τῇ ὑμετέρᾳ ἀπωλείᾳ ἐπιγελάσομαι, ἐπιχαροῦμαι δὲ, ἡνίκα ἂν ἔρχηται ὑμῖν ὄλεθρος, καὶ ὡς ἂν ἀφίκηται ὑμῖν ἄφνω θόρυβος, ἡ δὲ καταστροφὴ, ὁμοίως καταιγίδι παρῇ, ἢ ὅταν ἔρχηται ὑμῖν θλίψις καὶ πολιορκία. ἔσται γὰρ, ὅταν ἐπικαλέσησθέ με, ἐγὼ οὐκ εἰσακούσομαι ὑμῶν. ζητήσουσί με κακοὶ, καὶ οὐχ εὑρήσουσιν, ἐμίσησαν γὰρ σοφίαν, τὸν δὲ φόβον κυρίου οὐ προείλοντο, οὐδὲ ἤθελον ἐμαῖς προσέχειν βουλαῖς, ἐμυκτήριζον δὲ ἐμοὺς ἐλέγχους. τοιγαροῦν ἔδονται τῆς ἑαυτῶν ὁδοῦ τοὺς καρποὺς, καὶ τῆς ἑαυτῶν ἀσεβείας πλησθήσονται. ἀνθ᾽ ὧν γὰρ ἠδίκουν νηπίους, φονευθήσονται, καὶ ἐξετασμὸς ἀσεβεῖς ὀλεῖ. ὁ δὲ ἐμοῦ ἀκούων κατασκηνώσει ἐπ᾽ ἐλπίδι, καὶ ἡσυχάσει ἀφόβως ἀπὸ παντὸς κακοῦ.

Υἱέ, ἐὰν δεξάμενος ῥῆσιν ἐμῆς
ἐντολῆς, κρύψῃς παρὰ σεαυτῷ, ὑπα-
κούσεται σοφίας τὸ οὖς σου, καὶ παρα-
βαλεῖς καρδίαν σου εἰς σύνεσιν, παρα-
βαλεῖς δὲ αὐτὴν ἐπὶ νουθέτησιν τῷ
υἱῷ σου. ἐὰν γὰρ τὴν σοφίαν ἐπικαλέ-
σῃ, καὶ τῇ συνέσει δῷς φωνήν σου,
τὴν δὲ αἴσθησιν ζητήσῃς μεγάλῃ τῇ
φωνῇ, καὶ ἐὰν ζητήσῃς αὐτὴν ὡς ἀρ-
γύριον, καὶ ὡς θησαυροὺς ἐξερευνή-
σῃς αὐτήν, τότε συνήσεις φόβον κυ-
ρίου, καὶ ἐπίγνωσιν θεοῦ εὑρήσεις. ὅτι
κύριος δίδωσι σοφίαν, καὶ ἀπὸ προ-
σώπου αὐτοῦ γνῶσις καὶ σύνεσις. καὶ
θησαυρίζει τοῖς κατορθοῦσι σωτηρί-
αν, ὑπερασπιεῖ δὲ τὴν πορείαν αὐ-
τῶν, τοῦ φυλάξαι ὁδὸν δικαιωμάτων,
καὶ ὁδὸν εὐλαβουμένων αὐτὸν διαφυ-
λάξει. τότε συνήσεις δικαιοσύνην
καὶ κρίμα, καὶ κατορθώσεις πάντας
ἄξονας ἀγαθούς. ἐὰν γὰρ ἔλθῃ ἡ σο-
φία εἰς σὴν διάνοιαν, ἡ δὲ αἴσθησις
τῇ σῇ ψυχῇ καλὴ εἶναι δόξῃ, βουλὴ
καλὴ φυλάξει σε, ἔννοια δὲ ὁσία τηρή-
σει σε, ἵνα ῥύσηταί σε ἀπὸ ὁδοῦ κα-
κῆς, καὶ ἀπὸ ἀνδρὸς λαλοῦντος μηδὲν
πιστόν. ὦ οἱ ἐγκαταλείποντες ὁδοὺς
εὐθείας, τοῦ πορεύεσθαι ἐν ὁδοῖς σκό-
τους. ὦ οἱ εὐφραινόμενοι ἐπὶ κακοῖς,
καὶ χαίροντες ἐπὶ διαστροφῇ κακῇ, ὧν
αἱ τρίβοι σκολιαί, καὶ καμπύλαι αἱ
τροχιαὶ αὐτῶν, τοῦ μακράν σε ποιῆσαι
ἀπὸ ὁδοῦ εὐθείας, καὶ ἀλλότριον τῆς δι-
καίας γνώμης. υἱέ, μή σε καταλάβῃ

κακὴ

Fili, si suscipiēs sermonē Cap. II
mei præcepti, abscōderis
penes teipsum, audiet sapi
entiā auris tua, et adiicies
cor tuū in intellectū, adii-
cies aūt ipsum in admoni-
tionē filio tuo. Si enim sa-
pientiā inuocaueris, & in
tellectui dederis uocē tuā,
at sensum quæsieris ma-
gna uoce, & si quæsieris
eam quasi argentū et sicut
thesauros scrutatus fueris
illā, tunc intelliges timo-
rem dñi, & scientiam dei
inuenies. Quia dñs dat sa-
pientiam, & ex cōspectu
eius cognitio et intellect9.
Et recondit dirigentibus
salutē, proteget aūt uiam
eorum, ad seruandū uiam
iustificationū & uiam eo-
rum qui reuerent̄ eum, cu-
stodiet. Tunc intelliges iu
stitiam & iudiciū, & diri
ges omnes semitas bonas.
Si eñ uenerit sapientia in
tuam mentē, & sensus tuæ
animę pulcher esse uidebi
tur, consilium bonū custo
diet te, cogitatio autē san-
cta seruabit te, ut eruat te
à uia mala & à uiro loquē
te nihil fidum. Væ qui re-
linquunt uias rectas, ut am
bulēt in uiis tenebrarum.
Vę qui lætant̄ in malis, et
gaudēt in subuersione ma
la, quorū semitæ puersę et
curuæ, & orbitæ eorū, ut
te longè faciant à uia re-
cta & alienum iustæ sen-
tentiæ. Fili, ne te occupet

malum

malum consilium quod reliquit doctrinã adolescentiæ, testamenti diuini oblitum. Posuit enim apud mortem domum eius, & apud infernum cum terrigenis semitas eius. Omnes ambulantes in ea non reuertentur, neq; apprehendent semitas rectas, non enim comprehendunt ab annis uitæ. Si enim ambularent semitas bonas, inuenissent utiq; semitas iustitiæ leues. Vtiles erunt habitatores terræ, innocentes aũt relinquentur in ea. Quoniam recti habitabũt terram, et sancti relinquentur in ea. Viæ aũt impiorum è terra perdentur, at iniqui expellentur ab ea.

Cap. III Fili meas leges ne obliuiscaris, at uerba mea custodiat tuum cor. Longitudinem enim uitæ & annos uitæ & pacem apponent tibi. Misericordię et fides ne desint tibi, liga aũt eas in tuo collo, scribe eas super latitudinem cordis tui, et inuenies gratiã, & prouide bona corã domino et hominibus. Esto confisus in toto corde in deo, in tua autem sapientia ne extollaris. In omnibus uijs tuis cognosce illam, ut dirigat uias tuas. Ne sis prudens apud temetipsum, time autem deum & declina ab omni malo, tunc sanitas erit corpori tuo, & curatio ossibus

κακὴ βουλὴ ἡ ἀπολείπουσα διδασκαλίαν νεότητος, διαθήκην θείαν ἐπιλελησμένη. ἔθετο γὰρ παρὰ τὸν θάνατον τὸν οἶκον αὐτῆς, καὶ παρὰ τῷ ᾅδῃ μετὰ τῶν γηγενῶν τοὺς ἄξονας αὐτῆς. πάντες οἱ πορευόμενοι ἐν αὐτῇ οὐκ ἀναστρέψουσιν, οὐδὲ μὴ καταλάβωσι τρίβους εὐθείας, οὐ γὰρ καταλαμβάνονται ὑπὸ ἐνιαυτῶν ζωῆς. εἰ γὰρ ἐπορεύοντο τρίβους ἀγαθάς, εὕροσαν ἂν τρίβους δικαιοσύνης λείας. χρηστοὶ ἔσονται οἰκήτορες γῆς, ἄκακοι δὲ ὑπολειφθήσονται ἐν αὐτῇ. ὅτι εὐθεῖς κατασκηνώσουσι γῆν, καὶ ὅσιοι ὑπολειφθήσονται ἐν αὐτῇ. ὁδοὶ δὲ ἀσεβῶν ἐκ γῆς ὀλοῦνται, οἱ δὲ παράνομοι ἐξωσθήσονται ἀπ' αὐτῆς.

Υἱὲ ἐμῶν νομίμων μὴ ἐπιλανθάνου, τὰ δὲ ῥήματά μου τηρείτω σὴ καρδία. μῆκος γὰρ βίου καὶ ἔτη ζωῆς καὶ εἰρήνην προσθήσουσί σοι. ἐλεημοσύναι καὶ πίστεις μὴ ἐκλειπέτωσάν σε, ἄφαψαι δὲ αὐτὰς ἐπὶ τῷ τραχήλῳ, γράψον αὐτὰς ἐπὶ πλακὸς καρδίας σου, καὶ εὑρήσεις χάριν, καὶ προνοοῦ καλὰ ἐνώπιον κυρίου καὶ ἀνθρώπων. ἴσθι πεποιθὼς ἐν ὅλῃ καρδίᾳ ἐπὶ θεῷ, ἐπὶ δὲ σῇ σοφίᾳ μὴ ἐπαίρου. ἐν πάσαις ὁδοῖς σου γνώριζε αὐτήν, ἵνα ὀρθοτομῇ τὰς ὁδούς σου. μὴ ἴσθι φρόνιμος παρὰ σεαυτῷ, φοβοῦ δὲ τὸν θεόν, καὶ ἔκκλινε ἀπὸ παντὸς κακοῦ, τότε ἴασις ἔσται τῷ σώματί σου καὶ ἐπιμέλεια τοῖς

ὀστέοις

ὀστέοις σου. τίμα τὸν κύριον ἀπὸ σῶν δικαίων πόνων, καὶ ἀπάρχου αὐτῷ ἀπὸ σῶν καρπῶν δικαιοσύνης, ἵνα ἐμπιπλῶνται τὰ ταμιεῖα σου πλησμονῆς σίτου, οἴνῳ δὲ αἱ ληνοί σου ἐκβλύζωσιν. υἱὲ μὴ ὀλιγώρει παιδείας κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος. ὃν γὰρ ἀγαπᾷ κύριος, παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν, ὃν παραδέχεται. μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς, ὃς εἶδε φρόνησιν. κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρὸς, τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν. οὐκ ἀντιτάξεται αὐτῇ οὐδὲν πονηρὸν, εὔγνωστός ἐστι πᾶσι τοῖς ἐγγίζουσιν αὐτὴν. πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστι. μῆκος γὰρ βίου καὶ ἔτη ζωῆς ἐν τῇ δεξιᾷ αὐτῆς, ἐν δὲ τῇ ἀριστερᾷ αὐτῆς πλοῦτος καὶ δόξα. ἐκ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. αἱ ὁδοὶ αὐτῆς ὁδοὶ καλαὶ, καὶ πᾶσαι αἱ τρίβοι αὐτῆς ἐν εἰρήνῃ. ξύλον ζωῆς ἐστι πᾶσι τοῖς ἀντεχομένοις αὐτῆς, καὶ τοῖς ἐπερειδομένοις ἐπ' αὐτὴν, ὡς ἐπὶ κύριον, ἀσφαλής. Ὁ θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν, ἡτοίμασε δὲ οὐρανοὺς ἐν φρονήσει. ἐν αἰσθήσει αὐτοῦ ἄβυσσοι ἐρράγησαν, νέφη δὲ ἐρρύη δρόσῳ. υἱὲ μὴ παραρρυῇς, τήρησον δὲ ἐμὴν βουλὴν καὶ ἔννοιαν, ἵνα ζήσῃ ἡ ψυχή σου, καὶ χάρις ᾖ περὶ

σῷ

ossibus tuis. Honora dñm de tuis iustis laboribus, et primitias da ei de tuis fructib. iustitiæ, ut impleant horrea tua abundãtia frumenti, uino aũt torcularia tua redundent. Fili ne paruipendas disciplinã domini, neque deficias ab ipso correptus. Quem enim diligit dominus, corripit, uerberat autem omnem filiũ, quem suscipit. Beatus homo qui inuenit sapientiam, & mortalis qui nouit prudentiam. Melius enim eam mercari, quàm auri & argenti thesauros, preciosior autem est lapidibus preciosis. Nullũ illi malum resistet, & cognitus facilis omnibus accedentibus eã. Omne aũt preciosum nõ dignũ illa est, longitudo eñ uitæ et anni uitæ in dextera eius, in sinistra autẽ illius diuitiæ & gloria. Ex ore eius procedit iustitia, legẽ aũt & misericordiã in lingua fert. Viæ eius uiæ pulchræ, et oẽs semitæ eius in pace. Lignũ uitæ est omnibus apprehendentibus eam, et firmatis in eã, ut in dominum, secura. Deus sapientia fundauit terrã, parauit aũt cœlos in prudẽtia. In sensu eius abyssi sunt, nubes aũt distillarũt rore. Fili ne effluas, custodi aũt meum consilium, & sententiam, ut uiuat anima tua, & gratia sit circum

tuum

tuum coliū. Erit aūt sanitas carnibus tuis, & cura tuis ossibus, ut uadas cōfisus in pace omnes uias tuas, pes uero tuus nō offendat. Si enim sederis, intrepidus eris, si aūt dormieris, suauiter somnū capies, & non pauesces terrorē superuenientē, neq; impetus impiorū irruentes. Nā dn̄s erit in omnibus uiis tuis, & firmabit tuū pedē ut non quatiaris. Ne abstineas bene facere indigenti, quando quiuerit manus tua auxiliari. Ne dicas, reuertēs redi, & cras dabo, cum possis bene facere. Nō em̄ nosti, quid pariet dies sequens. Ne moliaris in tuū amicum mala, prope habitantem & cōfidentem in te. Ne exerceas inimicitias contra hominē frustra, ne qd in te faciat mali. Ne acquiras malorū uirorū opprobria, neq; æmuleris uias eorū. Execrabilis enim coram dn̄o omnis iniquus. In iustis q dē nō cōsidet maledictio dei, sed in domibus impiorū, tabernacula aūt iustorū benedicunt. Dn̄s superbis resistit, humilibus autē dat gratiā. Gloriam sapientes hæreditabunt, at impii exaltarūt ignominiā.

Cap. IIII Audite filii disciplinam patris, & attēdite ad sciendū cogitatū. Donū em̄ bonum tribuā uobis, meū sermonem ne derelinquatis.

Filius

σῷ βραχύλῳ. ἔσται δὲ ἴασις ταῖς σαρξί σου, καὶ ἐπιμέλεια τοῖς ὀστέοις σου, ἵνα πορεύῃ πεποιθὼς ἐν εἰρήνῃ πάσας τὰς ὁδούς σου, ὁ δὲ πούς σου οὐ μὴ προσκόψῃ. ἐὰν γὰρ κάθῃ, ἄφοβος ἔσῃ, ἐὰν δὲ καθεύδῃς, ἡδέως ὑπνώσεις, καὶ οὐ φοβηθήσῃ πτόησιν ἐπελθοῦσαν, οὐδὲ ὁρμὰς ἀσεβῶν ἐπερχομένας. ὁ γὰρ κύριος ἔσται ἐπὶ πασῶν ὁδῶν σου, καὶ ἐρείσει σὸν πόδα, ἵνα μὴ σαλευθῇς. μὴ ἀπόσχῃς εὖ ποιεῖν ἐνδεῆ, ἡνίκα ἂν ἔχῃ ἡ χείρ σου βοηθεῖν. μὴ εἴπῃς, ἐπανελθὼν ἐπάνηκε, καὶ αὔριον δώσω, δυνατοῦ σου ὄντος εὖ ποιεῖν. οὐ γὰρ οἶδας, τί τέξεται ἡ ἐπιοῦσα. μὴ τέκταινε ἐπὶ σὸν φίλον κακά, παροικοῦντα καὶ πεποιθότα ἐπί σοι. μὴ φιλεχθρήσῃς πρὸς ἄνθρωπον μάτην, ἵνα μή τι εἰς σὲ ἐργάσηται κακόν. μὴ κτήσῃ κακῶν ἀνδρῶν ὀνείδη, μηδὲ ζηλώσῃς τὰς ὁδοὺς αὐτῶν. ἀκάθαρτος γὰρ ἔναντι κυρίου πᾶς παράνομος. ἐν δὲ δικαίοις οὐ συνεδριάζει. κατάρα κυρίου ἐν οἴκοις ἀσεβῶν. ἐπαύλεις δὲ δικαίων εὐλογοῦνται. κύριος ὑπερηφάνοις ἀντιτάσσεται. ταπεινοῖς δὲ δίδωσι χάριν. δόξαν σοφοὶ κληρονομήσουσιν, οἱ δὲ ἀσεβεῖς ὕψωσαν ἀτιμίαν.

Ἀκούσατε παῖδες παιδείαν πατρός, καὶ προσέχετε γνῶναι ἔννοιαν. δῶρον γὰρ ἀγαθὸν δωροῦμαι ὑμῖν. τὸν ἐμὸν λόγον μὴ ἐγκαταλίπητε.

υἱὸς

υἱὸς γὰρ ἐγενόμην κἀγὼ πατρὶ ὑπήκοος, καὶ ἀγαπώμενος ἐν προσώπῳ μητρὸς, οἳ ἐδίδασκόν με, καὶ ἔλεγον, ἐρειδέτω ὁ ἡμέτερος λόγος εἰς σὴν καρδίαν, φύλαξαι ἐντολὰς, μὴ ἐπιλάθῃ. κτῆσαι, μηδὲ παρείδῃς ῥῆσιν ἐμοῦ στόματος, μηδὲ ἐκκλίνῃς ἀπὸ ῥημάτων στόματός μου. μὴ ἐγκαταλίπῃς αὐτὴν, καὶ ἀνθέξεταί σου, ἐράσθητι αὐτῆς, καὶ τηρήσει σε. ἀρχὴ σοφίας κτῆσαι σοφίαν, καὶ ἐν πάσῃ κτήσει σου κτῆσαι σύνεσιν. περιχαράκωσον αὐτὴν, καὶ ὑψώσει σε, τίμησον αὐτὴν, ἵνα σε περιλάβῃ, ἵνα δῷ τῇ σῇ κεφαλῇ στέφανον χαρίτων, στεφάνῳ δὲ τρυφῆς ὑπερασπίσῃ σου. ἄκουε υἱὲ, καὶ δέξαι ἐμοὺς λόγους, καὶ πληθυνθήσεταί σοι ἔτη ζωῆς σου, ἵνα σοι γένωνται πολλαὶ ὁδοὶ βίου σου. ὁδοὺς γὰρ σοφίας διδάσκω σε, ἐμβιβάζω δέ σε τροχιαῖς ὀρθαῖς. ἐὰν γὰρ πορεύῃ, οὐ συγκλεισθήσεταί σου τὰ διαβήματα, ἐὰν δὲ τρέχῃς, οὐ κοπιάσεις. ἐπιλαβοῦ ἐμῆς παιδείας, μὴ ἀφῇς, ἀλλὰ φύλαξον αὐτὴν σεαυτῷ εἰς ζωήν σου. ὁδοὺς ἀσεβῶν μὴ ἐπέλθῃς, μηδὲ ζηλώσῃς ὁδοὺς παρανόμων. ἐν ᾧ ἂν τόπῳ στρατοπεδεύσωσι, μὴ ἐπέλθῃς ἐκεῖ, ἔκκλινον ἀπ' αὐτῶν, καὶ παράλλαξον, οὐ γὰρ μὴ ὑπνώσωσιν, ἐὰν μὴ κακοποιήσωσιν, ἀφῄρηται ὁ ὕπνος ἀπ' αὐτῶν, καὶ οὐ κοιμῶνται. οἵδε γὰρ σιτοῦνται σῖτα ἀσεβείας, οἴνῳ δὲ παρανόμῳ

μει

Filius enim fui & ego patri obediens, et dilectus in facie matris, qui docebant me, & dicebant, firmetur noster sermo in tuũ cor. Custodi praecepta, ne obliuiscaris Posside, neq contemnas eloquium mei oris, neq declines à verbis oris mei. Ne relinquas eam, & inhaerebit tibi, dilige eam, & custodiet te. Principiũ sapientiae, posside sapientiam, & in omni possessione tua acquire intellectum. Circumualla illã, & exaltabit te, honora eam, ut te amplectatur, ut det tuo capiti coronã gratiarũ, corona aũt deliciarũ protegat te. Audi fili, et suscipe mea ꝟba, et multiplicabunt tibi anni uitae tuę, ut tibi fiant multę uię uitę tuę. Vias enĩ sapiẽtiae mõstro tibi, deduco autem te orbitis rectis. Si enim ambulaueris, non arctabuntur tui gressus, si autem concurreris, nõ laborabis. Tene meam disciplinam, ne dimittas, sed custodi eam tibiipsi in uitam tuam. Vias impiorum ne ingrediaris, neq aemuleris uias iniquorum. In quocunq loco castrametati fueris, ne ingrediaris illuc, declina ab eis, & recede. Neq enim dormient, si non male fecerint, tollitur somnus ab eis, & nõ dormiunt. Hi enim comedunt cibos impietatis, uino autẽ iniquo

itat

inebriantur. At uiæ iusto rum tanquàm lux splendent, præcedunt, et lucent, usquedũ assequatur dies. At uiæ impiorũ tenebrosæ non sciunt, quomodo offendunt. Fili meo uerbo attende, meis uero sermonibus adijce tuam aurẽ, ut non relinquãt te fontes tui, custodi eos in tuo corde. Vita enim est omnibus inuenientibus eos, & uniuersæ carni eorum sanitas. Omni custodia serua tuum cor, ex his nanque exitus uitæ. Remoue à te ipso peruersum os, & iniusta labia lõge à te repelle. Oculi tui recta uideãt, & palpebræ tuæ annuant iusta. Recta uestigia fac tuis pedibus, & uias tuas dirige. Ne declines ad dexteram, neque ad sinistrã, auerte autem tuum pedem à uia mala. Vias enim quæ à dextris nouit deus, peruersæ autem sunt quæ à sinistris. Ipse autem rectos faciet cursus tuos, at itinera tua in pace prouehet.

Cap. V Fili meæ sapientiæ attende, meis autem sermonibus adijce tuam aurem, ut custodias cogitationẽ bonam. Sensum autem meorum labiorum præcipio tibi. Ne attendas uanę mulieri, mel enim destillat à labiis mulieris meretricis, quæ ad tempus pingue reddit tuum guttur, postea

μεθύσκονται. αἱ δὲ ὁδοὶ τῶν δικαίων ὁμοίως φωτὶ λάμπουσι, προοδεύονται, καὶ φωτίζουσιν, ἕως ἂν κατορθώσῃ ἡ ἡμέρα. αἱ δὲ ὁδοὶ τῶν ἀσεβῶν σκοτειναί, οὐκ οἴδασι πῶς προσκόπτουσιν. υἱὲ ἐμῇ ῥήσει πρόσεχε, τοῖς δὲ ἐμοῖς λόγοις παράβαλλε σὸν οὖς, ὅπως μὴ ἐκλίπωσί σε αἱ πηγαί σου, φύλασσε αὐτὰς ἐν σῇ καρδίᾳ. ζωὴ γάρ ἐστι πᾶσι τοῖς εὑρίσκουσιν αὐτάς, καὶ πάσῃ τῇ σαρκὶ αὐτῶν ἴασις. πάσῃ φυλακῇ τήρει σὴν καρδίαν, ἐκ γὰρ τούτων ἔξοδοι ζωῆς. περίελε σεαυτοῦ σκολιὸν στόμα, καὶ ἄδικα χείλη μακρὰν ἀπὸ σοῦ ἄπωσαι. οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν, τὰ δὲ βλέφαρά σου νευέτω δίκαια. ὀρθὰς τροχιὰς ποίει σοῖς ποσί, καὶ τὰς ὁδούς σου κατεύθυνε. μὴ ἐκκλίνῃς εἰς τὰ δεξιά, μηδὲ εἰς τὰ ἀριστερά, ἀπόστρεψον δὲ σὸν πόδα ἀπὸ ὁδοῦ κακῆς. ὁδοὺς γὰρ τὰς ἐκ δεξιῶν οἶδεν ὁ θεός, διεστραμμέναι δέ εἰσιν αἱ ἐξ ἀριστερῶν. αὐτὸς δὲ ὀρθὰς ποιήσει τὰς τροχιάς σου, τὰς δὲ πορείας σου ἐν εἰρήνῃ προάξει.

Υἱὲ ἐμῇ σοφίᾳ πρόσεχε, ἐμοῖς δὲ λόγοις παράβαλλε σὸν οὖς, ἵνα φυλάξῃς ἔννοιαν ἀγαθήν. αἴσθησιν δὲ ἐμῶν χειλέων ἐντέλλομαί σοι. μὴ πρόσεχε φαύλῃ γυναικί, μέλι γὰρ ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης, ἣ πρὸς καιρὸν λιπαίνει σὸν φάρυγγα, ὕστερον

ὕστερον μέντοι πικρότερον χολῆς εὑρήσεις, καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου. τῆς γὰρ ἀφροσύνης οἱ πόδες κατάγουσι τοὺς χρωμένους αὐτῇ μετὰ θανάτου ἐς τὸν ᾅδην. τὰ δὲ ἴχνη αὐτῆς οὐκ ἐρείδεται, ὁδοὺς γὰρ ζωῆς οὐκ ἐπέρχεται, σφαλεραὶ δὲ αἱ τροχιαὶ αὐτῆς, καὶ οὐκ εὔγνωστοι. νῦν οὖν υἱὲ ἄκουέ μου, καὶ μὴ ἀκύρους ποιήσῃς ἐμοὺς λόγους. μακρὰν ποίησον ἀπ' αὐτῆς σὴν ὁδόν, μὴ ἐγγίσῃς πρὸς θύραις οἴκων αὐτῆς, ἵνα μὴ πρόῃ ἄλλοις ζωήν σου, καὶ σὸν βίον ἀνελεήμοσιν, ἵνα μὴ πλησθῶσιν ἀλλότριοι σῆς ἰσχύος, οἱ δὲ σοὶ πόνοι ἐς οἴκους ἀλλοτρίους εἰσέλθωσι, καὶ μεταμεληθήσῃ ἐπ' ἐσχάτων σου, ἡνίκα ἂν κατατρίβωσι σάρκες σώματός σου. καὶ ἐρεῖς, πῶς ἐμίσησα παιδείαν, καὶ ἐλέγχους ἐξέκλινεν ἡ καρδία μου; οὐκ ἤκουον φωνὴν παιδεύοντός με καὶ διδάσκοντός με, οὐδὲ παρέβαλλον τὸ οὖς μου. παρ' ὀλίγον ἐγενόμην ἐν παντὶ κακῷ, ἐν μέσῳ ἐκκλησίας καὶ συναγωγῆς. Υἱὲ πῖνε ὕδατα ἀπὸ σῶν ἀγγείων, καὶ ἀπὸ σῶν φρεάτων πηγῆς. ὑπερεκχείσθω σοι τὰ ὕδατα ἐκ τῆς σῆς πηγῆς, εἰς δὲ σὰς πλατείας διαπορευέσθω τὰ σὰ ὕδατα. ἔστω σοι μόνῳ ὑπάρχοντα, καὶ μηδεὶς ἀλλότριος μετασχέτω σοι. ἡ πηγή σου τοῦ ὕδατος ἔστω σοι ἰδία, καὶ συνευφραίνου μετὰ γυναικὸς τῆς ἐκ

postea tamen amarius felle inuenies, & acutū plus quàm ensem ancipitē. Nā insipientiæ pedes deducūt utentes ea cum morte in infernum. At uestigia eius non firmantur, uias enim uitæ non incedit, periculosæ autem semitæ eius, et non bene cognitæ. Nunc igitur fili audi me, & ne irritos facias meos sermones. Longe fac ab ea tuā uiam, ne propinques ad fores domorū eius, ne proijcias aliis uitam tuam, & tuam uitā nulla misericordia preditis, ut non impleantur extranei tuo robore, at tui labores in domos alienas ingrediantur. Et pœniteat te in ultimis tuis, quando conterantur carnes corporis tui. Et dices, Quomodo odio habui disciplinam, & increpationes declinauit cor meū. Non audiui uocē corripientis me & docentis me, neq; adieci aurem meam. Penè fui in omni malo, in medio concionis & congregationis. Fili bibe aquas de tuis uasis, & de tuis puteis fontis. Effundantur tibi aquę ex tuo fonte, in tuas autem plateas pertranseant tuæ aquæ. Sint tibi soli existentia, & nullus alienus participet tecum. Fons tuus aquæ sit tibi proprius, & congaude cum muliere quæ ex

adolescẽtia tua. Cerua amicitiæ & pullus tuarum gratiarũ conuerset tecum, propria uero præeat te, et sit tecũ in omni tempore, in eius em̃ amicitia circunductus unus è multis eris. Ne multus sis ad alienam, neq; cõtinearis ulnis propriis. Corã em̃ dei oculis sunt uiæ uiri, in omnes aũt orbitas eius speculat̃. Iniquitates uirum uenantur, catenis aũt suorum ipsius peccatorum unusquisq; astringitur. Iste moritur cũ ineruditis, ex multitudine aũt suæ uiolentiæ eiectus est, & periit ꝑ insipientiã.

Cap.VI Fili, si spoponderis pro tuo amico, trades tuã manum inimico. Laqueus enim fortis uiro propria labia, & capitur labiis proprij oris. Fac fili, quę ego tibi præcipio, & saluare. Venis enim in manus malorum propter tuũ amicũ. Sis nõ exsolutus, exacue autem & amicum tuum, pro quo spopondisti. Ne dederis somnum tuis oculis, neq; dormites tuis palpebris, ut salueris tanquã damula ex laqueis, & tanquam auis ex reti. Vade ad formicã ô piger, & æmulare uidens uias eius, & sis illa sapientior. Illa enim agricultura non existente ipsi, neq; cogentem habens, neque sub domino existens, parat messe uictum,

νεότητός σου. ἔλαφος φιλίας, καὶ πῶλος σῶν χαρίτων ὁμιλείτω σοί, ἡ δὲ ἰδία ἡγείσθω σου, καὶ συνέστω σοι ἐν παντὶ καιρῷ. ἐν γὰρ τῇ ταύτης φιλίᾳ συμπεριφερόμενος πολλοστὸς ἔσῃ. μὴ πολὺς ἴσθι πρὸς ἀλλοτρίαν, μηδὲ συνέχου ἀγκάλαις ταῖς ἰδίαις. ἐνώπιον γάρ εἰσι τῶν τοῦ θεοῦ ὀφθαλμῶν ὁδοὶ ἀνδρός, εἰς δὲ πάσας τὰς ῥοχιὰς αὐτοῦ σκοπεύει. παρανομίαι ἄνδρα ἀγρεύουσι, σειραῖς δὲ τῶν ἑαυτοῦ ἁμαρτιῶν ἕκαστος σφίγγεται. οὗτος τελευτᾷ μετὰ ἀπαιδεύτων, ἐκ δὲ πλήθους τῆς ἑαυτοῦ βιότητος ἐξεῤῥίφη, καὶ ἀπώλετο δι᾽ ἀφροσύνην.

Υἱέ, ἐὰν ἐγγυήσῃ σὸν φίλον, παραδώσεις σὴν χεῖρα ἐχθρῷ. παγὶς γὰρ ἰσχυρὰ ἀνδρὶ τὰ ἴδια χείλη, καὶ ἁλίσκεται χείλεσιν ἰδίου στόματος. ποίει υἱέ, ἃ ἐγώ σοι ἐντέλλομαι, καὶ σῴζου. ἥκεις γὰρ εἰς χεῖρας κακῶν διὰ σὸν φίλον. ἴσθι μὴ ἐκλυόμενος, παρόξυνε δὲ καὶ τὸν φίλον σου, ὃν ἐγγυήσω. μὴ δῷς ὕπνον σοῖς ὄμμασι, μηδὲ ἐπινυστάξῃς σοῖς βλεφάροις, ἵνα σώζῃ ὥσπερ δορκὰς ἐκ βρόχων, καὶ ὥσπερ ὄρνεον ἐκ παγίδος. ἴσθι πρὸς τὸν μύρμηκα ὦ ὀκνηρέ, καὶ ζήλωσον ἰδὼν τὰς ὁδοὺς αὐτοῦ, καὶ γενοῦ ἐκείνου σοφώτερος. ἐκείνου γὰρ γεωργίου μὴ ὑπάρχοντος, μηδὲ τὸν ἀναγκάζοντα ἔχων, μηδὲ ὑπὸ δεσπότην ὤν, ἑτοιμάζεται θέρους τὴν τροφήν,

φὴν, πολλήν τε ἐν τῷ ἀμήτῳ ποιεῖται τὴν παράθεσιν. ἢ πορεύθητι πρὸς τὴν μέλισσαν, καὶ μάθε, ὡς ἐργάτις ἐστὶ, τήν τε ἐργασίαν ὡς σεμνὴν ποιεῖται. ἧς τοὺς πόνους βασιλεῖς τε καὶ ἰδιῶται πρὸς ὑγίειαν προσφέρονται, ποθεινὴ δέ ἐστι πᾶσι, καὶ ἐπίδοξος. καίπερ οὖσα τῇ ῥώμῃ ἀσθενὴς, τὴν σοφίαν τιμήσασα, προήχθη. ἕως τίνος ὀκνηρὲ κατάκεισαι; πότε δὲ ἐξ ὕπνου ἐγερθήσῃ; ὀλίγον μὲν ὑπνοῖς, ὀλίγον δὲ κάθησαι, μικρὸν δὲ νυστάζεις, ὀλίγον δὲ ἐναγκαλίζῃ χερσὶ στήθη, εἶτ' ἐμπαραγίνεταί σοι ὥσπερ κακὸς ὁδοιπόρος ἡ πενία, καὶ ἡ δὲ ἔνδεια ὥσπερ ἀγαθὸς δρομεύς. ἐὰν δὲ ἄοκνος ᾖς, ἥξει ὥσπερ πηγὴ ὁ ἀμητός σου, ἡ δὲ ἔνδεια, ὥσπερ κακὸς δρομεὺς ἀπαυτομολήσει. Ἀνὴρ ἄφρων καὶ παράνομος, πορεύεται ὁδοὺς οὐκ ἀγαθάς. ὁ δ' αὐτὸς ἐννεύει ὀφθαλμῷ, σημαίνει δὲ ποδὶ, διδάσκει δὲ νεύμασι δακτύλων. διεστραμμένη δὲ καρδία τεκταίνεται κακὰ, ἐν παντὶ καιρῷ ὁ τοιοῦτος ταραχὰς συνίστησι πόλει. διὰ τοῦτο ἐξαπίνης ἔρχεται ἡ ἀπώλεια αὐτοῦ, διακοπὴ καὶ συντριβὴ ἀνίατος. ὅτι χαίρει πᾶσιν, οἷς μισεῖ ὁ κύριος, συντρίβεται δὲ δι' ἀκαθαρσίαν ψυχῆς. ὀφθαλμὸς ὑβριστοῦ, γλῶσσα ἄδικος, χεῖρες ἐκχέουσαι αἷμα δίκαιον, καὶ καρδία τεκταινομένη λογισμοὺς κακοὺς, καὶ

uictū, multamq; in messē facit congregationē. Vel proficiscere ad apem, et disce, quod operatrix est, opificiumq;, ut uenustū efficit. Cuius labores & reges & priuati ad sanitatē afferunt, desiderabilis aūt est cunctis et gloriosa. quippe cum sit robore inualida sapientiam honorans promouet. Vsquequo piger iaces? Quando autem è somno excitaberis? Paulum quidem dormis, paulum autem sedes, parū aūt dormitas, paulum aūt constringis manibus pectora. postea adest tibi, sicut malus uiator, paupertas, et egestas tanquam bonus cursor. Si uerò impiger fueris, ueniet ut fons messis tua, inopia aūt instar mali cursoris aufugiet. Vir insipiens & iniquus ambulauit uias non bonas. At ipse annuit oculo, significat aūt pede, docet autem nutibus digitorū. Peruersum autem cor machinatur mala, in omni tempore talis turbationes constituit ciuitati. Propter hoc extemplo uenit perditio eius, incisio & contritio immedicabilis. Quoniam gaudet omnibus, quę odio habet dominus, conteritur autē propter impuritatē animę. Oculus cōtumeliosi, lingua iniusta, manus effundētes sanguinē iustū, & cor machinās cogitatiões malas

& pedes festinantes male facere, euertent. Accendit mēdacia testis iniustus, et immittit lites in mediū fratrum. Fili serua leges patris tui, & ne repellas statuta matris tuę. Alliga aūt ea in tua anima iugiter, & circunda circum tuū collū. Quando deambulaueris adhibe eā, & tecū sit, quando aūt dormieris, custodiat te, ut excitato colloquatur tibi. Quia lucerna mandatū legis, & lux & uia uitæ, et increpatio & disciplina, ad custodiendū te à muliere nupta, & à calumnia linguæ extraneæ. Fili, ne te uicerit pulchritudinis cōcupiscētia, neq; capiaris tuis oculis, neque rapiaris ab eius palpebris. Precium enim scorti quantū & unius panis, mulier aūt uirorū preciosas animas capit. Alligabit aliquis ignem in sinu, uestimenta uerò non cōburet? Nunquid deambulabit aliquis super carbones ignis, pedes uerò non comburet? Sic qui ingreditur ad mulierem nuptam, non innocens erit, neque omnis tangēs eam. Non mirum, si capiatur aliquis qui furatur, furatur enim, ut impleat animam esurientem, si autem capiatur, soluet septupla, & omnes suas facultates dās liberabit se. At mœchus propter inopiam mentiū per-

καὶ πόδες ἐπισπεύδοντες κακοποιεῖν ἐξολοθρευθήσονται. ἐκκαίει ψευδῆ μάρτυς ἄδικος, καὶ ἐπιπέμπει κρίσεις ἀνὰ μέσον ἀδελφῶν. Υἱὲ φύλασσε νόμους πατρός σου, καὶ μὴ ἀπώσῃ θεσμοὺς μητρός σου. ἄφαψαι δὲ αὐτοὺς ἐπὶ σῇ ψυχῇ διαπαντός, καὶ ἐγκλοίωσαι περὶ σῷ τραχήλῳ. ἡνίκα ἂν περιπατῇς, ἐπάγου αὐτήν, καὶ μετὰ σοῦ ἔστω, ὡς δ' ἂν καθεύδῃς, φυλασσέτω σε, ἵνα ἐγειρομένῳ συλλαλῇ σοι. ὅτι λύχνος, ἐντολὴ νόμου, καὶ φῶς, καὶ ὁδὸς ζωῆς, καὶ ἔλεγχος καὶ παιδεία, τοῦ διαφυλάσσειν σε ἀπὸ γυναικὸς ὑπάνδρου, καὶ ἀπὸ διαβολῆς γλώσσης ἀλλοτρίας. Υἱὲ, μή σε νικήσῃ κάλλους ἐπιθυμία, μηδὲ ἀγρευθῇς σοῖς ὀφθαλμοῖς, μηδὲ συναρπασθῇς ἀπὸ τῶν αὐτῆς βλεφάρων. τιμὴ γὰρ πόρνης, ὅση καὶ ἑνὸς ἄρτου, γυνὴ δὲ ἀνδρῶν τιμίας ψυχὰς ἀγρεύει. ἀπολύσει τίς πῦρ ἐν κόλπῳ, τὰ δὲ ἱμάτια οὐ κατακαύσει; ἢ περιπατήσει τὶς ἐπ' ἀνθράκων πυρὸς, τοὺς δὲ πόδας οὐ κατακαύσει; οὕτως ὁ εἰσελθὼν πρὸς γυναῖκα ὕπανδρον οὐκ ἀθωωθήσεται, οὐδὲ πᾶς ὁ ἁπτόμενος αὐτῆς. οὐ θαυμαστὸν, ἐὰν ἁλῷ τὶς κλέπτων, κλέπτει γὰρ, ἵνα ἐμπλήσῃ ψυχὴν πεινῶσαν, ἐὰν δὲ ἁλῷ, ἀποτίσει ἑπταπλάσια, καὶ πάντα τὰ ὑπάρχοντα αὐτοῦ δοὺς, ῥύσεται ἑαυτόν. ὁ δὲ μοιχὸς, δι' ἔνδειαν φρενῶν ἀπώ-

ἀπώλειαν τῇ ψυχῇ αὐτοῦ περιποιεῖται, ὀδύνας τε καὶ ἀτιμίας ὑποφέρει, τὸ δὲ ὄνειδος αὐτοῦ οὐκ ἐξαλειφθήσεται εἰς τὸν αἰῶνα. μεστὸς γὰρ ζήλου θυμὸς ἀνδρὸς αὐτῆς, οὐ φείσεται ἐν ἡμέρᾳ κρίσεως. οὐκ ἀνταλλάξεται οὐδενὸς λύτρου τὴν ἔχθραν, οὐδὲ μὴ διαλυθῇ πολλῶν δώρων.

Υἱέ, φύλασσε ἐμοὺς λόγους, τὰς δὲ ἐμὰς ἐντολὰς κρύψον παρὰ σεαυτῷ. υἱέ, τίμα τὸν κύριον, καὶ ἰσχύσεις, πλὴν δὲ αὐτοῦ μὴ φοβοῦ ἄλλον. φύλαξον ἐμὰς ἐντολάς, καὶ βιώσεις, τοὺς δὲ ἐμοὺς λόγους, ὥσπερ κόρας ὀμμάτων. περίθου αὐτοὺς σοῖς δακτύλοις, ἐπίγραψον δὲ ἐπὶ τὸ πλάτος τῆς καρδίας σου. εἶπον τὴν σοφίαν τὴν ἀδελφὴν εἶναι, τὴν δὲ φρόνησιν γνώριμον περιποίησαι αὐτῷ, ἵνα τηρήσῃ ἀπὸ γυναικὸς ἀλλοτρίας καὶ πονηρᾶς, ἐάν σε λόγοις τοῖς πρὸς χάριν ἐμβάληται. ἀπὸ γὰρ θυρίδος ἐκ τοῦ οἴκου αὐτῆς εἰς τὰς πλατείας παρακύπτουσα, ὃν ἂν ἴδῃ τῶν ἀφρόνων τέκνων, νεανίαν ἐνδεῆ φρενῶν, παραπορευόμενον ἐν γωνίᾳ, ἐν διόδοις οἴκων αὐτῆς, καὶ λαλοῦντα ἐν σκότει ἑσπερινῷ, ἡνίκα ἂν ἡσυχία νυκτερινὴ ᾖ καὶ γνοφώδης, ἡ δὲ γυνὴ συναντᾷ αὐτῷ εἶδος ἔχουσα πορνικόν, ἣ ποιεῖ νέων ἐξίπτασθαι καρδίας. ἀνεπτερωμένη δέ ἐστι καὶ ἄσωτος, ἐν οἴκῳ δὲ οὐχ ἡσυχάζουσιν οἱ πόδες αὐτῆς.

perditionem animæ ſuæ acquirit, doloresq; & ignominias ſuffert, et opprobrium illius non delebit in ſeculum. Plenus enim zelo animus uiri eius non parcet in die iudicij. Non commutabit ulla redemptione inimicitiam, neq; diſſoluetur multis donis.

Cap.VII

Fili cuſtodi meos ſermones, at mea præcepta reconde apud te ipſum. Fili honora dominum, & ualebis, præter autem eum ne timeas alium. Serua mea mādata, et uiues, meos uero ſermones, tanquàm pupillas oculorum. Circumpone eos tuis digitis, inſcribe autem ſuper latitudinem cordis tui. Dic ſapientiam tuā ſororem eſſe, at prudentiā notam acquire tibijpſi, ut te cuſtodiat à muliere extranea & mala, ſi te ſermonibus gratioſis inuaſerit. Ab ianua enī è domo eius in plateas oblique intuens, quem uiderit ſtultorū filiorum iuuenem indigentem mente, tranſeuntem in angulo, in biuijs domorū eius, & loquentem in tenebris ueſpertinis, quando utiq; ſilentium nocturnum fuerit et caliginoſum. Porro mulier occurrit illi ſpeciē habens meretriciam, quæ facit iuuenum uolare corda. Volatilis autem eſt & luxurioſa, in domo autem non quieſcunt pedes eius.

eius. Tempore enim quodã extra circumuertitur, quandoq; autẽ in plateis circa omnem angulum insidiatur. Postea apprehendẽs osculata est illum, procaci autem uultu alloquitur eum. Victima pacifica mihi est, hodie reddo uota mea. Causa huius egressa sum in occursum tuum, desiderans tuam faciem, reperi te. Funibus tetendi lectulum meum, tapetibus straui Ægyptiacis. Asperst cubile meum croco, at domum meam cinnamomo. Veni, et fruamur amicitia usq; ad auroram, age, et inuoluamur amore. Non enim adest uir meus in domo, abijt uiam longam, sacculum argenti accipiens in manibus suis, post dies multos reuertetur in domum suam. Decepit autem eum multa confabulatione, laqueisq; à labiis profectis fregit illum. Ipse autem sequutus est eam leuiter illectus. Tanquam autem bos ad uictimam ducitur, & tanquam canis ad uincula, & tanquam ceruus sagittatione percussus in iecur, festinat autem uelut auis ad laqueum, non sciens quod pro anima currit. Nunc igitur fili audi me, & attende uerbis oris mei. Ne declinet in uias illi⁹ cor tuũ, & non decipiaris in diuerticulis eius. Multos enim uulne-

αὐτῆς. χρόνον γάρ τινα ἔξω ῥέμβεται, χρόνον δὲ ἐν πλατείαις περὶ πᾶσαν γωνίαν ἐνεδρεύει. εἶτα ἐπιλαβομένη ἐφίλησεν αὐτόν, ἀναιδεῖ δὲ προσώπῳ προσεῖπεν αὐτῷ. θυσία εἰρηνική μοι ἐστὶ, σήμερον ἀποδίδωμι τὰς εὐχάς μου. ἕνεκα τούτου ἐξῆλθον εἰς συνάντησίν σου, ποθοῦσα τὸ σὸν πρόσωπον εὕρηκά σε. κειρίαις τέτακα τὴν κλίνην μου, ἀμφιτάποις δ' ἔστρωσα τοῖς ἀπ' αἰγύπτου. διέρραγκα τὴν κοίτην μου κρόκῳ, τὸν δὲ οἶκόν μου κινναμώμῳ. ἐλθὲ, καὶ ἀπολαύσωμεν φιλίας ἕως ὄρθρου, δεῦρο, καὶ ἐγκυλισθῶμεν ἔρωτι. οὐ γὰρ πάρεστιν ὁ ἀνήρ μου ἐν οἴκῳ, πεπόρευται ὁδὸν μακρὰν, ἔνδεσμον ἀργυρίου λαβὼν ἐν χερσὶν αὐτοῦ, δι' ἡμερῶν πολλῶν ἐπανήξει εἰς τὸν οἶκον αὐτοῦ. ἀπεπλάνησε δὲ αὐτὸν πολλῇ ὁμιλίᾳ, βρόχοις τε τοῖς ἀπὸ χειλέων ἐξώκειλεν αὐτόν. ὁ δὲ ἐπηκολούθησεν αὐτῇ κεπφωθείς. ὥσπερ δὲ βοῦς ἐπὶ σφαγὴν ἄγεται, καὶ ὥσπερ κύων ἐπὶ δεσμοὺς, ἢ ὡς ἔλαφος τοξεύματι πεπληγὼς εἰς τὸ ἧπαρ, σπεύδει δὲ, ὥσπερ ὄρνεον εἰς παγίδα, οὐκ εἰδὼς ὅτι περὶ ψυχῆς τρέχει. νῦν οὖν υἱὲ ἄκουέ μου, καὶ πρόσεχε ῥήμασι στόματός μου. μὴ ἐκκλινάτω εἰς τὰς ὁδοὺς αὐτῆς ἡ καρδία σου, καὶ μὴ πλανηθῇς ἐν ἀτραποῖς αὐτῆς. πολλοὺς γὰρ τρώσασα

τρώσασα, καταβέβληκε, καὶ ἀναρίθμητοί εἰσιν, οὓς πεφόνευκεν. ὁδοὶ ᾅδου ὁ οἶκος αὐτῆς, κατάγουσαι εἰς τὰ ταμιεῖα τοῦ θανάτου.

Διὸ σὺ τὴν σοφίαν κήρυξον, ἵνα φρόνησίς σοι ὑπακούσῃ. ἐπὶ γὰρ τῶν ὑψηλῶν ἄκρων ἐστὶν, ἀνὰ μέσον δὲ τῶν τρίβων ἕστηκε. παρὰ γὰρ πύλαις δυναστῶν παρεδρεύει, ἐν δὲ εἰσόδοις ὑμνεῖται. ὑμᾶς ὦ ἄνθρωποι παρακαλῶ, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. νοήσατε ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. εἰσακούσατέ μου, σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίσω ἀπὸ χειλέων ὀρθά. ὅτι ἀλήθειαν μελετήσει ὁ φάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιὸν, οὐδὲ στραγγαλῶδες, πάντα ἐνώπιον τοῖς συνιοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. λάβετε παιδείαν, καὶ μὴ ἀργύριον, καὶ γνῶσιν ὑπὲρ χρυσίον δεδοκιμασμένον. ἀνθαιρεῖσθε δὲ αἴσθησιν χρυσίου καθαροῦ. κρεῖσσον γὰρ σοφία λίθων πολυτελῶν, πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. ἐγὼ ἡ σοφία κατεσκήνωσα, βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. φόβος κυρίου μισεῖ ἀδικίαν, ὕβριν τε καὶ ὑπερηφανίαν, καὶ ὁδοὺς πονηρῶν, μεμίσηκα δὲ ἐγὼ διεστραμμένας ὁδοὺς κακῶν.

ἐμὴ

uulnerans deiecit, & innumerabiles sunt, quos interfecit. Viæ inferni domus eius, deducentes in promptuaria mortis.

Cap.VIII

Propterea sapientiã prędicabis, ut prouidentia tibi obediat. In excelsis enim uerticibus est, in medio autẽ semitarum stetit. Iuxta enim portas potentũ asidet, in introitibus autẽ prædicat. Vos ô hoẽs aduoco, & præmitto meam uocẽ filiis hominũ. Intelligite innocentes astutiã, at insipientes apponite cor. Exaudite me, grauia enim dicã, et referam à labiis recta. Quia ueritatẽ meditabitur guttur meũ, abominabilia autẽ coram me labia mendacia. Cum iustitia omnia uerba oris mei, nihil in eis peruersum neq; tortuosum, omnia corã intelligentibus, & recta inuenientib. cognitionẽ. Accipite disciplinã, & nõ argentũ, & cognitionem super aurum probatũ. Eligite autẽ potius sensus quã aurum purũ. Melior enim sapientia lapidibus preciosis, omne autẽ preciosum non dignum ea est. Ego sapientia habitaui, consilium & cognitionẽ & cogitationem ego aduocaui. Timor domini odit iniustitiam, contumeliamq; & superbiam & uias prauorum, odi autem ego peruersas uias malorum.

Meum

Meum consiliũ & securitas, mea prudẽtia, mea aũt fortitudo. Per me reges regnant, & potentes scribũt iustitiã. Per me magnates magnificant. Et reges per me dominant terræ. Ego me diligentes diligo, me uero quærentes inuenient gratiam. Diuitiæ & gloria mihi est, & possessio multorũ & iustitia. Melius de me fructus colligere super aurum & lapidẽ preciosum. Mei ꝟo fruct⁹ meliores argento electo. In uijs iustitiæ ambulo, et in medio semitarũ iustitię uersor, ut diuidam me diligentibus substantiam, & thesauros eorum impleam bonis. Si annũciauero uobis quę quotidie fiunt, meminero recensere quæ à seculo. Dñs condidit me initium uiarum suarũ in opa sua. Ante seculũ fundauit me, in initio anteq̃ terram faceret, & antequam abyssos faceret, antequã scaturirent fontes aquarũ, antequam montes collocati essent. Ante autẽ omnes colles gignit me. Dñs fecit regiones & inhabitabilia, & summa quæ habitantur eius quæ sub coelis. Quando præparabat coelum, simul aderam ipsi, & qñ secernebat suã sedẽ super uentos, qñ fortia faciebat quę supra nubes, et qñ securos ponebat fõtes eius quæ sub coelo. Dum poneret

ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. δι' ἐμοῦ βασιλεῖς βασιλεύουσι, καὶ οἱ δυνάσται γράφουσι δικαιοσύνην. δι' ἐμοῦ μεγιστᾶνες μεγαλύνονται, καὶ τύραννοι δι' ἐμοῦ κρατοῦσι γῆς. ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. πλοῦτος καὶ δόξα ἐμοὶ ὑπάρχει καὶ κτῆσις πολλῶν, καὶ δικαιοσύνη. βέλτιον ἐμὲ καρπίζεσθαι ὑπὲρ χρυσίον καὶ λίθον τίμιον. τὰ δὲ ἐμὰ γεννήματα κρεῖσσον ἀργυρίου ἐκλεκτοῦ. ἐν ὁδοῖς δικαιοσύνης περιπατῶ, καὶ ἀνὰ μέσον τρίβων ἀληθείας ἀναστρέφομαι, ἵνα μερίσω τοῖς ἐμὲ ἀγαπῶσιν ὕπαρξιν, καὶ τοὺς θησαυροὺς αὐτῶν ἐμπλήσω ἀγαθῶν. ἐὰν ἀναγγείλω ὑμῖν τὰ καθ' ἡμέραν γινόμενα, μνημονεύσω τὰ ἐξ αἰῶνος ἀριθμῆσαι. Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ. πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με, ἐν ἀρχῇ πρὸ τοῦ τὴν γῆν ποιῆσαι, καὶ πρὸ τοῦ τὰς ἀβύσσους ποιῆσαι, πρὸ τοῦ προελθεῖν τὰς πηγὰς τῶν ὑδάτων, πρὸ τοῦ ὄρη ἑδρασθῆναι. πρὸ δὲ πάντων τῶν βουνῶν γεννᾷ με. κύριος ἐποίησε χώρας καὶ ἀοικήτους, καὶ ἄκρα οἰκούμενα τῆς ὑπ' οὐρανόν. ἡνίκα ἡτοίμαζε τὸν οὐρανόν, συμπαρήμην αὐτῷ, ὅτε ἀφώριζε τὸν ἑαυτοῦ θρόνον ἐπ' ἀνέμων, ἡνίκα ἰσχυρὰ ἐποίει τὰ ἄνω νέφη, καὶ ὡς ἀσφαλεῖς ἐτίθει πηγὰς τῆς ὑπ' οὐρανόν. ἐν τῷ τιθέναι

τιθέναι τῇ θαλάσσῃ ἀκριβασμὸν αὐτοῦ, καὶ ὕδατα οὐ παρελεύσεται στόματος αὐτοῦ, καὶ ἰσχυρὰ ἐποίει τὰ θεμέλια τῆς γῆς, ἤμην παρ' αὐτῷ, ἁρμόζουσα ἐγὼ ἤμην, ᾗ προσέχαιρεν. καθ' ἡμέραν δὲ εὐφραινόμην ἐν προσώπῳ αὐτοῦ, ἐν παντὶ καιρῷ, ὅτε ἐνευφραίνετο τὴν οἰκουμένην συντελέσας, καὶ ἐνευφραίνετο ἐν υἱοῖς ἀνθρώπων. Νῦν οὖν υἱὲ ἄκουέ μου, καὶ μακάριοι, οἳ ὁδούς μου φυλάξουσιν. ἀκούσατε σοφίαν, καὶ σοφίσθητε, καὶ μὴ ἀποφραγῆτε. μακάριος ἀνήρ, ὃς εἰσακούσεταί μου, καὶ ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς τηρήσει, ἀγρυπνῶν ἐπ' ἐμαῖς θύραις διὰ παντός, τηρῶν σταθμοὺς ἐμῶν εἰσόδων. αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ κυρίου. οἱ δὲ ἁμαρτάνοντες εἰς ἐμὲ, ἀσεβοῦσιν εἰς τὰς ἑαυτῶν ψυχάς, καὶ οἱ μισοῦντές με ἀγαπῶσι θάνατον.

Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον, καὶ ὑπήρεισε στύλους ἑπτά, ἔσφαξε τὰ ἑαυτῆς θύματα, καὶ ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον, καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς τράπεζαν. ἀπέστειλε τοὺς ἑαυτῆς δούλους, συγκαλοῦσα μετὰ ὑψηλοῦ κηρύγματος ἐπὶ κρατῆρα, λέγουσα, ὅς ἐστιν ὑμῶν ἄφρων ἐκκλινάτω πρός με. καὶ τοῖς ἐνδεέσι φρενῶν εἶπον, ἔλθετε, φάγετε τὸν ἐμὸν ἄρτον, καὶ πίετε οἶνον, ὃν κεκέρακα ὑμῖν. ἀπολείπετε ἀφροσύνην,

καὶ

poneret mari terminũ eius, & aquę non transibũt os eius, & fortia faciebat fundamenta terræ, eram apud eum, componens ego eram, cui adgaudebat. Per singulos dies autẽ delectabar in conspectu eius in omni tempore, quãdo lætabatur, orbe perfecto, et delectabatur in filiis hominum. Nunc ergo fili audi me, et beati q̃ uias meas custodiunt. Audite sapientiam, & sapientes estote, & ne obturamini. Beatus uir qui exaudiet me, et homo qui meas uias seruabit, uigilans ad meas fores quotidie, seruans terminos meorum ingressuum. Nam exitus mei, exitus uitæ, & paratur uoluntas à domino. At in me peccantes impii sunt in suas animas, & qui oderunt me diligunt mortem.

Cap. IX.

Sapientia ædificauit sibi domum, & suffulcit columnas septem, mactauit suas uictimas, miscuit in craterem suum uinum, & parauit suam mensam. Misit suos seruos, conuocans cum excelsa prædicatione ad craterẽ, dicens, Qui est uestrum insipiẽs, declinet à me. Et indigentibus mẽte dixit, Venite, comedite meum panem, & bibite uinũ, quod miscui uobis, Relinqte insipientiã,

&

& uiuetis, in seculū regnabitis. Et quærite prudentiam, ut uiuatis. Et corrigite in cognitione intellectum. Erudiens malos, recipiet sibi ignominiam, redarguens aūt impium, uituperabit seipsum. Redargutiōes impio, uibices ipsi. Ne arguas malos, ne oderint te. Argue sapientē, & diliget te. Da sapienti occasionem, et sapientior erit. Notū fac iusto, et addet suscipere. Principium sapientię, timor dñi. Nam cognoscere legem mentis est bonæ, hoc enim modo multum uiues tempus, & addenť tibi anni uitę. Fili si sapiens fueris, tibi ipsi sapiens eris & proximus tuis. Si autē malus euaseris, solus hauries mala. Filius eruditus sapiens erit, ministro autem stulto utetur. Qui nitiť mendacijs, hic pascit uentos, idem uerò insectatur aues uolantes. Namq; reliquit uias suas ipsius uineæ, in orbitis uero agriculturæ suæ aberrauit, per siticulosum uero desertum iter facit, & terrā constitutā in siticulosis, cōgregat aūt manibus sterilitatem. Mulier stulta et audax, indigens frusto panis fit. Quę nō scit uerecūdiam, sedit in foribus suæ domus super sellam manifeste in plateis, aduocans

transeun-

καὶ ζήσεσθε, εἰς τὸν αἰῶνα βασιλεύσετε. καὶ ζητήσατε φρόνησιν, ἵνα βιώσητε. καὶ κατορθώσατε σύνεσιν ἐν γνώσει. ὁ παιδεύων κακοὺς λήψεται ἑαυτῷ ἀτιμίαν, ἐλέγχων δὲ τὸν ἀσεβῆ, μωμήσεται ἑαυτόν. οἱ δὲ ἔλεγχοι τῷ ἀσεβεῖ, μώλωπες αὐτῷ. μὴ ἔλεγχε κακοὺς, ἵνα μὴ μισήσωσί σε. ἔλεγχε σοφὸν, καὶ ἀγαπήσει σε. δίδου σοφῷ ἀφορμὴν, καὶ σοφώτερος ἔσται. γνώριζε δικαίῳ, καὶ προσθήσει τοῦ δέχεσθαι. ἀρχὴ σοφίας, φόβος κυρίου, καὶ βουλὴ ἁγίων σύνεσις. τὸ δὲ γνῶναι νόμον, διανοίας ἐστὶν ἀγαθῆς. τούτῳ γὰρ τῷ τρόπῳ πολὺν ζήσεις χρόνον, καὶ προστεθήσεταί σοι ἔτη ζωῆς σου. Υἱὲ ἐὰν σοφὸς γένῃ, αὐτῷ σοφὸς ἔσῃ καὶ τοῖς πλησίον σου. ἐὰν δὲ κακὸς ἀποβῇς, μόνος ἀντλήσεις τὰ κακά. υἱὸς πεπαιδευμένος σοφὸς ἔσται, τῷ δὲ ἄφρονι διακόνῳ χρήσεται. ὃς ἐρείδεται ἐπὶ ψεύδεσιν, οὗτος ποιμανεῖ ἀνέμους, ὁ δ' αὐτὸς διώξεται ὄρνεα πετόμενα. ἀπέλιπε γὰρ ὁδοὺς τοῦ ἑαυτοῦ ἀμπελῶνος, τοὺς δὲ ἄξονας τοῦ ἰδίου γεωργίου πεπλάνηται, διαπορεύεται δὲ δι' ἀνύδρου ἐρήμου, καὶ γῆν διατεταγμένην ἐν διψώδεσι, συνάγει δὲ χερσὶν ἀκαρπίαν. γυνὴ ἄφρων καὶ θρασεῖα, ἐνδεὴς ψωμοῦ γίνεται. ἣ οὐκ ἐπίσταται αἰσχύνην, ἐκάθισεν ἐπὶ θύραις τοῦ ἑαυτῆς οἴκου, ἐπὶ δίφρου ἐμφανῶς ἐν πλατείαις, προσκαλουμένη

τοὺς

τοὺς παριόντας ὁδὸν, τοὺς κατευθύνοντας ἐν ταῖς ὁδοῖς αὐτῶν. ὅς ἐστιν ὑμῶν ἀφρονέστατος, ἐκκλινάτω πρός με. καὶ τοῖς ἐνδέεσι φρενῶν παρακελεύομαι λέγουσα, ἄρτων κρυφίων ἡδέως ἅψασθε, καὶ ὕδατος κλοπῆς γλυκεροῦ πίετε. ὁ δὲ οὐκ οἶδεν, ὅτι γηγενεῖς παρ' αὐτῇ ὄλλυνται, καὶ ἐπὶ πέταυρον ᾅδου συναντᾷ. ἀλλὰ ἀποπήδησον, μὴ χρονίσῃς ἐν τῷ τόπῳ αὐτῆς, μηδὲ ἐπιστήσῃς τὸ σὸν ὄμμα πρὸς αὐτήν. οὕτως γὰρ διαβήσῃ ὕδωρ ἀλλότριον, καὶ ὑπερβήσῃ ποταμὸν ἀλλότριον. ἀπὸ δὲ ὕδατος ἀλλοτρίου ἀπόσχου, καὶ ἀπὸ πηγῆς ἀλλοτρίας μὴ πίῃς, ἵνα πολλὴν ζήσῃς χρόνον, προστεθήσεται δέ σοι ἔτη ζωῆς.

Υἱὸς σοφὸς εὐφραίνει πατέρα, υἱὸς δὲ ἄφρων λύπη μητρί. οὐκ ὠφελήσουσι θησαυροὶ ἀνόμους, δικαιοσύνη δὲ ῥύσεται ἐκ θανάτου. οὐ λιμοκτονήσει κύριος ψυχὴν δικαίων, ζωὴν δὲ ἀσεβῶν ἀνατρέψει. πενία ἄνδρα ταπεινοῖ, χεῖρες δὲ ἀνδρείων πλουτίζουσιν. υἱὸς πεπαιδευμένος σοφὸς ἔσται, τῷ δὲ ἄφρονι διακόνῳ χρήσεται. διεσώθη ἀπὸ καύματος υἱὸς νοήμων, ἀνεμόφθορος δὲ γίνεται ἐν ἀμήτῳ υἱὸς παράνομος. εὐλογία κυρίου ἐπὶ κεφαλὴν δικαίου, στόμα δὲ ἀσεβῶν καλύψει πένθος ἄωρον. μνήμη δικαίων μετ' ἐγκωμίων, ὄνομα δὲ ἀσεβῶν σβέννυται. σοφὸς καρδίᾳ δέξεται ἐντολὰς, ὁ δὲ ἄστεγος χείλεσι σκο-

transeuntes uiam, & recta gradiẽtes suis itineribus. Qui est uestrũ insipiẽtissimus, declinet ad me. Et inopes mentiũ adhortor, dicẽs, Panes abscõditos suauiter tangite, & aquã furti dulcem bibite. Hic autẽ nouit, q̃d terrigenæ apud eam pereũt, et in laqueum inferni occurrit. Sed resili, ne tempus teras in loco illius, neq; infigas oculum tuũ ad eam, sic enĩ pertrãsibis, ut aquã alienã, & traiicies fluuiũ alienum. Ab aqua uero aliena abstine, et à fonte alieno ne bibas, ut multũ uiuas tempus, addentur aũt tibi anni uitę.

Filius sapiens gaudio afficit patrẽ, filius uero insipiens mœstitia matri. Nõ iuuabũt thesauri iniquos, iustitia uero liberabit à morte. Non fame necabit dñs animam iustorũ, uitã autem impiorũ conuertet. Paupertas uirũ humilem reddit, manus aũt uirilium ditant. Filius eruditus sapiens erit, at insipienti ministro utet. Saluatus est à calore filius cordatus, corruptus aũt à uẽtis fit in messe filius iniquus. Benedictio domini super caput iusti, os autem impiorũ operit planctum intempestiuum. Memoria iustorum cũ laudibus, nomẽ uero impiorum extinguitur. Sapiens corde accipiet præcepta, at sine tecto labijs obli- Cap.XI

obliquās supplantabitur. Qui ambulat simpliciter, ambulat confisus, at qui peruertit uias suas, cognoscet. Qui annuit oculo cū dolo, cōgregat uiris tristitias, at redarguēs cū libertate pacificat. Fons uitæ in manu iusti, os aūt impii operiet perditio. Odium suscitabit contentionē, oēs aūt contentionū nō amantes operiet amicitia. Qui de labijs profert sapientiam, uirga uerberat uirum excordem. Sapientes abscondēt sensum, os autem procacis proximū est cōtritioni. Possessio diuitum urbs munita, contritio aūt impiorū pauperias. Opa iustorū uitā faciūt, fructus aūt impiorū peccata. Vias uitę custodit disciplina, disciplina aūt irreprehēsibilis errat. Abscondūt inimicitiā labia iusta, at proferētes contumelias insipientissimi sunt. Ex multiloquio non effugies peccatum, parcens aūt uerbis intelligens eris. Argentum igne examinatum lingua iusti, cor autem impii deficiet. Labia iustorū sciunt excelsa, at insipientes in egestate moriunt. Benedictio dñi super caput iusti, hæc ditat, & nō addet ei tristitia in corde. In risu stultus operat mala, at sapientia uiro parit prudentiā. In perditione impius circumfertur, desideriū aūt iusti

σκολιάζων ὑποσκελισθήσεται. ὃς πορεύεται ἁπλῶς, πορεύεται πεποιθώς, ὁ δὲ διαστρέφων τὰς ὁδοὺς αὐτοῦ, γνωσθήσεται. ὁ ἐννεύων ὀφθαλμῷ μετὰ δόλου συνάγει ἀνδράσι λύπας, ὁ δὲ ἐλέγχων μετὰ παῤῥησίας εἰρηνοποιεῖ. πηγὴ ζωῆς ἐν χειρὶ δικαίου, στόμα δὲ ἀσεβοῦς καλύψει ἀπώλεια. μῖσος ἐγείρει νεῖκος, πάντας δὲ τοὺς μὴ φιλονεικοῦντας καλύψει φιλία. ὃς ἐκ χειλέων προφέρει σοφίαν, ῥάβδῳ τύπτει ἄνδρα ἀκάρδιον. σοφοὶ κρύψουσιν αἴσθησιν, στόμα δὲ προπετοῦς ἐγγίζει συντριβῇ. κτῆσις πλουσίων πόλις ὀχυρὰ, συντριβὴ δὲ ἀσεβῶν πενία. ἔργα δικαίων ζωὴν ποιεῖ, καρποὶ δὲ ἀσεβῶν ἁμαρτίαι. ὁδοὺς ζωῆς φυλάσσει παιδεία, παιδεία δὲ ἀνεξέλεγκτος πλανᾶται. καλύπτουσιν ἔχθραν χείλη δίκαια, οἱ δὲ ἐκφέροντες λοιδορίας, ἀφρονέστατοί εἰσιν. ἐκ πολυλογίας οὐκ ἐκφεύξῃ ἁμαρτίαν, φειδόμενος δὲ ῥημάτων νοήμων ἔσῃ. ἄργυρος πεπυρωμένος γλῶσσα δικαίου, καρδία δὲ ἀσεβοῦς ἐκλείψει. χείλη δικαίων ἐπίστανται ὑψηλὰ, οἱ δὲ ἄφρονες ἐν ἐνδείᾳ τελευτῶσιν. εὐλογία κυρίου ἐπὶ κεφαλὴν δικαίου, αὕτη πλουτίζει, καὶ οὐ μὴ προστεθῇ αὐτῇ λύπη ἐν καρδίᾳ. ἐν γέλωτι ἄφρων πράσσει κακὰ, ἡ δὲ σοφία ἀνδρὶ τίκτει φρόνησιν. ἐν ἀπωλείᾳ ἀσεβὴς περιφέρεται, ἐπιθυμία δὲ δικαίου δεκτή. παραπορευο-

παραπορευομένης καταιγίδος ἀφανίζεται ὁ ἀσεβὴς, δίκαιος δὲ ἐκκλίνας σώζεται εἰς τὸν αἰῶνα. ὥσπερ ὄμφαξ ὀδοῦσι βλαβερὸν, καὶ καπνὸς ὄμμασιν, οὕτως παρανομία τοῖς χρωμένοις αὐτῇ. φόβος κυρίου προστίθησιν ἡμέρας, ἔτη δὲ ἀσεβῶν ὀλιγωθήσονται. ἐγχρονίζει δικαίοις εὐφροσύνη, ἐλπὶς δὲ ἀσεβῶν ὄλλυται. ὀχύρωμα ὁσίου φόβος κυρίου, συντριβὴ δὲ τοῖς ἐργαζομένοις κακά. δίκαιος εἰς τὸν αἰῶνα οὐκ ἐνδώσει, ἀσεβεῖς δὲ οὐκ οἰκήσουσι γῆν. στόμα δικαίου ἀποστάζει σοφίαν, γλῶσσα δὲ ἀδίκου ἐξολεῖται. χείλη ἀνδρῶν δικαίων ἀποστάζει χάριτας, στόμα δὲ ἀσεβῶν ἀποστρέφεται.

Ζυγοὶ δόλιοι βδέλυγμα ἐνώπιον κυρίου, στάθμιον δὲ δίκαιον δεκτὸν αὐτῷ. οὗ ἐὰν εἰσέλθῃ ὕβρις, ἐκεῖ καὶ ἀτιμία, στόμα δὲ ταπεινῶν μελετᾷ σοφίαν. ἀποθανὼν δίκαιος ἔλιπε μετάμελον, πρόχειρος δὲ γίνεται καὶ ἐπίχαρτος ἀσεβῶν ἀπώλεια. τελειότης εὐθέων ὁδηγήσει αὐτοὺς, καὶ ὑποσκελισμὸς ἀθετούντων προνομεύσει αὐτούς. οὐκ ὠφελήσει ὑπάρχοντα ἐν ἡμέρᾳ θυμοῦ, δικαιοσύνη δὲ ῥύσεται ἀπὸ θανάτου. δικαιοσύνη ἀμώμους ὀρθοτομεῖ ὁδοὺς, ἀσέβεια δὲ περιπίπτει ἀδικίᾳ. δικαιοσύνη ἀνδρῶν ὀρθῶν ῥύσεται αὐτοὺς, τῇ δὲ ἀβουλίᾳ ἁλίσκονται παράνομοι. τελευτήσαντος ἀνδρὸς δικαίου οὐκ ὄλλυται ἐλπὶς, τὸ

δὲ

iusti acceptum. Prætereunte tempestate deletur impius, iustus autem declinans saluabitur in seculũ. Sicut uua acerba dentib. nociua & fumus oculis, sic iniquitas utentibus ea. Timor dñi apponit dies, anni aũt impiorũ breuiabuntur. Manet iustos lætitia, spes autẽ impiorum perit. Munitio sancti timor dñi, contritio aũt operantibus mala. Iustus in seculũ non deflectet, impii aũt nõ habitabunt terrã. Os iusti distillat sapientiã, lingua aũt iniusti peribit. Labia uirorum iustorum distillant gratias, os autem impiorum auertitur.

Cap. XI. Stateræ dolosæ abominatio coram domino, pondus autem iustum acceptabile ei. Vbicunq; ingrediatur contumelia, ibi & ignominia, os autẽ humilium meditatur sapientiã. Mortuus iustus reliquit pœnitentiam, facilis autẽ & periucunda impiorum perditio. Perfectio rectorum deducet eos, & supplantantio contemnentiũ prędabitur eos. Non ꝓderit substantia in die irę, iustitia uero liberabit à morte. Iustitia immaculati diriget uias, impietas autem incidit in iniustitiam. Iustitia uirorum rectorum liberabit eos, at temeritate capiuntur iniqui. Mortuo uiro iusto non perit spes,

at

at iactatio impiorũ perit. Iustus ex uenatione liberať, pro eo aũt tradiť impius. In ore impiorum laqueus ciuibus, sensus autẽ iustorũ prosper. In bonis iustorũ recta fecit ciuitas, & in perditione impiorũ exultatio. In benedictione rectorũ exaltabiť ciuitas, oribus autẽ impiorum subuertetur. Subsannat ciues indigens mẽte, uir aũt prudens silentiũ agit. Vir bilinguis reuelat consilia in cõcilio, fidelis aũt spiritu celat res. Quibus nõ est gubernatio, cadunt ut folia, salus autẽ est in multo consilio. Malus malefacit cum mixtus fuerit iusto, odio habet aũt sonum securitatis. Mulier gratiosa suscitat uiro gloriã, sedes aũt ignominiæ mulier odio habens iusta. Diuitiarũ pigri indigẽtes sunt, at robusti innituntur diuitijs. Animæ suæ bonũ facit uir misericors, perdit aũt suũ corpus immisericors. Impius facit opera iniusta, semen aũt iustorum merces ueritatis. Filius iustus gignitur in uitã, persecutio aũt impij in mortẽ. Abominatio domino peruersæ uiæ, accepti autem ei omnes irreprehensibiles in uia. Manui manus inijciens iniuste nõ impunitus erit malis, at seminãs iustitiã accipiet mercedẽ fidelẽ. Tanquã inauris aurea in nare suis,

δὲ καύχημα τῶν ἀσεβῶν ὄλλυται. δίκαιος ἐκ θήρας ἐκδύει, ἀντ᾽ αὐτοῦ δὲ παραδίδοται ὁ ἀσεβής. ἐν στόματι ἀσεβῶν παγὶς πολίταις, αἴσθησις δὲ δικαίων εὔοδος. ἐν ἀγαθοῖς δικαίων κατώρθωσε πόλις, καὶ ἐν ἀπωλείᾳ ἀσεβῶν ἀγαλλίαμα. ἐν εὐλογίᾳ εὐθέων ὑψωθήσεται πόλις, στόμασι δὲ ἀσεβῶν κατασκαφήσεται. μυκτηρίζει πολίτας ἐνδεὴς φρενῶν, ἀνὴρ δὲ φρόνιμος ἡσυχίαν ἄγει. ἀνὴρ δίγλωσσος ἀποκαλύπτει βουλὰς ἐν συνεδρίῳ, πιστὸς δὲ πνοῇ κρύπτει πράγματα. οἷς μὴ ὑπάρχει κυβέρνησις, πίπτουσιν ὥσπερ φύλλα, σωτηρία δὲ ὑπάρχει ἐν πολλῇ βουλῇ. πονηρὸς κακοποιεῖ, ὅταν συμμίξῃ δικαίῳ, μισεῖ δὲ ἦχον ἀσφαλείας. γυνὴ εὐχάριστος ἐγείρει ἀνδρὶ δόξαν, θρόνος δὲ ἀτιμίας, γυνὴ μισοῦσα δίκαια. πλούτου ὀκνηροὶ ἐνδεεῖς γίνονται, οἱ δὲ ἀνδρεῖοι ἐρείδονται πλούτῳ. τῇ ψυχῇ αὐτοῦ ἀγαθὸν ποιεῖ ἀνὴρ ἐλεήμων, ἐξόλλυσι δὲ αὐτοῦ σῶμα ὁ ἀνελεήμων. ἀσεβὴς ποιεῖ ἔργα ἄδικα, σπέρμα δὲ δικαίων μισθὸς ἀληθείας. υἱὸς δίκαιος γεννᾶται εἰς ζωήν, διωγμὸς δὲ ἀσεβοῦς εἰς θάνατον. βδέλυγμα κυρίῳ διεστραμμέναι ὁδοί, προσδεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. χειρὶ χεῖρας ἐμβαλὼν ἀδίκως, οὐκ ἀτιμώρητος ἔσται κακῶν, ὁ δὲ σπείρων δικαιοσύνην, λήψεται μισθὸν πιστόν. ὥσπερ ἐνώτιον χρυσοῦν ἐν ῥινὶ ὑός,

ὑὸς, οὕτως γυναικὶ κακόφρονι κάλλος. ἐπιθυμία δικαίων πᾶσα ἀγαθὴ, ἐλπὶς δὲ ἀσεβῶν ἀπολεῖται. εἰσὶν οἳ τὰ ἴδια σπείροντες, οἳ πλείονα ποιοῦσιν, εἰσὶ δὲ καὶ οἱ συνάγοντες τὰ ἀλλότρια, οἳ ἐλαττονοῦνται. ψυχὴ εὐλογουμένη πᾶσα ἁπλῆ, ἀνὴρ δὲ θυμώδης οὐκ εὐσχήμων. ὁ συνέχων σῖτον, ὑπολίποιτο αὐτὸν τοῖς ἔθνεσιν, εὐλογία δὲ εἰς κεφαλὴν τοῦ μεταδιδόντος. τεκταινόμενος ἀγαθὰ, ζητεῖ χάριν ἀγαθὴν, ἐκζητοῦντα δὲ κακὰ καταλήψεται αὐτόν. ὁ πεποιθὼς ἐπὶ πλούτῳ, οὗτος πεσεῖται· ὁ δὲ ἀντιλαμβανόμενος δικαίων, οὗτος ἀνατελεῖ. ὁ μὴ συμπεριφερόμενος τῷ ἑαυτοῦ οἴκῳ, κληρονομήσει ἄνεμον, δουλεύσει δὲ ἄφρων φρονίμῳ. ἐκ καρποῦ δικαιοσύνης φύεται δένδρον ζωῆς, ἀφαιροῦνται δὲ ἄωροι ψυχαὶ παρανόμων. εἰ ὁ μὲν δίκαιος μόλις σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται;

Ὁ ἀγαπῶν παιδείαν ἀγαπᾷ αἴσθησιν, ὁ δὲ μισῶν ἐλέγχους, ἄφρων. κρείσσων ὁ εὑρίσκων χάριν παρὰ κυρίου τοῦ θεοῦ, ἀνὴρ δὲ παράνομος παρασιωπηθήσεται. οὐ κατορθώσει ἄνθρωπος ἐξ ἀνόμου, αἱ δὲ ῥίζαι τῶν δικαίων οὐκ ἐξαρθήσονται. γυνὴ ἀνδρεία, στέφανος τῷ ἀνδρὶ αὐτῆς. ὥσπερ δὲ ἐν ξύλῳ σκώληξ, οὕτως ἄνδρα ἀπόλλυσι γυνὴ κακοποιός. λογισμοὶ δικαίων κρίματα, κυβερνῶσι δὲ ἀσεβεῖς δόλους. λόγοι

ἀσεβῶν

suis, sic mulieri stultæ pulchritudo. Desideriũ iustorũ totũ bonũ, spes aũt impiorũ peribit. Sũt qui propria seminantes plura faciunt, sunt aũt & congregantes aliena, qui minuuntur. Anima benedicta omnis simplex, uir aũt iracundus non formosus. Continens triticũ relinquat ipsum gentibus, benedictio aũt in caput distribuentis. Qui fabricat bona, quærit gratiam bonã, exquirentẽ aũt mala comprehendet eum. Confisus in diuitiis suis, hic corruet, at inhærens iustis, hic orietur. Qui non præsto est suę domui, possidebit uentos, seruiet aũt stultus prudenti. De fructu iustitię nascitur arbor uitæ, auferuntur aũt intempestiuæ animæ iniquorũ. Si quidẽ iustus uix saluatur, impius & peccator ubi apparebit?

Cap. XII

Diligens disciplinam diligit sensum, at qui odit increpationes, insipiẽs. Melior qui inuenit gratiã apud dñm deũ, uir aũt iniquus obticebitur. Nõ succedet homini ex iniquitate, at radices iustorũ non auferentur. Mulier fortis, corona uiro suo. Quẽadmodũ aũt in ligno uermis, sic uirum perdit mulier malefica. Cogitationes iustorũ iudicia, gubernant autem impii dolos. Sermones

impio-

impiorum dolosi, os aūt rectorū liberabit eos. Quocunq; uertatur impius, deletur, domus aūt iustorum permanebunt. Os prudentis laudatur à uiro, piger corde aūt subsannat̃. Melior uir in contemptu seruiens sibi, quàm honorem sibi circumponens & indigēs pane. Miseratur iustus animas iumentorū suorum, at uiscera impiorū crudelia. Qui operatur suam terram implebitur panibus, at sectantes uana indigentes mente. Qui est suauis in uinorū immorationibus, in suis munitionibus relinquet ignominiam. Desideria impiorū mala, at radices iustorum in munitionibus. Propter peccatum labiorum incidet in laqueoss peccator, effugit autē ex eis iustus. Videns cōtrita cōsequet̃ misericordiam, occurrens autem in portis opprimet animas. De fructibus oris anima uiri replebitur bonis, retributio autem labiorum suorum tribuetur ei. Viæ stultorum rectæ coram eis, exaudit autem cōsilia sapiens. Fatuus ipso die indicat iram suam, celat autem suam ignominiam callidus. Exhibitam fidem annunciat iustus, at testis iniustorum dolosus. Sūt q dictes uulnerāt quasi ensis, linguæ aūt sapientium sanāt. Labia uera dirigunt

ἀσεβῶν δόλιοι, στόμα δὲ ὀρθῶν ῥύσεται αὐτούς. οὗ ἐὰν στραφῇ ὁ ἀσεβὴς, ἀφανίζεται, οἶκοι δὲ δικαίων παραμένουσι. στόμα συνετοῦ ἐγκωμιάζεται ὑπὸ ἀνδρὸς, νωθροκάρδιος δὲ μυκτηρίζεται. κρείσσων ἀνὴρ ἐν ἀτιμίᾳ δουλεύων ἑαυτῷ, ἢ τιμὴν ἑαυτῷ περιτιθεὶς, καὶ προσδεόμενος ἄρτου. δίκαιος οἰκτείρει ψυχὰς κτηνῶν αὐτοῦ, τὰ δὲ σπλάγχνα τῶν ἀσεβῶν ἀνελεήμονα. ὁ ἐργαζόμενος τὴν ἑαυτοῦ γῆν, ἐμπλησθήσεται ἄρτων, οἱ δὲ διώκοντες μάταια, ἐνδεεῖς φρενῶν. ὅς ἐστιν ἡδὺς ἐν οἴνων διατριβαῖς, ἐν τοῖς ἑαυτοῦ ὀχυρώμασι καταλείψει ἀτιμίαν. ἐπιθυμίαι ἀσεβῶν κακαὶ, αἱ δὲ ῥίζαι τῶν δικαίων ἐν ὀχυρώμασι. δὶ ἁμαρτίαν χειλέων ἐμπίπτει εἰς παγίδας ἁμαρτωλὸς, ἐξολισθαίνει δὲ ἐξ αὐτῶν δίκαιος. ὁ βλέπων λεῖα ἐλεηθήσεται, ὁ δὲ συναντῶν ἐν πύλαις ἐκθλίψει ψυχάς. ἀπὸ καρπῶν στόματος ἡ ψυχὴ ἀνδρὸς πλησθήσεται ἀγαθῶν, ἀνταπόδομα δὲ χειλέων αὐτοῦ δοθήσεται αὐτῷ. ὁδοὶ ἀφρόνων ὀρθαὶ ἐνώπιον αὐτῶν, εἰσακούει δὲ συμβουλίας σοφός. ἄφρων αὐθημερὸν ἐξαγγέλλει ὀργὴν αὐτοῦ, κρύπτει δὲ τὴν ἑαυτοῦ ἀτιμίαν ἀνὴρ πανοῦργος. ἐπιδεικνυμένην πίστιν ἀναγγελεῖ δίκαιος, ὁ δὲ μάρτυς τῶν ἀδίκων δόλιος. εἰσὶν οἱ λέγοντες τιτρώσκουσιν ὡς μάχαιρα, γλῶσσαι δὲ σοφῶν ἰῶνται. χείλη ἀληθινὰ κατορθοῖ

νορθοῖ μαρτυρίαν, μάρτυς δὲ ταχὺς γλῶσσαν ἔχει ἄδικον. δόλος ἐν καρδίᾳ τεκταινομένου κακά, οἱ δὲ βουλόμενοι εἰρήνην εὐφρανθήσονται. οὐκ ἀρέσει τῷ δικαίῳ οὐδὲν ἄδικον, οἱ δὲ ἀσεβεῖς πλησθήσονται κακῶν. βδέλυγμα κυρίῳ χείλη ψευδῆ, ὁ δὲ ποιῶν πίστιν δεκτὸς παρ' αὐτῷ. ἀνὴρ συνετὸς, θρόνος αἰσθήσεως, καρδία δὲ ἀφρόνων συναντήσεται ἀραῖς. χεὶρ ἐκλεκτῶν κρατήσει εὐχερῶς, δόλιοι δὲ ἔσονται εἰς προνομήν. φοβερὸς λόγος καρδίαν ταράσσει ἀνδρὸς δικαίου, ἀγγελία δὲ ἀγαθὴ εὐφραίνει αὐτόν. ἐπιγνώμων δίκαιος ἑαυτοῦ φίλος ἔσται, αἱ δὲ γνῶμαι τῶν ἀσεβῶν ἀνεπιεικεῖς. ἁμαρτάνοντας καταδιώξεται κακά, ἡ δὲ ὁδὸς τῶν ἀσεβῶν πλανήσει αὐτούς. οὐκ ἐπιτεύξεται δόλιος θήρας, κτῆμα δὲ τίμιον ἀνὴρ καθαρός. ἐν ὁδοῖς δικαιοσύνης ζωή, ὁδοὶ δὲ μνησικάκων εἰς θάνατον.

Υἱὸς πανοῦργος ὑπήκοος πατρί, υἱὸς δὲ ἀνήκοος ἐν ἀπωλείᾳ. ἀπὸ καρπῶν δικαιοσύνης φάγεται ἀγαθός, ψυχαὶ δὲ παρανόμων ὀλοῦνται ἄωροι. ὃς φυλάσσει τὸ ἑαυτοῦ στόμα, τηρεῖ τὴν ἑαυτοῦ ψυχήν, ὁ δὲ προπετὴς χείλεσιν πτοήσει ἑαυτόν. ἐν ἐπιθυμίαις ἐστὶ πᾶς ἀεργός, χεῖρες δὲ ἀνδρείων ἐν ἐπιμελείᾳ. λόγον ἄδικον μισεῖ δίκαιος, ἀσεβὴς δὲ αἰσχύνεται, καὶ οὐχ ἕξει παῤῥησίαν. δι-

καιο

rigunt testimonium, testis aũt repentinus linguã habet iniustã. Dolus in corde fabricantis mala, at uolentes pacem gaudebunt. Non placebit iusto quicquam iniustũ, at impii replebuntur malis. Abominatio domino, labia mendacia; at faciens fidem acceptabilis apud eum. Vir prudens sedes sensus, cor autem insipientium obuiabit execrationibus. Manus electorum dominabitur facile, dolosi aũt erunt in direptionem. Terribilis sermo cor turbat uiri iusti, annũciatio aũt bona lætificat illum. Arbiter iustus suiipsius amicus erit, sententiæ uero impiorum inhumanæ. Eos qui peccant, insectantur mala; at uia impiorũ decipiet eos. Non potietur dolosus uenatione, possessio aũt preciosa uir pur9. In uiis iustitię uita, uię aũt recordantium iniurias in mortem.

Cap. XIII

Filius astutus obediẽs patri, filius aũt inobediẽs in pditiõe. De fructib. iustitię comedet bonus, animę aũt impiorũ pibũt intẽpestiuę. Qui custodit suũ os, seruat suã aĩam, at petulãs labiis metu afficiet seipsũ. In desideriis ẽ oĩs ociosus, manus aũt uiriliũ in accusatiõe. Sermonẽ iniustum odit iustus, impius autem pudefit, & non habebit libertatem loquendi. Iu-

Tt stitiã

impiorum dolosi, os aũt rectorũ liberabit eos. Quocunq; uertatur impius, deletur, domus aũt iustorum permanebunt. Os prudentis laudatur à uiro, piger corde aũt subsannaẽ. Melior uir in contemptu seruiens sibi, quàm honorem sibi circumponens & indigẽs pane. Miseratur iustus animas iumentorũ suorum, at uiscera impiorũ crudelia. Qui operatur suam terram implebitur panibus, at sectantes uana indigentes mente. Qui est suauis in uinorũ immorationibus, in suis munitionibus relinquet ignominiam. Desideria impiorũ mala, at radices iustorum in munitionibus. Propter peccatum labiorum incidet in laqueoss peccator, effugit autẽ ex eis iustus. Videns cõtrita cõsequeẽ misericordiam, occurrens autem in portis opprimet animas. De fructibus oris anima uiri replebitur bonis, retributio autem labiorum suorum tribuetur ei. Viæ stultorum rectæ coram eis, exaudit autem cõsilia sapiens. Fatuus ipso die indicat iram suam, celat autem suam ignominiam callidus. Exhibitam fidem annunciat iustus, at testis iniustorum dolosus. Sũt q̃ dictẽs uulnerãt quasi ensis, linguæ aũt sapientium sanãt. Labia uera dirigunt

ἀσεβῶν δόλιοι, στόμα δὲ ὀρθῶν ῥύσεται αὐτούς. οὗ ἐὰν στραφῇ ὁ ἀσεβὴς, ἀφανίζεται, οἶκοι δὲ δικαίων παραμένουσι. στόμα συνετοῦ ἐγκωμιάζεται ὑπὸ ἀνδρὸς, νωθροκάρδιος δὲ μυκτηρίζεται. κρείσσων ἀνὴρ ἐν ἀτιμίᾳ δουλεύων ἑαυτῷ, ἢ τιμὴν ἑαυτῷ περιτιθεὶς, καὶ προσδεόμενος ἄρτου. δίκαιος οἰκτείρει ψυχὰς κτηνῶν αὐτοῦ, τὰ δὲ σπλάγχνα τῶν ἀσεβῶν ἀνελεήμονα. ὁ ἐργαζόμενος τὴν ἑαυτοῦ γῆν, ἐμπλησθήσεται ἄρτων, οἱ δὲ διώκοντες μάταια, ἐνδεεῖς φρενῶν. ὅς ἐστιν ἡδὺς ἐν οἴνων διατριβαῖς, ἐν τοῖς ἑαυτοῦ ὀχυρώμασι καταλείψει ἀτιμίαν. ἐπιθυμίαι ἀσεβῶν κακαὶ, αἱ δὲ ῥίζαι τῶν δικαίων ἐν ὀχυρώμασι. δι᾽ ἁμαρτίαν χειλέων ἐμπίπτει εἰς παγίδας ἁμαρτωλὸς, ἐκφεύγει δὲ ἐξ αὐτῶν δίκαιος. ὁ βλέπων λεῖα ἐλεηθήσεται, ὁ δὲ συναντῶν ἐν πύλαις ἐκθλίψει ψυχάς. ἀπὸ καρπῶν στόματος ἡ ψυχὴ ἀνδρὸς πλησθήσεται ἀγαθῶν, ἀνταπόδομα δὲ χειλέων αὐτοῦ δοθήσεται αὐτῷ. ὁδοὶ ἀφρόνων ὀρθαὶ ἐνώπιον αὐτῶν, εἰσακούει δὲ συμβουλίας σοφός. ἄφρων αὐθημερὸν ἐξαγγέλλει ὀργὴν αὐτοῦ, κρύπτει δὲ τὴν ἑαυτοῦ ἀτιμίαν ἀνὴρ πανοῦργος. ἐπιδεικνυμένην πίστιν ἀναγγελεῖ δίκαιος, ὁ δὲ μάρτυς τῶν ἀδίκων δόλιος. εἰσὶν οἳ λέγοντες τιτρώσκουσιν ὡς μάχαιρα, γλῶσσαι δὲ σοφῶν ἰῶνται. χείλη ἀληθινὰ κατορθοῖ

ὀρθοῖ μαρτυρίαν, μάρτυς δὲ ταχὺς γλῶσσαν ἔχει ἄδικον. δόλος ἐν καρδίᾳ τεκταινομένου κακά, οἱ δὲ βουλόμενοι εἰρήνην εὐφρανθήσονται. οὐκ ἀρέσει τῷ δικαίῳ οὐδὲν ἄδικον, οἱ δὲ ἀσεβεῖς πλησθήσονται κακῶν. βδέλυγμα κυρίῳ χείλη ψευδῆ, ὁ δὲ ποιῶν πίστιν δεκτὸς παρ᾽ αὐτῷ. ἀνὴρ συνετὸς, θρόνος αἰσθήσεως, καρδία δὲ ἀφρόνων συναντήσεται ἀραῖς. χεὶρ ἐκλεκτῶν κρατήσει εὐχερῶς, δόλιοι δὲ ἔσονται εἰς προνομήν. φοβερὸς λόγος καρδίαν ταράσσει ἀνδρὸς δικαίου, ἀγγελία δὲ ἀγαθὴ εὐφραίνει αὐτόν. ἐπιγνώμων δίκαιος ἑαυτοῦ φίλος ἔσται, αἱ δὲ γνῶμαι τῶν ἀσεβῶν ἀνεπιεικεῖς. ἁμαρτάνοντας καταδιώξεται κακά, ἡ δὲ ὁδὸς τῶν ἀσεβῶν πλανήσει αὐτούς. οὐκ ἐπιτεύξεται δόλιος θήρας, κτῆμα δὲ τίμιον ἀνὴρ καθαρός. ἐν ὁδοῖς δικαιοσύνης ζωή, ὁδοὶ δὲ μνησικάκων εἰς θάνατον.

Υἱὸς πανοῦργος ὑπήκοος πατρί, υἱὸς δὲ ἀνήκοος ἐν ἀπωλείᾳ. ἀπὸ καρπῶν δικαιοσύνης φάγεται ἀγαθός, ψυχαὶ δὲ παρανόμων ὀλοῦνται ἄωροι. ὃς φυλάσσει τὸ ἑαυτοῦ στόμα, τηρεῖ τὴν ἑαυτοῦ ψυχήν, ὁ δὲ προπετὴς χείλεσιν πτοήσει ἑαυτόν. ἐν ἐπιθυμίαις ἐστὶ πᾶς ἀεργός, χεῖρες δὲ ἀνδρείων ἐν ἐπιμελείᾳ. λόγον ἄδικον μισεῖ δίκαιος, ἀσεβὴς δὲ αἰσχύνεται, καὶ οὐχ ἕξει παρρησίαν. δι-

καιο

rigunt testimonium, testis aũt repentinus linguã habet iniustã. Dolus in corde fabricantis mala, at uolentes pacem gaudebunt. Non placebit iusto quicquam iniustũ, at impii replebuntur malis. Abominatio domino, labia mendacia, at faciens fidem acceptabilis apud eum. Vir prudens sedes sensus, cor autem insipientium obuiabit execrationibus. Manus electorum dominabitur facile, dolosi aũt erunt in direptionem. Terribilis sermo cor turbat uiri iusti, annũciatio aũt bona lætificat illum. Arbiter iustus suiipsius amicus erit, sententiæ uero impiorum inhumanæ. Eos qui peccant, insectantur mala; at uia impiorũ decipiet eos. Non potietur dolosus uenatione, possessio aũt preciosa uir purꝰ. In uiis iustitię uita, uię aũt recordantium iniurias in mortem.

Cap. XIII

Filius astutus obediẽs patri, filius aũt inobediẽs in pditiõe. De fructib. iustitię comedet bonus, animę aũt impiorũ pibũt intẽpestiuę. Qui custodit suũ os, seruat suã aĩam, at petulãs labiis metu afficiet seipsũ. In desideriis ẽ oĩs ociosus, manus aũt uiriliũ in accuratiõe. Sermonẽ iniustum odit iustus, impius autem pudefit, & non habebit libertatem loquendi. Iu-

stitia custodit innocuos, at impios uiles facit peccatū. Sunt ditantes seipsos nihil habentes, & sunt humiles reddentes seipsos in multis diuitiis. Redemptio uiri animæ, propriæ diuitiæ, mendicus aūt non sustinet minas. Lux iustis per omne tempus, lux impiorum extinguit. Animæ dolosę errant in peccato, iusti uero miserentur, & afficiunt misericordia. Malus cum iniuria facit mala, at sibi ipsi conscii sapientes. Substantia festinata cū iniquitate, minor fit, at congregans sibi cum pietate implebitur. Iustus miseretur, et commodat. Melior qui incipit iuuare ex animo, quam pollicēs & ad spem remittens. Arbor enim uitæ, desiderium bonū. Qui despicit rem, despiciet ex ea, at timens præceptum hic sanus est. Filio doloso nullum erit bonū, famulo autem sapienti prosperæ erunt operationes, & dirigetur uia eius. Lex sapientis fons uitæ, at demens à laqueo morietur. Intellectus bonus dat gratiam, at cognoscere legem, cognitionis est bonæ, uiæ autem contemptorum in perditione. Omis astutus agit cum cognitione, at fatuus expandit suam malitiam.

Rex temerarius cadet in mala.

καιοσύνη φυλάσσει ἀκάκους, τοὺς δὲ ἀσεβεῖς φαύλους ποιεῖ ἁμαρτία. εἰσὶν οἱ πλουτίζοντες ἑαυτοὺς μηδὲν ἔχοντες, καί εἰσιν οἱ ταπεινοῦντες ἑαυτοὺς ἐν πολλῷ πλούτῳ. λύτρον ἀνδρὸς ψυχῆς, ὁ ἴδιος πλοῦτος, πτωχὸς δὲ οὐχ ὑφίσταται ἀπειλήν. φῶς δικαίοις διὰ παντὸς, φῶς ἀσεβῶν σβέννυται. ψυχαὶ δὲ δόλιαι πλανῶνται ἐν ἁμαρτίαις, δίκαιοι δὲ οἰκτείρουσι, καὶ ἐλεοῦσι. κακὸς μεθ' ὕβρεως πράσσει κακά, οἱ δὲ αὐτῷ ἐπιγνώμονες σοφοί. ὕπαρξις ἐπισπουδαζομένη μετὰ ἀνομίας ἐλάσσων γίνεται, ὁ δὲ συνάγων ἑαυτῷ μετ' εὐσεβείας πληθυνθήσεται. δίκαιος οἰκτείρει, καὶ κιχρᾷ. κρείσσων ἐναρχόμενος βοηθῶν καρδίᾳ τοῦ ἐπαγγελλομένου καὶ εἰς ἐλπίδα ἄγοντος. δένδρον γὰρ ζωῆς, ἐπιθυμία ἀγαθή. ὃς καταφρονεῖ πράγματος, καταφρονηθήσεται ὑπ' αὐτοῦ, ὁ δὲ φοβούμενος ἐντολήν, οὗτος ὑγιαίνει. υἱῷ δολίῳ οὐδὲν ἔστιν ἀγαθόν, οἰκέτῃ δὲ σοφῷ εὔοδοι ἔσονται πράξεις, καὶ κατευθυνθήσεται ἡ ὁδὸς αὐτοῦ. νόμος σοφοῦ πηγὴ ζωῆς, ὁ δὲ ἄνους ὑπὸ παγίδος θανεῖται. σύνεσις ἀγαθὴ δίδωσι χάριν, τὸ δὲ γνῶναι νόμον, διανοίας ἐστὶν ἀγαθῆς, ὁδοὶ δὲ καταφρονούντων ἐν ἀπωλείᾳ. πᾶς πανοῦργος πράσσει μετὰ γνώσεως, ὁ δὲ ἄφρων ἐξεπέτασεν ἑαυτοῦ κακίαν. βασιλεὺς θρασὺς πεσεῖται

εἰς

εἰς κακά, ἄγγελος δὲ σοφὸς ῥύσεται αὐτόν. πενίαν καὶ ἀτιμίαν ἀφαιρεῖται παιδεία, ὁ δὲ φυλάσσων ἐλέγχους δοξασθήσεται. ἐπιθυμίαι ἀσεβῶν ἡδύνουσι ψυχήν, ἔργα δὲ ἀσεβῶν μακρὰν ἀπὸ γνώσεως. ὁ συμπορευόμενος σοφοῖς, σοφὸς ἔσται, ὁ δὲ συμπορευόμενος ἄφροσι γνωσθήσεται. ἁμαρτάνοντας καταδιώξεται κακά, τοὺς δὲ δικαίους καταλήψεται ἀγαθά. ἀγαθὸς ἀνὴρ κληρονομήσει υἱοὺς υἱῶν, θησαυρίζεται δὲ δικαίοις πλοῦτος ἀσεβῶν. δίκαιοι ποιήσουσιν ἐν πλούτῳ ἔτη πολλά, ἄδικοι δὲ ἀπολοῦνται συντόμως. ὃς φείδεται τῆς βακτηρίας, μισεῖ τὸν υἱὸν αὐτοῦ, ὁ δὲ ἀγαπῶν ἐπιμελῶς παιδεύει. δίκαιος ἔσθων ἐμπιπλᾷ τὴν ψυχὴν αὐτοῦ, ψυχαὶ δὲ ἀσεβῶν ἐνδεεῖς.

Σοφαὶ γυναῖκες ᾠκοδόμησαν οἴκους, ἡ δὲ ἄφρων κατέσκαψε ταῖς χερσὶν αὐτῆς. ὁ πορευόμενος ὀρθῶς, φοβεῖται τὸν κύριον, ὁ δὲ σκολιάζων ταῖς ὁδοῖς αὐτοῦ, ἀτιμασθήσεται. ἐκ στόματος ἀφρόνων βακτηρία ὕβρεως, χείλη δὲ σοφῶν φυλάσσει αὐτούς. οὗ μὴ εἰσὶ βόες, φάτναι καθαραί, οὗ δὲ πολλὰ γεννήματα, φανερὰ βοὸς ἰσχύς. μάρτυς πιστὸς οὐ ψεύδεται, ἐκκαίει δὲ ψευδῆ μάρτυς ἄδικος. ζητήσεις σοφίαν παρὰ κακοῖς, καὶ οὐχ εὑρήσεις, αἴσθησις δὲ παρὰ φρονίμοις

in mala, legatus aũt sapiẽs liberabit eum. Egestatẽ et ignominiã aufert disciplina, at custodiens redargutiones glorificabiť. Desideria impiorum delectant animã, opera aũt impiorũ longè à cognitione. Qui graditur cum sapientibus, sapiens erit, qui autẽ graditur cũ stultis agnosceť. Peccantes persequenť mala, at iustos apprehendenť bona. Bonus uir relinquet hæredes filios filiorum, recondunť aũt iustis diuitiæ impiorũ. Iusti exigent in diuitiis annos multos, iniusti uero mox peribunt. Qui parcit uirgæ, odit filium suum, at diligens instanter erudit. Iustus comedens replet animam suam, animæ autem impiorum indigentes.

Cap. XIIII. Sapientes mulieres ædificauerunt domos, at insipiens euertit manib. suis. Ambulans recte timet dominũ, at qui tortuose incedit uiis suis, inhonorabiť. Ex ore stultorum uirga iniuriæ, labia autem sapientum custodiũt eos. Vbi non sunt boues, præsepia munda, ubi autem multi fructus, manifesta bouis fortitudo. Testis fidelis nõ mentitur, accendit aũt mentientẽ testis iniquus. Quæres sapientiam apud malos, & nõ inuenies, sensus autem apud prudentes

facilis. Omnia contraria uiro stulto, arma autē sensus, labia sapientia. Sapientia astutorū cognoscet uias eorum, cogitatio autē stultorum in deceptione. Domus iniquorum debebunt purificationē, domus autem iustorū acceptabiles. Cor uiri sensitiuū, moesta anima eius, quando autem lætetur, non miscetur iniuria. Domus impiorū delebūtur, tabernacula autem rectorum stabunt. Est uia quæ uidetur recta esse apud homines, at nouissima eius uadunt ad fundū inferni. In gaudiis non admiscetur mœror, extrema autem gaudii in luctū uadunt. Suis uiis replebitur audax corde, à cogitationibus autem eius uir bonus. Innocens credit omni uerbo, astutus autē uadit in pœnitentiam. Sapiens timēs declinauit à malo, at stultus sibi confisus miscetur iniquo. Iracundus operatur cum temeritate, uir aūt prudens multa suffert. Diuident stulti malitiam, at astuti potientur sensu. Labentur mali ante bonos, & impii colēt portas iustorum. Amici odibunt amicos mendicos, amici autem diuitium multi. Dehonestans pauperem peccat, qui miseratur autem mēdicos, beatissimus. Errātes iniqui fabrican-

εὐχερής. πάντα ἐναντία ἀνδρὶ ἄφρονι, ὅπλα δὲ αἰσθήσεως χείλη σοφά. σοφία πανούργων ἐπιγνώσεται τὰς ὁδοὺς αὐτῶν, ἄνοια δὲ ἀφρόνων ἐν πλάνῃ. οἰκίαι παρανόμων ὀφειλήσουσι καθαρισμὸν, οἰκίαι δὲ δικαίων δεκταί. καρδία ἀνδρὸς αἰσθητικὴ, λυπηρὰ ψυχὴ αὐτοῦ, ὅταν δὲ εὐφραίνηται, οὐκ ἐπιμίγνυται ὕβρει. οἰκίαι ἀσεβῶν ἀφανισθήσονται, σκηναὶ δὲ κατορθούντων στήσονται. ἔστιν ὁδὸς ἣ δοκεῖ ὀρθὴ εἶναι παρὰ ἀνθρώποις, τὰ δὲ τελευταῖα αὐτῆς ἔρχεται εἰς πυθμένα ᾅδου. ἐν εὐφροσύναις οὐ προσμίγνυται λύπη, τελευταῖα δὲ χαρᾶς εἰς πένθος ἔρχεται. τῶν ἑαυτοῦ ὁδῶν πλησθήσεται θρασυκάρδιος, ἀπὸ δὲ τῶν διανοημάτων αὐτοῦ ἀνὴρ ἀγαθός. ἄκακος πιστεύει παντὶ λόγῳ, πανοῦργος δὲ ἔρχεται εἰς μετάνοιαν. σοφὸς φοβηθεὶς ἐξέκλινεν ἀπὸ κακοῦ, ὁ δὲ ἄφρων ἑαυτῷ πεποιθὼς μίγνυται ἀνόμῳ. ὀξύθυμος πράσσει μετὰ ἀβουλίας, ἀνὴρ φρόνιμος πολλὰ ὑποφέρει. μεριοῦνται ἄφρονες κακίαν, οἱ δὲ πανοῦργοι κρατήσουσιν αἰσθήσεως. ὀλισθήσουσι κακοὶ ἔναντι ἀγαθῶν, καὶ ἀσεβεῖς θεραπεύσουσι θύρας δικαίων. φίλοι μισήσουσι φίλους πτωχοὺς, φίλοι δὲ πλουσίων πολλοί. ὁ ἀτιμάζων πένητας ἁμαρτάνει, ὁ ἐλεῶν δὲ πτωχοὺς, μακαριστός. πλανώμενοι ἄδικοι τεκ-

ταίνουσι

φρονοῦσι κακά, ἔλεος δὲ καὶ ἀλήθειαν τεκταίνουσιν ἀγαθοί. οὐκ ἐπίστανται ἔλεον καὶ πίστιν τέκτονες κακῶν, ἐλεημοσύναι δὲ καὶ πίστεις παρὰ τέκτοσιν ἀγαθοῖς. ἐν παντὶ μεριμνῶντι ἔνεστι περισσόν, ὁ δὲ ἡδὺς καὶ ἀνάλγητος ἐν ἐνδείᾳ ἔσται. στέφανος σοφῶν πλοῦτος αὐτῶν, ἡ δὲ διατριβὴ ἀφρόνων κακή. ῥύσεται κακῶν ψυχὴν μάρτυς πιστός, ἐκκαίει δὲ ψευδῆ δόλιος. ἐν φόβῳ κυρίου ἐλπὶς ἰσχύος, τοῖς δὲ τέκνοις αὐτοῦ καταλείψει ἔρεισμα εἰρήνης. φόβος κυρίου πηγὴ ζωῆς, ποιεῖ δὲ ἐκκλίνειν ἐκ παγίδος θανάτου. ἐν πολλῷ ἔθνει δόξα βασιλέως, ἐν δὲ ἐκλείψει λαοῦ συντριβὴ δυνάστου. Μακρόθυμος ἀνὴρ πολὺς ἐν φρονήσει, ὁ δὲ ὀλιγόψυχος ἰσχυρῶς ἄφρων. πραΰθυμος ἀνὴρ καρδίας ἰατρός, σὴς δὲ ὀστέων καρδία αἰσθητική. ὁ συκοφαντῶν πένητα παροξύνει τὸν ποιήσαντα αὐτόν, ὁ δὲ τιμῶν αὐτὸν ἐλεεῖ πτωχόν. ἐν κακίᾳ αὐτοῦ ἀπωθήσεται ἀσεβής, ὁ πεποιθὼς ἐπὶ κύριον τῇ ἑαυτοῦ ὁσιότητι δίκαιος. ἐν καρδίᾳ ἀγαθῇ ἀνδρὸς ἀναπαύσεται σοφία, ἐν δὲ καρδίᾳ ἀφρόνων οὐ διαγινώσκεται. δικαιοσύνη ὑψοῖ ἔθνος, ἐλαττοῦσι δὲ φυλὰς ἁμαρτίαι. δεκτὸς βασιλεῖ ὑπηρέτης νοήμων, τῇ δὲ ἑαυτοῦ εὐστροφίᾳ ἀφαιρεῖται ἀτιμίαν.

Ὀργὴ ἀπόλλυσι καὶ φρονίμους, ἀπό-

bricantur mala, misericordiam aũt & ueritatẽ operantur boni. Non sciũt misericordiã & fidem fabricatores malorum, eleemosynæ autem & fides apud fabricatores bonos. In omni solicito inest abundantia, at dulcis & carens dolore in egestate erit. Corona sapientum diuitiæ eorum, at conuersatio stultorum mala. Liberabit malorum animam testis fidelis, accendit autem mendacem dolosus. In timore domini spes fortitudinis, at filiis eius relinquet firmamẽtum pacis. Timor domini fons uitæ, facit autem declinare à laqueo mortis.

In multa gente gloria regis, in defectu autem populi contritio principis.

Lõganimis uir multus in prudentia, at pusillanimis ualde insipiẽs. Mansuetus uir cordis medicus, tinea aũt ossiũ cor sensitiuum.

Qui calũniatur egentẽ, irritat illũ qui fecit eũ, at honorans illum miseret mendici. In malitia sua expelletur impius, cõfidẽs in dominũ sua ipsius sanctitate iustus. In corde bono uiri requiescet sapiẽtia, in corde autẽ stultorũ nõ dignoscitur. Iustitia effert gentẽ, diminuũt aũt trib^{us} peccata. Acceptus regi minister intelligens, at sua agilitate tollit ignominiam.

Ira perdit & prudentes,

responsio autem submissa auertit irã, sermo uero molestus suscitat iras. Lingua sapientum bona scit, os autem stultorum nunciat mala. In omni loco oculi domini contemplãtur malos & bonos. Sanitas linguæ arbor uitæ, at custodiens eam replebiť spiritu. Stultus deridet disciplinam patris, qui autẽ custodit præcepta astutior. In abundãti iustitia fortitudo multa, at impii radicitus de terra peribunt. Domibus iustorum fortitudo multa, fructus autem impiorũ peribunt. Labia sapientum ligata sunt sensu, corda autem stultorum nõ secura. Victima impiorum fastidium domino, uota autem recte agentium accepta apud eum. Abominatio domino uiæ impii, sequentes uerò iustitiã diligit. Disciplina innocẽtis cognoscitť à transeuntibus, qui autẽ oderũt increpationes moriuntur turpiter. Infernus & perditio manifesta apud dominum, quomodo non & corda hominum? Non amabit indoctus corripientes se, cum autem sapientibus non conuersabitur. Corde gaudente facies uiret, in mœroribus aũt existentę fit tetrica. Correctã quęrit sensum, os aũt ineruditorum cognoscet mala. Omne tempus oculi

ἀπόκρισις δὲ ὑποπίπτουσα ἀποστρέφει θυμὸν, λόγος δὲ λυπηρὸς ἐγείρει ὀργάς. γλῶσσα σοφῶν καλὰ ἐπίσταται, στόμα δὲ ἀφρόνων ἀναγγέλλει κακά. ἐν παντὶ τόπῳ ὀφθαλμοὶ κυρίου σκοπεύουσι κακούς τε καὶ ἀγαθούς. Ἴασις γλώσσης δένδρον ζωῆς, ὁ δὲ συντηρῶν αὐτὴν, πλησθήσεται πνεύματος. ἄφρων μυκτηρίζει παιδείαν πατρὸς, ὁ δὲ φυλάσσων ἐντολὰς πανουργότερος. ἐν πλεοναζούσῃ δικαιοσύνῃ ἰσχὺς πολλὴ, οἱ δὲ ἀσεβεῖς ὁλόριζοι ἐκ γῆς ὀλοῦνται. οἴκοις δικαίων ἰσχὺς πολλὴ, καρποὶ δὲ ἀσεβῶν ἀπολοῦνται. χείλη σοφῶν δέδεται αἰσθήσει, καρδίαι δὲ ἀφρόνων οὐκ ἀσφαλεῖς. θυσία ἀσεβῶν, βδέλυγμα κυρίῳ, εὐχαὶ δὲ κατευθυνόντων δεκταὶ παρ' αὐτῷ. βδέλυγμα κυρίῳ ὁδοὶ ἀσεβοῦς, διώκοντας δὲ δικαιοσύνην ἀγαπᾷ. παιδεία ἀκάκου γνωρίζεται ὑπὸ τῶν παριόντων, οἱ δὲ μισοῦντες ἐλέγχους τελευτῶσιν αἰσχρῶς. Ἅδης καὶ ἀπώλεια φανερὰ παρὰ κυρίῳ, πῶς οὐχὶ καὶ αἱ καρδίαι τῶν ἀνθρώπων; οὐκ ἀγαπήσει ἀπαίδευτος τοὺς ἐλέγχοντας αὐτὸν, μετὰ δὲ σοφῶν οὐχ ὁμιλήσει. καρδίας εὐφραινομένης πρόσωπον θάλλει, ἐν δὲ λύπαις οὔσης σκυθρωπάζει. καρδία ὀρθὴ ζητεῖ αἴσθησιν, στόμα δὲ ἀπαιδεύτων γνώσεται κακά. πάντα τὸν χρόνον οἱ ὀφθαλμοὶ

μοὶ τῶν κακῶν προσδέχονται κακά, οἱ δὲ ἀγαθοὶ ἡσυχάζουσι διὰ παντός. κρείσσων μικρὰ μερὶς μετὰ φόβου κυρίου, ἢ θησαυροὶ μεγάλοι μετὰ ἀφοβίας. κρείσσων ξενισμὸς λαχάνων πρὸς φιλίαν καὶ χάριν, ἢ παράθεσις μόσχων μετὰ ἔχθρας. ἀνὴρ θυμώδης παρασκευάζει μάχας, μακρόθυμος δὲ καὶ τὴν μέλλουσαν καταπραΰνει. μακρόθυμος ἀνὴρ κατασβέσει κρίσεις, ὁ δὲ ἀσεβὴς ἐγείρει μᾶλλον. ὁδοὶ ἀεργῶν ἐστρωμέναι ἀκάνθαις, αἱ δὲ τῶν ἀνδρείων τετριμμέναι. υἱὸς σοφὸς εὐφραίνει πατέρα, υἱὸς δὲ ἄφρων μυκτηρίζει μητέρα αὐτοῦ. ἀνοήτου τρίβοι ἐνδεεῖς φρενῶν, ἀνὴρ δὲ φρόνιμος κατευθύνων πορεύεται. ὑπερτίθενται λογισμοὺς οἱ μὴ τιμῶντες συνέδρια, ἐν δὲ καρδίαις βουλευομένων μένει βουλή. οὐ μὴ ὑπακούσῃ ὁ κακὸς αὐτῇ, οὐδὲ μὴ εἴπῃ καίριόν τι καὶ καλὸν τῷ κοινῷ. ὁδοὶ ζωῆς διανοήματα συνετοῦ, ἵνα ἐκκλίνας ἐκ τοῦ ᾅδου σωθῇ. οἴκους ὑβριστῶν κατασπᾷ κύριος, ἐστήρισε δὲ ὅριον χήρας. βδέλυγμα κυρίῳ λογισμὸς ἄδικος, ἁγνῶν δὲ ῥήσεις σεμναί. ἐξόλλυσιν ἑαυτὸν ὁ δωρολήπτης, ὁ δὲ μισῶν δώρων λήψεις σώζεται. ἐλεημοσύναις καὶ πίστεσιν ἀποκαθαίρονται ἁμαρτίαι, τῷ δὲ φόβῳ κυρίου ἐκκλίνει πᾶς ἀπὸ κακοῦ. καρδία δικαίων μελετήσει πίστιν, στόμα δὲ ἀσεβῶν ἀποκρίνεται κακά.

li malorū suscipiunt mala, at boni quiescunt semper. Melior parua pars cum timore domini, quàm thesauri magni timoris expertes. Melius excipi cū olerib' ad amicitiā et gratiam, quàm appositio uitulorum cū inimicitia. Vir iracundus præparat rixas, patiens aūt & futurā mitigat. Patiens uir extinguet lites, at impius suscitat magis. Viæ pigrorū stratæ spinis, at uirilīū tritæ. Filius sapiens lætificat patrem, filius autē stultus subsannat matrē suam. Amentis semitæ indigentes mente, uir aūt prudens recta pergit. Præponunt cogitationes nō honorantes consilia, in cordibus aūt consultantiū manebit cōsiliū. Nequaq̄ obediet malus illi, neq; dicat opportunū quid ei bonum cōmuni. Viæ uitæ cogitationes prudentis, ut cū declinauerit ex inferno saluus sit. Domos iniuriosorum demolitur dominus, firmauit aūt terminum uiduæ. Abominatio domino, cogitatio iniusta, castorū autē uerba grauia. Perdit seipsum munerum acceptor, at odio habens donorum receptiōes saluaē. Eleemosyn's & fide purgantur peccata, at timore dñi declinat oīs à malo. Cor iustorū meditaē fidē, os aūt impiorū respondet

mala. Acceptæ apud dñm uiæ uirorũ iustorũ, per eos autem & inimici amici fiunt. Longe abest deus ab impiis, orationes aũt iustorum audit. Melior pauca acceptio cum iustitia, q̃ multi fructus cũ iniustitia.

Cap. XVI Cor uiri cogitet iusta, ut à deo dirigãtur gressus eius. Contemplans oculus bona lętificat cor, fama autem bona impinguat ossa. Exaudiens reprehẽsiones uitæ, in medio sapientum morabitur. Qui repellit disciplinam, odit seipsum, at seruans increpationes diligit animã suã. Timor domini, disciplina & sapientia, & principiũ gloriæ respondebit ei, præcedit autem humiles. Omnia opera humilis manifesta apud deum, at impii in die mala peribũt. Impurus apud deũ omnis excelsi cordis, manui autem manus iniiciens iniuste, non erit innocens. Initium uiæ bonæ facere iusta, accepta autẽ apud deum potius quàm mactare uictimas. Quærens dominum inueniet cognitionem cum iustitia, at recte quærentes eũ inuenient pacem. Omnia opera domini cum iustitia, seruatur autem impius in diem malum. Vaticiniũ in labiis regis, in iudicio aũt nequaquam errauerit os

κακά. δεκταὶ παρὰ κυρίῳ ὁδοὶ ἀνδρῶν δικαίων, διὰ δὲ αὐτῶν καὶ οἱ ἐχθροὶ φίλοι γίνονται. μακρὰν ἀπέχει ὁ θεὸς ἀπὸ ἀσεβῶν, εὐχαῖς δὲ δικαίων ἐπακούει. κρείσσων ὀλίγη λῆψις μετὰ δικαιοσύνης, ἢ πολλὰ γεννήματα μετὰ ἀδικίας.

Καρδία ἀνδρὸς λογιζέσθω δίκαια, ἵνα ὑπὸ τοῦ θεοῦ διορθωθῇ τὰ διαβήματα αὐτοῦ. θεωρῶν ὀφθαλμὸς καλὰ, εὐφραίνει καρδίαν, φήμη δὲ ἀγαθὴ πιαίνει ὀστᾶ. ὁ εἰσακούων ἐλέγχους ζωῆς, ἐν μέσῳ σοφῶν αὐλισθήσεται. ὃς ἀπωθεῖται παιδείαν, μισεῖ ἑαυτὸν, ὁ δὲ τηρῶν ἐλέγχους, ἀγαπᾷ ψυχὴν αὐτοῦ. φόβος κυρίου, παιδεία καὶ σοφία, καὶ ἀρχὴ δόξης ἀποκριθήσεται αὐτῇ, προπορεύεται δὲ ταπεινοῖς δόξα. πάντα τὰ ἔργα τοῦ ταπεινοῦ φανερὰ παρὰ τῷ θεῷ, οἱ δὲ ἀσεβεῖς ἐν ἡμέρᾳ κακῇ ὀλοῦνται. ἀκάθαρτος παρὰ θεῷ πᾶς ὑψηλοκάρδιος, χειρὶ δὲ χεῖρας ἐμβαλὼν ἀδίκως οὐκ ἀθῳωθήσεται. ἀρχὴ ὁδοῦ ἀγαθῆς τὸ ποιεῖν τὰ δίκαια, δεκτὰ δὲ παρὰ θεῷ μᾶλλον ἢ θύειν θυσίας. ὁ ζητῶν τὸν κύριον, εὑρήσει γνῶσιν μετὰ δικαιοσύνης, οἱ δὲ ὀρθῶς ζητοῦντες αὐτὸν εὑρήσουσιν εἰρήνην. πάντα τὰ ἔργα κυρίου μετὰ δικαιοσύνης, φυλάσσεται δὲ ὁ ἀσεβὴς εἰς ἡμέραν κακήν. μαντεῖον ἐπὶ χείλεσι βασιλέως, ἐν δὲ κρίσει οὐ μὴ πλανηθῇ τὸ στόμα

στόμα αὐτοῦ. ῥοπὴ ζυγοῦ δικαιοσύνη παρὰ θεῷ, τὰ δὲ ἔργα αὐτοῦ στάθμια δίκαια. βδέλυγμα βασιλεῖ ὁ ποιῶν κακά, μετὰ γὰρ δικαιοσύνης ἑτοιμάζεται θρόνος ἀρχῆς. δεκτὰ βασιλεῖ χείλη δίκαια, λόγους δὲ ὀρθοὺς ἀγαπᾷ ὁ κύριος. θυμὸς βασιλέως ἄγγελος θανάτου, ἀνὴρ δὲ σοφὸς ἐξιλάσεται αὐτόν. ἐν φωτὶ ζωῆς υἱὸς βασιλέως, οἱ δὲ προσδεκτοὶ αὐτῷ, ὥσπερ νέφος ὄψιμον. νοσσιαὶ σοφίας αἱρετώτεραι χρυσίου, νοσσιαὶ δὲ φρονήσεως αἱρετώτεραι ὑπὲρ ἀργύριον. τρίβοι ζωῆς ἐκκλίνουσιν ἀπὸ κακῶν, μῆκος δὲ βίου ὁδοὶ δικαιοσύνης. Ὁ δεχόμενος παιδείαν ἐν ἀγαθοῖς ἔσται. ὁ δὲ φυλάσσων ἐλέγχους, σοφισθήσεται. ὃς φυλάσσει τὰς ἑαυτοῦ ὁδούς, τηρεῖ τὴν ἑαυτοῦ ψυχήν, ἀγαπῶν δὲ ζωὴν αὐτοῦ, φείσεται στόματος αὐτοῦ. πρὸ συντριβῆς ἡγεῖται ὕβρις, πρὸ δὲ πτώματος κακοφροσύνη. κρείσσων πραΰθυμος μετὰ ταπεινώσεως, ἢ ὃς διαιρεῖται σκῦλα μετὰ ὑβριστῶν. συνετὸς ἐν πράγμασιν εὑρετὴς ἀγαθῶν, πεποιθὼς δὲ ἐπὶ κυρίῳ μακαριστός. τοὺς σοφοὺς καὶ συνετοὺς φαύλους καλοῦσιν, οἱ δὲ γλυκεῖς ἐν λόγῳ πλεῖον ἀκούσονται. πηγὴ ζωῆς ἔννοια τοῖς κεκτημένοις, παιδεία δὲ ἀφρόνων κακή. καρδία σοφοῦ νοήσει τὰ ἀπὸ τοῦ ἰδίου στόματος, ἐπὶ δὲ χείλεσι φορέσει ἐπιγνωμοσύνην. κηρία μέλιτος, λόγοι

os eius. Momentum stateræ iustitia apud deum, at opera eius stateræ iustæ. Fastidium regi faciēs mala, cum enim iustitia paratur solium principatus. Accepta regi labia iusta, sermones autem rectos diligit dominus. Furor regis nuncius mortis, uir autem sapiens expiabit eum. In luce uitæ filius regis, at accepti ei quasi nubes sera. Nidi sapientiæ electiores auro, nidi aūt prudētię electiores sup argentū. Semitę uitę declināt à malis, lōgitudo autē uitæ, uię iustitiæ. Suscipiens disciplinā in bonis erit, at custodiēs increpationes, sapiens reddetur. Qui custodit uias seruat suam ipsius animā, diligens autem uitam suam parcet ori suo. Ante collisionem præit iniuria, ante casum autem malignitas. Melior mansuetus animo cum humilitate, quàm qui diuidit spolia cum uiolatoribus. Prudens in actionibus inuentor bonorum, confisus autē in dn̄o beatissimus. Sapientes & coniectores uiles appellant, at dulces in sermone plus audient. Fons uitæ cogitatio possidentibus, disciplina autem insipientium mala. Cor sapiētis meditabitur quæ à proprio ore, in labiis autem feret arbitrium. Faui mellis, sermones

boni, dulcedo autem eorũ, sanitas animę. Sũt uiæ apparentes rectę esse uiro, tamen ultima eorum spectant in fundũ inferni. Vir in laboribus laborat sibi ipsi, & uiolenter conciliat suam pernicië, at proteruus in suo ore fert perditionẽ. Vir insipiẽs fodit sibi ipsi mala, in suis autẽ labijs recondit ignem. Vir proteruus dimittit mala, et lucernam doli accendit malis, & diuidit amicos. Vir iniquus tentat amicos, & abducit eos uias non bonas. Firmans oculos suos cogitat peruersa, mordẽs uero labris suis definit omnia mala, hic fornax est malitiæ. Corona iactationis senectus, in uijs autem iustitiæ reperitur. Melior uir lõganimis forti, & uir prudentiam habens agricola magno at qui dominatur iræ, melior occupãte urbem. In sinus ueniunt omnia iustis. A domino uero omnia iusta.

Cap. XVII. Melior buccella cũ uoluptate in pace, quàm domus plena multis bonis & iniustis uictimis cũ iurgio. Seruus intelligens dominabitur dominorum stultorum, in fratribus autem diuidet partes. Sicut probatur

καλοί, γλύκασμα δὲ αὐτῶν ἴασις ψυχῆς. εἰσὶν ὁδοὶ δοκοῦσαι ὀρθαὶ εἶναι ἀνδρί, τὰ μέντοι τελευταῖα αὐτῶν βλέπει εἰς πυθμένα ᾅδου. ἀνὴρ ἐν πόνοις πονεῖ ἑαυτῷ, καὶ ἐκβιάζεται αὐτοῦ τὴν ἀπώλειαν, ὁ μέντοι σκολιὸς ἐπὶ τῷ ἑαυτοῦ στόματι φορεῖ τὴν ἀπώλειαν. ἀνὴρ ἄφρων ὀρύσσει ἑαυτῷ κακά, ἐπὶ δὲ τῶν ἑαυτοῦ χειλέων θησαυρίζει πῦρ. ἀνὴρ σκολιὸς διαπέμπεται κακά, καὶ λαμπτῆρα δόλου πυρσεύει κακοῖς, καὶ διαχωρίζει φίλους. ἀνὴρ παράνομος ἀποπειρᾶται φίλων, καὶ ἀπάγει αὐτοὺς ὁδοὺς οὐκ ἀγαθάς. στηρίζων ὀφθαλμοὺς αὐτοῦ, λογίζεται διεστραμμένα· ἐπιδάκνων δὲ τοῖς χείλεσιν αὐτοῦ, ὁρίζει πάντα τὰ κακά, οὗτος κάμινός ἐστι κακίας. στέφανος καυχήσεως γῆρας, ἐν δὲ ὁδοῖς δικαιοσύνης εὑρίσκεται. κρείσσων ἀνὴρ μακρόθυμος ἰσχυροῦ, καὶ ἀνὴρ φρόνησιν ἔχων γεωργίου μεγάλου, ὁ δὲ κρατῶν ὀργῆς, καταλαμβανομένου πόλιν. εἰς κόλπους ἐπέρχεται πάντα τοῖς ἀδίκοις. παρὰ δὲ κυρίου πάντα τὰ δίκαια.

Κρείσσων ψωμὸς μεθ' ἡδονῆς ἐν εἰρήνῃ, ἢ οἶκος πλήρης πολλῶν ἀγαθῶν, καὶ ἀδίκων θυμάτων μετὰ μάχης. οἰκέτης νοήμων κρατήσει δεσποτῶν ἀφρόνων, ἐν δὲ ἀδελφοῖς διελεῖται μέρη. ὥσπερ δοκιμάζεται

ζεται ἐν καμίνῳ ἄργυρος καὶ χρυσός, οὕτως ἐκλεκταὶ καρδίαι παρὰ κυρίῳ. κακὸς ὑπακούει γλώσσης παρανόμων, δίκαιος δὲ οὐ προσέχει χείλεσι ψευδέσιν. ὁ καταγελῶν πτωχοῦ, παροξύνει τὸν ποιήσαντα αὐτόν. ὁ δὲ ἐπιχαίρων ἀπολλυμένῳ οὐκ ἀθῳωθήσεται. ὁ δὲ ἐπισπλαγχνιζόμενος ἐλεηθήσεται. στέφανος γερόντων τέκνα τέκνων, καύχημα δὲ τέκνων πατέρες αὐτῶν. τοῦ πιστοῦ ὅλος ὁ κόσμος τῶν χρημάτων, τοῦ δὲ ἀπίστου οὐδὲ ὀβολός. οὐχ ἁρμόσει ἄφρονι χείλη πιστά, οὐδὲ δικαίῳ χείλη ψευδῆ. μισθὸς χαρίτων, ἡ παιδεία τοῖς χρωμένοις, οὗ δ' ἂν ἐπιστρέψῃ, εὐοδωθήσεται. ὃς κρύπτει ἀδικήματα, ζητεῖ φιλίαν, ὃς δὲ μισεῖ κρύπτειν, διΐστησι φίλους καὶ οἰκείους. συντρίβει ἀπειλὴ καρδίαν φρονίμου, ἄφρων δὲ μαστιγωθεὶς οὐκ αἰσθάνεται. ἀντιλογίας ἐγείρει πᾶς κακός, ὁ δὲ κύριος ἄγγελον ἀνελεήμονα ἐκπέμψει αὐτῷ. ἐμπεσεῖται μέριμνα ἀνδρὶ νοήμονι, οἱ δὲ ἄφρονες διαλογιοῦνται κακά. ὃς ἀποδίδωσι κακὰ ἀντὶ ἀγαθῶν, οὐ κινηθήσεται κακὰ ἐκ τοῦ οἴκου αὐτοῦ. ἐξουσίαν δίδωσι λόγοις ἀρχὴ δικαιοσύνης, προηγεῖται δὲ τῆς ἐνδείας στάσις καὶ μάχη. ὃς δίκαιον κρίνει τὸν ἄδικον, ἄδικον δὲ τὸν δίκαιον, ἀκάθαρτος καὶ βδελυκτὸς παρὰ θεῷ. ἵνα τί

ὑπῆρξε

batur in fornace argentū & aurum, sic electa corda apud dominum. Malus obedit linguę iniquorum, iustus autem non attendit labijs mendacibus. Qui deridet pauperē, irritat eū qui fecit illū, at qui lętatur perdito, non erit innocēs, at qui miseretur, misericordiam cōsequetur. Corona senū filij filiorum, gloria aūt filiorū, patres eorum. Fidi totus ornatus opum, infidelis contra neq; obolus. Non congruent stulto labia fidelia, neq; iusto labia mēdacia. Merces gratiarū, disciplina utētibus, quocūq; uertatur, prosperabit. Qui celat iniurias, quærit amicitiam qui autem odit celare, dirimit amicos & domesticos. Conterunt minæ cor prudentis, stultus autem uerberatus non sentit. Cōtradictiones suscitat omnis malus, at dominus angelū crudelem emittet ei. Incidet cura uiro intelligenti, at stulti excogitabunt mala. Qui reddit mala pro bonis, non mouebuntur mala de domo eius. Potestatem dat sermonibus principium iustitiæ, præcedit autem egestatem seditio & pugna. Qui iustum iudicat iniustum, iniustum autem iustum, immundus & abominabilis apud deum. Quare

exti

extiterūt opes insipienti. Possidere enim sapiētiam excors non poterit. Qui altam facit suam domum, quærit contritionem, at renuens discere incidet in mala. In omne tempus amicus sit tibi. Fratres in necessitatibus utiles sint, huius enim gratia nascuntur. Vir stultus applaudit, & congaudet sibi, sicut & spondens sponsorem dat suum amicum. Amans peccata gaudet rixis, at durus corde non occurrit bonis. Vir uersatilis lingua incidet in mala, cor autem stulti dolor possidenti illud. Non lætatur pater in filio indisciplinato, filius autem prudens lætificat matrem suam. Cor lætum bene habere facit, uiri autem tristis exiccantur ossa. Accipientis munera iniuste in finibus non prosperantur uiæ, impius autem declinat uias iustitię. Facies prudens uiri sapientis, at oculi stulti in summa terræ. Ira patri filius insipiens, & dolor gignenti eum. Damnum inferre uiro iusto, non pulchrum, neque sanctum insidiari principibus iustis. Qui abstinet uerbum proferre durum, prudens, longanimis autem uir prudens, melior

ὑπῆρξε χρήματα ἄφρονι. κτήσασθαι γὰρ σοφίαν ἀκάρδιος οὐ δυνήσεται. ὃς ὑψηλὸν ποιεῖ τὸν ἑαυτοῦ οἶκον, ζητεῖ συντριβήν, ὁ δὲ σκολιάζων τοῦ μαθεῖν ἐμπεσεῖται εἰς κακά. εἰς πάντα καιρὸν φίλος ὑπαρχέτω σοι. ἀδελφοὶ ἐν ἀνάγκαις χρήσιμοι ἔστωσαν, τούτου γὰρ χάριν γεννῶνται. ἀνὴρ ἄφρων ἐπικροτεῖ, καὶ ἐπιχαίρει ἑαυτῷ, ὡς καὶ ὁ ἐγγυώμενος ἐγγύει τὸν ἑαυτοῦ φίλον, ἐπὶ δὲ τῶν ἑαυτοῦ χειλέων πῦρ θησαυρίζει. φιλαμαρτήμων χαίρει μάχαις, ὁ δὲ σκληροκάρδιος οὐ συναντᾷ ἀγαθοῖς. ἀνὴρ εὐμετάβολος γλώσσῃ ἐμπεσεῖται εἰς κακά, καρδία δὲ ἄφρονος ὀδύνη τῷ κεκτημένῳ αὐτήν. οὐκ εὐφραίνεται πατὴρ ἐφ᾽ υἱῷ ἀπαιδεύτῳ, υἱὸς δὲ φρόνιμος εὐφραίνει μητέρα αὐτοῦ. καρδία εὐφραινομένη εὐεκτεῖν ποιεῖ, ἀνδρὸς δὲ λυπηροῦ ξηραίνεται ὀστᾶ. λαμβάνοντος δῶρα ἀδίκως ἐν κόλποις οὐ κατευοδοῦνται αἱ ὁδοί, ἀσεβὴς δὲ ἐκκλίνει ὁδοὺς δικαιοσύνης. πρόσωπον συνετὸν ἀνδρὸς σοφοῦ, οἱ δὲ ὀφθαλμοὶ τοῦ ἄφρονος ἐπ᾽ ἄκρα γῆς. ὀργὴ πατρὶ υἱὸς ἄφρων, καὶ ὀδύνη τῇ τεκούσῃ αὐτόν. ζημιοῦν ἄνδρα δίκαιον, οὐ καλόν, οὐδὲ ὅσιον, ἐπιβουλεύειν δυνάσταις δικαίοις. ὃς φείδεται ῥῆμα προέσθαι σκληρόν, ἐπιγνώμων, μακρόθυμος δὲ ἀνὴρ φρόνιμος,

κρείττων

κρείττων τοῦ μὴ ζητοῦντος μαθεῖν. ἀνοήτῳ ἐπερωτήσαντι σοφίαν, σοφία λογισθήσεται. ἐνεὸν δέ τις ἑαυτὸν ποιήσας, δόξει φρόνιμος εἶναι.

Προφάσεις ζητεῖ ἀνὴρ βουλόμενος χωρίζεσθαι φίλων, ἐν παντὶ δὲ καιρῷ ἐπονείδιστος ἔσται. οὐ χρείαν ἔχει σοφίας ἐνδεὴς φρενῶν, μᾶλλον γὰρ ἄγεται ἀφροσύνῃ. ὅταν ἔλθῃ ἀσεβὴς εἰς βάθος κακῶν καταφρονεῖ, ἐπέρχεται δὲ αὐτῷ ἀτιμία καὶ ὄνειδος. ὕδωρ βαθὺ, λόγος ἐν καρδίᾳ ἀνδρὸς, ποταμὸς δὲ ἀναπηδῶν καὶ πηγὴ ζωῆς. θαυμάσαι πρόσωπον ἀσεβοῦς, οὐ καλὸν, οὐδὲ ὅσιον, ἐκκλίνειν τὸ δίκαιον ἐν κρίσει. χείλη ἄφρονος ἄγουσιν αὐτὸν εἰς κακὰ, τὸ δὲ στόμα αὐτοῦ τὸ θρασὺ θάνατον ἐπικαλεῖται. στόμα ἄφρονος συντριβὴ αὐτῷ, τὰ δὲ χείλη αὐτοῦ παγὶς τῇ ψυχῇ αὐτοῦ. ὀκνηροὺς καταβάλλει φόβος, ψυχαὶ δὲ ἀνδρογύνων πεινάσουσιν. ὁ μὴ ἰώμενος ἑαυτὸν ἐν τοῖς ἔργοις αὐτοῦ, ἀδελφός ἐστι τοῦ λυμαινομένου ἑαυτόν. ἐκ μεγαλωσύνης ἰσχύος ὄνομα κυρίου, αὐτῷ δὲ προσδραμόντες δίκαιοι ὑψοῦνται. ὕπαρξις πλουσίου ἀνδρὸς, πόλις ὀχυρὰ, ἡ δὲ δόξα αὐτῆς μέγα ἐπισκιάζει. πρὸ συντριβῆς ὑψοῦται καρδία ἀνδρὸς, καὶ πρὸ δόξης ταπεινοῦται. ὃς ἀποκρίνεται λόγον πρὶν ἀκοῦσαι, ἀφροσύνη αὐτῷ

ἐστι

melior nõ quęrẽte discere. Amenti interroganti sapientiam, sapientia imputabitur. Mutum autem quispiam seipsum cũ fecerit, uidebitur prudens esse.

Cap. XVIII

Occasiones quærit uir uolens recedere ab amicis, in omni autem tempore uituperatus erit. Non necessitatem habet sapientiæ indigens mente, potius enim ducitur stultitia. Quum uenerit impius in profundum malorum, contemnit, superuenit autem ei ignominia & opprobrium. Aqua profunda, sermo in corde uiri, fluuius autem scaturiẽs & fons uitæ. Admirari personã impii, non bonum, neq; sanctum, declinare iustum in iudicio. Labia stulti ducũt eum in mala, at os eius temerarium mortem aduocat. Os stulti contritio ei, at labia eius laqueus animæ eius. Pigros deiicit timor, animæ autem effœminatorum esurient. Qui non medetur sibi in operibus suis, frater est lædẽtis seipsum. Ex magnificentia roboris nomẽ dñi, ipsi aũt accurrentes iusti exaltantur. Substantia diuitis uiri urbs munita, at gloria eius ualde inumbrat. Ante contritionem exaltatur cor hominis, & ante gloriam humiliatur. Qui respondet sermonem, antequàm audiat, insipientia ei

est

est & uituperium. Furorē uiri mitigat seruus prudēs, parui animi autem uirum quis sustinebit? Cor prudentis possidet sensum, aures autem sapientium quærunt cogitationem. Domus hominis dilatat illū, & apud principes sedere facit eum. Iustus sui accusator in principio sermonis, cum autem adiecerit aduersarius redarguitur. Cōtradictiones sedat sors, inter potētes autem determinat. Frater à fratre adiutus, tanquam ciuitas munita & excelsa, fortis est autem tanquam fundatum regnum. De fructibus oris uir replet uentrem suum, de fructibus autem labiorum eius implebit. Mors & uita in manu linguæ, at qui dominātur eius comedent fructus eius. Qui inuenit mulierem bonam, inuenit gratias, accepit autē à dño iucunditatem. Qui expellit mulierē bonā, expellit bona. Qui autē detinet adulterā, stultus et impius. Immodestia uiri corrumpet itinera eius, deum uerò culpat animo suo.

Cap. XIX. Diuitiæ addunt amicos multos, at pauper ab amico relinquitur. Testis falsus nō impunitus erit, qui autem accusat iniustè, non effugiet. Multi colunt personas regis, omnis autem malus fit uituperium uiro. Oīs, qui fratrē mendicū odit,

ἐστι καὶ ὄνειδος. θυμὸν ἀνδρὸς πραΰνει θεράπων φρόνιμος, ὀλιγόψυχον δὲ ἄνδρα τίς ὑποίσει; καρδία φρονίμου κτᾶται αἴσθησιν, ὦτα δὲ σοφῶν ζητεῖ ἔννοιαν. δόμα ἀνθρώπου ἐμπλατύνει αὐτὸν, καὶ παρὰ δυνάσταις καθίζει αὐτόν. δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ, ὡς δ᾽ ἂν ἐπιβάλλῃ, ὁ ἀντίδικος ἐλέγχεται. ἀντιλογίας παύει κλῆρος, ἐν δὲ δυνάσταις ὁρίζει. ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρὰ καὶ ὑψηλὴ, ἰσχύει δὲ ὥσπερ τεθεμελιωμένον βασίλειον. ἀπὸ καρπῶν στόματος ἀνὴρ πίμπλησι κοιλίαν αὐτοῦ, ἀπὸ δὲ καρπῶν χειλέων αὐτοῦ ἐμπλησθήσεται. θάνατος καὶ ζωὴ ἐν χειρὶ γλώσσης, οἱ δὲ κρατοῦντες αὐτῆς ἔδονται τοὺς καρποὺς αὐτῆς. ὃς εὗρε γυναῖκα ἀγαθὴν, εὗρε χάριτας, ἔλαβε δὲ παρὰ κυρίου ἱλαρότητα. ὃς ἐκβάλλει γυναῖκα ἀγαθὴν, ἐκβάλλει τὰ ἀγαθά. ὁ δὲ κατέχων μοιχαλίδα, ἄφρων καὶ ἀσεβής. ἀφροσύνη ἀνδρὸς λυμαίνεται τὰς ὁδοὺς αὐτοῦ, τὸν δὲ θεὸν αἰτιᾶται τῇ καρδίᾳ αὐτοῦ.

Πλοῦτος προστίθησι φίλους πολλοὺς, ὁ δὲ πτωχὸς καὶ ἀπὸ τοῦ ὑπάρχοντος φίλου λείπεται. μάρτυς ψευδὴς οὐκ ἀτιμώρητος ἔσται, ὁ δὲ ἐγκαλῶν ἀδίκως, οὐ διαφεύξεται. πολλοὶ θεραπεύουσι πρόσωπα βασιλέως, πᾶς δὲ ὁ κακὸς γίνεται ὄνειδος ἀνδρί. πᾶς, ὃς ἀδελφὸν πτωχὸν μισεῖ,

μισεῖ, καὶ φιλίας μακρὰν ἔσται. ἔννοια ἀγαθὴ τοῖς εἰδόσιν αὐτὴν ἐγγιεῖ, ἀνὴρ δὲ φρόνιμος εὑρήσει αὐτήν. ὁ πολλὰ κακοποιῶν τελεσιουργεῖ κακίαν, ὃς δὲ ἐρεθίζει λόγους, οὐ διασωθήσεται. ὁ κτώμενος φρόνησιν ἀγαπᾷ ἑαυτόν, ὃς δὲ φυλάσσει φρόνησιν εὑρήσει ἀγαθά. μάρτυς ψευδὴς οὐκ ἀτιμώρητος ἔσται, ὃς δ᾽ ἂν ἐκκαύσῃ κακίαν ἀπολεῖται ἀπ᾽ αὐτῆς. οὐ συμφέρει ἄφρονι τρυφή, καὶ ἐὰν οἰκέτης ἄρξηται μεθ᾽ ὕβρεως δυναστεύειν. ἐλεήμων ἀνὴρ μακροθυμεῖ, τὸ δὲ καύχημα αὐτοῦ ἐπέρχεται παρανόμοις. βασιλέως ἀπειλὴ ὁμοία βρυγμῷ λέοντος. ὥσπερ δὲ δρόσος ἐπὶ χόρτῳ, οὕτως τὸ ἱλαρὸν αὐτοῦ. αἰσχύνη πατρὶ υἱὸς ἄφρων, καὶ οὐχ ἁγναὶ εὐχαὶ ἀπὸ μισθώματος ἑταίρας. οἶκον καὶ ὕπαρξιν μερίζουσι πατέρες παισί, παρὰ δὲ κυρίου ἁρμόζεται γυνὴ ἀνδρί. δειλία κατέχει ἀνδρόγυνον, ψυχὴ δὲ ἀεργοῦ πεινάσει. Ὃς φυλάσσει ἐντολὴν, τηρεῖ τὴν ἑαυτοῦ ψυχήν, ὁ δὲ καταφρονῶν τῶν ἑαυτοῦ ὁδῶν ἀπολεῖται. δανείζει θεῷ ὁ ἐλεῶν πτωχόν, κατὰ δὲ τὸ δόμα αὐτοῦ ἀνταποδώσει αὐτῷ. παίδευε υἱόν σου, οὕτως γὰρ ἔσται εὔελπις, εἰς δὲ ὕβριν μὴ ἐπαίρου τῇ ψυχῇ σου. κακόφρων ἀνὴρ πολλὰ ζημιωθήσεται, ἐὰν δὲ λοιμεύηται, καὶ τὴν ψυχὴν αὐτοῦ προσθήσει. Ἄκουε υἱὲ παιδείαν πατρός σου, ἵνα σοφὸς γένῃ ἐπ᾽ ἐσχάτων

σου.

odit, & ab amicitia longe erit. Cogitatio bona scientib⁹ eã propinquabit, uir aũt prudẽs inueniet eã. Multa malefaciẽs perficit malitiã, q aũt irritat sermonib. nõ saluabit. Qui possidet prudentiã diligit se, q uero custodit prudẽtiã, inueniet bona. Testis mendax non impunitus erit, qui autem incendet maliciam, peribit ab illa. Non conferunt stulto deliciæ, & si seruus inceperit cum superbia dominari. Misericors uir patiẽs est, at gloria eius instat iniustis. Regis minæ similes fremitui leonis, sicut autẽ ros super herbam, sic hilaritas eius. Verecundia patri filius stultus, & non casta uota de mercede meretricis. Domum & substantiam diuidunt patres filiis, à domino autem aptatur mulier uiro. Timiditas detinet effoeminatum, animã autẽ ociosi esuriet. Qui custodit mandatũ, custodit suam animã, qui aũt neglĩgit suas uias, peribit. Fœneratur deo miserens pauperis, secundum autẽ donum eius retribuet ei. Erudi filium tuũ, sic enim erit bonę spei, in iniuriã uero ne extollaris aĩo tuo. Nequã uir multis mulctabit. si autem mastauerit, & animam suam addet. Audi fili disciplinam patris tui, ut sapiens sis in ultimis

tuis

tuis. Multæ cogitationes in corde uiri, at consilium domini in seculum manebit. Fructus uiro misericordia, melior autem mendicus iustus, quàm diues mendax. Timor domini in uitã uiro, at intrepidus morabitur in locis, ubi non considerat cognitio. Abscondens in sinum suum manus iniuste, neq; ori applicauerit eas. Pestilente flagellato stultus astutior erit, si autem corripueris uirum prudẽtem, intelliget sensum. Qui inhonorat patrem & expellens matrem suam, confundetur, & exprobabilis erit. Filius negligens custodire disciplinam patris, meditabitur sermones malos. Spondens pro puero stulto iniuria afficiet iustitiã, os autem impiorum deuorabit iudicia. Parantur luxuriosis flagella, & supplicia similiter stultis.

Immodesta res uinũ & iniuriosa ebrietas, omnis autem ligurẽs non erit sapiens. Non differũt minæ regis ab ira leonis, qui aũt prouocat eũ & immiscẽs, peccat in suam animam. Gloria uiro auerti à cõtumelia, omnis autem stultus his implicatur. Exprobratus piger non erubescit, similiter & qui fœneratur triticum in messe. Aqua profunda, consilium in corde uiri,

uir

σου. πολλοὶ λογισμοὶ ἐν καρδίᾳ ἀνδρός, ἡ δὲ βουλὴ τοῦ κυρίου εἰς τὸν αἰῶνα μένει. καρπὸς ἀνδρὶ ἐλεημοσύνη, κρείσσων δὲ πτωχὸς δίκαιος, ἢ πλούσιος ψεύστης. φόβος κυρίου εἰς ζωὴν ἀνδρί, ὁ δὲ ἄφοβος αὐλισθήσεται ἐν τόποις, οὗ οὐκ ἐπισκοπεῖται γνῶσις. ὁ ἐγκρύπτων εἰς τὸν κόλπον αὐτοῦ τὰς χεῖρας ἀδίκως, οὐδὲ τῷ στόματι οὐ μὴ προσαγάγῃ αὐτάς. λοιμοῦ μαστιγουμένου ἄφρων πανουργότερος ἔσται, ἐὰν δὲ ἐλέγχῃς ἄνδρα φρόνιμον, νοήσει αἴσθησιν. ὁ ἀτιμάζων πατέρα καὶ ἀπωθούμενος μητέρα αὐτοῦ, καταισχυνθήσεται καὶ ἐπονείδιστος ἔσται. υἱὸς ἀπολειπόμενος φυλάξαι παιδείαν πατρός, μελετήσει ῥήσεις κακάς. ὁ ἐγγυώμενος παῖδα ἄφρονα, καθυβρίζει δικαίωμα, στόμα δὲ ἀσεβῶν καταπίεται κρίσεις. ἑτοιμάζονται ἀκολάστοις μάστιγες, καὶ τιμωρίαι ὁμοίως ἄφροσιν.

Ἀκόλαστον οἶνος, καὶ ὑβριστικὸν μέθη, πᾶς δὲ ὁ λυμαινόμενος οὐκ ἔσται σοφός. οὐ διαφέρει ἀπειλὴ βασιλέως θυμοῦ λέοντος, ὁ δὲ παροξύνων αὐτὸν καὶ ἐπιμιγνύμενος, ἁμαρτάνει εἰς τὴν ἑαυτοῦ ψυχήν. δόξα ἀνδρὶ ἀποστρέφεσθαι λοιδορίας, πᾶς δὲ ἄφρων τοιούτοις συμπλέκεται. ὀνειδιζόμενος ὀκνηρὸς οὐκ αἰσχυνθήσεται, ὡσαύτως καὶ ὁ δανειζόμενος σῖτον ἐν ἀμήτῳ. ὕδωρ βαθὺ, βουλὴ ἐν καρδίᾳ ἀνδρός,

ἀνὴρ

ἀνὴρ δὲ φρόνιμος ἐξαντλήσει αὐ-
τήν. μέγα ἄνθρωπος, καὶ τίμιον ἀ-
νὴρ ἐλεήμων, ἄνδρα δὲ πιστὸν ἔρ-
γον εὑρεῖν. ὃς ἀναστρέφεται ἄμω-
μος ἐν δικαιοσύνῃ, μακαρίους τοὺς
παῖδας αὐτοῦ καταλείψει. ὅταν
βασιλεὺς δίκαιος καθίσῃ ἐπὶ θρό-
νου, οὐκ ἐναντιοῦται ἐν ὀφθαλ-
μοῖς αὐτοῦ πᾶν πονηρόν. τίς καυχή-
σεται ἁγνὴν ἔχειν τὴν καρδίαν; ἢ
τίς παῤῥησιασθήσεται καθαρὸς εἶ-
ναι ἀπὸ ἁμαρτιῶν; κακολογοῦντος
πατέρα ἢ μητέρα σβεσθήσεται λαμ-
πτὴρ, αἱ δὲ κόραι τῶν ὀφθαλμῶν αὐ-
τοῦ ὄψονται σκότος. μερὶς ἐπισπου-
δαζομένη ἐν πρώτοις, ἐν τοῖς τε-
λευταίοις οὐκ εὐλογηθήσεται. μὴ εἴ-
πῃς, τίσομαι τὸν ἐχθρὸν, ἀλλ' ὑπό-
μεινον τὸν κύριον, ἵνα σοὶ βοηθήσῃ.
στάθμιον μέγα καὶ μικρὸν καὶ μέτρα
δισσὰ, ἀκάθαρτα ἐνώπιον κυρίου,
ἀμφότερα, καὶ ὁ ποιῶν αὐτά. ἐν τοῖς
ἐπιτηδεύμασιν αὐτοῦ ὑποσκελισθήσε-
ται νεανίσκος μετὰ ὁσίου, καὶ εὐ-
θεῖα ἡ ὁδὸς αὐτοῦ. οὖς ἀκούει, καὶ ὀφθαλ-
μὸς ὁρᾷ κυρίου ἔργα καὶ ἀμφότερα. μὴ
ἀγάπα καταλαλεῖν, ἵνα μὴ ἐξαρ-
θῇς. διάνοιξον δὲ τοὺς ὀφθαλμούς σου,
καὶ ἐμπλήσθητι ἄρτων. βδέλυγμα
κυρίῳ, δισσὸν στάθμιον, καὶ ζυγὸς δό-
λιος οὐ καλὸν ἐνώπιον αὐτοῦ. παρὰ
κυρίου εὐθύνεται τὰ διαβήματα
ἀνδρὶ, θνητὸς δὲ πῶς ἂν νοήσαι τὰς
ὁδοὺς αὐτοῦ; παγὶς ἀνδρὶ, ταχύ τι τῶν
ἰδίων

uir autem prudens exhau
riet illud. Magnũ homo,
& preciosum uir miseri-
cors, uirum autem fidum
opus inuenire. Qui uersat
innoxius in iustitia, bea-
tos filios suos relinquet.
Cum rex iustus cõsederit
in solio, non aduersatur in
oculis eius omne malum.
Quis iactabit castum ha-
bere cor? Aut quis liberè
dicet purus esse à pecca-
catis? Maledicentis patrẽ
uel matrem extinguet lu
cerna, at pupillæ oculorũ
eius uidebunt tenebras.
Pars accelerans in primis,
in ultimis non benedicet.
Ne dicas, Vlciscar inimi-
cum, sed expecta domi-
num, ut tibi auxilietur. Sta
tera magna & parua &
mensuræ duplices, immun
da coram domino, utra-
que & faciens ea. In stu-
diis suis impedietur ado-
lescens cum sancto, & re-
cta uia eius. Auris audit,
& oculus uidet, domini
opera & utraque. Ne di-
ligas obloqui, ut non euer
taris. Aperi autem oculos
tuos, & implere panibus.
Fastidiũ domino duplex
statera, & iugum dolosum
non bonum coram eo. A
dño dirigũtur gressus ui-
ro, mortalis aũt quomodo
sane intelligat uias suas?
Laque⁹ uiro, cito aliquid

proptiorum consecrare. Post enim uotum factum pœnitere contingit. Dissipator impiorum rex sapiens, & inijciet eis rotã. Lux domini, spiritus hominum, aut lucerna, quæ scrutatur conclauia uentris. Misericordia & ueritas, custodia regi, & circumdabunt in iustitia solium eius. Ornatus iuuenibus sapientia, gloria autem seniorum cani. Liuores et cõtritiones occurrunt malis, plagæ autem in conclauia uentris.

3.Reg.15

Cap. XIX.

Sicut impetus aquæ, ita cor regis in manu dei, quocunque uoluerit uergere, eo inclinauit illud. Omnis uir uidetur sibiipsi iustus, dirigit autẽ corda dominus. Facere iusta & ueracẽ esse, placita apud deum magis quàm uictimarũ sanguis. Magnanimus in iniuria audax, fax aũt impiorũ, peccata. Cogitatiões cõcidẽtis pręter quam in supfluitatẽ, et omnis nõ accelerãs pręter quã in defectum. Operãs reponẽda lingua mendaci, uana sequitur, in retia mortis. Pernicies impijs hospitio excipieẽ, nõ eñi uolũt agere iusta. Ad pueruos, pter uas uias emittit deus, casta eñi et recta opera eius. Melius habitare in angulo sub diali, quã pictis cũ iniustitia et in domo cõmuni. Anima impij non misericordiam

Inf.25

ἰδίων ἁγιάσαι. μετὰ γὰρ τὸ εὔξασθαι μετανοεῖν γίνεται. λικμήτωρ ἀσεβῶν, βασιλεὺς σοφὸς, καὶ ἐπιβαλεῖ αὐτοῖς τροχόν. φῶς κυρίου, πνοὴ ἀνθρώπων, ἢ λαμπτὴρ ὃς ἐρευνᾷ ταμιεῖα κοιλίας. ἐλεημοσύνη καὶ ἀλήθεια, φυλακὴ βασιλεῖ, καὶ περικυκλώσουσιν ἐν δικαιοσύνῃ τὸν θρόνον αὐτοῦ. κόσμος νεανίαις σοφία, δόξα δὲ πρεσβυτέρων πολιαί. ὑπώπια καὶ συντρίμματα συναντᾷ κακοῖς, πληγαὶ δὲ εἰς ταμιεῖα κοιλίας.

Ὥσπερ ὁρμὴ ὕδατος, οὕτως καρδία βασιλέως ἐν χειρὶ θεοῦ, οὗ ἐὰν θέλῃ νεῦσαι, ἐκεῖ ἔκλινεν αὐτήν. πᾶς ἀνὴρ φαίνεται ἑαυτῷ δίκαιος, κατευθύνει δὲ καρδίας κύριος. ποιεῖν δίκαια καὶ ἀληθεύειν, ἀρεστὰ παρὰ θεῷ μᾶλλον, ἢ θυσιῶν αἷμα. μεγαλόφρων ἐφ᾽ ὕβρει θρασυκάρδιος, λαμπτὴρ δὲ ἀσεβῶν ἁμαρτία. λογισμοὶ συντέμνοντος πλὴν εἰς περισσείαν, καὶ πᾶς μὴ ἐπισπουδάζων πλὴν εἰς ὑστέρημα. ὁ ἐνεργῶν θησαυρίσματα γλώσσῃ ψευδεῖ, μάταια διώκει ἐπὶ παγίδας θανάτου. ὄλεθρος ἀσεβέσιν ἐπιξενωθήσεται, οὐ γὰρ βούλονται πράσσειν τὰ δίκαια. πρὸς τοὺς σκολιὰς ὁδοὺς ἐξαποστέλλει ὁ θεὸς, ἁγνὰ γὰρ καὶ ὀρθὰ τὰ ἔργα αὐτοῦ. κρεῖσσον οἰκεῖν ἐπὶ γωνίας ὑπαίθρου, ἢ ἐν κεκονιαμένοις μετὰ ἀδικίας καὶ ἐν οἴκῳ κοινῷ. ψυχὴ ἀσεβοῦς οὐκ ἐλεη-

cordiam

θήσεται

θήσεται ὑπ' οὐδενὸς τῶν ἀνθρώπων, ζημιουμένου ἀκολάστου, πανουργότερος γίνεται ὁ ἄκακος, συνιῶν δὲ σοφὸς δέξεται γνῶσιν. συνιεῖ δὲ δίκαιος καρδίας ἀσεβῶν, καὶ φαυλίζει ἀσεβεῖς ἐν κακοῖς. ὃς φράσσει τὰ ὦτα αὐτοῦ τοῦ μὴ ἀκοῦσαι ἀσθενοῦς, καὶ αὐτὸς ἐπικαλέσεται, καὶ οὐκ ἔσται ὁ εἰσακούων. δόσις λάθριος ἀναστρέπει ὀργάς, δώρων δὲ ὁ φειδόμενος θυμὸν ἐγείρει ἰσχυρόν. εὐφροσύνη δικαίων ποιεῖν κρίμα, ὅσιος δὲ ἀκάθαρτος παρὰ κακούργοις. ἀνὴρ πλανώμενος ἐξ ὁδοῦ δικαιοσύνης, ἐν συναγωγῇ γιγάντων ἀναπαύσεται, ἀνὴρ δὲ ἐνδεὴς ἀγαπᾷ εὐφροσύνην, φιλῶν οἶνον καὶ ἔλαιον εἰς πλοῦτον. Περικάθαρμα δὲ δικαίου ἄνομος. κρεῖσσον οἰκεῖν ἐν γῇ ἐρήμῳ, ἢ μετὰ γυναικὸς μαχίμου καὶ γλωσσώδους καὶ ὀργίλου. θησαυρὸς ἐπιθυμητὸς ἀναπαύσεται ἐπὶ στόματος σοφοῦ, ἄφρονες δὲ ἄνδρες καταπίονται αὐτόν. ὁδὸς δικαιοσύνης καὶ ἐλεημοσύνης εὑρήσει ζωὴν καὶ δόξαν. πόλεις ὀχυρὰς ἐπέβη σοφός, καὶ καθεῖλε τὸ ὀχύρωμα, ἐφ' ᾧ ἐπεποίθεισαν οἱ ἀσεβεῖς. Ὃς φυλάσσει τὸ στόμα αὐτοῦ καὶ τὴν γλῶσσαν, διατηρεῖ ἐκ θλίψεως τὴν ψυχὴν αὐτοῦ. θρασὺς καὶ αὐθάδης καὶ ἀλαζών, λοιμὸς καλεῖται, ὃς δὲ μνησικακεῖ, παράνομος. ἐπιθυμίαι ὀκνηρὸν ἀποκτείνουσιν,

οὐ γὰρ

cordiam consequetur ab ullo hominum. Mulctato immodesto, uersutior per omnia fit innocẽs. Itelligẽs autẽ sapiens accipiet cognitionem. Intelliget iustꝰ corda impiorum, & uilipendit impios in malis. Qui obturat aures suas, ne audiat imbecillum, et ipse inuocabit, & non erit exaudiens. Munus absconditũ auertit iras, à donis autem parcens furorẽ excitat fortem. Gaudium iustorum facere iudicia, sanctus aũt immũdus apud maleficos. Vir errãs à uia iustitiæ, in cœtu Gigãtũ requiescet, uir autẽ indigens diligit lętitiam, amans uinum & oleum in diuitias. Purgatio autẽ iusti iniquus. Melius habitare in terra deserta, quàm cũ mulierere rixosa & linguace & iracũda. Thesaurus desiderabilis requiescet in domo sapientis, stulti autem uiri deuorant illum. Via iustitię & misericordiæ inueniet uitam & gloriã. Ciuitates munitas ascendit sapiens, & destruxit munitionem, in qua confisi fuerant impij. Qui custodit os suum & linguam, seruat à calamitate animã suã. Temeratius et arrogãs es superbus, pestis uocatur, qui autẽ reminiscitur iniuriã, iniquus. Desideria pigrum occidunt.

Vua non

non enim eligunt manus eius facere quicquā. Impius desiderat totā diē desideria mala, at iustus miseretur, & miseratur assidue. Hostiæ impiorū abominatio domino, etenim inique offerunt eas. Testis mendax peribit. uir obediens seruatus loquet. Impius uir procaciter obfirmatur uultu, at rectus ipse intelliget uias suas. Non est sapientia, non est fortitudo, non est consilium ad impium. Equus parat ad diē belli, à domino uerò auxilium.

Cap. XXII. Electius nomē bonum, quàm diuitiæ multę, super argentum autem & aurū gratia bona. Diues et pauper obuiauerūt sibi, utrosque autem dominus fecit. Callidus uidens malū cruciatū, fortiter ipse erudit, at stulti pertranseuntes affecti sunt damno. Generatio sapientiæ, timor domini, & diuitiæ & gloria et uita. Tribuli & laquei in uiis tortuosis, at custodiēs suam animam cauebit ab eis. Diuites pauperibus imperabunt, & serui propriis dominis fœnerabuntur. Qui seminat uilia, metet mala, plagā autē operū eius consummabit. Virū hilarem & datorē diligit dominus, uanitatē autem operū eius consummabit. Miserens mendicum ipse enutrietur

οὐ γὰρ προαιροῦνται αἱ χεῖρες αὐτοῦ ποιεῖν τι. ἀσεβὴς ἐπιθυμεῖ ὅλην τὴν ἡμέραν ἐπιθυμίας κακάς, ὁ δὲ δίκαιος ἐλεεῖ, καὶ οἰκτείρει ἀφειδῶς. θυσίαι ἀσεβῶν βδέλυγμα κυρίῳ, καὶ γὰρ παρανόμως προσφέρουσιν αὐτάς. μάρτυς ψευδὴς ἀπολεῖται, ἀνὴρ ὑπήκοος φυλασσόμενος λαλήσει. ἀσεβὴς ἀνὴρ ἀναιδῶς ὑφίσταται προσώπῳ, ὁ δὲ εὐθὺς αὐτὸς συνιεῖ τὰς ὁδοὺς αὐτοῦ. οὐκ ἔστι σοφία, οὐκ ἔστιν ἀνδρεία, οὐκ ἔστι βουλὴ πρὸς τὸν ἀσεβῆ. ἵππος ἑτοιμάζεται εἰς ἡμέραν πολέμου, παρὰ δὲ κυρίου ἡ βοήθεια.

Αἱρετώτερον ὄνομα καλὸν ἢ πλοῦτος πολύς, ὑπὲρ δὲ ἀργύριον καὶ χρυσίον χάρις ἀγαθή. πλούσιος καὶ πτωχὸς συνήντησαν ἀλλήλοις, ἀμφοτέρους δὲ ὁ κύριος ἐποίησε. πανοῦργος ἰδὼν πονηρὸν τιμωρούμενον, κραταιῶς αὐτὸς παιδεύεται, οἱ δὲ ἄφρονες παρελθόντες ἐζημιώθησαν. γενεὰ σοφίας, φόβος κυρίου, καὶ πλοῦτος καὶ δόξα καὶ ζωή. Τρίβολοι καὶ παγίδες ἐν ὁδοῖς σκολιαῖς, ὁ δὲ φυλάσσων τὴν ἑαυτοῦ ψυχήν, ἀφέξεται ἀπ' αὐτῶν. πλούσιοι πτωχῶν ἄρξουσι, καὶ οἰκέται ἰδίοις δεσπόταις δανειοῦσιν. ὁ σπείρων φαῦλα θερίσει κακά, πληγὴν δὲ ἔργων αὐτοῦ συντελέσει. ἄνδρα ἱλαρὸν καὶ δότην ἀγαπᾷ ὁ θεός, ματαιότητα δὲ ἔργων αὐτοῦ συντελέσει. ὁ ἐλεῶν πτωχόν, αὐτὸς δια-

διατραφήσεται, τοῦ γὰρ ἑαυτοῦ ἄρτου δέδωκεν τῷ πτωχῷ. νίκην καὶ τιμὴν περιποιεῖται ὁ δῶρα δοὺς, τὴν μέν τοι ψυχὴν ἀφαιρεῖται τῶν κεκτημένων. ἔκβαλε ἐκ συνεδρίου λοιμὸν, καὶ συνεξελεύσεται αὐτῷ νεῖκος, ὅταν γὰρ καθίσῃ ἐν συνεδρίῳ, πάντας ἀτιμάζει. ἀγαπᾷ κύριος ὁσίας καρδίας, δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ταῖς ὁδοῖς αὐτῶν. χείλεσι ποιμαίνει βασιλεύς, οἱ δὲ ὀφθαλμοὶ κυρίου διατηροῦσιν αἴσθησιν, φαυλίζει δὲ λόγους παράνομος. προφασίζεται, καὶ λέγει ὀκνηρὸς, λέων ἐν ταῖς ὁδοῖς, ἐν δὲ ταῖς πλατείαις φονευταί. βόθρος βαθὺς στόμα παρανόμου, ὁ δὲ μισηθεὶς ὑπὸ κυρίου ἐμπεσεῖται εἰς αὐτόν. εἰσὶν ὁδοὶ κακαὶ ἐνώπιον ἀνδρὸς, καὶ οὐκ ἀγαπᾷ τὸ ἀποστρέψαι ἀπ' αὐτῶν, ἀποστρέφειν δὲ δεῖ ἀπὸ ὁδοῦ σκολιᾶς καὶ κακῆς. ἄνοια ἐξῆπται καρδίας νέου, ῥάβδος δὲ καὶ παιδεία μακρὰν ἀπ' αὐτοῦ. ὁ συκοφαντῶν πένητα, πολλὰ ποιεῖ τὰ ἑαυτοῦ κακὰ, δίδωσι δὲ πλουσίῳ ἐπ' ἐλάσσονι. λόγοις σοφῶν παράβαλλε τὸ οὖς σὸν, καὶ ἄκουε ἐμῶν λόγων. τὴν δὲ σὴν καρδίαν ἐπίστησον, ἵνα γνῷς, ὅτι καλοί εἰσιν. καὶ ἐὰν ἐμβάλῃς αὐτοὺς εἰς τὴν καρδίαν σου, εὐφρανοῦσί σε ἅμα σοῖς χείλεσι, ἵνα σου γένηται ἐπὶ κύριον ἡ ἐλπὶς, καὶ γνωρίσῃ σοὶ τὴν ὁδὸν αὐτοῦ. καὶ σὺ δὲ ἀπόγραψαι σοὶ αὐτοὺς τρισσῶς, εἰς βουλὴν καὶ ἔννοιαν καὶ γνῶσιν.

ἐπὶ

enutrietur. nam de suis panibus dedit pauperi. Victoriam & honorē acquirit munera dans, tamen animā aufert possidentiū. Eiice de cōcilio pestilentem, & exibit simul cum eo iurgium, cum enim sederit in concilio, oēs dehonestat. Diligit dominus sancta corda, accepti autē ei omnes irreprehēsibiles in uiis suis. Labiis pascit rex, at oculi domini custodiunt sensum, uilipendit autem sermones iniquus. Prætexit, & dicit piger, leo in uiis, in plateis autē homicidæ. Fouea profunda os iniqui, at odio habitus à domino, incidet in eam. Sunt uiæ malæ corā uiro, & non amat auertisse ab eis, auertere uero oportet à uia obliqua & mala. Amentia dependet in corde iuuenis, uirga autem et disciplina longe ab eo. Calumnians pauperē, multa facit sua mala, dat autē diuiti in minori. Sermonibus sapientum adiice aurem tuam, & audi meos sermones. At tuum cor constitue, ut cognoscas, quod boni sunt. Et si immiseris eos in cor tuū, gaudio afficient te simul cum tuis labiis, ut tua sit in dñm spes, & pateiaciat tibi uiā eius. Et tu aūt exscribe tibiipsi ea tripliciī, in consiliū et cogitationē & notitiā & cognitionē,

in tabulā cordis tui. Doceo igitur te uerum sermōem, & cognitionem bonam audire, ut respondeas tu sermones ueritatis praemittentibus te. Ne uiola pauperem, mēdicus enim est. Et ne dehonestes inbecillum in portis. Nam dominus iudicabit eius iudiciū, et liberabit simul habitantem animam. Ne sis socius uiro furioso, amico autem iracundo ne cohabita, ne forte discas uias eius, & sumas laqueos tuae animae. Ne des teipsū in sponsorem pudefaciēs conspectum, si enim non habueris, unde exsoluas, accipient lectum qui sub lateribus tuis. Ne transfer terminos aeternos, quos statuerunt patres tui. Perspicacem uirum & uelocē in operibus suis regibus oportet assistere, & non assistere uiris segnibus.

Cap. XXIII Si cōsederis, ut coenes in mensa potētis, prudenter cogita apposita tibi, & inijce manum tuam, sciens quod talia te oportet apparare. Si autem insatiabilior es, ne desidera escas eius, hę cū hęrent uitae mēdaci. Non contende pauper existens cum diuite, at tua cogitatiōe abstine. Si cōstitueris tuū oculū ad eū, nusquā apparebit, apparatae sunt enim ei alae tanquam aquilae, & reuertitur in domū praefecti sui.

ἐπὶ τὸ πλάτος τῆς καρδίας σου. διδάσκω οὖν σε ἀληθῆ λόγον, καὶ γνῶσιν ἀγαθὴν ὑπακούειν, τοῦ ἀποκρίνεσθαί σε λόγους ἀληθείας τοῖς προβαλλομένοις σοι. μὴ ἀποβιάζου πένητα, πτωχὸς γάρ ἐστι. καὶ μὴ ἀτιμάσῃς ἀσθενῆ ἐν πύλαις, ὁ γὰρ κύριος κρινεῖ αὐτοῦ τὴν κρίσιν, καὶ ῥύσεται σὴν ἄσυλον ψυχήν. μὴ ἴσθι ἑταῖρος ἀνδρὶ θυμώδει, φίλῳ δὲ ὀργίλῳ μὴ συναυλίζου, μήποτε μάθῃς τῶν ὁδῶν αὐτοῦ, καὶ λάβῃς βρόχους τῇ ψυχῇ. μὴ δίδου σεαυτὸν εἰς ἐγγύην, αἰσχυνόμενος πρόσωπον, ἐὰν γὰρ μὴ ἔχῃς, πόθεν ἀποτίσῃς, λήψονται τὸ στρῶμα τὸ ὑπὸ τὰς πλευράς σου. μὴ μέταιρε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου. ὁρατικὸν ἄνδρα καὶ ὀξὺν ἐν τοῖς ἔργοις αὐτοῦ βασιλεῦσι δεῖ παρεστάναι, καὶ μὴ παρεστάναι ἀνδράσι νωθροῖς.

Ἐὰν καθίσῃς δειπνεῖν ἐπὶ τραπέζης δυναστῶν, νοητῶς νόει τὰ παρατιθέμενά σοι, καὶ ἐπίβαλλε τὴν χεῖρά σου, εἰδὼς ὅτι τοιαῦτά σε δεῖ παρασκευάσαι. εἰ δὲ ἀπληστότερος εἶ, μὴ ἐπιθύμει τῶν ἐδεσμάτων αὐτοῦ, ταῦτα γὰρ ἔχεται ζωῆς ψευδοῦς. μὴ παρεκτείνου πένης ὢν πλουσίῳ, τῇ δὲ σῇ ἐννοίᾳ ἀπόσχου. ἐὰν ἐπιστήσῃς τὸ σὸν ὄμμα πρὸς αὐτόν, οὐδαμοῦ φανεῖται, κατεσκεύασται γὰρ αὐτῷ πτέρυγες ὥσπερ ἀετοῦ, καὶ ὑποστρέφει εἰς τὸν οἶκον τοῦ προεστηκότος αὐτοῦ.

αὐτοῦ. μὴ συνδείπνει ἀνδρὶ βασκάνῳ, μηδὲ ἐπιθύμει τῶν βρωμάτων αὐτοῦ. ὃν τρόπον γὰρ εἴ τις καταπίοι τρίχα, οὕτως ἐσθίει, καὶ πίνει. μηδὲ πρὸς σὲ εἰσαγάγῃς αὐτὸν, καὶ φάγῃς τὸν ψωμόν σου μετ᾽ αὐτοῦ, ἐξεμέσει γὰρ αὐτὸν, καὶ λυμανεῖται τοὺς λόγους σου τοὺς καλούς. εἰς ὦτα ἄφρονος μηδὲν λέγε, μήποτε μυκτηρίσῃ τοὺς συνετοὺς λόγους σου. μὴ μεταθῇς ὅρια αἰώνια, εἰς δὲ κτῆμα ὀρφανῶν μὴ εἰσέλθῃς. ὁ γὰρ λυτρούμενος αὐτοὺς κύριος κραταιός ἐστι, καὶ κρινεῖ τὴν κρίσιν αὐτῶν μετὰ σοῦ. δὸς εἰς παιδείαν τὴν καρδίαν σου, τὰ δὲ ὦτά σου ἑτοίμασον λόγοις αἰσθήσεως. μὴ ἀπόσχῃ νήπιον παιδεύειν, ὅτι ἐὰν πατάξῃς αὐτὸν ῥάβδῳ, οὐ μὴ ἀποθάνῃ. σὺ μὲν γὰρ πατάξεις αὐτὸν ῥάβδῳ, τὴν δὲ ψυχὴν αὐτοῦ ἐκ θανάτου ῥύσῃ. Υἱὲ, ἐὰν σοφὴ γένηταί σου ἡ καρδία, εὐφρανεῖς καὶ τὴν ἐμὴν καρδίαν, καὶ ἐνδιατρίψει λόγων τὰ σὰ χείλη πρὸς τὰ ἐμὰ χείλη, ἐὰν ὀρθὰ ὦσι. μὴ ζηλούτω ἡ καρδία σου ἁμαρτωλοὺς, ἀλλὰ ἐν φόβῳ κυρίου ἴσθι ὅλην τὴν ἡμέραν, ἐὰν γὰρ τηρήσῃς αὐτὰ, ἔσται σοι ἔκγονα, ἡ δὲ ἐλπίς σου οὐκ ἀποστήσεται. Ἄκουε υἱὲ, καὶ σοφὸς γίνου, καὶ κατεύθυνε ἐννοίας σῆς καρδίας. μὴ ἴσθι οἰνοπότης, μηδὲ ἐκτείνου συμβολαῖς, κρεῶν τε ἀγορασμοῖς. πᾶς γὰρ μέθυσος καὶ πορνοκόπος πτωχεύσει, καὶ ἐνδύσεται διερρηγμένα

καὶ

sui. Ne cœnes cum uiro inuido, neq; desidera cibos eius. Quemadmodum enim si quis absorbeat pilũ, sic edit, & bibit. Neque ad te inducas eum, et edas frustum tuũ cum eo, euomet enim illud, & inficiet sermones tuos pulchros. In aures insipientis nihil dic, ne forte subsannet prudentes sermones tuos. Ne transmutes terminos æternos, in possessionem pupillorum autẽ ne ingredaris. Nam redimẽs illos dominus, fortis est, et iudicabit iudicium illorum tecum. Da in disciplinam cor tuum, at aures tuas para sermonibus sensus. Ne abstineas infantẽ erudire, quoniam si percusseris eũ uirga, nequaquam morietur. Tu quidem enim percuties eum uirga, at animam eius è morte liberabis.

Fili si sapiens fuerit tuum cor, lętificabis meum cor. Sup.13 Eccl.30
& immorabũt sermõibus tuá labia erga mea labia, si recta fuerint. Non æmuletur cor tuũ peccatores, sed in timore domini esto totã diẽ. Si enim custodieris illa, erũt tibi nepotes, spes uero tua nõ deficiet. Audi fili, & sapiẽs esto, & dirige cogitatiões tui cordis. Ne sis bibax uini, neque intendaris symbolis, carniũq; emptionibus. Omnis eñ ebrius et leno mẽdicabit, et uestieẽ diruptis

 &

& laceris omnis somnolentus. Audi fili patrem qui genuit te, & ne contĕnas, quod senuit tua mater. Veritatem acquire, et ne repellas sapientiam & disciplinam & intellectũ. Recte educat pater iust⁹, in filio autem sapiente lætatur anima eius. Lætetur pater & mater in te, & gaudeat quæ pariet te. Præbe mihi fili tuum cor, at tui oculi meas uias custodiãt. Dolium enim fractum est aliena domus, & puteus angustus alienus. Hic em̃ breui peribit, et omnis iniquus consumetur. Cui uę, cui tumultus, cui iudicia, cui tristitiæ & inopię, cui contritiones superuacuę? Cuius liuentes oculi, non immorantium in uinis, nõ inuestigantium, ubi conuiuia fiunt? Ne inebriemini uino, sed uersamini cũ hominibus iustis, & uersamini in deambulationibus. Si enim in phialas & uasa dederis oculos tuos, postea ambulabis nudior pistillo, at nouissime tanquã à serpente uulneratus extendit, & tanquam à ceraste diffundit eius uenenũ. Oculi tui cum uiderint alienam, os tuum tunc loquetur peruersa. Et iacebis sicut in corde maris, et sicut gubernator in multa tẽpestate. Dices aũt, uerberauerũt me, et nõ laboraui

& illu

καὶ ῥακώδη πᾶς ὑπνώδης. ἄκουε υἱὲ πατρὸς τοῦ γεννήσαντός σε, καὶ μὴ καταφρόνει, ὅτι γεγήρακέ σου ἡ μήτηρ. ἀλήθειαν κτῆσαι, καὶ μὴ ἀπώσῃ σοφίαν καὶ παιδείαν καὶ σύνεσιν. καλῶς ἐκτρέφει πατὴρ δίκαιος, ἐπὶ δὲ υἱῷ σοφῷ εὐφραίνεται ἡ ψυχὴ αὐτοῦ. εὐφραινέσθω ὁ πατὴρ καὶ ἡ μήτηρ ἐπί σοι, καὶ χαιρέτω ἡ τεκοῦσά σε. δός μοι υἱὲ σὴν καρδίαν, οἱ δὲ σοὶ ὀφθαλμοὶ ἐμὰς ὁδοὺς τηρείτωσαν. πίθος γὰρ τετρημένος ἐστὶν ἀλλότριος οἶκος, καὶ φρέαρ στενὸν ἀλλότριον. οὗτος γὰρ συντόμως ἀπολεῖται, καὶ πᾶς παράνομος ἀναλωθήσεται. τίνι οὐαί, τίνι θόρυβος, τίνι κρίσεις, τίνι ἀηδίαι καὶ λέσχαι, τίνι συντρίμματα διὰ κενῆς; τίνος πελιδνοὶ οἱ ὀφθαλμοί, οὐ τῶν ἐγχρονιζόντων ἐν οἴνοις, οὐ τῶν ἰχνευόντων, ποῦ πότοι γίνονται; μὴ μεθύσκεσθε οἴνῳ, ἀλλὰ ὁμιλεῖτε ἀνθρώποις δικαίοις, καὶ ὁμιλεῖτε ἐν περιπάτοις. ἐὰν γὰρ εἰς τὰς φιάλας καὶ τὰ ποτήρια δῶς τοὺς ὀφθαλμούς σου, ὕστερον περιπατήσεις γυμνότερος ὑπέρου, τὸ δὲ ἔσχατον ὥσπερ ὑπὸ ὄφεως πεπληγὼς ἐκτείνεται, καὶ ὥσπερ ὑπὸ κεράστου διαχεῖται αὐτοῦ ὁ ἰός. οἱ ὀφθαλμοί σου ὅταν ἴδωσιν ἀλλοτρίαν, τὸ στόμα σου τότε λαλήσει σκολιά. καὶ κατακείσῃ ὥσπερ ἐν καρδίᾳ θαλάσσης, καὶ ὥσπερ κυβερνήτης ἐν πολλῷ κλύδωνι. ἐρεῖς δέ, ἔτυπτόν με, καὶ οὐκ ἐπόνεσα,

καὶ

καὶ ἐνέπαιξάν μοι, ἐγὼ δὲ οὐκ ᾔδειν, πότε ὄρθρος ἔσται, ἵνα ἐλθὼν ζητήσω, μεθ' ὧν συνελεύσομαι.

Υἱὲ μὴ ζηλώσῃς κακοὺς ἄνδρας, μηδὲ ἐπιθυμήσῃς εἶναι μετ' αὐτῶν. ψευδῆ γὰρ μελετᾷ ἡ καρδία αὐτῶν, καὶ πόνους τὰ χείλη αὐτῶν λαλεῖ. μετὰ σοφίας οἰκοδομεῖται οἶκος, μετὰ συνέσεως ἀνορθοῦται. μετὰ αἰσθήσεως ἐμπίπλαται τὰ ταμιεῖα, ἐκ παντὸς πλούτου τιμίου καὶ καλοῦ. κρείσσων σοφὸς ἰσχυροῦ, καὶ ἀνὴρ φρόνησιν ἔχων γεωργίου μεγάλου. μετὰ κυβερνήσεως γίνεται πόλεμος, βοήθεια δὲ μετὰ καρδίας βουλευτικοῦ. σοφία καὶ ἔννοια ἀγαθὴ ἐν πύλαις σοφῶν. σοφοὶ οὐκ ἐκκλίνουσιν ἐκ νόμου κυρίου, ἀλλὰ λογίζονται ἐν συνεδρίοις. ἀπαιδεύτοις συναντᾷ θάνατος, ἀποθνήσκει δὲ ἄφρων ἐν ἁμαρτίαις. ἀκαθαρσία ἀνδρὶ λοιμῷ ἐμμολυνθήσεται, ἐν ἡμέρᾳ κακῇ καὶ ἐν ἡμέρᾳ θλίψεως, ἕως ἂν ἐκλίπῃ. ῥῦσαι ἀγομένους εἰς θάνατον, καὶ ἐκπρίου κτεινομένους, μὴ φείσῃ. ἐὰν δὲ εἴπῃς, οὐκ οἶδα τοῦτον, γίνωσκε, ὅτι κύριος καρδίας πάντων γινώσκει. καὶ ὁ πλάσας πνοὴν πᾶσιν, αὐτὸς οἶδε τὰ πάντα, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. φάγε μέλι υἱὲ, ἀγαθὸν κηρίον, ἵνα γλυκανθῇ σου ὁ φάρυγξ, οὕτως γὰρ αἰσθήσῃ σοφίαν τῇ σῇ ψυχῇ. ἐὰν γὰρ εὕρῃς, ἔσται καλὴ ἡ τελευτή σου,

καὶ

& illuserũt mihi, ego autẽ nõ noueram, quando diluculũ erit, ut ueniẽs quęrã, cum quibus conueniam.

Fili ne æmuleris malos uiros, neq; desideres esse cum eis. Mendacia enim meditañ cor eorum, & labores labia eorũ loquunt. Cum sapientia ædificatur domus, cum intellectu erigit. Cum sensu replent cellaria, ex omnib. diuitiis preciosis & pulchris. Melior sapiẽs forti, & uir prudentiam habens agricola magno. Cum gubernatione fit bellum, auxiliũ aũt cum corde consilium habente. Sapientia & cogitatio bona in portis sapientum. Sapientes non declinant à lege domini, sed considerant in conciliis. Indoctis occurrit mors, moritur aũt stultus in peccatis. Immundicia uirũ pestilentem inquinat, in die mala & in die afflictionis, quousq; deficiat. Erue eos qui ducunt ad mortẽ, & redime qui occidunt, nõ parcas. Si aũt dixeris, Nõ noui hunc, cognosce, quod dñs corda omnium cognoscit. Et qui formauit anhelitum omnib. ipse nouit oĩa, qui reddet unicuiq; secundũ opera sua. Ede mel fili, bonus enim fauus, ut dulcescat tuũ guttur. Sic em̃ senties sapientiã tua anima, si enim inueneris, erit bonus finis tuus.

Cap.XXIIII

Supra 16

& spes te nõ deseret. Ne adducas impium pabulo iustorum, neq; decipiaris pabulo uẽtris. Septies eñ cadet iustus, & resurget, at impii infirmabuntur in malis. Si ceciderit inimic⁹ tuus, ne gaudeas cõtra eũ, in supplantatiõe autẽ eius ne extollaris. Quoniã uidebit dñs, & nõ placebit ei, & auertet iram suã ab eo. Ne gaudeas in malefactoribus, neq; æmuleris peccatores. Non eñ erũt posteri malis, lampas autẽ impiorũ extinguet̃. Time deum fili & regẽ, & nec alteri eorũ inobediens sis. Repente eñ ulciscent̃ impios, at supplicia utriusq; quis nouit? Sermonem seruãs filius extra perditionẽ erit, suscipiẽs uerò suscipiet eũ. Nullum regi mendacium dicat̃, & nullũ mendacium de ore eius egredietur. Gladius lingua regis, & non carnea, qui uerò traditus fuerit, cõteret̃. Si eñ fuerit iritatus furor eius, cũ neruis homines cõsumit, et ossa hominũ mandit, et cõburit ut flamma, ut non apta sint esui pullis aquilarum. Reuerere fili meos sermones, & ijs susceptis resipisce.

Sententiæ, quas descripserunt amici Ezechiæ regis Iudææ.

Gloria Dei celat sermonem, gloria autẽ regis honorat præceptum eius.

Cœlum

ἐκαταλείψει. μὴ προσαγάγῃς ἀσεβῆ δικαίων, μηδὲ ἀπατηθῇς χορτασίᾳ κοιλίας. ἑπτάκις γὰρ πεσεῖται ὁ δίκαιος, καὶ ἀναστήσεται, οἱ δὲ ἀσεβεῖς ἀσθενήσουσιν ἐν κακοῖς. ἐὰν πέσῃ ὁ ἐχθρός σου μὴ ἐπιχαρῇς αὐτῷ, ἐν δὲ τῷ ὑποσκελίσματι αὐτοῦ μὴ ἐπαίρου, ὅτι ὄψεται κύριος, καὶ οὐκ ἀρέσει αὐτῷ, καὶ ἀποστρέψει τὸν θυμὸν αὐτοῦ ἀπ' αὐτοῦ. μὴ χαῖρε ἐπὶ κακοποιοῖς, μηδὲ ζήλου ἁμαρτωλούς. οὐ γὰρ μὴ γένηται ἔκγονα πονηροῖς, λαμπτὴρ δὲ ἀσεβῶν σβεσθήσεται. φοβοῦ τὸν θεὸν υἱὲ καὶ βασιλέα, καὶ μηθ' ἑτέρῳ αὐτῶν ἀπειθήσῃς. ἐξαίφνης γὰρ τίσονται τοὺς ἀσεβεῖς, τὰς δὲ τιμωρίας ἀμφοτέρων τίς οἶδεν; λόγον φυλασσόμενος υἱὸς ἀπωλείας ἐκτὸς ἔσται, δεχόμενος δὲ ἐδέξατο αὐτόν. μηδὲν ψεῦδος βασιλεῖ λεγέσθω, καὶ οὐδὲν ψεῦδος ἀπὸ γλώσσης αὐτοῦ οὐ μὴ ἐξέλθῃ. μάχαιρα γλῶσσα βασιλέως, καὶ οὐ σαρκίνη, ὃς δ' ἂν παραδοθῇ, συντριβήσεται. ἐὰν γὰρ ὀξυνθῇ ὁ θυμὸς αὐτοῦ, σὺν νεύροις ἀνθρώπους ἀναλίσκει, καὶ ὀστᾶ ἀνθρώπων κατατρώγει, καὶ συγκαίει ὥσπερ φλόξ, ὥστε ἄβρωτα εἶναι νεοσσοῖς ἀετῶν. τοὺς ἐμοὺς λόγους υἱὲ φοβήθητι, καὶ δεξάμενος αὐτοὺς μετανόει.

Κριτοί, ἃς ἐγράψαντο οἱ φίλοι Ἐζεκίου βασιλέως τῆς Ἰουδαίας.

Δόξα θεοῦ κρύπτει λόγον, δόξα δὲ βασιλέως τιμᾷ πρόσταγμα αὐτοῦ.

οὐρα-

οὐρανὸς ὑψηλός, γῆ δὲ βαθεῖα, καρδία
δὲ βασιλέως ἀνεξέλεγκτος. τύπτε ἀ-
δόκιμον ἀργύριον, καὶ καθαρισθήσε-
ται καθαρὸν ἅπαν. κτεῖνε ἀσεβεῖς ἐκ
προσώπου βασιλέως, καὶ κατορθώσει
ἐν δικαιοσύνῃ ὁ θρόνος αὐτοῦ. μὴ ἀ-
λαζονεύου ἐνώπιον βασιλέως, μηδὲ
ἐν τόποις δυναστῶν ὑφίστασο. κρεῖσ-
σον γάρ σοι τὸ ῥηθῆναι ἀνάβηθι, ἢ
ταπεινῶσαί σε ἐν προσώπῳ δυνά-
στου. ἃ εἶδον οἱ ὀφθαλμοί σου λέγε, μὴ
πρόσπιπτε εἰς μάχην ταχέως, ἵνα
μὴ μεταμεληθῇς ἐπ' ἐσχάτων. ἡνί-
κα ἄν σε ὀνειδίσῃ ὁ φίλος, ἀναχώ-
ρει εἰς τὰ ὀπίσω. μὴ καταφρόνει, μή
σε ὀνειδίσῃ μὲν ὁ φίλος. ἡ δὲ μά-
χη σου καὶ ἡ ἔχθρα σου οὐκ ἀπέσται, ἀλ-
λὰ ἔσται σοὶ ἴση θανάτῳ. χάρις καὶ φι-
λία ἐλευθεροῖ, ἃς τήρησον σεαυτῷ,
ἵνα μὴ ἐπονείδιστος γένῃ, ἀλλὰ φύ-
λαξον τὰς ὁδούς σου εὐσυναλλάκ-
τως. μῆλον χρυσοῦν ἐν ὁρμίσκῳ σαρ-
δίου, οὕτως εἰπεῖν λόγον ἐπὶ ἁρμόζου-
σιν αὐτῷ. εἰς ἐνώτιον χρυσοῦν, σάρ-
διον πολυτελὲς δέδεται, λόγος σο-
φὸς εἰς εὐήκοον οὖς. ὥσπερ ἔξοδος χι-
όνος ἐν ἀμήτῳ κατὰ καῦμα ὠφελεῖ,
οὕτως ἄγγελος πιστὸς τοὺς ἀποστεί-
λαντας αὐτόν, ψυχὰς γὰρ τῶν αὐτῷ
χρωμένων ὠφελεῖ. ὥσπερ ἄνεμοι καὶ
νέφη καὶ ὑετοὶ ἐπιφανέστατοι, οὕτως
οἱ καυχώμενοι ἐπὶ δόσει ψευδεῖ. ἐν
μακροθυμίᾳ εὐοδία βασιλεῦσι, γλῶσ-
σα δὲ μαλακὴ συντρίβει ὀστᾶ. μέλι
εὑρὼν

Coelũ excelsum, terra autem profunda, cor uero regis inscrutabile. Percute improbatum argentum, et purificabit purum omne. Interfice impios à facie regis, & dirigetur in iustitia thronus eius. Ne superbias coram rege, neque in locis principum steteris. Melius enim ut dicatur tibi, ascendere, quàm humiliare te in facie principis. Quę uiderũt oculi tui, dic. Ne incidas in iurgiũ cito, ne poeniteas in nouissimis. Quando tibi exprobrauerit amicus, recede retro. Ne despicias, ne quidem tibi exprobret amicus. At iurgium tuum & inimicitia tua non aberit, sed erit tibi ęqualis morti. Gratia & amicitia liberat, quas firma tibi, ne exprobrabilis fias, sed custodi uias tuas liberalit. Malum aureum in monili sardii, sic dicere sermonẽ inẽ adaptantes illi. In inaurem auream sardium preciosum ligatum est, sermo sapiens in obedientem aurem. Sicut exitus niuis in tempore messis aestui prodest, sic legatus fidelis mittentibus eum, animabus enim eo utentiũ prodest. Sicut uenti & nubes & pluuiae ualde perspicuae, sic qui glorianẽ in dono mendaci. In patientia prosperitas regib. lingua autẽ mollis cõfringit ossa. Mel
inueniens

inueniens comede, quod sufficit, ne forte repletus euomas. Rarũ induc tuũ pedem ad tuum amicum, ne quando satiatus te oderit te. Sicut claua & gladius & sagittatio spiculata, ita & uir qui testificatur cõtra amicũ suũ testimonium falsum. Via mali & pes iniqui peribit in die mala. Sicut acetum trahit inutile, et fumus oculis, ita incidens passio corpore cor contristat. Sicut tinea uestimẽto, & uermis ligno, sic tristitia uiri
Ro. 12 nocet cordi. Si esurit inimicus tuus, ciba illum, si sitit, da bibere ei, hoc enim faciens, carbones ignis accumulabis in caput eius, at dominus retribuet tibi bona. Ventus Boreas suscitat nubes, faciens autem inuerecũda linguã iritat. Melius habitare in angulo domus, quàm cum muliere conuiciosa in domo communi. Sicut aqua frigida animę sitienti blãda, sic nuncius bonus de terra
Eccl. 3. lõginqua. Sicut si quis fõtẽ obturet, & aquae exitũ disperdat, sic indecens iustum cecidisse coram impio. Edere mel multum, non bonum, honorare autẽ oportet sermones gloriosos. Sicut urbs muros disiectos habens & ũs nudata, sic uir qui sine consilio aliquid facit.

Cap. XXVI. Sicut ros in messe, &

εὑρὼν φάγε τὸ ἱκανόν, μή ποτε πλησθεὶς ἐξεμέσῃς. σπάνιον εἴσαγε σὸν πόδα πρὸς τὸν σεαυτοῦ φίλον, μή ποτε πλησθείς σου μισήσῃ σε. ὥσπερ ῥόπαλον καὶ μάχαιρα καὶ τόξευμα ἀκιδωτόν, οὕτως καὶ ἀνὴρ ὁ καταμαρτυρῶν τοῦ φίλου αὐτοῦ μαρτυρίαν ψευδῆ. ὁδὸς κακοῦ καὶ ποὺς παρανόμου ὀλεῖται ἐν ἡμέρᾳ κακῇ. ὥσπερ ὄξος ἕλκει ἀσύμφορον, καὶ καπνὸς ὄμμασιν, οὕτως προσπεσὸν πάθος ἐν σώματι, καρδίαν λυπεῖ. ὥσπερ σὴς ἐν ἱματίῳ, καὶ σκώληξ ξύλῳ, οὕτως λύπη ἀνδρὸς βλάπτει καρδίαν. ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν, ἐὰν διψᾷ, πότιζε αὐτόν, τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, ὁ δὲ κύριος ἀνταποδώσει σοι ἀγαθά. ἄνεμος βορέας ἐξεγείρει νέφη, πρόσωπον δὲ ἀναιδὲς γλῶσσαν ἐρεθίζει. κρεῖσσον οἰκεῖν ἐπὶ γωνίας δώματος, ἢ μετὰ γυναικὸς λοιδόρου ἐν οἰκίᾳ κοινῇ. ὥσπερ ὕδωρ ψυχρὸν ψυχῇ διψώσῃ προσηνές, οὕτως ἀγγελία ἀγαθὴ ἐκ γῆς μακρόθεν. ὥσπερ εἴ τις πηγὴν φράσσοι, καὶ ὕδατος ἔξοδον λυμαίνοιτο, οὕτως ἄκοσμον δίκαιον πεπτωκέναι ἐνώπιον ἀσεβοῦς. ἐσθίειν μέλι πολὺ οὐ καλόν, τιμᾶν δὲ χρὴ λόγους ἐνδόξους. ὥσπερ πόλις τὰ τείχη καταβεβλημένη καὶ ἀτείχιστος, οὕτως ἀνὴρ ὃς οὐ μετὰ βουλῆς τι πράσσει.

Ὥσπερ δρόσος ἐν ἀμήτῳ, καὶ

καὶ ὥσπερ ὑετὸς ἐν θέρει, οὕτως οὐκ ἔστιν ἄφρονι τιμή. ὥσπερ ὄρνεα πέταται καὶ στρουθοί, οὕτως ἀρὰ ματαία οὐκ ἐπελεύσεται οὐδενί. ὥσπερ μάστιξ ἵππῳ καὶ κέντρον ὄνῳ, οὕτως ῥάβδος ἔθνει παρανόμῳ. μὴ ἀποκρίνου ἄφρονι κατὰ τὴν ἐκείνου ἀφροσύνην, ἵνα μὴ ὅμοιος γένῃ αὐτῷ, ἀλλὰ ἀποκρίνου ἄφρονι πρὸς τὴν ἀφροσύνην αὐτοῦ, ἵνα μὴ φαίνηται σοφὸς παρ᾽ ἑαυτῷ. ἐκ τῶν ὁδῶν ἑαυτοῦ ὄνειδος ποιεῖται, ὁ ἀποστείλας δι᾽ ἀγγέλου ἄφρονος λόγον. ἀφελοῦ πορέιαν σκελῶν καὶ παροιμίαν ἐκ στόματος ἀφρόνων. ὃς ἀποδεσμεύει λίθον ἐν σφενδόνῃ, ὅμοιός ἐστι τῷ διδόντι ἄφρονι δόξαν. ἄκανθαι φύονται ἐν χειρὶ τοῦ μεθύσου, δουλεία δὲ ἐν χειρὶ τῶν ἀφρόνων. πολλὰ χειμάζεται πᾶσα σὰρξ ἀφρόνων, συντρίβεται γὰρ ἡ ἔκστασις αὐτῶν. ὥσπερ κύων ὅταν ἐπέλθῃ ἐπὶ τὸν ἑαυτοῦ ἔμετον, καὶ μισητὸς γένηται, οὕτως ἄφρων τῇ ἑαυτοῦ κακίᾳ ἀναστρέψας ἐπὶ τὴν ἑαυτοῦ ἁμαρτίαν. ἔστιν αἰσχύνη ἐπάγουσα ἁμαρτίαν, καί ἐστιν αἰσχύνη, δόξα καὶ χάρις. εἶδον ἄνδρα δόξαντα παρ᾽ ἑαυτῷ σοφὸν εἶναι, ἐλπίδα μέντοι ἔσχε μᾶλλον ἄφρων αὐτοῦ. λέγει ὀκνηρὸς ἀποστελλόμενος εἰς ὁδὸν, λέων ἐν ταῖς ὁδοῖς, ἐν δὲ ταῖς πλατείαις φονευταί. ὥσπερ θύρα στρέφεται ἐπὶ τοῦ στρόφιγγος, οὕτως ὀκνηρὸς ἐπὶ τῆς κλίνης αὐτοῦ. κρύψας ὀκνηρὸς τὴν χεῖρα ἐν τῷ

κόλπῳ

& sicut pluuia in æstate, sic non est insipienti gloria. Sicut aues uolant & passeres, sic maledictio inanis non superueniet ulli. Sicut flagellũ equo & stimulus asino, sic uirga genti iniquæ. Ne respondeas stulto iuxta eius stultitiã, ne similis fias ei, sed respõde stulto ad eius stultitiã, ne uideatur sapiens apud seipsum. Ex suis uijs uituperium facit, qui misit per nuncium stultum sermonem. Aufert incessum crurum, & sententias ex ore stultorum. Qui ligat lapidẽ in funda, similis est tribuenti stulto gloriam. Spinæ nascuntur in manu temulenti, seruitus autem in manu stultorum. Multum friget omnis caro stultorũ, conteritur ẽm stupor
eorum. Sicut canis cum re 2. pet. 2.
uertitur ad suũ uomitum et abominabilis fit, sic stultus malitia reuertens ad suum peccatũ. Est pudor inducens peccatum, et est pudor, gloria et gratia. Vidi uirum qui uidetur apud seipsum sapiens esse, spem tamen habuit magis stultus quàm ipse. Dicit piger missus in uiam, leo in uiis, in plateis autem occisores. Sicut o-
stium uertitur in cardine, Supra 19.
ita piger in lectulo suo. Abscondens piger manum in

sinu

sinu suo nō potest inferre ad os. Sapiētior piger sibi uidetur eo, qui in satietate affert nuncium. Sicut qui tenet caudā canis, sic qui præsidet alieno iudicio. Sicut qui tentantes proijciunt sermones in homines, at qui occurrit sermōi primus, supplantabit: sic omnes qui insidiant suis amicis. Cū aūt uisi fuerint, dicunt, quod ludēs feci. In multis lignis uiget ignis, ubi autem non est iracundus, quiescit iurgium. Focus carbonibus, & ligna igni, uir aūt cōuiciator ad turbationē rixæ. Sermones astutorū molles, isti autem feriunt in penetralia uiscerum. Argentū datum cum dolo, sicut testa reputandum. Labia dolosa cor celant nequam. Labiis omnia innuit plorans inimicus, in corde aūt machinatur dolos. Si tē rogauerit inimicus magna uoce, ne persuadearis, septē enī sunt nequitiæ in animo illius. Qui operit inimicitiā componit dolū, celat aūt suā peccata celebris in cōcilio. Qui fodit foueā proximo, incidet in eā, at qui

Exod. 10. & 17. uoluit lapidē, sup illū ipsū uoluitur. Lingua mēdax odit ueritatē, os aūt patēs mouet seditiones.

XXVII Ne glorieris ob futurā in crastinū, non enī nosti, qd pariet supuētura. Laudibus

κόλπῳ αὐτοῦ, οὐ δυνήσεται ἐπαγαγεῖν εἰς τὸ στόμα. σοφώτερος ἑαυτοῦ ὀκνηρὸς φαίνεται, τοῦ ἐν πλησμονῇ ἀποκομίζοντος ἀγγελίαν. ὥσπερ ὁ κρατῶν κέρκου κυνὸς, οὕτως ὁ προεστὼς ἀλλοτρίας κρίσεως. ὥσπερ οἱ πειρώμενοι προβάλλουσι λόγους εἰς ἀνθρώπους, ὁ δὲ ἀπαντήσας τῷ λόγῳ, πρῶτος ὑποσκελισθήσεται, οὕτως πάντες οἱ ἐνεδρεύοντες τοὺς ἑαυτῶν φίλους, ὅταν δὲ ὀφθῶσι, λέγουσιν, ὅτι παίζων ἔπραξα. ἐν πολλοῖς ξύλοις θάλλει πῦρ, ὅπου δὲ οὐκ ἔστιν ὀξύθυμος ἡσυχάζει μάχη. ἐσχάρα ἄνθραξι, καὶ ξύλα πυρὶ, ἀνὴρ δὲ λοίδορος εἰς ταραχὴν μάχης. λόγοι κερκώπων μαλακοί, οὗτοι δὲ τύπτουσιν εἰς ταμιεῖα σπλάγχνων. ἀργύριον διδόμενον μετὰ δόλου, ὥσπερ ὄστρακον ἡγητέον. χείλη δόλια καρδίαν καλύπτει πονηράν. χείλεσι πάντα ἐπινεύει κλαιόμενος ἐχθρὸς, ἐν δὲ τῇ καρδίᾳ τεκταίνεται δόλους. ἐάν σου δέηται ὁ ἐχθρὸς μεγάλῃ τῇ φωνῇ, μὴ πεισθῇς. ἑπτὰ γάρ εἰσι πονηρίαι ἐν τῇ ψυχῇ αὐτοῦ. ὁ κρύπτων ἔχθραν συνίστησι δόλον, ἐκκαλύπτει δὲ τὰς ἑαυτοῦ ἁμαρτίας εὔγνωστος ἐν συνεδρίῳ. ὁ ὀρύσσων βόθρον τῷ πλησίον, ἐμπεσεῖται εἰς αὐτόν, ὁ δὲ κυλίων λίθον, ἐφ' ἑαυτὸν κυλιεῖται. γλῶσσα ψευδὴς μισεῖ ἀλήθειαν, στόμα δὲ ἄστεγον ποιεῖ ἀκαταστασίας.

Μὴ καυχῶ τὰ εἰς αὔριον, οὐ γὰρ οἶδας, τί τέξεται ἡ ἐπιοῦσα. ἐγκω-

μια

μιαζέτω σε ὁ πέλας, καὶ μὴ τὸ σὸν στόμα, ἀλλότριος καὶ μὴ τὰ σὰ χείλη. βαρὺ λίθος, καὶ δυσβάστακτον ἄμμος, ὀργὴ δὲ ἄφρονος βαρυτέρα ἀμφοτέρων. ἀνιλεήμων θυμὸς καὶ ὀξεῖα ὀργὴ, ἀλλ' οὐδὲν ὑφίσταται ζῆλος. κρείσσους ἔλεγχοι ἀποκαλυπτόμενοι κρυπτομένης φιλίας. ἀξιοπιστότερά εἰσι τραύματα φίλου, ἢ ἑκούσια φιλήματα ἐχθροῦ. ψυχὴ ἐν πλησμονῇ οὖσα κηρίοις ἐμπαίζει, ψυχῇ δὲ ἐν ἐνδείᾳ καὶ τὰ πικρὰ γλυκεῖα φαίνεται. ὥσπερ ὅτ' ἂν ὄρνεον καταπετασθῇ ἐκ τῆς ἰδίας νοσσιᾶς αὐτοῦ, οὕτως ἄνθρωπος δουλοῦται, ὅτ' ἂν ἀποξενωθῇ ἐκ τῶν ἰδίων τόπων. μύροις καὶ οἴνοις καὶ θυμιάμασι τέρπεται καρδία, καταῤῥήγνυται δὲ ὑπὸ συμπτωμάτων ψυχή. φίλον σὸν ἢ φίλον πατρῷον μὴ ἐγκαταλίπῃς, εἰς δὲ τὸν οἶκον τοῦ ἀδελφοῦ σου μὴ εἰσέλθῃς ἀτυχῶν. κρείσσων φίλος ἐγγὺς, ἢ ἀδελφὸς μακρὰν οἰκῶν. σοφὸς γίνου υἱὲ, ἵνα εὐφραίνηταί σου ἡ καρδία, καὶ ἀπόστρεψον ἀπὸ σοῦ ἐπονειδίστους λόγους. πανοῦργος κακῶν ἐπερχομένων κατεκρύβη, ἄφρονες δὲ ἐπελθόντες ζημίαν τίσουσιν. ἀφελοῦ τὸ ἱμάτιον αὐτοῦ, παρῆλθε γὰρ ὑβριστὴς, ὅστις τὰ ἀλλότρια λυμαίνεται. ὃς ἂν εὐλογῇ φίλον τὸ πρωῒ μεγάλῃ τῇ φωνῇ, καταρωμένου οὐδὲν διαφέρειν δόξει. σταγόνες ἐκβάλλουσιν ἄνθρωπον ἐν ἡμέρᾳ χειμερινῇ

ἐκ

dibus celebret te uicinus, & non tuum os, extraneus, & non tua labia. Graue saxum & onerosa arena, ira autem stulti grauior utroque. Immisericors furor & acuta ira, sed nihil sustinet zelus. Meliores redargutiones manifestæ abscondita amicitia. (Eccles. 22) fideliora uulnera amici, quam uoluntaria oscula inimici. Anima in saturitate existens fauis illudit, animæ autem esurienti & amara dulcia uidetur. Sicut auis (Iob 6) cū deuolauerit à proprio nido, sic homo in seruitutē ducitur, cum exulauerit à propriis locis. Vnguentis & uinis & suffitibus delectaē cor, disrumpitur autem ab accidētibus anima. Amicum tuū aut amicum paternū ne dimittas, in domū autem fratris tui ne ingrediaris in infortunio existens. Melior amicus prope, quam frater longe habitans. Sapiens esto fili, ut lętetē tuū cor, & auerte à te exprobrantes sermones. Astutus malis superuenientibus absconditus est, stulti autem aduenientes pœnas pendent. Tolle ue- (Supra 20) stimentum eius, aduenit enim iniurius, qui aliena disperdit. Qui utique bene dicit amico mane ingenti uoce, à maledicente nihil differre uidebiē. Guttę eij- (Supra 19) ciūt hominē ī die hyberno

è domo

è domo sua, sic & mulier cõuiciatrix de propria domo. Boreas asper uẽtus, nomine aũt dexter uocatur. Ferrũ ferrũ acuit, uir aũt acuit faciẽ amici. Qui plãtat ficum comedet fructus eius, qui autẽ custodit suũ dominum, honorabitur. Sicut non similes facies faciebus, sic neq; corda hominum similia. Infernus & perditio non implenf, similiter & oculi hominũ
Inf. 30. insatiabiles. Abominatio
Eccle. 1 domino qui firmat oculũ, & indocti intemperantes lingua. Probatio argento & auro et ignis ardor, uir autem probatur per os laudantium eum, Cor iniqui inquirit mala, cor uero rectum requirit scientiam. Si uerberaueris stultum, in medio concilio dehonestans, non tolles stultitiam eius. Aperte cognosces animas gregis tui, & applicabis cor tuum tuis armentis. Quoniam non in seculum uiro robur & fortitudo, neq; tradit è generatione in generationem. Curam habe eorum quæ in agro uiridium, & tondebis herbam. Et congrega fœnum montanum, ut habeas oues ad rem uestiariam. Cole agrum, ut sint tibi agni. Fili à me habes uerba honesta ad uitam tuam et ad uitam famulorum tuorum.

Fugit

ἐκ τοῦ οἴκου αὐτοῦ, ὡσαύτως καὶ γυνὴ λοίδορος ἀπὸ τοῦ ἰδίου οἴκου. βορέας σκληρὸς ἄνεμος, ὀνόματι δὲ ἐπιδέξιος καλεῖται. σίδηρος σίδηρον ὀξύνει, ἀνὴρ δὲ παροξύνει πρόσωπον ἑταίρου. ὃς φυτεύει συκῆν, φάγεται τοὺς καρποὺς αὐτῆς, ὃς δὲ φυλάσσει τὸν ἑαυτοῦ κύριον, τιμηθήσεται. ὥσπερ οὐχ ὅμοια πρόσωπα προσώποις, οὕτως οὐδὲ αἱ καρδίαι τῶν ἀνθρώπων ὅμοιαι. ᾅδης καὶ ἀπώλεια οὐκ ἐμπίπλανται, ὡσαύτως καὶ οἱ ὀφθαλμοὶ τῶν ἀνθρώπων ἄπληστοι. βδέλυγμα κυρίῳ στηρίζων ὀφθαλμόν, καὶ οἱ ἀπαίδευτοι ἀκρατεῖς γλώσσῃ. δοκίμιον ἀργυρίῳ καὶ χρυσῷ πύρωσις, ἀνὴρ δὲ δοκιμάζεται διὰ στόματος ἐγκωμιαζόντων αὐτόν. καρδία ἀνόμου ἐκζητεῖ κακά, καρδία δὲ εὐθὴς ἐκζητεῖ γνῶσιν. ἐὰν μαστιγοῖς ἄφρονα ἐν μέσῳ συνεδρίου ἀτιμάζων, οὐ μὴ περιέλῃς τὴν ἀφροσύνην αὐτοῦ. γνωστῶς ἐπιγνώσῃ ψυχὰς ποιμνίου σου, καὶ ἐπιστήσεις καρδίαν σου σαῖς ἀγέλαις. ὅτι οὐκ εἰς τὸν αἰῶνα ἀνδρὶ κράτος καὶ ἰσχύς, οὐδὲ παραδίδωσιν ἐκ γενεᾶς εἰς γενεάν. ἐπιμελοῦ τῶν ἐν τῷ πεδίῳ χλωρῶν, καὶ κερεῖς πόαν. καὶ συνάγαγε χόρτον ὀρεινόν, ἵνα ἔχῃς πρόβατα εἰς ἱματισμόν. τίμα πεδίον, ἵνα ὦσί σοι ἄρνες. υἱὲ παρ᾽ ἐμοῦ ἔχεις ῥήσεις σεμνὰς εἰς τὴν ζωήν σου, καὶ εἰς τὴν ζωὴν τῶν σῶν θεραπόντων.

Φεύγει

φεύγει ἀσεβὴς μηδενὸς διώκοντος, δίκαιος δὲ ὥσπερ λέων πέποιθε. δι' ἁμαρτίας ἀσεβῶν κρίσεις ἐγείρονται, ἀνὴρ δὲ πανοῦργος κατασβέσει αὐτάς. ἀνδρεῖος ἐν ἀσεβείαις συκοφαντεῖ πτωχούς. ὥσπερ ὑετὸς λάβρος καὶ ἀνωφελὴς, οὕτως οἱ ἐγκαταλιπόντες τὸν νόμον ἐγκωμιάζουσιν ἀσέβειαν, οἱ δὲ ἀγαπῶντες τὸν νόμον περιβάλλουσιν ἑαυτοῖς τεῖχος. ἄνδρες κακοὶ οὐ νοήσουσι κρίμα, οἱ δὲ ζητοῦντες τὸν κύριον συνήσουσιν ἐν παντί. κρείσσων πτωχὸς πορευόμενος ἐν ἀληθείᾳ πλουσίου ψευδοῦς. φυλάσσει νόμον υἱὸς συνετὸς, ὃς δὲ ποιμαίνει ἀσωτίαν, ἀτιμάζει πατέρα αὐτοῦ. ὁ πληθύνων τὸν πλοῦτον αὐτοῦ μετὰ τόκων καὶ πλεονασμῶν, τῷ ἐλεοῦντι πτωχοὺς συνάγει αὐτόν. ὁ ἐκκλίνων τὸ οὖς αὐτοῦ τοῦ μὴ ἀκοῦσαι νόμου, καὶ αὐτὸς προσευχὴν αὐτοῦ ἐβδέλυκται. ὃς πλανᾷ εὐθεῖς ἐν ὁδῷ κακῇ, εἰς διαφθορὰν αὐτὸς ἐμπεσεῖται, οἱ δὲ ἄνομοι διελεύσονται ἀγαθὰ, καὶ οὐκ εἰσελεύσονται εἰς αὐτά. σοφὸς παρ' ἑαυτῷ ἀνὴρ πλούσιος, * πᾶς δὲ νοήμων καταγνώσεται αὐτοῦ. διὰ βοήθειαν δικαίων πολλὴ γίνεται δόξα, ἐν δὲ τόποις ἀσεβῶν ἁλίσκονται ἄνθρωποι. ὁ ἐπικαλύπτων ἀσέβειαν αὐτοῦ οὐκ εὐοδωθήσεται, ὁ δὲ ἐξηγούμενος ἐλέγχους, ἀγαπηθήσεται. μακάριος ἀνὴρ, ὃς καταπτήσσει πάντα δι' εὐλάβειαν,

ὁ δὲ

Caput XXVIII

Fugit impius nemine persequente, iustus autem tanquam leo confisus est. Propter peccata impiorum iudicia suscitantur, uir autem astutus extinguet eas. Virilis in impietatibus calumniať pauperes. Sicut pluuia uehemẽs & inutilis, sic relinquẽtes legẽ laudant impietatẽ, at qui diligunt legẽ circumsiciunt sibi murũ. Viri mali non intelligent iudiciũ, at qui inquirũt dñm intelligẽt in omni. Melior pauper ambulans in ueritate diuite mendaci. Custodit legẽ filius intelligens, quĩ aũt pascit luxuriã inhonorat patrem suũ. Qui multiplicat diuitias suas cum usuris et auaritijs, ei q̃ miseretť pauperũ congregat eas. Qui declinat aurem suã ne audiat legem, & ipse orationẽ suam abominatus est. Qui decipit rectos in uia mala, in corruptionẽ incidet, at iniqui praeteribunt bona, & non ingredientur ad ea. Sapiens apud seipsum uir diues, pauper aũt intelligẽns damnabit. Propter auxilium iustorum multa fit gloria, in locis autem impiorum capiuntur homines. Qui abscondit impietatem suam, nõ prosperabitur, quĩ autem profert reprehensiones, diligeť. Beatus uir, qui timet oĩa ob cautionẽ,

Sup. 8

* πένης

at durus corde incidet in mala. Leo esuriens & lupus sitiens, qui tyrannizat pauper existens gentẽ inopem. Rex indigens prouentuum magnus calumniator, qui autem odit iniustitiam, longum tempus
Sap.10 uiuet. Pro uiro qui in causa cædis spondet, exul erit & non in securitate. Erudi filium, & amabit te, & dabit ornatũ animæ tuæ,
Sap.12 nec morem geret populo exlegi. Qui ambulat iuste adiutus est, at peruersis uiis ambulans implicabitur. Qui operatur suã terram, replebitur panibus, qui autem sectatur ocium, replebitur egestate. Vir fidelis multũ benedicitur, at malus nõ impunitus erit. Qui non reueretur facies iustorum, non bonus, talis buccella panis uẽdet uirum. Festinat ditari uir inuidus, et nõ nouit, quod misericors dominabit̃ eius. Qui corripit hominis uias, gratias habebit magis quàm qui lingua blanditur. Qui uiolat patrem aut matrem & uidetur nõ peccare, hic particeps est uiri impij. Insatiabilis uir iudicabit temere, qui aũt confisus est in dño in cura erit. Qui confisus est in audaci corde talis stultus, q. aũt ambulat in sapiẽtia, seruabitur. Qui dat mendicis non egebit, qui aũt auertit oculum

ὁ δὲ σκληρὸς τὴν καρδίαν ἐμπεσεῖται εἰς κακά. λέων πεινῶν καὶ λύκος διψῶν, ὃς τυραννεῖ πτωχὸς ὢν ἔθνους πενιχροῦ. βασιλεὺς ἐνδεὴς προσόδων, μέγας συκοφάντης, ὁ δὲ μισῶν ἀδικίαν, μακρὸν χρόνον ζήσεται. ἄνδρα τὸν ἐν αἰτίᾳ φόνου ὁ ἐγγυώμενος, φυγὰς ἔσται, καὶ οὐκ ἐν ἀσφαλείᾳ. παίδευε υἱόν, καὶ ἀγαπήσει σε, καὶ δώσει κόσμον τῇ σῇ ψυχῇ, οὐ μὴ ὑπακούσει ἔθνει παρανόμῳ. ὁ πορευόμενος δικαίως βεβοήθηται, ὁ δὲ σκολιαῖς ὁδοῖς πορευόμενος ἐμπλακήσεται. ὁ ἐργαζόμενος τὴν ἑαυτοῦ γῆν, πλησθήσεται ἄρτων, ὁ δὲ διώκων σχολὴν, πλησθήσεται πενίας. ἀνὴρ ἀξιόπιστος πολλὰ εὐλογηθήσεται, ὁ δὲ κακὸς οὐκ ἀτιμώρητος ἔσται. ὃς οὐκ αἰσχύνεται πρόσωπα δικαίων, οὐκ ἀγαθὸς, ὁ τοιοῦτος ψωμοῦ ἄρτου ἀποδώσεται ἄνδρα. σπεύδει πλουτεῖν ἀνὴρ βάσκανος, καὶ οὐκ οἶδεν, ὅτι ἐλεήμων κρατήσει αὐτοῦ. ὁ ἐλέγχων ἀνθρώπου ὁδοὺς, χάριτας ἕξει μᾶλλον τοῦ γλωσσοχαριτοῦντος. ὃς ἀποβάλλεται πατέρα ἢ μητέρα, καὶ δοκεῖ μὴ ἁμαρτάνειν, οὗτος κοινωνός ἐστιν ἀνδρὸς ἀσεβοῦς. ἄπληστος ἀνὴρ κρινεῖ εἰκῇ, ὃς δὲ πέποιθεν ἐπὶ κύριον ἐν ἐπιμελείᾳ ἔσται. ὃς πέποιθε θρασείᾳ καρδίᾳ, ὁ τοιοῦτος ἄφρων, ὃς δὲ πορεύεται σοφίᾳ, σωθήσεται. ὃς δίδωσι πτωχοῖς, οὐκ ἐνδεηθήσεται, ὃς δὲ ἀποστρέφει τὸν ὀφθαλμὸν

ὀφθαλμὸν αὐτοῦ, ἐν πολλῇ ἀπορίᾳ
ἔσται. ἐν τόποις ἀσεβῶν στένουσι δί-
καιοι, ἐν δὲ τῇ ἐκείνων ἀπωλείᾳ πλη-
θυνθήσονται δίκαιοι.

Κρείσσων ἀνὴρ ἐλέγχων ἀνδρὸς
σκληροτραχήλου, ἐξαπίνης γὰρ φλεγο-
μένου αὐτοῦ, οὐκ ἔστιν ἴασις. ἐγκωμια-
ζομένων δικαίων, εὐφρανθήσονται
λαοί, ἀρχόντων δὲ ἀσεβῶν, στένου-
σιν ἄνδρες. ἀνδρὸς φιλοῦντος σο-
φίαν, εὐφραίνεται ὁ πατὴρ αὐτοῦ, ὃς
δὲ ποιμαίνει πόρνας, ἀπολεῖ πλοῦ-
τον. βασιλεὺς δίκαιος ἀνίστησι χώ-
ραν, ἀνὴρ δὲ παράνομος κατασκά-
πτει. ὃς παρασκευάζεται ἐπὶ πρόσω-
πον τοῦ ἑαυτοῦ φίλου δίκτυον, περι-
βάλλει αὐτὸ τοῖς ἑαυτοῦ ποσίν. ἁμαρ-
τάνοντι ἀνδρὶ μεγάλη παγίς, δί-
καιος δὲ ἐν χαρᾷ καὶ ἐν εὐφροσύνῃ
ἔσται. ἐπίσταται δίκαιος κρίνειν πτ-
ωχοῖς, ὁ δὲ ἀσεβὴς οὐ νοεῖ γνῶσιν,
καὶ πτωχῷ οὐχ ὑπάρχει νοῦς ἐπιγνώ-
μων. ἄνδρες λοιμοὶ ἐξέκαυσαν πό-
λιν, σοφοὶ δὲ ἀπέστρεψαν ὀργήν. ἀ-
νὴρ σοφὸς κρίνει ἔθνη, ἀνὴρ δὲ φαῦ-
λος ὀργιζόμενος καταγελᾶται, καὶ
οὐ καταπτήσσει. ἄνδρες αἱμάτων
μέτοχοι, μισήσουσιν ὅσιον, οἱ δὲ εὐ-
θεῖς ἐκζητήσουσι ψυχὴν αὐτοῦ. ὅλον
τὸν θυμὸν αὐτοῦ ἐκφαίνει ἄφρων,
σοφὸς δὲ ταμιεύεται κατὰ μέρος.
βασιλέως ὑπακούοντος λόγον ἄ-
δικον, πάντες οἱ ὑπ᾽ αὐτὸν παρ-
άνομοι. δανειστοῦ καὶ χρεωφειλέτου

ἀλλήλοι

oculum suum, in multa e-
gestate erit. In locis impi
orum gemunt iusti, in illo
rũ autem perditione mul-
tiplicabuntur iusti.

Melior uir corripiens uiro duræ ceruicis, repen- Caput XXIX
te enim eo ardente nõ est
medela. Cum laudãtur iu-
sti lætabuntur populi, im-
perantibus autem impiis,
gemũt homines. Viri qui
amat sapientiã lætatur pa-
ter, qui autem pascit scor-
ta, perdet diuitias. Rex iu- Luis
stus erigit regionẽ, uir au-
tem iniquus subruit. Qui
præparatur ad uultum sui
amici, rete circumiaciet
ei suis pedibus. Peccanti
uiro magnus laqueus, iu-
stus aũt in gaudio & in læ
titia erit. Nouit iustus iu-
dicare pauperes, at impius
non capit scientiã, & pau
peri nõ existit mẽs cogno
scens. Viri pestilentes ex
usserunt ciuitatem, sapien-
tes autẽ auerterunt iram.
Vir sapiens iudicat gen-
tes, uir autem malus iratus
deridetur, & non terret.
Viri sanguinum partici-
pes odio habebunt san-
ctum, at recti exquirent a-
nimam eius. Totum ani-
mum suũ profert stultus,
sapiens autem promit per
partes. Rege audiente
sermonem iniustum, o-
mnes subditi iniqui.
Fœneratore & debitore

 inter

inter se conuenientibus, inspectionem facit utriusque dominus. Rege in ueritate iudicante pauperes, thronus eius in testimonium constituetur. Plagæ & correptiones dant sapientiam, puer autẽ qui errat, cõfundit parentes suos. Multis existẽtibus impiis, multa sunt peccata, at iusti illis cadentibus trepidi fiunt. Erudi filiũ tuum, & requiem dabit tibi, & dabit ornatum animæ tuæ. Non præsit interpres genti iniquæ, at qui custodit legem beatissimus. Sermonibus non erudietur seruus durus, licet eñi et intelligat, at nõ obediet. Si uideris uirum uelocẽ in sermonibus, cognosce quod spem habet magis stultus eo. Qui deliciatur à puero, seruus erit, nouissime autem dolebit super se. Vir furiosus excitat contentionẽ, uir autem iracũdus effodit peccata. Iniuria uirum humiliat, at humiles spiritu firmat glo-
Iob 22 ria dominus. Qui participat cum fure, odit suam animam, si autem iuramentum propositum audiẽtes non renunciauerint, timẽtes & uerentes homines supplantati sunt, at confidens in domino lætabit. Impietas uiro dat errorẽ, at confisus in domino saluabitur. Multi colunt cõspectus præfectorum, à domino

ἀλλήλοις συνελθόντων, ἐπισκοπὴν ποιεῖται ἀμφοτέρων ὁ κύριος. βασιλέως ἐν ἀληθείᾳ κρίνοντος πτωχούς, ὁ θρόνος αὐτοῦ εἰς μαρτύριον κατασταθήσεται. πληγαὶ καὶ ἔλεγχοι διδόασι σοφίαν, παῖς δὲ πλανώμενος αἰσχύνει γονεῖς αὐτοῦ. πολλῶν ὄντων ἀσεβῶν, πολλαὶ γίνονται ἁμαρτίαι, οἱ δὲ δίκαιοι ἐκείνων πιπτόντων, κατάφοβοι γίνονται. παίδευε υἱόν σου, καὶ ἀναπαύσει σε, καὶ δώσει κόσμον τῇ ψυχῇ σου. μὴ ὑπάρξῃ ἐξηγητὴς ἔθνει παρανόμῳ, ὁ δὲ φυλάσσων τὸν νόμον μακαριστός. λόγοις οὐ παιδευθήσεται οἰκέτης σκληρός, ἐὰν γὰρ καὶ νοήσῃ, ἀλλ' οὐχ ὑπακούσεται. ἐὰν ἴδῃς ἄνδρα ταχὺν ἐν λόγοις, γίνωσκε ὅτι ἐλπίδα ἔχει μᾶλλον ὁ ἄφρων αὐτοῦ. ὃς κατασπαταλᾷ ἐκ παιδός, οἰκέτης ἔσται, ἔσχατον δὲ ὀδυνηθήσεται ἐφ' ἑαυτῷ. ἀνὴρ θυμώδης ἐγείρει νεῖκος, ἀνὴρ δὲ ὀργίλος ἐξώρυξεν ἁμαρτίας. ὕβρις ἄνδρα ταπεινοῖ, τοὺς δὲ ταπεινόφρονας ἐρείδει δόξῃ κύριος. ὃς μερίζεται κλέπτῃ, μισεῖ τὴν ἑαυτοῦ ψυχήν, ἐὰν δὲ ὅρκου προτεθέντος ἀκούσαντες μὴ ἀναγγείλωσι, φοβηθέντες καὶ αἰσχυνθέντες ἀνθρώπους, ὑπεσκελίσθησαν, ὁ δὲ πεποιθὼς ἐπὶ κυρίῳ, εὐφρανθήσεται. ἀσέβεια ἀνδρὶ δίδωσι σφάλμα, ὃς δὲ πέποιθεν ἐπὶ τῷ δεσπότῃ, σωθήσεται. πολλοὶ θεραπεύουσι πρόσωπα ἡγουμένων, παρὰ δὲ κυρίου

κυρίῳ γίνεται τὸ δίκαιον ἀνδρί. βδέλυγμα δικαίῳ ἀνὴρ ἄδικος, βδέλυγμα δὲ ἀνόμῳ κατευθύνουσα ὁδός.

Τάδε λέγει ὁ ἀνὴρ τοῖς πιστεύουσι θεῷ, καὶ παύομαι. ἀφρονέστατος γάρ εἰμι ἁπάντων ἀνθρώπων, καὶ φρόνησις ἀνθρώπου οὐκ ἔστιν ἐν ἐμοί. θεὸς δὲ δεδίδαχέ με σοφίαν, καὶ γνῶσιν ἁγίων ἔγνωκα. τίς ἀνέβη εἰς τὸν οὐρανὸν, καὶ κατέβη; τίς συνήγαγεν ἀνέμους ἐν κόλπῳ; τίς συνέστρεψε τὸ ὕδωρ ἐν ἱματίῳ; τίς ἐκράτησε πάντων τῶν ἄκρων τῆς γῆς; τί ὄνομα αὐτῷ; ἢ τί ὄνομα τοῖς τέκνοις αὐτοῦ, ἵνα γνῶσι. πάντες γὰρ λόγοι θεοῦ πεπυρωμένοι, ὑπερασπίζει δὲ αὐτὸς τῶν εὐλαβουμένων αὐτόν. μὴ προσθῇς τοῖς λόγοις αὐτοῦ, ἵνα μὴ ἐλέγξῃ σε, καὶ ψευδὴς γένῃ. δύο αἰτοῦμαι παρὰ σοῦ, μὴ ἀφέλῃς μου χάριν πρὸ τοῦ ἀποθανεῖν με, μάταιον λόγον καὶ ψευδῆ μακράν μου ποίησον. πλοῦτον δὲ καὶ πενίαν μή μοι δῷς. σύνταξον δέ μοι τὰ δέοντα καὶ τὰ αὐτάρκη, ἵνα μὴ πλησθεὶς ψευδὴς γένωμαι, καὶ εἴπω, τίς με ὁρᾷ; ἢ πενηθεὶς κλέψω, καὶ ὀμόσω τὸ ὄνομα τοῦ θεοῦ. μὴ παραδῷς οἰκέτην εἰς χεῖρας δεσπότου, μήποτε καταράσηταί σε, καὶ ἀφανισθῇς. ἔκγονον κακὸν πατέρα καταρᾶται, τὴν δὲ μητέρα οὐκ εὐλογεῖ. ἔκγονον κακὸν δίκαιον ἑαυτὸν κρίνει, τὴν δὲ ἔξοδον αὐτοῦ οὐκ ἀπένι-

ψεν

dño autem fit iustũ uiro. Abominatio iustus uir uiro iniusto, abominatio aũt iniquo recta ducens uia.

Hæc dicit uir credentibus deo, et quiesco. Stultissimus enim sum omniũ hominũ, & prudentia hominis nõ est in me. Deus docuit me sapientiam, & cognitionẽ sanctorũ cognoui. Quis ascendit in coelum, & descendit? Quis congregauit uentos in sinu? Quis conuertit omnẽ aquam in ueste? Quis dominatus est omnium summitatum terræ? Quod nomen ei? aut quod nomen filijs eius, ut cognoscant. Omnes em̃ sermones dei igniti, protegit autem ipse eos qui reuerentur eũ. Ne addas sermonibus eius, ne redarguat te, & mẽdax sis. Duo peto à te, ne tollas à me gratiam, antequam moriar ego, inanẽ sermonem & mendacem lõge à me fac. Diuitias autem & paupertatẽ ne mihi dederis. Constitue autẽ mihi necessaria & sufficientia, ne repletus mendax fiam, & dicam, quis me uidet, aut pauper factus furer, & iurem nomen dei. dei. Ne tradideris seruum in manus dñi, ne forte maledicat tibi, & delearis. Filius malus patri maledicit, at matri nõ benedicit. Filius malus iustũ se iudicat, at exitus eius non abla-

Cap. XXX

Psal. 18

Apoc. 22

καὶ τοῦ εὐφρανθῆναι, καὶ αὐτὸ συμ-
πορεύεται αὐτῷ ἐν μόχθῳ αὐτοῦ. ἡ-
μέρας ζωῆς αὐτοῦ, ἃς ἔδωκεν αὐ-
τῷ ὁ θεὸς ὑπὸ τὸν ἥλιον. ἐν οἷς ἔ-
δωκα τὴν καρδίαν μου τοῦ γνῶναι
τὴν σοφίαν, καὶ τοῦ ἰδεῖν τὸν περι-
σπασμὸν πεποιημένον ἐπὶ τῆς γῆς, καὶ
ἐν

male afficiendum eum. Et
tunc uidi impios in sepul-
chra introductos, & ex
sancto. Et iuerūt, et collau
dati sunt in ciuitate, quo
niam sic fecerunt. sed hoc
uanitas. Quoniam non est
facta cōtradictio à facien
tibus malum uelox, pro-
pter hoc fiduciam habuit
cor filiorum hominis in
eis faciēdi malū. Qui pec
cauit, fecit malū extūc, &
à longitudine eorū. Quo-
niam & cognosco ego,
quod est bonum timenti-
bus deum, ut timeant à fa
cie eius. Et bonum nō erit
impio. Et non prolonga-
bit dies in umbra, qui nō
est timens à facie dei. Est
uanitas quę facta est super
terrā, quoniam sunt iusti,
quod præuenit ad eos, ut
opus impiorum, et sunt im
pij, quod præuenit ad eos
ut opus iustorum. Dixi
quod & hoc uanitas. Et
laudaui ego simul lætitiā.
Quoniam non est bonum
homini sub sole, quoniam
nisi comedere & bibere
& lætari, & hoc comita-
bitur eum in labore suo
diebus uitæ suæ, quos de-
dit ei Deus sub sole. In
quibus dedi cor meum,
ut cognoscerem sapien-
tiam, & ut uiderem oc-
cupationem, quæ facta
est in terra, quoniam &
in die

in die & in nocte somnum in oculis suis non est uidens. Et uidi uniuersa opera dei, quoniam non potens erit homo, ut inueniat simul opus quod factum est sub sole. Quæcunq; laborauerit homo ut quærat, & non inueniet. Et quæcunque utique dixerit sapiens, ut cognosceret, non poterit inuenire. Quoniā omne hoc dedi in cor meum, et cor meum omne uidit hoc.

Cap. X Vt iusti & sapientes & opera eorū in manu dei. Et amor & odium, non est sciens homo omnia ante faciem eorum Vanitas in omnibus. Occursus unus iusto & impio, bono & malo, & mundo & immundo, & immolanti & nō immolanti. Et ut bonus, sic qui peccat, sicut iurans, sic qui iuramentum timet. Hoc malum in omni quod factum est sub sole, quod occursus unus omnibus. Et cor filiorum hominis impletum est malo, & hallucinatio in corde eorum, in uita eorum, & post eos ad mortuos. Quoniam quis qui participat ad omnes uiuentes? Est spes, quoniam canis uiuens ipse bonus super leonem mortuum. Quia uiuentes cognoscent, quod morientur, &

ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ ὕπνον ὀφθαλμοῖς αὐτοῦ οὐκ ἔστιν βλέπων. καὶ ἴδον σύμπαντα τὰ ποιήματα τοῦ θεοῦ, ὅτι οὐ δυνήσεται ἄνθρωπος τοῦ εὑρεῖν σὺν τὸ ποίημα τὸ πεποιημένον ὑπὸ τὸν ἥλιον. ὅσα ἂν μοχθήσῃ ἄνθρωπος τοῦ εὑρεῖν, καὶ οὐχ εὑρήσει. καί γε ὅσα ἂν εἴπῃ ὁ σοφὸς τοῦ γνῶναι, οὐ δυνήσεται τοῦ εὑρεῖν, ὅτι σύμπαν τοῦτο ἔδωκα εἰς καρδίαν μου, καὶ καρδία μου σύμπαν εἶδε τοῦτο.

Ὡς οἱ δίκαιοι καὶ οἱ σοφοὶ, καὶ αἱ ἐργασίαι αὐτῶν ἐν χειρὶ τοῦ θεοῦ. καί γε ἀγάπη καί γε μῖσος, οὐκ ἔστιν ὁ ἄνθρωπος εἰδὼς τὰ πάντα πρὸ προσώπου αὐτῶν. ματαιότης ἐν τοῖς πᾶσιν. συνάντημα ἓν τῷ δικαίῳ καὶ τῷ ἀσεβεῖ, τῷ ἀγαθῷ καὶ τῷ κακῷ, καὶ τῷ καθαρῷ καὶ τῷ ἀκαθάρτῳ, καὶ τῷ θυσιάζοντι καὶ τῷ μὴ θυσιάζοντι. καὶ ὡς ὁ ἀγαθὸς, ὡς ὁ ἁμαρτάνων, ὡς ὁ ὀμνύων, καθὼς ὁ τὸν ὅρκον φοβούμενος. τοῦτο πονηρὸν ἐν παντὶ πεποιημένῳ ὑπὸ τὸν ἥλιον, ὅτι συνάντημα ἓν τοῖς πᾶσιν. καί γε καρδία υἱῶν τοῦ ἀνθρώπου ἐπληρώθη πονηροῦ, καὶ περιφέρεια ἐν καρδίᾳ αὐτῶν, καὶ ἐν ζωῇ αὐτῶν, καὶ ὀπίσω αὐτοῦ πρὸς τοὺς νεκρούς. ὅτι τίς ὃς κοινωνεῖ πρὸς πάντας τοὺς ζῶντας; ἔστιν ἐλπὶς, ὅτι ὁ κύων ὁ ζῶν αὐτὸς ἀγαθὸς ὑπὲρ τὸν λέοντα τὸν νεκρόν. ὅτι οἱ ζῶντες γνώσονται, ὅτι ἀποθανοῦνται,

καὶ

καὶ οἱ νεκροὶ οὐκ εἰσὶ γινώσκοντες
οὐδέν. καὶ οὐκ ἔστιν αὐτοῖς ἔτι μι-
σθὸς, ὅτι ἐπελήσθη ἡ μνήμη αὐτῶν,
καί γε ἀγάπη αὐτῶν καί γε μῖσος
αὐτῶν, καί γε ζῆλος αὐτῶν ἤδη
ἀπώλετο. καί γε μερὶς οὐκ ἔστιν αὐ-
τοῖς ἔτι εἰς τὸν αἰῶνα, ἐν παντὶ τῷ
πεποιημένῳ ὑπὸ τὸν ἥλιον. δεῦρο,
φάγε ἐν εὐφροσύνῃ τὸν ἄρτον σου,
καὶ πίε ἐν καρδίᾳ ἀγαθῇ οἶνόν σου,
ὅτι ἤδη εὐδόκησεν ὁ θεὸς τὰ ποιή-
ματά σου. ἐν παντὶ καιρῷ ἔστωσαν
ἱμάτιά σου λευκὰ, καὶ ἔλαιον ἐπὶ
κεφαλῆς σου μὴ ὑστερησάτω. καὶ ἰδὲ
ζωὴν μετὰ γυναικὸς, ἧς ἠγάπησας
πάσας τὰς ἡμέρας ζωῆς νεότητός
σου, τὰς δοθείσας σοι ὑπὸ τὸν ἥλιον,
πάσας τὰς ἡμέρας ματαιότητός
σου. ὅτι αὐτὸ μερίς σου ἐν τῇ ζωῇ
σου, καὶ ἐν τῷ μόχθῳ σου, ᾧ σὺ
μοχθεῖς ὑπὸ τὸν ἥλιον. πάντα ὅ-
σα ἂν εὕρῃ ἡ χείρ σου τοῦ ποιῆσαι,
ὡς ἡ δύναμίς σου ποίησον. ὅτι οὐκ
ἔστιν ποίημα καὶ λογισμὸς καὶ γνῶ-
σις, καὶ σοφία ἐν ᾅδῃ, ὅπου συμ-
πορεύῃ ἐκεῖ. ἐπέστρεψα, καὶ ἴδον
ὑπὸ τὸν ἥλιον, ὅτι οὐ τοῖς κούφοις
ὁ δρόμος, καὶ οὐ τοῖς δυνατοῖς ὁ πό-
λεμος, καί γε αὐτῷ σοφῷ οὐ τίς ἄρ-
τος, καί γε οὐ τοῖς συνετοῖς ὁ πλοῦ-
τος, καί γε οὐ τοῖς γινώσκουσιν ἡ
χάρις, ὅτι καιρὸς, καὶ ἀπάντημα
συναντήσεται τοῖς συμπᾶσιν αὐ-
τοῖς. ὅτι καί γε καὶ οὐκ ἔγνω ὁ ἄν-
θρωπος

& mortui non sunt cogno
scentes quicquam. Et non
est eis ultra merces, quia
obliuioni tradita est me-
moria eorum & dilectio
eorum, & odium eorum,
& zelus eorum iam pe-
riit. Et pars non est eis am
plius in seculum, in omni
quod factum est sub sole.
Age, ede in lætitia pa-
nem tuum, & bibe in cor-
de bono uinũ tuum, quia
iam approbauit deus ope
ra tua. In omni tempore
sint uestimenta tua candi-
da, & oleum super caput
tuum ne deficiat. Et uide
uitam cum muliere, quam
dilexisti omnibus diebus
uitæ uanitatis tuæ, qui da
ti sunt tibi sub sole, omni-
bus diebus uanitatis tuæ.
Quoniam hoc pars tua in
uita tua, & in labore tuo,
quo tu laboras sub sole.
Omnia quæcunq; inuene
rit manus tua ut facias, se-
cundum potentiam tuam
fac. Quoniam non est o-
pus & ratio & cognitio,
& sapientia in inferno,
quò uadis illuc. Conuerti,
& uidi sub sole quod non
uelocibus cursus, & non
potentibus bellum, & ipsi
sapienti nullus panis, neq;
intelligentibus diuitiæ, ne
que cognoscentibus gra-
tia. Quia tempus et occur
sus occurret uniuersis his.
Quod etiam nõ nouit ho-
mo

mo tempus suum, sicut pisces capti in reti malo, & sicut aues captae in laqueo. Sicut ipsae, illaqueantur filij hominis in tempus malum, cum inciderit in eos extemplo. Et hoc uidi sapientiam sub sole, & magna est ad me. Ciuitas parua, & uiri in ea pauci, & uenerit ad eam rex magnus & circumdabit eam, & aedificabit in eam aggeres magnos, & inuenerit in ea uirum pauperem sapientem, & saluabit ipsis ciuitatem in sapientia sua. Et homo non recordatus est simul uiri pauperis illius, & dixi ego, Bona sapientia super potentiam. Et sapientia pauperis contempta, & sermones eius non sunt audiri. Sermones sapientũ in quiete audiũtur, super clamorem potentium in stultitia. Bona sapientia super uasa belli. Et peccans unus perdet bonitatem multam.

Muscae mortuę corrumpunt condimentũ olei dulcedinis. Preciosum paucũ sapientiae, super gloriam stultitiae magnam. Cor sapientis in dextrum eius, & cor stulti in sinistrum illius. Et in uia cũ stultus ambulauerit, cor eius deficiet, & quę cogitabit, omnia stultitia sunt. Si spiritus pote

θρωπος τὸν καιρὸν αὐτοῦ, ὡς οἱ ἰχθύες οἱ θηρευόμενοι ἐν ἀμφιβλήστρῳ κακῷ, καὶ ὡς ὄρνεα τὰ θηρευόμενα ἐν παγίδι. ὡς αὐτὰ παγιδεύονται οἱ υἱοὶ τοῦ ἀνθρώπου εἰς καιρὸν πονηρὸν, ὅταν ἐπιπέσῃ ἐπ᾽ αὐτοὺς ἄφνω. καί γε τοῦτο εἶδον σοφίαν ὑπὸ τὸν ἥλιον, καὶ μεγάλη ἐστὶ πρός με. πόλις μικρὰ, καὶ ἄνδρες ἐν αὐτῇ ὀλίγοι, καὶ ἔλθῃ ἐπ᾽ αὐτὴν βασιλεὺς μέγας, καὶ κυκλώσει αὐτὴν, καὶ οἰκοδομήσει ἐπ᾽ αὐτὴν χάρακας μεγάλους, καὶ εὕρῃ ἐν αὐτῇ ἄνδρα πένητα σοφὸν, καὶ διασώσει αὐτὸς τὴν πόλιν ἐν τῇ σοφίᾳ αὐτοῦ. καὶ ἄνθρωπος οὐκ ἐμνήσθη σὺν τοῦ ἀνδρὸς τοῦ πένητος ἐκείνου, καὶ εἶπα ἐγὼ, ἀγαθὴ σοφία ὑπὲρ δύναμιν. καὶ σοφία τοῦ πένητος ἐξουδενωμένη, καὶ οἱ λόγοι αὐτοῦ οὐκ εἰσὶν ἀκουόμενοι. λόγοι σοφῶν ἐν ἀναπαύσει ἀκούονται, ὑπὲρ κραυγὴν ἐξουσιαζόντων ἐν ἀφροσύνῃ. ἀγαθὴ σοφία ὑπὲρ σκεύη πολέμου. καὶ ἁμαρτάνων εἷς ἀπολέσει ἀγαθοσύνην πολλήν.

Μυῖαι θανατοῦσαι σαπριοῦσι σκευασίαν ἐλαίου ἡδύσματος. τίμιον ὀλίγον σοφίας, ὑπὲρ δόξαν ἀφροσύνης μεγάλην. καρδία σοφοῦ εἰς δεξιὸν αὐτοῦ, καὶ καρδία ἄφρονος εἰς ἀριστερὸν αὐτοῦ. καί γε ἐν ὁδῷ ὅταν ἄφρων πορεύηται, καρδία αὐτοῦ ὑστερήσει, καὶ ἃ λογιεῖται πάντα ἀφροσύνη ἐστίν. ἐὰν πνεῦ-

μα

μα τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπί σε, τόπον σου μὴ ἀφῇς, ὅτι ἴαμα καταπαύσει ἁμαρτίας μεγάλας. ἔστι πονηρία, ἣν εἶδον ὑπὸ τὸν ἥλιον, ὡς ἀκούσιον ἐξῆλθεν ἀπὸ προσώπου ἐξουσιάζοντος. ἐδόθη ὁ ἄφρων ἐν ὕψεσι μεγάλοις, καὶ πλούσιοι ἐν ταπεινῷ καθίσονται. εἶδον δούλους ἐφ᾽ ἵππους, καὶ ἄρχοντας πορευομένους ὡς δούλους ἐπὶ τῆς γῆς. ὁ ὀρύσσων βόθρον, εἰς αὐτὸν ἐμπεσεῖται. καὶ καθαιροῦντα φραγμὸν, δήξεται αὐτοῦ ὄφις. ἐξαίρων λίθους διαπονηθήσεται ἐν αὐτοῖς. σχίζων ξύλα κινδυνεύσει ἐν αὐτοῖς, ἐὰν ἐκπέσῃ τὸ σιδήριον, καὶ αὐτὸς πρόσωπον ἐτάραξεν. καὶ δυνάμεις δυναμώσει, καὶ περισσεία τοῦ ἀνδρὸς σοφία. ἐὰν δάκῃ ὄφις ἐν οὐ ψιθυρισμῷ, καὶ οὐκ ἔστι περισσεία τῷ ἐπᾴδοντι. λόγοι στόματος σοφοῦ χάρις, καὶ χείλη ἄφρονος καταποντίσουσιν αὐτόν. ἀρχὴ λόγων στόματος αὐτοῦ ἀφροσύνη, καὶ ἐσχάτη στόματος αὐτοῦ περιφέρεια πονηρά. ὁ ἄφρων πληθύνει λόγους. οὐκ ἔγνω ὁ ἄνθρωπος τί τὸ γενησόμενον, καὶ τί τὸ ἐσόμενον, τί ὀπίσω αὐτοῦ, καὶ τίς ἀναγγελεῖ αὐτῷ; μόχθος τῶν ἀφρόνων κοπώσει αὐτοὺς, ὃς οὐκ ἔγνω τοῦ πορευθῆναι εἰς πόλιν. οὐαί σοι πόλις, ἧς ὁ βασιλεύς σου νεώτερος, καὶ οἱ ἄρχοντές σου πρωΐας ἐσθίουσιν. μακαρία γῆ, ἧς ὁ βασιλεύς σου υἱὸς ἐλευθέρων, καὶ οἱ ἄρχοντές σου πρὸς καιρὸν φάγον-

ται

tus potestatē habētis ascēderit in te, locum tuum ne dimiseris. Quia curatio faciet cessare peccata peccata magna. Est malum quod uidi sub sole, tanquā inuitum exiuit à facie potestatem habentis. Datus est stultus in sublimitatib. magnis, & diuites in humili sedebūt. Vidi seruos in equis, & principes ambulantes ut seruos super terram. Fodiens foueam in eam incidet. Et dissipātem sepem mordebit eum coluber. Tollens lapides labore torquebitur in eis. Scindens ligna periclitabit in eis, si exciderit ferrū, et ipse conspectū turbauit. Et potentias potentes reddet, et abundantia uiri sapientia. Si momorderit coluber non in murmure, & nō est abundātia incantanti. Sermones oris sapiētis, gratia, & labia insipiētis demergēt eū. Initiū sermonū oris eius insipiētia, et ultima oris eius circūlatio praua. Insipiēs multiplicat sermones. Non nouit homo, quid faciendū, & qd futurū, et quid post eū, qs renunciabit ei? Labor insipientiū molestabit eum, q non nouit proficisci in ciuitatem. Væ tibi ciuitas, cuius rex tuus iunior, & principes tui mane edunt. Beata terra, cuius rex tuus filius liberorum, et principes tui ad tēpus uescen-

tum

tur in potentia, & non pudescent. In pigritijs humilis reddetur cõtignatio, et in segnitie manuum stillabit domus. In risum faciũt panem & uinum & oleum ad exhilarandum uiuentes. Et argento obedient omnia. Et in conscientia tua non deuoueris diuitem neque regem. Et in conclauibus cubilium tuorũ ne deuoueris diuitem. Quia uolucris cœli deferet uocem tuam, & habẽs pennas renunciabit sermonem tuum.

Cap. XI. Dimitte panem tuum in conspectum aquæ, quia in multitudine dierum inuenies eũ. Da partẽ septẽ & octo, quia non cognoscis, quid erit malum in terra. Si repletæ fuerint nubes pluuia, in terrã effundunt. Et si ceciderit lignum in Austro, & si in Borea, loco, ubi cadet lignum, illic erit. Obseruans uentũ nõ seminabit, & spectans in nubibus non metet, in quibus non est cognoscens, quæ uia spiritus. Vt ossa in uentre fœtum gestãtis, ita non cognosces opera dei, quæcunque faciet uniuersa. Mane sere semen tuum, & in die ne remittat manus tua. Quia non cognoscis, ꝙ ordine orietur hoc an hoc, et an duo in hoc ipsũ bona. Et dulce lumẽ, & bonum oculis aspicere si-

ται ἐν δυνάμει, καὶ οὐκ αἰσχυνθήσονται. ἐν ὀκνηρίαις ταπεινωθήσεται ἡ δόκωσις, καὶ ἐν ἀργίᾳ χειρῶν στάξει ἡ οἰκία. εἰς γέλωτα ποιοῦσιν ἄρτον καὶ οἶνον καὶ ἔλαιον, τοῦ εὐφρανθῆναι ζῶντας. καὶ τῷ ἀργυρίῳ ἐπακούσεται τὰ πάντα. καί γε ἐν συνειδήσει σου μὴ καταράσῃ πλούσιον, μηδὲ βασιλέα. καὶ ἐν ταμείοις κοιτώνων σου μὴ καταράσῃ πλούσιον. ὅτι πετεινὸν τοῦ οὐρανοῦ ἀποίσει τὴν φωνήν σου, καὶ ὁ ἔχων τὰς πτέρυγας ἀπαγγελεῖ λόγον σου.

Ἀπόστειλον τὸν ἄρτον σου ἐπὶ πρόσωπον τοῦ ὕδατος, ὅτι ἐν πλήθει τῶν ἡμερῶν εὑρήσεις αὐτόν. δὸς μερίδα τοῖς ἑπτὰ καί γε τοῖς ὀκτώ, ὅτι οὐ γινώσκεις, τί ἔσται πονηρὸν ἐπὶ τῆς γῆς. ἐὰν πληρωθῶσι τὰ νέφη ὑετοῦ, ἐπὶ τὴν γῆν ἐκχέουσιν. καὶ ἐὰν πέσῃ ξύλον ἐν τῷ νότῳ καὶ ἐὰν ἐν τῷ βορρᾷ, τόπῳ, οὗ πεσεῖται τὸ ξύλον, ἐκεῖ ἔσται. τηρῶν ἄνεμον, οὐ σπερεῖ, καὶ βλέπων ἐν ταῖς νεφέλαις οὐ θερίσει, ἐν οἷς οὐκ ἔστι γινώσκων τίς ἡ ὁδὸς τοῦ πνεύματος. ὡς ὀστᾶ ἐν γαστρὶ τῆς κυοφορούσης, οὕτως οὐ γνώσῃ τὰ ποιήματα τοῦ θεοῦ, ὅσα ποιήσει τὰ σύμπαντα. ἐν τῷ πρωῒ σπεῖρον τὸ σπέρμα σου, καὶ ἐν ἡμέρᾳ μὴ ἀφιέτω ἡ χείρ σου, ὅτι οὐ γινώσκεις ποῖον στοιχήσει τοῦτο ἢ τοῦτο, καὶ ἐὰν τὰ δύο ἐπὶ τὸ αὐτὸ ἀγαθά. καὶ γλυκὺ τὸ φῶς, καὶ ἀγαθὸν τοῖς ὀφθαλμοῖς τοῦ βλέπειν

σὺν

σιν τὸν ἥλιον. ὅτι καὶ ἐὰν ἔτη πολλὰ ζήσεται ὁ ἄνθρωπος, ἐν πᾶσιν αὐτοῖς εὐφρανθήσεται, καὶ μνησθήσονται τὰς ἡμέρας τοῦ σκότους, ὅτι πολλαὶ ἔσονται. πᾶν τὸ ἐρχόμενον ματαιότης. εὐφραίνου νεανίσκε ἐν νεότητί σου, καὶ ἀγαθυνέτω σε ἡ καρδία σου ἐν ἡμέραις νεότητός σου, καὶ περιπάτει ἐν ὁδοῖς καρδίας σου ἄμωμος, καὶ μὴ ἐν ὁράσει ὀφθαλμῶν σου. καὶ γνῶσῃ, ὅτι ἐπὶ πᾶσι τούτοις ἄξει σε ὁ θεὸς εἰς κρίσιν. καὶ ἀπόστησον θυμὸν ἀπὸ καρδίας σου, καὶ παράγαγε πονηρίαν ἀπὸ σαρκός σου. ὅτι ἡ νεότης καὶ ἡ ἄνοια, ματαιότης.

Καὶ μνήσθητι τοῦ κτίσαντός σε ἐν ἡμέραις νεότητός σου, ἕως ὅτου μὴ ἔλθωσιν αἱ ἡμέραι τῆς κακίας σου, καὶ φθάσωσιν ἔτη, ἐν οἷς ἐρεῖς, οὐκ ἔστιν μοι ἐν αὐτοῖς θέλημα, ἕως οὗ μὴ σκοτισθῇ ὁ ἥλιος καὶ τὸ φῶς, καὶ ἡ σελήνη καὶ οἱ ἀστέρες, καὶ ἐπιστρέψωσιν τὰ νέφη ὀπίσω τοῦ ὑετοῦ ἐν ἡμέρᾳ, ᾗ ἐὰν σαλευθῶσιν φύλακες τῆς οἰκίας, καὶ διαστραφῶσιν ἄνδρες τῆς δυνάμεως, καὶ ἤργησαν αἱ ἀλήθουσαι ὅτι ὠλιγώθησαν. καὶ σκοτάσουσιν αἱ βλέπουσαι ἐν ταῖς ὀπαῖς, καὶ κλείσουσιν θύρας ἐν ἀγορᾷ, ἐν ἀσθενείᾳ φωνῆς τῆς ἀληθούσης, καὶ ἀναστήσεται εἰς φωνὴν τοῦ στρουθίου, καὶ ταπεινωθήσονται πᾶσαι αἱ θυγατέρες τοῦ ᾄσματος. καί γε ἀπὸ ὕψους ὄψονται, καὶ θάμβος ἐν τῇ ὁδῷ, καὶ ἀνθήσει τὸ ἀμύγδα-

λον,

simul solem. Quia & si annos multos uiuet homo, in omnibus illis gaudebit, et memores erunt dierum tenebrarũ, quia multi erunt. Omne ueniens uanitas. Gaude iuuenis in iuuentute tua, & bonum reddat te cor tuum in diebus iuuentutis tuæ. Et ambulat in uiis cor tuum inculpatum, & nõ in cõspectu oculorũ tuorũ. Et cognosces, q̃d in omnibus his ducet te deus in iudicium. Et amoue furorem à corde tuo, et abduc malitiam à carne tua. Quoniam adolescentia & amentia, uanitas.

Cap. XII.

Et memẽto eius qui possedit te in diebus iuuentutis tuæ, usquequo non ueniant dies malitiæ, & præueniant anni, in quibus dices, Nõ est mihi in eis uoluntas, usquequo non tenebrescat sol & lumen, et luna & stellę, & conuertẽt nubes post pluuiã in die, qua mouebũtur custodes domus, & peruertentur uiri potentiæ, & ociosæ fuerunt molentes, quia diminutæ fuerunt. Et tenebrescent, quæ uident in foraminibus, et claudent fores in platea, in infirmitate uocis molentis. Et cõsurget ad uocem passeris, & humiles reddentur omnes filiæ cantus. Et ab excelso uidebunt, & pauor in uia, & florebit amygda-

lus,

lus, & impinguetur est locusta, & dissipetur cappa ris. Quia iuit homo in do mum seculi sui, & circuie runt in platea plangentes, usquequo non euertatur funiculus argenti, & comprimatur rosa auri, & conteratur hydra super fontē, & coartetur rota super lacum, & reuertatur puluis in terram, ut erat, & spiritus redeat ad deum qui dedit illum. Vanitas uanitatum, dixit Ecclesiastes, omnia uanitas, & superfluum. Quoniam fuit Ecclesiastes sapiēs, et docuit cognitionē simul hominem. Et auris inuestigauit ornatum sententiarum. Multa quæsiuit Ecclesiastes, ut inueniret sermones uoluntatis, & scriptum rectitudinis, sermones ueritatis. Sermones sapientum, ut stimuli boum, & ut claui igniti, qui de pactis dati sunt à pastore uno et superfluum ex his. Fili mi caue facere libros multos, nō est finis. Et meditatio multa, labor carnis. Finem sermonis totū audi. Deum time, & mandata eius obserua. Quoniam hoc omnis homo. Quia omne opus ducet deus in iudicio, in omni neglecto siue bonum & siue malum. In Ecclesiaste perfectam, ut magnis & perfectis, proponit doctrinam.

λον, καὶ παχυνθῇ ἡ ἀκρίς, καὶ διασκεδασθῇ ἡ κάππαρις, ὅτι ἐπορεύθη ὁ ἄνθρωπος εἰς οἶκον αἰῶνος αὐτοῦ, καὶ ἐκύκλωσαν ἐν ἀγορᾷ οἱ κοπτόμενοι. ἕως ὅτου μὴ ἀναστραφῇ τὸ σχοινίον τοῦ ἀργυρίου, καὶ συντριβῇ τὸ ἀνθέμιον τοῦ χρυσίου. συντριβῇ ἡ ὑδρία ἐπὶ τὴν πηγὴν, καὶ συντροχάσῃ ὁ τροχὸς ἐπὶ τὸν λάκκον, καὶ ἐπιστρέψῃ ὁ χοῦς ἐπὶ τὴν γῆν, ὡς ἦν, καὶ τὸ πνεῦμα ἐπιστρέψει πρὸς τὸν θεὸν, ὃς ἔδωκεν αὐτό. ματαιότης ματαιοτήτων, εἶπεν ὁ ἐκκλησιαστής, τὰ πάντα ματαιότης καὶ περισσόν. ὅτι ἐγένετο ἐκκλησιαστὴς σοφὸς, καὶ ὅτι ἐδίδαξε γνῶσιν σὺν τὸν ἄνθρωπον. καὶ οὖς ἐξιχνίασε κόσμιον παραβολῶν. πολλὰ ἐζήτησεν ἐκκλησιαστὴς, τοῦ εὑρεῖν λόγους θελήματος, καὶ γεγραμμένον εὐθύτητος, λόγους ἀληθείας. λόγοι σοφῶν, ὡς τὰ βούκεντρα, καὶ ὡς ἧλοι πεπυρωμένοι, οἳ παρὰ τῶν συνθημάτων ἐδόθησαν, ἐκ ποιμένος ἑνὸς, καὶ περισσὸν ἐξ αὐτῶν. υἱέ μου φύλαξαι βιβλία ποιῆσαι πολλὰ, οὐκ ἔστι περασμός. καὶ μελέτη πολλὴ, κόπωσις σαρκός. τέλος λόγου τὸ πᾶν ἄκουε. τὸν θεὸν φοβοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ φύλαττε. ὅτι τοῦτο πᾶς ὁ ἄνθρωπος, ὅτι σύμπαν τὸ ποίημα ὁ θεὸς ἄξει ἐν κρίσει, ἐν παντὶ παρεωραμένῳ, ἐάν τι ἀγαθὸν καὶ ἐάν τι πονηρόν. Εν τῷ ἐκκλησιαστῇ τελείαν, ὡς αὖ μεγάλοις καὶ τελείοις, παρατίθησι τὴν διδασκαλίαν.

CAN- TA

ΤΑ ΠΡΟΣΩΠΑ ΤΟΥ βιβλίου τοῦ ᾄσματος. νυμφίος ὁ κύριος ἡμῶν, νύμφη ἡ ἐκκλησία. φίλοι τοῦ νυμφίου, ἄγγελοι καὶ ἅγιοι. νεάνιδες αἱ τῆς ἐκκλησίας ἀκόλουθοι.

Ἆσμα ᾀσμάτων, ὅ ἐστι σολομών.



ΦΙλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ, ὅτι ἀγαθοὶ μαστοί σου ὑπὲρ οἶνον. καὶ ὀσμὴ μύρων σου ὑπὲρ πάντα τὰ ἀρώματα. μύρον ἐκκενωθὲν ὄνομά σου. διὰ τοῦτο νεάνιδες ἠγάπησάν σε, εἵλκυσάν σε. ὀπίσω σου εἰς ὀσμὴν μύρων σου δραμοῦμεν. εἰσήνεγκέ με ὁ βασιλεὺς εἰς τὸ ταμεῖον αὐτοῦ. ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν σοί. ἀγαπήσωμεν μαστούς σου ὑπὲρ οἶνον. εὐθύτης ἠγάπησέ σε. μέλαινά εἰμι ἐγώ, καὶ καλή, θυγατέρες ἱερουσαλήμ, ὡς σκηνώματα κηδάρ, ὡς δέρρεις σολομῶν. μὴ βλέψητέ με, ὅτι ἐγώ εἰμι μεμελανωμένη, ὅτι παρέβλεψέ με ὁ ἥλιος. υἱοὶ μητρός μου ἐμαχέσαντο ἐν ἐμοί, ἔθεντό με φυλάκισσαν ἐν ἀμπελῶσιν, ἀμπελῶνα δὲ ἐμὸν οὐκ ἐφύλαξα. ἀπάγγειλόν μοι, ὃν ἠγάπησεν ἡ ψυχή μου. ποῦ ποιμαίνεις; ποῦ κοιτάζεις ἐν μεσημβρίᾳ; μήποτε γένωμαι ὡς περιβαλλομένη ἐπ' ἀγέ

λαις

PERSONAE LIbri Cãtici. Spõsus, dñs noster, sponsa ecclesia. Amici sponsi, angeli & sancti. Iuuenculæ, ecclesiæ pedissequæ.

CANTICVM CANticorum, quod est Solomon.



Capitulum I

OSculetur me ab osculis oris sui, quoniam bona ubera tua super uinum. Et odor unguentorum tuorum super omnia aromata. Vnguentum euacuatum nomen tuum. Propter hoc adolescẽtulæ dilexerunt te, traxerunt te. Post te in odorem unguentorũ tuorum curremus. Introduxit me rex in cellariũ suum. Exultemus & lætemur in te, diligemus ubera tua super uinum. Rectitudo dilexit te. Nigra sum et formosa, filiæ Hierusalem, sicut tabernacula Cedar, sicut pellis Solomonis. Ne aspiciatis me, quod ego sum nigrefacta, q͠a despexit me sol. Filij matris meæ pugnauerunt in me, posuerũt me custodem in uineis, uineam meam non custodiui. Renuncia mihi, quem dilexit anima mea. Vbi pascis? Vbi cubas in meridie? nequando fiam uelut circunducta in gregibus

Infra 5

bus

bus sodalium tuorum. Si nō nosti te ipsam pulchra in mulieribus, egredere tu in uestigiis gregum, et pasce hœdos tuos in tabernaculis pastorū. Equo meo in curribus Pharao assimilaui te propinqua mea: Quid pulchræ factæ sunt genæ tuæ ut turturis? Collum tuum sicut monilia. Simulachra auri faciemus tibi, cum emblematis argenti. Donec rex in accubitu suo, nardus mea dedit odorem suum. Fasciculus stactes nepos meus, in medio uberum meorum morabitur. Botrus Cypri nepos me⁹ mihi, in uinea in Gaddi. Ecce es pulchra, ppinqua mea, ecce es pulchra. Oculi tui colūbę. Ecce, es pulcher nepos meus, et decorus lectus noster umbrosus: Tigna nostra, cedri. Laquearia nostra, cupressi.

Cap. II Ego flos campi, lilium cōuallium. Sicut lilium in medio spinarum, ita propinqua mea in medio filiarū. Sicut pomum in lignis syluæ, sic nepos meus in
Supra 1 medio filiorum. In umbra
Infra 8 eius desideraui, & conse-
Inf. 3. 5. 8 di, & fructus eius dulcis in gutture meo. Introducite me in domum uini, ordinate in me dilectionē. Firmate me in unguentis, constipate me in pomis, q̄a uulnerata amore ego. Læua

λαις ἑταίρων σου. ἐὰν μὴ γνῷς σεαυτὴν ἡ καλὴ ἐν γυναιξίν, ἔξελθε σὺ ἐν πτέρναις τῶν ποιμνίων, καὶ ποίμαινε τὰς ἐρίφους σου ἐπὶ σκηνώμασι τῶν ποιμένων. τῇ ἵππῳ μου ἐν ἅρμασι φαραὼ ὡμοίωσά σε ἡ πλησίον μου. τί ὡραιώθησαν σιαγόνες σου ὡς τρυγών; τράχηλός σου ὡς ὁρμίσκοι. ὁμοιώματα χρυσίου ποιήσομέν σοι, μετὰ στιγμάτων τοῦ ἀργυρίου. ἕως οὗ ὁ βασιλεὺς ἐν ἀνακλίσει αὐτοῦ, νάρδος μου ἔδωκεν ὀσμὴν αὐτοῦ. ἀπόδεσμος τῆς στακτῆς ἀδελφιδός μου, ἀνὰ μέσον τῶν μαστῶν μου αὐλισθήσεται. βότρυς τῆς κύπρου ἀδελφιδός μου ἐμοί, ἐν ἀμπελῶσιν ἐν γαδδί. ἰδοὺ, εἶ καλὴ ἡ πλησίον μου, ἰδοὺ, εἶ καλή. ὀφθαλμοί σου περιστεραί. ἰδοὺ, εἶ καλὸς ἀδελφιδός μου, καί γε ὡραῖος κλίνη ἡμῶν σύσκιος. δοκοὶ ἡμῶν, κέδροι. φατνώματα ἡμῶν, κυπάρισσοι.

Ἐγὼ ἄνθος τοῦ πεδίου, κρίνον τῶν κοιλάδων. ὡς κρίνον ἐν μέσῳ ἀκανθῶν, οὕτως ἡ πλησίον μου ἀνὰ μέσον τῶν θυγατέρων. ὡς μῆλον ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ, οὕτως ἀδελφιδός μου ἀνὰ μέσον τῶν υἱῶν. ἐν τῇ σκιᾷ αὐτοῦ ἐπεθύμησα, καὶ ἐκάθισα, καὶ καρπὸς αὐτοῦ γλυκὺς ἐν λάρυγγί μου. εἰσαγάγετέ με εἰς οἶκον τοῦ οἴνου, τάξατε ἐπ' ἐμὲ ἀγάπην. στηρίσατέ με ἐν μύροις, στοιβάσατέ με ἐν μήλοις, ὅτι τετρωμένη ἀγάπης ἐγώ.

εὐώνυμ

εὐώνυμος αὐτοῦ ὑπὸ τὴν κεφαλήν
μου, καὶ ἡ δεξιὰ αὐτοῦ περιλήψεταί
με. ὥρκισα ὑμᾶς θυγατέρες Ἱερουσα-
λὴμ ἐν ταῖς δυνάμεσι, καὶ ἐν ἰσχύ-
σεσι τοῦ ἀγροῦ, ἐὰν ἐγείρητε, καὶ ἐξ-
εγείρητε τὴν ἀγάπην, ἕως οὗ θελή-
σῃ. φωνὴ τοῦ ἀδελφιδοῦ μου, ἰδοὺ, οὗ-
τος ἥκει πηδῶν ἐπὶ τὰ ὄρη, διαλλό-
μενος ἐπὶ τοὺς βουνούς. ὅμοιός ἐστιν
ἀδελφιδός μου τῇ δορκάδι, ἢ νεβρῷ
ἐλάφων ἐπὶ τὰ ὄρη Βαιθήλ. ἰδοὺ, οὗ-
τος ἕστηκεν ὀπίσω τοῦ τοίχου ἡμῶν,
παρακύπτων διὰ τῶν θυρίδων, ἐκ-
κύπτων διὰ τῶν δικτύων. ἀποκρίνεται
ἀδελφιδός μου, καὶ λέγει μοι, ἀνά-
στα, ἐλθὲ ἡ πλησίον μου, καλή μου, πε-
ριστερά μου. ὅτι ἰδοὺ, ὁ χειμὼν παρ-
ῆλθεν, ὁ ὑετὸς ἀπῆλθεν, ἐπορεύθη
ἑαυτῷ. τὰ ἄνθη ὤφθη ἐν τῇ γῇ, και-
ρὸς τῆς τομῆς ἔφθακεν, φωνὴ τῆς
τρυγόνος ἠκούσθη ἐν τῇ γῇ ἡμῶν.
ἡ συκῆ ἐξήνεγκεν ὀλύνθους αὐτῆς,
αἱ ἄμπελοι κυπρίζουσιν, ἔδωκαν
ὀσμήν. ἀνάστα, ἐλθὲ ἡ πλησίον μου,
καλή μου, περιστερά μου. δεῦρο, καὶ
ἐλθὲ σὺ περιστερά μου, ἐν σκέπῃ τῆς
πέτρας ἐχόμενα τοῦ προτειχίσμα-
τος. δεῖξόν μοι τὴν ὄψιν σου, καὶ
ἀκούτισόν με τῆς φωνῆς σου. ὅτι ἡ
φωνή σου ἡδεῖα, καὶ ἡ ὄψις σου ὡ-
ραία. πιάσατε ἡμῖν ἀλώπεκας μι-
κροὺς, ἀφανίζοντας ἀμπελῶνας. καὶ
αἱ ἄμπελοι ἡμῶν κυπρίζουσιν. ἀ-
δελφιδός μου ἐμοὶ, κἀγὼ αὐτῷ, ὁ
ποι

Laeua eius sub capite
meo, & dextera illius am-
plexabitur me. Adiuraui
uos filię Hierusalem in po-
tentiis & in fortitudini-
bus agri, ut suscitetis,
& excitetis dilectio-
nem, quousque uoluerit.
Vox nepotis mei, ecce
hic uenit saliens in mon-
tes, transiliens super col-
les. Similis est nepos me-
us capræ aut hinnulo cer-
uorũ hic per montes Bai
thel. Ecce ubi stetit post
parietem nostrum, prospi-
ciens per fenestras, respi-
ciens per retia. Respondet
nepos meus, et dicit mihi,
Surge, ueni propinq mea,
formosa mea, columba
mea. Quia ecce hyems trã-
sijt, hymber abijt, recessit
sibi. Flores apparuerũt in
terra, tempus putationis
præuenit, uox turturis au
dita est in terra nostra. Fi-
cus protulit grossos suos,
uineæ germinant, dede-
runt odorem. Surge ueni
amica mea, formosa mea,
colũba mea. Age, & ueni
tu colũba mea in tegmine
petræ, prope antemura-
le. Ostende mihi aspe-
ctum tuum, & audire fac
me uocem tuam. Quia
uox tua dulcis, & facies
tua decora. Capite nobis
uulpes paruas, demolien-
tes uineas. Et uineæ no-
stræ germinant. Nepos
meus mihi, & ego illi,
Zz 2 pascens

pascens in lilijs, donec perflauerit dies, & motæ fuerint umbræ. Reuertere, assimilare tu nepos meus dorcadi, uel hinnulo ceruorum per montes circuituum.

Cap. III Super lectulum meum in noctibus quæsiui, quem dilexit anima mea. Quæsiui illum, & non inueni illum. Aduocaui eum, & non obediuit mihi. Surgam iam, et circuibo in ciuitate, in foris & in plateis. Et quæram, quem dilexit anima mea. Quæsiui illum, & non inueni illũ. Aduocaui eum, & non obediuit mihi. Inuenerunt me obseruantes, circumeuntes in ciuitate. Num, quem dilexit anima mea, uidistis? Quàm parum cũ præterijui ab eis, quousq; inueni, quem dilexit anima mea. Tenui eum, & non dimisi eum, quousq; introduxi eum in domum matris meæ, & in conclaue concipientis me. Adiuraui uos filiæ Hierusalem in potentijs & in uiribus agri, si suscitaueritis, & excitaueritis dilectionẽ, quousq; uoluerit. Quæ ista ascendens è deserto, ut truncus fumi euaporans myrrham & thus, ab omnibus pulueribus unguentarii? En lectulus Solomonis, sexaginta potentes in circuitu eius ex potẽtibus Israel, omnes continentes gladium,

ποιμαίνειν ἐν τοῖς κρίνοις, ἕως οὗ διαπνεύσῃ ἡ ἡμέρα, καὶ κινηθῶσιν αἱ σκιαί. ἀπόστρεψον, ὁμοιώθητι σὺ ἀδελφιδέ μου τῷ δόρκωνι, ἢ νεβρῷ ἐλάφων ἐπὶ ὄρη κυκλωμάτων.

Ἐπὶ κοίτην μου ἐν νυξὶν ἐζήτησα ὃν ἠγάπησεν ἡ ψυχή μου. ἐζήτησα αὐτὸν, καὶ οὐχ εὗρον αὐτόν. ἐπεκάλεσα αὐτὸν, καὶ οὐχ ὑπήκουσέ μου. ἀναστήσομαι δὴ, καὶ κυκλώσω ἐν τῇ πόλει, ἐν ταῖς ἀγοραῖς, καὶ ἐν ταῖς πλατείαις, καὶ ζητήσω ὃν ἠγάπησεν ἡ ψυχή μου. ἐζήτησα αὐτὸν καὶ οὐχ εὗρον αὐτόν. ἐπεκάλεσα αὐτὸν, καὶ οὐχ ὑπήκουσέ μου. εὕροσάν με οἱ τηροῦντες οἱ κυκλοῦντες ἐν τῇ πόλει. μὴ ὃν ἠγάπησεν ἡ ψυχή μου εἴδετε; ὡς μικρὸν ὅτε παρῆλθον ἀπ' αὐτῶν, ἕως οὗ εὗρον, ὃν ἠγάπησεν ἡ ψυχή μου. ἐκράτησα αὐτὸν, καὶ οὐκ ἀφῆκα αὐτὸν, ἕως οὗ εἰσήγαγον αὐτὸν εἰς οἶκον μητρός μου, καὶ εἰς ταμεῖον τῆς συλλαβούσης με. ὥρκισα ὑμᾶς θυγατέρες Ἱερουσαλὴμ ἐν ταῖς δυνάμεσι, καὶ ἐν ταῖς ἰσχύεσι τοῦ ἀγροῦ, ἐὰν ἐγείρητε, καὶ ἐξεγείρητε τὴν ἀγάπην, ἕως ἂν θελήσῃ. Τίς αὕτη ἡ ἀναβαίνουσα ἐκ τῆς ἐρήμου, ὡς στελέχη καπνοῦ τεθυμιαμένη σμύρναν καὶ λίβανον ἀπὸ πάντων κονιορτῶν μυρεψοῦ; ἰδοὺ ἡ κλίνη τοῦ Σολομῶν, ἑξήκοντα δυνατοὶ κύκλῳ αὐτῆς ἀπὸ δυνατῶν Ἰσραὴλ, πάντες κατέχοντες

ῥομ

ῥομφαίαν, δεδιδαγμένοι πόλεμον. ἀνὴρ ῥομφαίαν αὐτοῦ ἐπὶ μηρὸν αὐτοῦ, ἀπὸ θάμβους ἐν νυξίν. φορεῖον ἐποίησεν ἑαυτῷ ὁ βασιλεὺς σολομῶν ἀπὸ ξύλων τοῦ λιβάνου. στύλους αὐτοῦ ἐποίησεν ἀργύριον, καὶ ἀνάκλιτον αὐτοῦ χρύσιον, ἐπίβασις αὐτοῦ πορφυρᾶ, ἐντὸς αὐτοῦ λιθόστρωτον, ἀγάπην ἀπὸ θυγατέρων ἱερουσαλήμ. θυγατέρες σιὼν ἐξέλθετε, καὶ ἴδετε ἐν τῷ βασιλεῖ σολομῶν, ἐν τῷ στεφάνῳ ᾧ ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ αὐτοῦ ἐν ἡμέρᾳ νυμφεύσεως αὐτοῦ, καὶ ἐν ἡμέρᾳ εὐφροσύνης καρδίας αὐτοῦ.

Ἰδοὺ, εἶ καλὴ ἡ πλησίον μου, ἰδοὺ εἶ καλή. ὀφθαλμοί σου περιστεραί, ἐκτὸς τῆς σιωπήσεώς σου. τρίχωμά σου, ὡς ἀγέλαι τῶν αἰγῶν, αἳ ἀπεκαλύφθησαν ἀπὸ τοῦ γαλαάδ. ὀδόντες σου ὡς ἀγέλαι τῶν κεκαρμένων, αἳ ἀνέβησαν ἀπὸ τοῦ λουτροῦ, αἱ πᾶσαι διδυμεύουσαι, καὶ ἀτεκνοῦσα οὐκ ἔστιν ἐν αὐταῖς. ὡς σπαρτίον τὸ κόκκινον χείλη σου. καὶ ἡ λαλιά σου ὡραία, ὡς λέπυρον τῆς ῥόας, μῆλόν σου ἐκτὸς τῆς σιωπήσεώς σου. ὡς πύργος δαβὶδ τράχηλός σου, ὁ ᾠκοδομημένος εἰς θαλπιώθ. χίλιοι θυρεοὶ κρέμανται ἐπ' αὐτὸν, πᾶσαι βολίδες τῶν δυνατῶν. δύο μαστοί σου, ὡς δύο νεβροὶ δίδυμοι δορκάδος οἱ νεμόμενοι ἐν κρίνοις, ἕως οὗ διαπνεύσῃ ἡ ἡμέρα, καὶ κινηθῶσιν αἱ σκιαί.

gladium, docti belli. Vir ensẽ eius super fœmur suum, à timore in noctibus. Ferculũ fecit sibi rex Solomon è lignis Libani, Columnas eius fecit argenti, & reclinatorium eius aureum, ascensus eius purpura, interius eius lapidibus stratum, dilectionẽ à filiabus Hierusalem. Egredimini, & uidete filiæ Sion in rege Solomone, in corona qua coronauit eum mater sua in die desponsationis illius, & in die lætitiæ cordis eius.

Ecce es pulcha propinqua mea, ecce es pulchra. Oculi tui columbæ, extra silentium tuum. Cæsaries tua sicut greges caprarum, quæ reuelatæ sunt à Galaad. Dentes tui sicut greges tonsarum quæ ascenderunt de lauacro, omnes gemellis fœtibus, & sterilis non est in eis. Sicut funiculus coccineus labia tua. Et eloquiũ tuum decorum sicut cortex mali punici, malum tuum extra silentium tuum. Sicut turris Dauid collum tuum, ędificata est in Thalpioth. Mille scuta pendent super eam, omnia iacula potentium. Duo ubera tua sicut duo hinnuli gemelli capreę qui pascũt in lilijs, quousque aspiret dies, & motæ sint umbrę.

Caput IIII
Infra 6

Vadam mihiipsi ad montem myrrhę, & ad collem thuris. Tota pulchra es amica mea, & macula non est in te. Veni à Libano sponsa, ueni à Libano. Venies, & trāsibis à principio fidei, à capite Sanieir, & Aermon, à cubilibus leonū, de montibus pardorū. Stupefecisti nos soror nostra, sponsa. Stupefecisti uno ab oculis tuis, in uno torque colli tui. Quid pulchra facta sunt ubera tua soror mea, sponsa? Quid pulchra facta sunt ubera tua à uino? Et odor uestimentorum tuorum super omnia aromata. Fauū distillant labia tua, spōsa. Mel et lac sub lingua tua, & odor uestimentorum tuorum sicut odor thuris. Hortus conclusus, soror mea, sponsa. Hortus cōclusus, fons signatus. Emissiones tuae, paradisi malorū punicorum cum fructu nucum, cypri cum nardis, nardus & crocus, fistula & cinnamomum cum uniuersis lignis Libani, myrrha, aloe cū omnibus primis unguentis. Fons horti, puteus aquae uiuentis & scaturientis à Libano. Excitare Boreas, & ueni Note, persla hortum meum, & fluant aromata mea.

Cap.V Descēdat nepos meus in hortum suū, at edat fructū nucum

πορεύσομαι ἐμαυτῷ πρὸς τὸ ὄρος τῆς σμύρνης, καὶ πρὸς βουνὸν τοῦ λιβάνου. ὅλη καλὴ ἡ πλησίον μου, καὶ μῶμος οὐκ ἔστιν ἐν σοί. δεῦρο ἀπὸ λιβάνου νύμφη, δεῦρο ἀπὸ λιβάνου. ἐλεύσῃ, καὶ διελεύσῃ ἀπ᾽ ἀρχῆς πίστεως, ἀπὸ κεφαλῆς σανιὲρ καὶ ἀερμὼν, ἀπὸ μανδρῶν λεόντων, ἀπὸ ὀρέων παρδάλεων. ἐκαρδίωσας ἡμᾶς ἀδελφὴ ἡμῶν νύμφη, ἐκαρδίωσας ἡμᾶς ἐνὶ ἀπὸ ὀφθαλμῶν σου, ἐν μιᾷ ἐνθέματι τραχήλου σου. τί ἐκαλλιώθησαν μαστοί σου ἀδελφή μου νύμφη; τί ἐκαλλιώθησαν μαστοί σου ἀπὸ οἴνου; καὶ ὀσμὴ ἱματίων σου ὑπὲρ πάντα ἀρώματα. κηρίον ἀποστάζουσι χείλη σου νύμφη, μέλι καὶ γάλα ὑπὸ τὴν γλῶσσάν σου. καὶ ὀσμὴ ἱματίων σου ὡς ὀσμὴ λιβάνου. κῆπος κεκλεισμένος, ἀδελφή μου νύμφη. κῆπος κεκλεισμένος, πηγὴ ἐσφραγισμένη. ἀποστολαί σου, παράδεισος ῥοῶν μετὰ καρποῦ ἀκροδρύων, κύπροι μετὰ νάρδων, νάρδος καὶ κρόκος, κάλαμος καὶ κινάμωμον ἀπὸ πάντων ξύλων τοῦ λιβάνου, σμύρνα, ἀλωὴ μετὰ πάντων πρώτων μύρων. πηγὴ κήπου, καὶ φρέαρ ὕδατος ζῶντος, καὶ ῥοιζοῦντος ἀπὸ τοῦ λιβάνου. ἐξεγέρθητι βορρᾶ, καὶ ἔρχου νότε, καὶ διάπνευσον κῆπόν μου, καὶ ῥευσάτωσαν ἀρώματά σου.

Καταβήτω ἀδελφιδός μου εἰς κῆπον αὐτοῦ, καὶ φαγέτω καρπὸν

ἀκροδρύων αὐτοῦ. εἰσῆλθον εἰς κῆ-
πον μου ἀδελφή μου νύμφη. ἐτρύγη-
σα σμύρναν μου μετὰ ἀρωμάτων
μου. ἔφαγον ἄρτον μου μετὰ μέλιτός
μου. ἔπιον οἶνον μου μετὰ γάλακτός
μου. φάγετε οἱ πλησίοι, καὶ πίετε.
καὶ μεθύσθητε ἀδελφοί, ἐγὼ καθεύ-
δω, καὶ ἡ καρδία μου ἀγρυπνεῖ.
φωνὴ ἀδελφιδοῦ μου κρούει ἐπὶ τὴν
θύραν. ἄνοιξόν μοι ἡ πλησίον μου,
ἀδελφή μου, περιστερά μου, τελεία
μου. ὅτι ἡ κεφαλή μου ἐπλήσθη δρό-
σου, καὶ οἱ βόστρυχοί μου ψεκάδων
νυκτός. ἐξεδυσάμην τὸν χιτῶνά μου,
πῶς ἐνδύσωμαι αὐτόν; ἐνιψάμην
τοὺς πόδας μου, πῶς μολυνῶ αὐ-
τούς; ἀδελφιδός μου ἀπέστειλε
χεῖρα αὐτοῦ διὰ τῆς ὀπῆς, καὶ ἡ κοι-
λία μου ἐθροήθη ἐπ᾽ αὐτόν. ἀνέ-
στην ἐγὼ ἀνοῖξαι τῷ ἀδελφῷ μου,
χεῖρές μου ἔσταξαν σμύρναν, δάκ-
τυλοί μου σμύρναν πλήρη ἐπὶ χεῖ-
ρας τοῦ κλείθρου. ἤνοιξα ἐγὼ τῷ ἀ-
δελφιδῷ μου. ἀδελφιδός μου παρ-
ῆλθεν, ψυχή μου ἐξῆλθεν ἐν λόγῳ
αὐτοῦ. ἐζήτησα αὐτόν, καὶ οὐχ εὗ-
ρον αὐτόν. ἐκάλεσα αὐτόν, καὶ οὐχ
ὑπήκουσέ μου. εὕροσάν με οἱ φύλα-
κες οἱ κυκλοῦντες ἐν τῇ πόλει, ἐ-
πάταξάν με, καὶ ἐτραυμάτισάν με.
ἦραν τὸ θέριστρόν μου ἀπ᾽ ἐμοῦ φύ-
λακες τῶν τειχέων. ὥρκισα ὑμᾶς
θυγατέρες Ἱερουσαλὴμ ἐν ταῖς δυ-
νάμεσι, καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ
ἀγροῦ.

nucum suarum. Ingressus
sum in hortum meum, so-
ror mea sponsa. Vindemi Hier.25
aui myrrham meam cum
aromatibus meis. Edi pa-
nem meũ cũ melle meo.
Bibi uinum meum cum
lacte meo. Comedite ami-
ci, et bibite. Et inebriami-
ni fratres, ego dormio, &
cor meum uigilat. Vox
nepotis mei pulsat ad por-
tam. Aperi mihi propin-
qua mea, soror mea, co-
lumba mea, perfecta mea.
Quia caput meum plenũ
est rore, & cincinni mei
guttis noctis. Exui tuni-
cam meam, quomodo in-
duam eam? Laui pedes
meos, quomodo inquina-
bo illos? Nepos meus di-
misit manum suam per ri-
mam, & uenter meus tur-
batus est ad illum. Surre-
xi ego, ut aperirem nepo-
ti meo. Manus meæ stilla-
uerunt myrrham, digiti
mei myrrham plenam per
manus. Pessulum aperui
ego nepoti meo. Nepos
meus transiuit, anima
mea exiuit in sermone e-
ius. Quæsiui illum, & nõ
inueni illũ. Vocaui eum,
& non audiuit me. Inue-
nerunt me custodes cin-
gentes in ciuitate. Percus-
serunt me, uulnerauerunt
me, tulerunt æstiuam sto-
lã à me custodes murorũ.
Adiuraui uos filiæ Hierusa- Sup.2
lẽ in potẽtiis & uirtutibus Inf.8

agri.

agri. Si inueneritis nepotem meum, nunciate ei, quod uulnerata amore sum ego. Quid nepos tuus à nepote pulchra in mulieribus. Quid nepos tuus à nepote, quia sic adiurasti nos. Nepos meus candidus & rufus, electus ex decem millibus. Caput eius aurum caput. Comæ eius palmæ fructus nigræ sicut coruus. Oculi eius sicut columbæ super plenitudines aquarum, lotæ in lacte, sedentes super plenitudines aquarum. Genæ illius sicut phialæ aromatis, producentes pigmentaria. Labia eius, lilia stillantia myrrham plenam. Manus eius tornatiles aureę, plenę Tharsis. Venter eius pyxis parua, eburnea in lapide sapphiro. Tibiæ eius columnæ marmoreæ, fundatæ super bases aureas. Species eius ut Libanus electus, ut cedri. Guttur illius, suauitates & totus desiderium. Hic nepos meus, & hic propinquus meus, filiæ Hierusalem. Quo abiit nepos tuus pulchra in mulieribus. Quò respexit nepos tuus, & quæremus eum tecum.

Cap. VI Nepos meus descendit in hortum suum, ad phialas aromatis, ut pascat in hortis, & ut colligat lilia. Ego nepoti meo, & nepos

ἀγροῦ. ἐὰν εὕρητε τὸν ἀδελφιδόν μου, ἀπαγγείλατε αὐτῷ, ὅτι τετρωμένη ἀγάπης ἐγώ εἰμι. τί ἀδελφιδός σου ἀπὸ ἀδελφιδοῦ, ἡ καλὴ ἐν γυναιξί. τί ἀδελφιδός σου ἀπὸ ἀδελφιδοῦ, ὅτι οὕτως ὥρκισας ἡμᾶς. ὁ ἀδελφιδός μου λευκὸς καὶ πυῤῥὸς, ἐκλελογισμένος ἀπὸ μυριάδων. κεφαλὴ αὐτοῦ, χρυσίον κεφαλή. βόστρυχοι αὐτοῦ, ἐλάται μέλανες ὡς κόραξ. ὀφθαλμοὶ αὐτοῦ ὡς περιστεραὶ ἐπὶ πληρώματα ὑδάτων, λελουμέναι ἐν γάλακτι, καθήμεναι ἐπὶ πληρώματα ὑδάτων. σιαγόνες αὐτοῦ ὡς φιάλαι τοῦ ἀρώματος, φύουσαι μυρεψικά. χείλη αὐτοῦ, κρίνα στάζοντα σμύρναν πλήρη. χεῖρες αὐτοῦ τορευταὶ, χρυσαῖ, πεπληρωμέναι θαρσεῖς. κοιλία αὐτοῦ, πύξιον ἐλεφάντινον ἐπὶ λίθου σαπφείρου. κνῆμαι αὐτοῦ, στῦλοι μαρμάρινοι, τεθεμελιωμένοι ἐπὶ βάσεις χρυσᾶς. εἶδος αὐτοῦ ὡς λίβανος ἐκλεκτὸς, ὡς κέδροι. φάρυγξ αὐτοῦ γλυκασμὸς, καὶ ὅλος ἐπιθυμία. οὗτος ἀδελφιδός μου, καὶ οὗτος πλησίον μου, θυγατέρες Ἱερουσαλήμ. ποῦ ἀπῆλθεν ὁ ἀδελφιδός σου, ἡ καλὴ ἐν γυναιξίν. ποῦ ἀπέβλεψεν ὁ ἀδελφιδός σου, καὶ ζητήσομεν αὐτὸν μετά σου.

Ἀδελφιδός μου κατέβη εἰς κῆπον αὐτοῦ, εἰς φιάλας τοῦ ἀρώματος, ποιμαίνειν ἐν κήποις, καὶ συλλέγειν κρίνα. ἐγὼ τῷ ἀδελφιδῷ μου, καὶ ἀδελ-

ἀδελφιδός μου ἐμοί, ὁ ποιμαίνων ἐν τοῖς κρίνοις. καλὴ ἡ πλησίον μου ὡς εὐδοκία, ὡραία ὡς ἱερουσαλήμ, θάμβος ὡς τεταγμέναι. ἀπόστρεψον ὀφθαλμούς σου ἀπεναντίον μου, ὅτι αὐτοὶ ἀνεπτέρωσάν με. τρίχωμά σου ὡς ἀγέλαι τῶν αἰγῶν, αἳ ἀνέβησαν ἀπὸ τοῦ γαλαάδ. ὀδόντες σου ὡς ἀγέλαι τῶν κεκαρμένων, αἳ ἀνέβησαν ἀπὸ τοῦ λουτροῦ, αἳ πᾶσαι διδυμεύουσαι, καὶ ἀτεκνοῦσα οὐκ ἔστιν ἐν αὐταῖς. ὡς σπαρτίον κόκκινον χείλη σου. καὶ ἡ λαλιά σου ὡραία. ὡς λέπυρον τῆς ῥόας μῆλόν σου, ἐκτὸς τῆς σιωπήσεώς σου. ἑξήκοντά εἰσι βασίλισσαι, καὶ ὀγδοήκοντα παλλακαί, καὶ νεάνιδες ὧν οὐκ ἔστιν ἀριθμός. μία ἐστὶν ἡ περιστερά μου, τελεία μου. μία ἐστὶ τῇ μητρὶ αὐτῆς, ἐκλεκτὴ τῇ τεκούσῃ αὐτῆς. εἴδοσαν αὐτὴν θυγατέρες, καὶ ἐμακάρισαν αὐτήν. βασίλισσαι καί γε παλλακαὶ αἰνέσουσιν αὐτήν. Τίς αὕτη ἡ ἐκκύπτουσα ὡσεὶ ὄρθρος, καλὴ ὡς σελήνη, ἐκλεκτὴ ὡς ὁ ἥλιος, θάμβος ὡς τεταγμένη; εἰς κῆπον καρύας κατέβην ἰδεῖν ἐν γεννήματι τοῦ χειμάρρου ἰδεῖν, εἰ ἤνθησεν ἡ ἄμπελος. ἐξήνθησαν αἱ ῥοαί. ἐκεῖ δώσω τοὺς μαστούς μου σοί. οὐκ ἔγνω ἡ ψυχή μου. ἔθετό με ἅρματα ἀμιναδάβ. ἐπίστρεφε, ἐπίστρεφε ἡ σουναμῖτις. ἐπίστρεφε, καὶ ὀψόμεθα ἐν σοί.

Τί ὄψεσθε ἐν τῇ σουναμίτιδι; ἡ ὀρ-

χομένη

nepos meus mihi, qui pascit in lilijs. Pulchra propinqua mea, ut beneplacitum, decora ut Hierusalem. Pauor ut ordinatae. Auerte oculos tuos à me, quia ipsi auolare fecerunt me. Caesaries tua sicut greges caprarum quae ascenderunt à Galaad. Dentes tui sicut greges tonsarum quae ascenderunt de lauacro, omnes gemellis foetibus, & sterilis non est in eis, Sicut funiculus coccineus labia tua, & eloquiū tuum decorum. Sicut cortex malipunici genae tuae extra silentium tuum. Sexaginta sunt reginę, & octoginta concubinae, & adolescentulae quarū non est numerus. Vna est columba mea, perfecta mea. Vna est matri suae, electa est genitrici suae. Viderūt eam filiae, & beatam praedicarunt eam. Reginae et concubinae laudabunt eā. Quae ista quae caput erigit quasi aurora, pulchra ut luna, electa ut sol, pauor ut ordinata? In hortum nucis descendi uidere in generatiōe, uidere an floruit uinea, an floruerunt mala punica. Ibi dabo tibi ubera mea. Nō nouit aīa mea Posuit me currus Aminadab. Reuertere, reuertere Sunamitis. Reuertere, et et intuebimur in te. Inf. 8

Cap. VII

Quid uidebitis in Sunamitide quae pro-

ficiscens

ficiscens ut chori castrorũ? Quid pulchri facti sunt gressus tui in calceamẽtis filia Nadab? Proportiões fœmorũ tuorũ similes monilibus, operi manuũ artificis. Vmbilicus tuus, crater tornatilis, non indigẽs mixtione. Vẽter tuus, cumulus tritici uallatus in liliis. Duo ubera tua sicut duo hinnuli gemelli capreæ. Collum tuum sicut turris eburnea. Oculi tui ut piscinæ in Essebon, in portis filię multorum. Nasus tuus sicut turris Libani, quę respicit faciem Damasci. Caput tuum super te ut Carmeli, & cæsaries capitis tui sicut purpura, rex ligatus in transcursibus. Quid pulchra facta es, & quid iucunda facta es dilectio? In delicijs tuis hæc magnitudo tua. similis facta es palmæ, & ubera tua botris. Dixi, Ascendam in palmam, apprehẽdam cacumina eius. Et erunt quidem ubera tua, sicut botri uineæ, & odor naris tuæ sicut mala, & guttur tuum sicut uinum bonum. Vadens nepoti meo in rectitudines, sufficiẽs in labiis meis & dentibus. Ego nepoti meo, et ad me cõuersio eius. Veni nepos mi, egrediamur in agrũ, cõmoremur in uillis. Mane surgamus in uineas, uideamus, an floruit uinea.

Floruit

χορεύη ὡς χοροὶ τῶν παρεμβολῶν; τί ὡραιώθησαν διαβήματά σου ἐν ὑποδήμασίν σου, θύγατερ ναδάβ; ῥυθμοὶ μηρῶν σου ὅμοιοι ὁρμίσκοις, ἔργῳ χειρῶν τεχνίτου. ὀμφαλός σου, κρατὴρ τορευτὸς, μὴ ὑστερούμενος κρᾶμα. κοιλία σου θημωνία σίτου, πεφραγμένη ἐν κρίνοις. δύο μαστοί σου, ὡς δύο νεβροὶ δίδυμοι δορκάδος. ὁ τράχηλός σου, ὡς πύργος ἐλεφάντινος. οἱ ὀφθαλμοί σου, ὡς λίμναι ἐν ἐσεβῶν, ἐν πύλαις θυγατρὸς πολλῶν. μυκτήρ σου, ὡς πύργος τοῦ λιβάνου, σκοπεύων πρόσωπον δαμασκοῦ. κεφαλή σου ἐπί σε ὡς κάρμηλος, καὶ πλόκιον κεφαλῆς σου ὡς πορφύρα, βασιλεὺς δεδεμένος ἐν παραδρομαῖς. τί ὡραιώθης, καὶ τί ἡδύνθης ἀγάπη; ἐν τρυφαῖς σου τοῦτο μέγεθός σου. ὡμοιώθης τῷ φοίνικι, καὶ οἱ μαστοί σου τοῖς βότρυσιν. εἶπα, ἀναβήσομαι ἐπὶ τῷ φοίνικι, κρατήσω τῶν ὕψεων αὐτοῦ. καὶ ἔσονται δὴ μαστοί σου ὡς βότρυες τῆς ἀμπέλου, καὶ ὀσμὴ ῥινός σου ὡς μῆλα, καὶ ὁ λάρυγξ σου ὡς οἶνος ὁ ἀγαθός. πορευόμενος τῷ ἀδελφιδῷ μου εἰς εὐθύτητας, ἱκανούμενος χείλεσί μου καὶ ὀδοῦσιν. ἐγὼ τῷ ἀδελφιδῷ μου, καὶ ἐπ' ἐμὲ ἡ ἐπιστροφὴ αὐτοῦ. ἐλθὲ ἀδελφιδέ μου, ἐξέλθωμεν εἰς ἀγρὸν, αὐλισθῶμεν ἐν κώμαις. ὀρθρίσωμεν εἰς ἀμπελῶνας, ἴδωμεν, εἰ ἤνθησεν ἡ ἄμπελος.

ἤνι

ἤνθησεν ὁ κυπρισμός, ἤνθησαν αἱ ῥοιαί, ἐκεῖ δώσω τοὺς μαστούς μου σοί. οἱ μανδραγόραι ἔδωκαν ὀσμήν, καὶ ἐπὶ θύραις ἡμῶν πάντα ἀκρόδρυα. νέα πρὸς παλαιά, ἀδελφιδέ μου, ἐτήρησά σοι.

Τίς δώῃ σε ἀδελφιδέ μου θηλάζοντα μαστοὺς μητρός μου; εὑροῦσά σε ἔξω, φιλήσω σε, καί γε οὐκ ἐξουδενώσουσί με. παραλήψομαί σε, εἰσάξω σε εἰς οἶκον μητρός μου, καὶ εἰς ταμιεῖον τῆς συλλαβούσης με, διδάξεις με. ποτιῶ σε ἀπὸ οἴνου τοῦ μυρεψικοῦ, ἀπὸ νάματος ῥοῶν μου. εὐώνυμος αὐτοῦ ὑπὸ τὴν κεφαλήν μου, καὶ ἡ δεξιὰ αὐτοῦ περιλήψεταί με. ὥρκισα ὑμᾶς θυγατέρες Ἱερουσαλὴμ ἐν ταῖς δυνάμεσι, καὶ ἐν ταῖς ἰσχύεσι τοῦ ἀγροῦ. τί ἐγείρητε, καὶ τί ἐξεγείρητε τὴν ἀγάπην, ἕως ἂν θελήσῃ; τίς αὕτη ἡ ἀναβαίνουσα λελευκανθισμένη, ἐπιστηριζομένη ἐπὶ τὸν ἀδελφιδὸν αὐτῆς, ὑπὸ μῆλον ἐξήγειρά σε. ἐκεῖ ὠδίνησέ σε ἡ μήτηρ σου, ἐκεῖ ὠδίνησέ σε ἡ τεκοῦσά σε. θές με ὡς σφραγίδα ἐπὶ τὴν καρδίαν σου, ὡς σφραγίδα ἐπὶ τὸν βραχίονά σου. ὅτι κραταιὰ ὡς θάνατος ἀγάπη, σκληρὸς ὡς ᾅδης ζῆλος. περίπτερα αὐτῆς, περίπτερα πυρός. ἄνθρακες πυρός, φλόγες αὐτῆς. ὕδωρ πολὺ οὐ δυνήσεται σβέσαι τὴν ἀγάπην, καὶ ποταμοὶ οὐ συγκλύσουσιν αὐτήν. ἐὰν δῷ ἀνὴρ πάντα τὸν βίον αὐτοῦ ἐν τῇ

ἀγά

Floruit germinatio, floruerunt mala punica, illic dabo ubera mea tibi. Mādragoræ dederunt odorē. & in portis noſtris omnes nuces. Nouas ad ueteres, nepos mi, ſeruaui tibi.

Quis det te fratrem meū ſugentē ubera matris meę? Inueniens te extra oſculabor te, & non deſpiciet me. Apprehendam te, introducam te in domū matris meę, & in cellam eius quæ concepit me, docebis me. Dabo potum tibi de uino pigmentato, de lacte malorū punicorū meorum. Læua eius ſub capite meo, & dextera illius amplexabitur me. Adiuraui uos filiæ Hieruſalem in potentijs & in fortitudinibus agri. Quid ſuſcitetis, & quid excitetis dilectionem, donec uoluerit: Quæ iſta quæ aſcendit dealbata, innixa ſuper nepotem ſuū, ſub malo excitaui te. Illic parturijt te mater tua, illic parturijt te quæ peperit te. Pone me ut ſignaculū ſuper cor tuum, ut ſignaculū ſuper brachium tuum. Quia fortis ut mors dilectio, dura ſicut infernus æmulatio. Volatilia eius, uolatilia ignis. Prunę ignis, flammæ eius. Aqua multa non poterit extinguere dilectionem, & flumina non obruent illam. Si dederit uir omnem ſubſtantiam ſuam pro Cap. VIII

dilectio

dilectione, despectione despicient eum. Soror nostra parua, & mammas non habet. Quid faciemus sorori nostræ in die, qua utique uerbum factum fuerit in ea? Si murus est, ædificabimus super eam propugnacula argentea. Et si ostium est, describamus super illud tabulam cedrinam. Ego murus, & ubera mea sicut turris. Ego fui in oculis eius recipiens pacem. Vinea fuit Solomoni in Beelamon, dedit uineam suam custodientibus. Vir feret in fructu eius mille argēteos. Vinea mea mea corā me mille Solomoni, & ducenti his qui custodiunt fructum eius. Qui sedes in hortis, amici attendentes uoci tuę, audire fac me. Fuge nepos mi, et assimiliare capreę, aut hinnulo ceruorum per montes aromatum.

ἀγάπῃ, ἐξουδενώσει ἐξουδενώσουσιν αὐτόν. ἀδελφὴ ἡμῶν μικρά, καὶ μαστοὺς οὐκ ἔχει. τί ποιήσομεν τῇ ἀδελφῇ ἡμῶν ἐν ἡμέρᾳ, ᾗ ἐὰν λαληθῇ ἐν αὐτῇ; εἰ τεῖχός ἐστι, οἰκοδομήσωμεν ἐπ' αὐτὴν ἐπάλξεις ἀργυρᾶς. καὶ εἰ θύρα ἐστὶ, διαγράψωμεν ἐπ' αὐτὴν σανίδα κεδρίνην. ἐγὼ τεῖχος, καὶ οἱ μαστοί μου ὡς πύργος. ἐγὼ ἤμην ἐν ὀφθαλμοῖς αὐτοῦ εὑρίσκουσα εἰρήνην. ἀμπελὼν ἐγενήθη τῷ σολομῶν ἐν βεελαμὼν, ἔδωκε τὸν ἀμπελῶνα αὐτοῦ τοῖς τηροῦσιν. ἀνὴρ οἴσει ἐν καρπῷ αὐτοῦ χιλίους ἀργυρίου. ἀμπελών μου ἐμὸς ἐνώπιόν μου. οἱ χίλιοι τῷ σολομῶν, καὶ οἱ διακόσιοι τοῖς τηροῦσι τὸν καρπὸν αὐτοῦ. ὁ καθήμενος ἐν κήποις, ἑταῖροι προσέχοντες τῇ φωνῇ σου ἀκούτισόν με. φύγε ἀδελφιδέ μου, καὶ ὁμοιώθητι τῇ δορκάδι, ἢ τῷ νεβρῷ τῶν ἐλάφων ἐπὶ τὰ ὄρη ἀρωμάτων.

